


1837
ARTES
SCIENTIA
VERITAS
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE

ANECDOTA GRÆCA

E CODD. MANUSCRIPTIS

BIBLIOTHECARUM OXONIENSIUM

DESCRIPSIT

J. A. CRAMER, S. T. P.

AULÆ NOVI HOSPITII PRINCIPALIS,

NECNON

ACADEMIÆ ORATOR PUBLICUS.

VOL. II.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

MDCCCXXXV.



Printed in Gt Britain

MONITUM LECTORI.

Quæ hoc secundo volumine continentur, omnia deprompta sunt, eodem fere servato ordine, e Codice qui inter Baroccianos numeratur 50; ex quo pauca quædam jam descripserat Im. Bekkerus, et in Anecd. Gr. indicibus inseruerat.

Is Codex, qui ad undecimum seculum videtur attingere, pergamenus est, forma in quarto, 387 foliis constans, nitidissime exaratus, et si pauca excipias una eademque manu, nullisque fere literarum compendiis.

Primus in eo, et quidem solo, ut opinor, inest Theognostus Byzantinus Grammaticus, quem sub Leone Armeno Imperatore nono seculo floruisse certis indiciis probasse videtur Villoisonus in Anecd. Diatr. I. p. 127. Antiquiorem esse Etymologi Magni auctore vel inde apparet quod ab illo sæpius citatur. Ipse ex Herodiani fontibus se multa hausisse profitetur; alioquin jejunus grammaticus, et rarius ad auctores antiquos provocans. Plurimas tamen voces inusitatas continet, frustraque in Hesychio aliisque Lexicographis quærendas.

Theognostum sequitur, qui in nostro etiam unice ut videtur exstat Codice, Georgius Chœroboscus de Orthographia; non integrum quidem, quod dolendum est, opus; sed a discipulo quodam ex ore magistri descriptum, et in brevius redactum. Quæ

deinceps leguntur sub Ποσότητος titulo, Chœrobosco etiam attribuenda esse facile crediderim. His et aliis quas ad finem usque voluminis vulgamus collectionibus, sive Ἐπιμερισμῶν, sive Ἐκλογῶν nomine designentur, inter multa vana et grammaticorum nugis repleta, aliquem tamen inesse usum visum est nobis: et ad emendanda Etymologica, et ad aperiendos fontes unde ista conflata sunt Lexica.

Ad calcem voluminis relegavimus alias voces, quæ hinc atque hinc in vacuis quibusdam Codicis foliis descriptæ erant, recentiori quidem manu, sed tamen antiqua, et minutis characteribus. Videntur quidem ex Harpocratione esse depromptæ, sed ab editis nonnunquam discrepant. Sunt et paucula quædam in Codice e Julio Polluce excerpta, quorum unum tantum locum hic proferam, quia ad Cratini fragmentum emendandum inservire videtur—τὸ ῥεῦμα τῆς ῥινὸς μύξα κατὰ Ἱπποκράτην, καὶ κόρυζα κατὰ τοὺς Ἀττικούς· καὶ τὸ ταυτὴν ἀφαιρεῖν ἀμύττειν· τὸ δὲ ἀπεμύττετο ἔλυζε τὰς ῥῖνας ἔφη Κρατῖνος. In Edd. (II. 4, 28.) leg. ὑλίζεσθαι τὰς ῥῖνας. in MSS. ὑλίζε: nullo quidem ut arbitror sensu. Ego ex nostro Cod. ἔκλυζε reponendum censeo.

ΘΕΟΓΝΩΣΤΟΥ ΚΑΝΟΝΕΣ.

ΤΩ δεσπότῃ μου καὶ σοφῷ στεφηφόρῳ
Λέοντι, τῷ κρατοῦντι πάντων ἐν λόγοις,
Θεύγνωστος, εὔγνωστός τις ὡς ὢν οἰκέτης,
δῶρον φέρω κάλλιστον αὐτῷ κ . . . ον
ἐμοὶ πονηθὲν ἐκβολῆς παλαιοτάτης
ὃ καὶ λαβὼν φάνηθι κἀμοὶ συντόμως
λιμὴν ἄκλυστος, ἀῤῥαγεστάτη σκέπη.

. . . . νον τὸν . . . . μενον . . . ἐπειδήποτε . . . . πεντακόσια . . . . στρατεύειν ἐπὶ τὸν ποταμὸν ἐπάγοντος τὰ πέραν συμένῳ γεωργός τις τῶν ἀσήμων καὶ τῶν οὓς ἐγὼ οὐκ οἶδ' ὅπως . . . . . δε παρατύχων ἐκ τοῦ παῤῥαρέοντος νάματος πλήσας ἄμφω τὼ χεῖρε φέρει κατὰ τῆς ἁλουργίδος καὶ τοῦ ἵππου τῷ βασιλεῖ· ὁ δὲ ἐπιστρεφθεὶς ὡς εἶχε τάχους καὶ ἐκστάσεως πυνθάνεται τὸν γεωργὸν οὑτωσὶ πράως καὶ ἱλαρῶς· τί βούλεται οἱ τὸ τολμηθέν· ὁ δὲ ἀνταμείβεται τοῦτον ὧδε· ὅτι τοι ὁρῶ βασιλεῦ ὑπὸ πολλῶν σε περὶ κύκλῳ δορυφορούμενον καὶ τὸ ἀχάριστον δὲ διττόμενος ὡς πρόξενον ὂν βασιλείας ἀγανακτήσεως τῷ πραχθέντι τὸν κίνδυνον ἐκτρίβομαι· καὶ ὁ βασιλεὺς τοῦτο ἀσμενισάμενος τῆς προαιρέσεως ἀπεδέξατο, καὶ δωρεαῖς ἁδραῖς καὶ βασιλικῶς ταύταις τοῦτον φιλοτιμησάμενος, ἐν ὀξείᾳ καιροῦ ῥοπῇ ἀπαλλάττει τῶν τῆς πενίας ἀγχονῶν· τοῦτον ὦ θειότατε βασιλεῦ ἐκμιμούμενος ὁ τόλμιλλος ἐγὼ καὶ αὐθαδίας τὴν μετὰ ζειρας προσ . . ενη ἐπ . οσιν καρποφορεῖν σοι τῶν ἀναγκαίων· ἡγούμενος ὡς μετὰ τῶν ὅπλων καὶ τὰ πρὸς λόγους ἐν οὕτω

νεκρᾷ τῇ ἡλικίᾳ τὸ κράτος ἔχοντι· τῇ σῇ προσφέρω θεοστέπτῳ μεγαλειότητι· ἵνα καὶ αὐτός τι τοῖς σοῖς δόξω συναγωνίσασθαι· πάλαι γάρ μοι διαπονουμένῳ τὰ γραμματικὰ καὶ ἑκάστης λέξεως τὸν ἁρμόδιον κανόνα ὑπὸ τῶν φοιτητῶν ἀπαραιτήτως εἰσπραττομένῳ μοι· οὓς δὲ ἐκ τῆς πολυΰλου βίβλου τῆς καθόλου Ἡρωδιανοῦ ἀναλεξάμενος, καὶ λέξει λέξιν τὴν προσήκουσαν ἐπισυνάψας, ἔργον οὔτινι τῶν πρὸ ἐμοῦ μεμελημένον· τινὰς δὲ καὶ τῶν παλαιῶν κανόνας διορθώσεως δεομένους, ἢ καὶ ἀπρεπῶς συγκειμένους εὑρών· τῶν μὲν τὸ ἀπρεπὲς, τῶν δὲ τὸ περιττὸν ἐξευμαρίσας, κανόνας κατὰ τοὺς χιλίους συντεταχὼς, τοῦ φθόνου τὰ κέντρα ἀγωγῇ θείᾳ ὡς νηπίων βέλη διαδιδρὰς, τῇ σῇ προσάγω θεοσόφῳ καὶ πανευμενεῖ γαληνότητι, δέσποτα, δῶρον ἐράσμιον, εἰ μή με τὸ οἰκεῖον, τὸ δὴ λεγόμενον, ἀπατᾷ καὶ κλέπτει παρὰ τὸ εἰκὸς δι' ἁπλότητα· ἐπειδὴ, ὡς αὐτὰ βοᾷ τὰ πράγματα καὶ πρὸς τὰ ὅπλα καὶ περὶ τοὺς λόγους, ὁ ὑπὸ σοῦ καθαρῶς λατρευόμενος Κύριος ἐνευδοκιμεῖν σοι ἐπ' αὐτῷ τῷ ἄνθει τῆς νεότητος ὡς ἄλλῳ Δαΐδ ἐδωρήσατο. Ἔχει δὲ ἡμῖν τὰ τοῦ συντάγματος ὧδε.

Α. Ἡ αι συλλαβὴ δηλοῦσα μὲν ἄρθρον, εἴτε προτακτικὸν, εἴτε ὑποτακτικὸν, εἴτε ἀντωνυμίαν, δύναται γὰρ εἶναι καθ' ἕκαστον, διὰ τῆς αι διφθόγγου γράφεται· καὶ δασυνομένη μὲν καὶ ὀξυνομένη εὐθείᾳ πτώσει πληθυντικῇ συντάττεται· ψιλουμένη δὲ καὶ ὀξυνομένη δηλοῖ εὐκτικὸν ἐπίῤῥημα, καὶ σχετλιαστικὸν καὶ θαυμαστικόν· ἐπὶ δὲ καταγνώσεως λαμβανομένη ὀξύνεται καὶ δασύνεται.

Β. Ἡ αι δίφθογγος πρὸ φωνήεντος ἐν μιᾷ λέξει σπανία ἐστὶ καὶ ἐν ἱστορουμέναις λέξεσιν· ὡς ἔχει τὸ Αἴας, ὄνομα κύριον· τὸ αἶα ὃ δηλοῖ τὴν γῆν ἐκ τοῦ γαῖα γενόμενον κατ' ἀφαίρεσιν τοῦ γ· αἰάλλω τὸ ῥῆμα, ὃ δηλοῖ τὸ κινῶ· ἀφ' ὁ καὶ Αἰολεὺς τὸ ἔθνος, καὶ Αἴολος ὄνομα κύριον, καὶ αἰόλος ὁ ποικίλος· αἰωρῶ τὸ κρεμῶ· αἰεὶ τὸ ἐπίῤῥημα, καὶ αἰέν·

λέγεται γὰρ δωδεκαχῶς, καθὼς Ἡρωδιανὸς ἐν τῇ καθόλου· οὕτως γὰρ αὐτὸ παρίστησιν· αἰεί· ἀεὶ συστολῇ τῆς ἀρχούσης· αἰέν· παρὰ δὲ Ἀττικοῖς κατὰ συστολὴν τοῦ α ᾽ἄεί· ἀλλὰ καὶ κατὰ ἔκτασιν τοῦ α ᾽ᾱεί· παρὰ δὲ Αἰολεῦσιν, τῆς ἀρχούσης ἐχούσης τὴν αι δίφθογγον· τοῦ δὲ τέλους τὸ ι συστελλόμενον βαρυτονως, αἶϊ· λέγεται δὲ παρ᾽ αὐτοῖς καὶ σὺν τῷ ν αἶϊν· γίνεται δὲ παρ᾽ αὐτοῖς καὶ κατὰ συστολὴν τῆς ἀρχούσης, καὶ ἀποβολῇ τοῦ ε ἄϊ βαρυτόνως· Λάκωνες δὲ αἰὲς φασίν· λέγεται δὲ καὶ αἰὲ δίχα τοῦ ν καὶ τοῦ σ· διὰ τῆς αι διφθόγγου κατ᾽ ἀρχὴν, καὶ διὰ τοῦ ε κατὰ τὸ τέλος· Βοιωτοὶ δὲ ἡΐ διὰ τοῦ η, καὶ μακροῦ τοῦ ι κατὰ τὴν λήγουσαν· λέγεται δὲ καὶ αἰὴ διὰ τοῦ η παρὰ Ταραντίνοις· φυλαττομένης τῆς κατ᾽ ἀρχὴν αι διφθόγγου, τροπῇ τῆς ει διφθόγγου εἰς η. Εἶτι δὲ τούτων ἐκτὸς ἐν ἀρχῇ λέξεως πρὸ φωνήεντος τῇ ε ὑποπίπτον φωνῇ, διὰ τοῦ ἐ ψιλοῦ γραπτέον· οἷον, ἕως τό τε ὄνομα, τό τε ἐπίῤῥημα· ἐῶ τὸ συγχωρῶ· ἐῶ τὸ ὑπάρχω· ἠεν [a] ἔωνον τὸ ὀλέθριον· ἐόργα· ἔολπα· ἐείκοσι· ἐήνδανε· ἐάλω· ἐοτή [b] ἐάρ· ἔοικεν.

Γ. Ἡ ε συλλαβὴ, εἴτε κατ᾽ ἀρχὴν λέξεως, εἴτε κατὰ τὸ μέσον εἰς σύμφωνον λήγουσα, τῆς ἑξῆς συλλαβῆς ἀπὸ συμφώνου ἀρχομένης διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, Ἑλλάς· ἐλλέβορος· ἔλπω· Ἔμπουσσα· μέλλω· Τερεντός· Βενεβεντός..

Δ. Ἡ ε συλλαβὴ ἐν ἁπλῇ καὶ ἀκινήτῳ λέξει πρὸ διπλοῦ οὐκ ἀνέχεται τὴν διὰ τῆς αι διφθόγγου γραφήν· οἷον, ἕξις· ἔξω τὸ ἐπίῤῥημα· ἑψῶ τὸ ῥῆμα· ἕξω· ἀλέξω· πεζός· ἀνεψίος· ῥέξω· σεσημείωται τὸ αἶψα ἐπίῤῥημα· καὶ τὸ αἰζηὸς ὄνομα διὰ τῆς αι διφθόγγου γραφόμενον· τὸ μὲν ἀπὸ τοῦ ἀψὰ ἐν πλεονασμῷ τοῦ ι γενόμενον· τὸ δὲ διὰ τοῦ ἀεὶ ζεῖν ὅ ἐστι ζέειν συγκείμενον· ἐπεὶ γὰρ τοῖς νέοις ἀεὶ τὸ ζέειν·

[a] De hac voce non prorsus liquet; adeo evanidus est literarum ductus.

[b] Leg. ἑορτή.

πρόσκειται ἐν ἁπλῇ λέξει διὰ τὸ χαμαίζηλος· πρόσκειται ἀκίνητον διὰ τὸ παίζω· ἀλλὰ κεκίνηται· παρὰ γὰρ τὸ πᾶς ὃ δηλοῖ τὸν πατέρα γίνεται πάϊς καὶ παῖς παιδὸς, παιδίζω, καὶ κατὰ συγκοπὴν παίζω· τὸ δὲ αἶξ παρὰ τὸ ἀΐσσω ἀΐξω ἀΐξ, καὶ κατὰ συναίρεσιν αἴξ· ἐν ὀξείας συναιρέσει ὀξεῖαν ποιεῖ· οἷον, Νηρεΐς Νηρίς· ἑσταὼς ἑστώς· βεβαὼς βεβώς· τὸ γοῦν αἰζηὸς, ὡς ἔφαμεν, ἐσημειοῦτο κατὰ τὴν ἄρχουσαν· σημειοῦται δὲ καὶ κατὰ τὴν παραλήγουσαν· οὐδὲν γὰρ εἰς ος καθαρὸν τὸ η παραλήγεται εἰ μὴ τὸ αἰζηὸς καὶ πηός.

Ε. Ἡ ε συλλαβὴ ἐν ἁπλῇ καὶ ἀκινήτῳ λέξει ἔχουσα μεθ' ἑαυτὴν δύο σύμφωνα κατὰ σύλληψιν, εἴτε κατ' ἀρχὴν λέξεως, εἴτε κατὰ μέσον, διὰ τοῦ ε ψιλοῦ γράφεται· καὶ κατ' ἀρχὴν μὲν λέξεως· οἷον, ἔδνον· ἐφθός· ἔτνος· κατὰ δὲ τὸ μέσον· ἄβεστος·[c] κηδεστής· ἀκέστωρ· τὸ κυαίστωρ, οὐχ Ἑλληνικὸν, Ἰταλικὸν γὰρ, καὶ διὰ τῆς αι διφθόγγου γράφεται, καὶ φυλάττει τὸ ω κατὰ τὴν γενικήν· τὸ αἶσχος, καὶ εἴτι παρ' αὐτὸ, διὰ τῆς αι διφθόγγου γράφεται· σύνθετον γὰρ παρὰ τὸ ἔχω· ἴσχω καὶ ἴσχος, καὶ μετὰ τοῦ α δηλοῦντος τὸ κακὸν, ἄϊσχος καὶ αἶσχος· τὸ Αἴτνη ἀπὸ τοῦ αἴθω· ὡς καὶ τὸ φαιδρὸς ἀπὸ τοῦ φαίνω· τὸ αἰχμὴ σύνθετον, παρὰ γὰρ τὸ αἷμα χεῖν.

Ϛ. Τὸ β πρὸ ἑαυτοῦ ἐν ἀρχῇ λέξεως, οὐ προσίεται τὴν διὰ τῆς αι διφθόγγου γραφήν· οἷον, Ἐβουσαῖος· Ἑβραῖος· Ἔβερ· ἔβενος τὸ ξύλον· Ἕβρος ὁ ποταμός· τὸ αἰβοῖ σεσημείωται διὰ τῆς αι διφθόγγου γραφόμενον· ἔστιν δὲ ἐπίρρημα σχετλιαστικόν· ὁμοίως δὲ καὶ τὸ αἰβάλη, ὃ δηλοῖ τὴν θύραν.

Ζ. Ἡ αι δίφθογγος ἐν ἀρχῇ λέξεως πρὸ τοῦ γ οὐχ εὑρίσκεται πλὴν τῶν γεγονότων παρὰ τὸ ἀΐσσω, ὡς ἔχει τὸ αἰγίς· αἴγειρος· Αἴγυπτος, αἰγιαλός· αἰγίλιψ· διὰ δὲ τοῦ ε ἔγρω ἐγείρω.

Η. Ἡ αι δίφθογγος ἐν ἀρχῇ λέξεως σπανίως εὑρίσκεται, ὡς

[c] Sic.

ἔχει τὸ αἰδῶ ῥῆμα, ἐξ οὗ τὸ αἰδοῦμαι, καὶ εἴτι παρ' αὐτοῦ· αἰδοῖος· αἰδήμων· αἰδέσιμος· αἰδώς· αἴδεσα· τὰ δ' ἄλλα διὰ τοῦ ε ψιλοῦ· ἔδω τὸ ἐσθίω· ἐδάνη, εἶδος ἀμπέλου· ἐδανὸν τὸ λεπτόν· ἕδνον· ἕδρα· ἐδωδή.

Θ. Τὸ θ πρὸ ἑαυτοῦ ἐν ἀρχῇ λέξεως ἀποστρέφεται τὴν διὰ τῆς αι διφθόγγου γραφήν· οἷον, ἔθω τὸ ἐξ ἔθους τι διαπράττεσθαι· ἔθος· ἔθειρα, ἡ θρὶξ τῆς κεφαλῆς· σεσημείωται τὸ αἴθω τὸ καίω, καὶ εἴτι παρ' αὐτό· αἰθάλη· αἰθήρ· Αἰθίοψ· Αἴθλη ἡ νῦν λεγομένη Χίος· αἶθρον τὸ καῦμα· αἰθύσσω τὸ ῥύπτω· Αἴθιξ ὄνομα ἔθνους· αἴθυμα τὸ δέλος· αἰθερύσσω τὸ ταχύνω, καὶ εἴτι ἐκ τούτων πάρηκται· αἴθε εὐκτικὸν ἐπίῤῥημα διὰ τοῦ εἴθε Δωρικῶς τέτραπται, ὡς κύπειρον κύπαιρον.

I. Πρὸ τοῦ κ ἡ αι δίφθογγος ἐν ἀρχῇ λέξεως σπανίως εὑρίσκεται, καὶ ἐν ὀλίγαις λέξεσιν καὶ ἱστορουμέναις· ὡς ἔχει τὸ αἰκίζω, καὶ εἴτι παρ' αὐτό· αἰκία καὶ αἰκισμός· αἶκνον τὸ σύνδειπνον· αἶκλον τὸ δεῖπνον, ἢ ὁ τραγαλισμός· αἰκάλλω τὸ θωπεύω· τὰ δ' ἄλλα διὰ τοῦ ε ψιλοῦ· Ἑκάτη· ἔκηλος· Ἑκάτων ὄνομα κύριον· ἑκὰς τὸ ἐπίῤῥημα.

ΙΑ. Τὸ λ καταρχὴν λέξεως προηγεῖσθαι ἑαυτοῦ τὴν αι ἀπαναίνεται πλὴν τινῶν καὶ εὐσυνόπτων λέξεων· λέγω δὴ τοῦ Αἴλιος· αἴλιψ[d] αἴλινον ὃ τάσσεται ἐπὶ θρήνου· προσίεται δὲ μᾶλλον τὸ ε· οἷον, ἔλεγχος· ἔλεγος· καὶ εἰ μὲν ὑποτάσσοιτο τὸ λ τὸ ε· ἀμφότερα γὰρ διὰ τοῦ ε ψιλοῦ· ἐλέφας· Ἑλενός· Ἑλένη· ἔλεος ἀρσενικὸν βαρύτονον ὁμοίως καὶ τὸ ὀξύτονον· Ἐλεὰς ὄνομα τόπου, καὶ εἶδος ὀρνέου· ἐλάτη· ἐλέρα· σεσημείωται τὸ ἐλαῖα ἐπὶ τοῦ φύτου, καὶ ἐπὶ τῆς πόλεως, ἀφ' οὗ καὶ τὸ περιεκτικὸν τὸ ἐλαιών· ἐπὶ γὰρ τοῦ καρποῦ ἐλάα λέγεται· ἐλαχύς· ἐλαφρός.

ΙΒ. Τὸ λ πρὸ ἑαυτοῦ ἐν ἀρχῇ λέξεως ἐν ὀλίγαις λέξεσιν διὰ τῆς αι διφθόγγου γράφεται, ὡς ἔχει τὸ αἷμα, καὶ εἴτι παρ' αὐτὸ πάρηκται ἢ συντέθηται· αἱμάτη ἡ λεκάνη· Αἱμονία ἡ Θετταλία· αἵμνιον τὸ ἄγγος ἐν ᾧ τὸ αἷμα φέρουσιν· αἵμιον

[d] Leg. fors. αἰγίλιψ.

τὸ σφάγιον· αἱμύλος ὁ δόλις[e], ἢ πιθανός· αἱμὸς ὁ ὀβελίσκος, ἢ ὁ ἀδελφὸς, ἢ ὁ ὀδυρμός· αἵμων ὁ ἐπιστήμων, ἢ ὁ συνετός· αἱμασιὰ ἡ ἐκ χαλίκων[f] τοῦ τείχους· τὰ δὲ διὰ τοῦ ε ψιλοῦ εἰσὶ ταῦτα· ἔμυς ἡ ἔνυδρος χελώνη· ἐμωτὸς τὸ νοσῶδες τραῦμα· ἔμετος· Ἔμεσα ἡ πόλις· ἐμίας· ἐμέθεν ἡ ἀντωνυμία.

ΙΓ. Πρὸ τοῦ ν ἡ αι δίφθογγος ἐν ἀρχῇ λέξεως σπανίως εὑρίσκεται καὶ ἐν ἱστορουμέναις λέξεσιν, ὡς ἔχει τὸ Αἰνείας· αἰνος τὸ ὀξύτονον, ὅπερ ἀπὸ τοῦ δεινὸς γέγονεν ἀφαιρέσει τοῦ δ, καὶ τροπῇ τοῦ ε εἰς α, καὶ εἴτι ἐξ αὐτοῦ· αἰνίσσω· αἴνιγμα· αἶνος βαρύτονον ἐπί τε τῆς πόλεως, ἐπί τε τῆς ᾠδῆς· ὁμοίως καὶ τὰ ἐξ αὐτῶν· αἰνάρετος ὁ ἐπὶ κακίᾳ τὴν ἀρετὴν ἔχων· δηλοῖ δὲ καὶ τὰ μνήμης ἄξια· αἰνῶ τὸ πτίσσω· αἰνύσθαι τὸ λαμβάνειν· αἶνον τὸ ὕψος, ἢ ὁ ὄχθος τοῦ ὄρους· Αἴνη τὸ Στυγὸς ὕδωρ· ὁμοίως καὶ εἴτι ἐξ αὐτῶν εἰς σύνθεσιν ἢ παραγωγὴν ἦλθεν· τὰ δ' ἄλλα διὰ τοῦ ε ψιλοῦ· ἔνος ὁ ἐνιαυτός· ὀξύτονον δὲ ὁ ἀριθμός· ἔναρος· ἔνοχος· ἔνερος ὁ νεκρός· ἐνιπὴ ἡ ἀπειλὴ καὶ ἡ δύναμις· Αἰνεταὶ πόλις Παφλαγονίας· ἔνερθεν τὸ ὑποκάτωθεν· ἔνοσις ἡ κίνησις· Ἐνυάλιος· Ἐνυὼ πολεμική τις δαίμων· ἔνωρ τὸ ἁπαλόν.

ΙΔ. Πρὸ τοῦ π ἡ αι δίφθογγος ἐν ἀρχῇ λέξεως οὐκ ἔστι εἰ μὴ ἐν τῷ αἰπὺς, ὁ ὑψηλὸς καὶ τὰ ἐξ αὐτοῦ παρηγμένα· αἰπεινός· αἶπος τὸ ὕψος· αἰπύκερος ὁ ἔχων ὑψηλα κέρατα· τὰ δ' ἄλλα διὰ τοῦ ε ψιλοῦ· ἐπείγω, ἐπείκτης.

ΙΕ. Πρὸ τοῦ ρ ἡ αι δίφθογγος ἐν ἀρχῇ λέξεως σπανίως εὑρίσκεται, ὡς ἔχει τὸ αἱρῶ τὸ καταβάλλω, ἢ βούλομαι, ἢ νικῶ· καὶ τὸ αἴρω τὸ βαρύτονον, ὃ σημαίνει τὸ κουφίζω, καὶ τὸ αἶρα, ὃ σημαίνει τὴν σφύρην, ἢ τὴν ἀξίνην· τὰ δ' ἄλλα διὰ τοῦ ε ψιλοῦ· ἔρανος· ἔρως· ἐρῴδιος· ἐριούνιος· ἐρέτης· ἔρευθος· ἐρυθρός· ἔρα ἡ γῆ· ἐρίπιον· ἔρημος· δεῖ δὲ προσθεῖναι τῷ κανόνι, ὅτι ἐν τοῖς τοιούτοις οὐδὲ μετὰ τοῦ ρ ἡ αι δίφθογγος εὑρίσκεται ἀλλὰ τὸ ε ψιλὸν, ὡς δῆλον ἐκ τῶν παραδειγμάτων.

[e] Leg. δόλιος. [f] Leg. χαλήκων.

ΙϚ. Πρὸ τοῦ σ ἡ αι δίφθογγος ἐν ἀρχῇ λέξεως εὑρίσκεται μὲν ἐν οὐ πολλαῖς λέξεσιν, καὶ ταύταις ἱστορουμέναις, ὡς ἔχει τὸ αἶσα, ἡ μοῖρα, καὶ εἴτι παρ' αὐτό· αἴσιμον τὸ καθῆκον· αἰσιμῶ τὸ ἀναγινώσκω· αἴσυλον τὸ νόμιμον· αἰσυμνίτης ὁ ἄρχων· αἶσα τὰ κόσμια· αἰσῶσαι, τὸ ἀφανίσαι· αἰσίτης ὁ νεανίας· αἶσος ὁ ἀφανής· αἴσιον τὸ δέξιον· αἰσύφιος δειλὸς ψεύστης· αἶσχος· αἴσακος ὁ τῆς δάφνης κλάδος· αἴσθησις· αἰσθέσιον τὸ νοσερόν· αἴσυρον τὸ ὑπερήφανον· αἰσίμη ἡ μαντεῖα· αἰσυήτης νομεύς· αἴσωρ ὁ ἁγνὸς, ἢ ὁ φωνεύς[g]· αἰσών ὁ κτητικός· αἴσυλον, κακὸν, μάταιον· Αἴσωπος ὄνομα κύριον· τὰ δὲ διὰ τοῦ ε ψιλοῦ· ἐσθὴς τὸ ἱμάτιον· ἐσθίω, τὸ τρώγω· ἕστημι ἐξ οὗ τὸ ἑστάναι· ἑστία· ἑσπέρα· ἐσχάρα· ἐσχατιά· ἑσμός· ἐσίταμον, δηλοῖ δὲ τὴν πρόσοδον· ἔσμιον τὸ νόστημον· Ἕσπερος· ἔσσα· ἐσσὴν ὁ βασιλεὺς, ἢ ὁ ἡγεμών· ἐσσηρὸς ὁ μάντις· ἑστιοῦχος ὁ οἰκώναξ.

ΙΖ. Ἡ αι δίφθογγος πρὸ τοῦ τ ἐν ἀρχῇ λέξεως σπανίως εὑρίσκεται· ἔστιν γὰρ τὸ αἴτιος, καὶ τὸ Αἴτνη ὄνομα ὄρους, καὶ εἴτι παρ' αὐτὰ παρῆκται, ἢ καὶ εἰς σύνθεσιν ἦλθε· Αἰτναῖοι κάνθαροι, οἱ μεγάλοι· Αἰτναῖος πῶλος, ὁ μέγας· αἰτιώδης· αἰτιατόν· αἰτιατικός· τὰ δ' ἄλλα διὰ τοῦ ε ψιλοῦ· ἕτοιμον τὸ πρόχειρον· ἔτυμος ὁ ἀληθής· ἐτέα τὸ φυτόν· ἑτερούας ὁ μόνωτος· ἐτάζω· τοῦτο εὕρηται καὶ διὰ τῆς αι διφθόγγου εἰ καὶ σπανίως· ἔτος ὁ χρόνος· ἕτερος καὶ ἑταῖρος· ἔτνος εἶδος ὀσπρίου· ἐτεὸς ὁ ἀληθής· ἐτεώνιον τὸ προσφάτως ἐκδημοῦν.

ΙΗ. Ἡ αι δίφθογγος πρὸ τοῦ φ ἐν ἀρχῇ λέξεως σπανίως εὑρίσκεται· ἔστιν γὰρ τὸ αἴφνης, καὶ εἴτι παρ' αὐτὸ· αἰφνίδιον· τὰ δ' ἄλλα διὰ τοῦ ε ψιλοῦ· Ἐφύρη· Ἔφυρος· Ἔφεσος· ἔφεσις· Ἐφιάλτης· ἐφημοσύνη ἡ ἐντολή· ἐφετμή· ἐφιδύη ὁ ὄκνος· Ἔφυρος ὄνομα ἔθνους·

ΙΘ. Πρὸ τοῦ χ ἡ αι δίφθογγος κατ' ἀρχὴν λέξεως ἐν ἁπλῇ λέξει οὐχ εὑρίσκεται· τὸ γὰρ αἰχμὴ σύνθετον οἱ παλαιοὶ ἔφασαν ἐκ τοῦ αἷμα χεῖν· παρ' αὐτὸ δὲ καὶ τὸ αἰχμάζω

g Leg. φονεύς.

αἰχμήτης καὶ τὸ αἰχμάλωτος· τὰ δὲ λοιπὰ διὰ τοῦ ε ψιλοῦ. ἔχις ὁ ὄφις· ἐχέτλη μέρος ἀρότρου· Ἔχετος[h] ὄνομα κύριον· ἐχυρός· ἐχῖνος· Ἐχινάδες νῆσοι οὕτω καλούμεναι.

Κ. Ἡ αι δίφθογγος ἐν ἀρχῇ λέξεως πρὸ τοῦ ψ οὐκ ἔστιν εἰ μὴ ἐν τῷ αἶψα, ὃ σημαίνει τὸ ταχύ· καὶ τὸ αἰψηρὸς ὁ ταχύς· τὰ δ' ἄλλα διὰ τοῦ ε ψιλοῦ· ἑψῶ τὸ περισπώμενον· ἑψητοὶ τὰ λητὰ[i] ἰχθύδια· ἑψία ἡ παιδία· ἑψιόωντα[k] σκοτεινά.

ΚΑ. Πᾶσα λέξις διὰ τῆς βε συλλαβῆς ἀρχομένη, διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον· Βένετος· βελόνη· βέβαιος· βέβηλος· βέλεμνος· βέραιδον· σεσημείωται τὸ βαίνω ῥῆμα, καὶ τὸ βαιὸν τὸ ὀλίγον, καὶ τὸ βαίτη, ὃ δηλοῖ τὴν διφθέραν διὰ τῆς αι διφθόγγου.

ΚΒ. Πᾶσα λέξις ἀπὸ τῆς γε συλλαβῆς ἀρχομένη διὰ τοῦ ε ψιλοῦ γράφεται· γέφυρα· γέρανος· σεσημείωται τὸ γαίων ὃ δηλοῖ τὸ χαίρων, ἢ σεμνυνόμενος· γαῖσος τὸ ὅπλον· γαίω τὸ κερμῶ καὶ διαβάλλω· τὸ γέα διφορεῖται καὶ κατὰ τὴν γραφὴν καὶ κατὰ τὸν τόνον· τῆς γὰρ ἀρχούσης διὰ τοῦ ε ψιλοῦ γραφὴ μακροκαταληκτεῖ· ταύτης δὲ διὰ τῆς αι διφθόγγου γραφομένης βραχυκαταληκτεῖ.

ΚΓ. Πᾶσα λέξις ἀπὸ τῆς δε συλλαβῆς ἀρχομένη διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, Δέκιος· Δέσιος, ὁ μήν· εἰ μή πω ἡ λέξις εἴθισται καὶ ἄνευ τοῦ ι λέγεσθαι, ὡς ἔχει τὸ δαίω καὶ δάω· καὶ τοῦ δαινύω, ἀφ' οὗ καὶ δαιτυμὼν, καὶ τὸ δαίμων γέγονος παρὰ τὸ εἴδω τὸ γινώσκω. ὁ παρακείμενος εἶκα εἶσμαι· ἐκβολῇ οὖν τοῦ σ, καὶ τροπῇ τοῦ ε εἰς α αἴμων, καὶ πλεονασμῷ τοῦ δ δαίμων.

ΚΔ. Τὰ ἀπὸ τῆς ζε συλλαβῆς ἀρχόμενα διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, Ζέλεια· Ζέφυρος· ζέω τὸ ῥῆμα· ζέσις· ζέμα.

ΚΕ. Τὰ ἀπὸ τῆς θε συλλαβῆς ἀρχόμενα, διὰ τοῦ ε ψιλοῦ γράφεται. θεός· θεμέλιος· θέμεθλος· τὸ θαιμὰν διὰ τῆς αι διφθόγγου γράφεται· οὐ τῆς τῶν Ἑλλήνων συνηθείας.

[h] Cod. ἐχέτ. [i] Fors. leg. λεπτά. [k] Cod. ἐψιόων τά.

ΚϚ. Πᾶσα λέξις ἀπὸ τῆς κε συλλαβῆς ἀρχομένη, διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, κεραυνός· κεράστης· κέρας· κέλευθος· κέλυφιον· Κέκροψ· Κέναγρον ὄνομα τόπου· σεσημείωται τὸ καινὸς ὃ σημαίνει τὸ νέον, καὶ τὸ Καινεὺς ὄνομα κύριον, καὶ τὸ καιρός· Καῖσαρ, καὶ ὅσα παρ' αὐτοῖς· καίριος· ἄκαιρος· εὔκαιρος· πρόσκαιρος· Καισαρεύς· Καισάρεια.

ΚΖ. Πολλὴ ἡ ἐκ τῆς λαι συλλαβῆς κατ' ἀρχὴν λέξεως διὰ τῆς αι διφθόγγου γραφομένη· εἰσὶ δὲ ταῦτα· λαιθυράζω τὸ διὰ τοῦ στόματος ψόφον τελεῖν ἐπὶ τῷ μαστῷ· λαιψηρὸν[l] τὸ ἀσθενὲς ἢ τὸ ταχύ· λαίεται τὸ κλύεται· λαίταμα τὸ χάσμα, ἢ τὸ μέγα πέλαγος· λαῖλαψ· λαίετον τὸ ἀρχεῖον[m]· λαῖφος ἡ χλαῖνα· λαιμὸς ἐπὶ τοῦ σώματος· λαιλας ὁ μὴ ἐκ γένους τύραννος, ἀλλ' ἐπιθεμένος· λαῖγμα τὸ ἱερόν· λαίω τὸ βλέπω, ἢ τὸ φονεύω· λαιδρὸς ὁ θρασύς· Λαισίνη ὄνομα πόλεως· λαιθαργὸς ὁ λαθραῖος· λαισήϊον τὸ κράνος· λαίδας ἡ ἀσπὶς, ἡ ἀπὸ βύρσης· λαιτὸν, τὸ ἀχρεῖον· λαιτρὸν τὸ πρυτανεῖον· λαιλάχω τὸ ψοφῶ· λαισκίδης ὁ βούπαις· λαιμώρη, ἡ λαμυρίς· λαιφύη τὸ πρυτανεῖον· λαίσπης ὁ βούπαις· λαίσθη, ἡ αἰσχύνη· λαίσθα ἡ ἀκολασία· λαιθάργυνος, ὁ λαθραῖος δάκνων· λαιὸς ὁ ἀριστερός· λαῖτμα τὸ οἴδημα τῆς θαλάσσης· λαιμῶ τὸ συνέχως μαίνεσθαι· λαιμάσσειν τὸ ἀμέτρως ἐσθίειν· Λαιποδιας Ἀνδρωνύμιος ἑνὸς τῶν Ἀθήνησιν ἐπιφανῶν· λαιμοδεῖν τὸ δραπετεύειν· τὰ δὲ τούτων ἐκτὸς διὰ τοῦ ε ψιλοῦ γράφεται· λέχος· λέπας τὸ πρόσαντες· λέκιθος ὁ κρόκος τοῦ ᾠοῦ· λεβηθρὶς τὸ δέρμα τοῦ ὄφεως· λεκτίκιον· λεπὶς ἡ φολίς· λεπρὸς ὁ διάλευκος· λεαίνω τὸ ὁμαλίζω· λέγυνον τὸ εἰλιτὸν καὶ ποικίλον· λέκτρον ἡ κλίνη· λελεγίζω, τὸ κιθαρίζω· Λέλεξ ὄνομα ἔθνους· λενῶ τὸ λυποῦμαι· λέπαδνος· λεπτὸς ὁ ἰσχνός· λέπαργος ἡ χιών· λεπαστὴ γένος τι κύλικος· λεχεποίης· λεχαῖος τὸ λέχος ἐνποιοῦν· λεοφόρος· λεωρία ἡ χαλεπή· λεῶρες, τὸ ἄωρον· λεωκόνητος ὁ ἐφθαρμένος· λεώδης, ὁ λιθόλευστος· καὶ τἆλλα ἀφίημι τοῖς ἐντυγχάνουσιν ἐρευνᾷν.

l Cod. λαιφηρόν. m Sic.

ΚΗ. Πᾶσα λέξις ἀπὸ τῆς με συλλαβῆς ἀρχομένη διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, μέγαρον· μεσσηγύς· Μελέαγρος· μέδιμνον· μέλαθρον· Μέδων· σεσημείωται τὸ μαίνω τὸ ὀργίζομαι· ἐπὶ γὰρ τοῦ οἰκῶ διὰ τοῦ ε ψιλοῦ· καὶ τὸ μαῖα, ἡ τροφός· παρὰ γὰρ τὸ μαίω τὸ ζητῶ· μαιμάσσω, τὸ προθυμοῦμαι· μαιμάχης ὁ ὑβριστής· μαίω τὸ ἐλίσσομαι ὁ τάλιμνος ὁ ἐν Ἄργει ποταμός·[n] μαίμω τὸ ἐνεργῶ κινεῖσθαι ὡς διὰ τῆς αι διφθόγγου γραφόμενα.

ΚΘ. Πᾶσα λέξις ἀπὸ τῆς νε συλλαβῆς ἀρχομένη διὰ τοῦ ε ψιλοῦ γράφεται· νέκταρ· Νέμεσις· νέπως· νέκυς· νεκρός· νέηλος· σεσημειωται τὸ ναὶ ἐπίῤῥημα, τὸ ναίχι· καὶ τὸ ναίω ῥῆμα, τὸ οἰκῶ, διὰ τῆς αι διφθόγγου γραφόμενα.

Λ. Πᾶσα λέξις ἐκ τῆς ξε συλλαβῆς ἀρχομένη διὰ τοῦ ε ψιλοῦ γράφεται· ξένος· Ξενίων ὄνομα κύριον· ξενὼν τὸ περιεκτικόν· ξέω· ξερόν· σεσημείωται τὸ ξαίνω ῥῆμα διὰ τῆς αι διφθόγγου γραφόμενον.

ΛΑ. Πᾶσα λέξις ἀπὸ τῆς πε συλλαβῆς ἀρχομένη διὰ τοῦ ε ψιλοῦ γράφεται· πέλαγος· Πελίας· πελεκάν· πέδον ἡ γῆ· πέδηλον· πέταυρον· Πελασγός· περιστερός· πελώριος· πέδουρος ὁ μετέωρος· πεδανός· πέπων· πέπειρος· σεσημείωται τὸ παῖς, καὶ εἴτι παρ' αὐτό· οἷον, παιδεύω· παιδεία· παιδιὰ, ὀξυτόνως, τὸ παίγνιον· παιδίσκη· παίζω· εἰ δὲ καὶ τὸ παιὰν, καὶ εἴτι παρ' αὐτό· παιανίζω· παίων ὄνομα ποδὸς μετρικοῦ, καὶ ἔθνους· παιωνία ἡ βοτάνη· εἶδε καὶ τὸ παιφάσσω τὸ κινῶ, καὶ τὸ παίπαλον τὸ τραχὺ, παιπαλώσσω, τὸ παίζω, καὶ τὸ παροινῶ· παίραος παρὰ Ἠλείοις ὁ παῖς· Παιήων θεῶν ἰατρός· λαμβάνεται δὲ καὶ ἐπὶ τοῦ ὕμνου, ὃ σημειωτέον ἔχον πρὸ τοῦ ων τὸ η· οὐδὲν γὰρ τῶν εἰς ων ληγόντων τὸ η παραλήγεται· πρὸς τούτοις δὲ καὶ τὸ παίω ῥῆμα, εἴτε ἐπὶ τοῦ τύπτω, εἴτε ἐπὶ τοῦ ἵστασθαι τῆς ὁρμῆς παρ' ὃ καὶ παῦμα καὶ παιπάλιμος, ὁ ποικίλος καὶ ἐντρεχὴς ἐπὶ κακίᾳ· καὶ τὸ παιστέον τὸ πρακτέον.

[n] Hæc corruptissima sunt. Leg. vid. μαίω τὸ λίσσωμαι· Μαιῶτις λίμνη. tum fluvii nomen excidit.

ΛΒ. Πᾶσα λέξις ἀπὸ τῆς ρε συλλαβῆς ἀρχομένη διὰ τοῦ ε ψιλοῦ γράφεται πλὴν τινῶν ἅπερ εἰσὶ ταῦτα· Γραῖκος ὁ Ἕλλην· ῥαικάμη ἡ ῥαστώνη· ῥαιδαστίζει τὸ σκόπτει· ῥαιβὸν τὸ καμπύλον· ῥαίθω τὸ φθείρω· ῥαῖσαι τὸ ἐξ ἀρωστίας βελτίω γενέσθαι· τὰ δὲ διὰ τοῦ ε ψιλοῦ γραφόμενα εἰσὶ ταῦτα· Ῥέα ἡ Δημήτηρ· λαμβάνεται δὲ καὶ ἐπὶ τοῦ ῥαδίου· ῥεάποντος ὁ Βόσπορος· ῥέθος ἐπί τε τοῦ προσώπου καὶ τοῦ λιμένος· ῥέκος ἡ ζώνη· ῥέμω τὸ πειρῶμαι τὸ δύναμαι· ῥέον· ῥεῦμα θηρίον· ῥέπω τὸ κλίνω· ῥέων ὁ τρέχων, ἢ ὁ εὔωνος· ῥεπούδιον.

ΛΓ. Τὰ ἐκ τῆς σε συλλαβῆς ἀρχόμενα διὰ τοῦ ε ψιλοῦ γράφεται πλὴν τινῶν· εἰσὶ δὲ ταῦτα· σαίνω τὸ κινῶ· σαῖστος ἐλαίας κλάδος· σαινα τὸ αἰδοῖον· σαῖνος ὁ ἀριστερίων· σαίρει· ῥαίνει σαροῖ· Σαῖοι οἱ πολέμιοι· σαιθάρυγξ ἡ ταραχή· διὰ δὲ τοῦ ε ψιλοῦ ταῦτα· σέλας· σέλινον· Σέριφος· Σέκουνδος· Σέβηρος· σέβερος ὁ εὐσεβής, ὁ καὶ δίκαιος· σέβετος ὁ κοχλίας· σέβας· σέβαλα ἡ ἔκπληξις· σεύελις· σεμίδαλις· Σελασία ἡ Ἄρτεμις παρὰ Λάκωσι· σελάπυρος ἡ λαμπρότης· σελάσκων, λάμπων· σελασμὸς ἡ ἀλαζονεία.

ΛΔ. Πᾶσα λέξις ἀπὸ τῆς σκε συλλαβῆς ἀρχομένη διὰ τοῦ ε ψιλοῦ γράφεται, πλὴν τοῦ σκαιὸς ἐπὶ τοῦ πονηροῦ· σκαίρω, τὸ σκιρτῶ· τὰ δὲ διὰ τοῦ ε ψιλοῦ εἰσὶ ταῦτα· σκέπη· σκέπαρνον· σκέλυθρος δίφρος ταπεινός· σκεπάζω· σκελίζω· σκέθρος, ἐπιμελὴς, ἀκριβής.

ΛΕ. Τὰ ἀπὸ τῆς σπε συλλαβῆς ἀρχόμενα διὰ τοῦ ε ψιλοῦ γράφεται· σπάνιοι δὲ αἱ λέξεις· οἷον, σπέος τὸ σπήλαιον· σπέκιον εἶδος ἱματίου· Σπεκίωσος ὄνομα κύριον· πλὴν τοῦ σπαίρω τοῦ δηλοῦντος τὸ πηδῶ.

ΛϚ. Πᾶσα λέξις ἀπὸ τῆς στε συλλαβῆς ἀρχομένη διὰ τοῦ ε ψιλοῦ γράφεται, στέαρ· στέφος· στεγωνός· στέλεχος· στέγη· στενός· στερεός· στενωπός· σεσημείωται τὸ σταῖς μονοσύλλαβον οὐδέτερον διὰ τῆς αι διφθόγγου γραφόμενον.

ΛΖ. Πᾶσα λέξις ἐκ τῆς σφε συλλαβῆς ἀρχομένη διὰ τοῦ ε ψιλοῦ γράφεται· σφέλας καθαρὸν ὑποπόδιον· σφεδανὸν

δριμὺ, ἰσχυρόν· σφέτερον· σφετερίζω· σφεοβδὸν δασὺ καὶ πολὺ, ἀσθενές· σφεδρόν· σφεδανῶ, τὸ θανατῶ· σεσημείωται τὸ σφαῖρα.

ΛΗ. Πᾶσα λέξις ἐκ τῆς σχε συλλαβῆς ἀρχομένη διὰ τοῦ ε ψιλοῦ γράφεται· σχέλις κρέας πλευρημαῖον· Σχερίη ὄνομα πόλεως· σχέμα τὸ ὄχημα· σχέλινος ἄγρια κυπάρισσος· σχερὸς ὁ αἰγιαλὸς, ἀκτὴ, κῦμα, ἕτοιμος· σχεδρὸς τλήμων, καρτερικὸς, τολμηρός· σχελινάζει, τὸ φλυαρεῖ· σχέρω ἑξῆς.

ΛΘ. Πᾶσα λέξις ἀπὸ τῆς τε συλλαβῆς ἀρχομένη τὴν αι δίφθογγον παντελῶς ἀποστρέφεται· οἷον, τελετή· τέρην· τερέβινθος, εἶδος φυτοῦ· τερετίζω τὸ κιθαρίζω· τέρετρον· Τερέτιον ὄνομα πόλεως· σεσημείωται τὸ ταινία ἐπὶ τοῦ κόσμου διὰ τῆς αι διφθόγγου γραφόμενον.

Μ. Πᾶσα λέξις ἐκ τῆς τρε συλλαβῆς ἀρχομένη δια τοῦ ε ψιλοῦ γράφεται· οἷον, τρέβλος· τρέρεθα φυτὰ νέα· τρέτης· τρέχωνος στέλεχος, κλάδος, φυτὸν, βλάστημα· τρέπω· τρέω τὸ φοβοῦμαι.

ΜΑ. Τὰ ἐκ τῆς φε συλλαβῆς ἀρχόμενα διὰ τοῦ ε ψιλοῦ γράφεται· φέβω· φέρω· Φέρα ἡ πόλις· φέλων ὁ ἀλαζών· Φεβρωνία· φερέσβιος· φέρεγγυς ὁ βέβαιος· φέριστος· φέναξ ὁ ἀπατεών· σεσημείωται τὸ φαίνω τὸ λάμπω, ἐπὶ γὰρ τοῦ φονεύω διὰ τοῦ ε ψιλοῦ· Φαίναξ ὄνομα κύριον· φαιδρός· φαίδιμος· φαικάσιον ὑπόδημα γεωργικόν· Φαῖστος ὄνομα πόλεως· φαινόπους ὁ λευκόπους· φαιὸς, ὁ μέσος λευκοῦ τε καὶ μέλανος.

ΜΒ. Πᾶσα λέξις ἀπὸ τῆς χε συλλαβῆς ἀρχομένη φεύγει τὴν διὰ τῆς αι διφθόγγου γραφήν· σεσημειωμένου τοῦ χαίτη, ὃ δηλοῖ τὴν τρίχα· γέγονε δὲ ἀπὸ τοῦ κρατῶ κράτη· ἐκβολῇ τοῦ ρ, κάτη, καὶ τροπῇ τοῦ κ εἰς χ, καὶ πλεονασμῷ τοῦ ι χαίτη· οὕτως Ἡρωδιανὸς ἐν τῇ Ὀρθογραφίᾳ· εἰ δὲ καὶ τὸ χαίρω, καὶ χαίνω, καὶ τοῦ χαιὸς, ὃ δηλοῖ τὴν ῥάβδον, καὶ τῶν παρ' αὐτῶν συγκειμένων, τοῦ χαιρέκακος, καὶ τῶν ὁμοίων· τὰ δὲ διὰ τοῦ ε εἰσὶ ταῦτα· Χεβρὼν ὄνομα πόλεως· χελώνη τό τε ζῶον καὶ τὸ ὄργανον· χέλυς ἡ κιθάρα· χέλανδος· χέω τὸ

ῥῆμα· χελιδών· χέλιος, τὸ ὀστόδερμον, ἡ μετὰ ὀστράκων καὶ λίθων ἰλὺς, ἢ ὁ κοχλίας· χέμιτλα εἶδος νόσου· χετῶ τὸ ῥῆμα, ὃ δηλοῖ τὸ ἔχω.

ΜΓ. Πᾶσα λέξις ἐκ τῆς ψε συλλαβῆς ἀρχομένη πλὴν τινῶν ὀλιγιστῶν διὰ τοῦ ε ψιλοῦ γράφεται· τὰ γοῦν ὑποσταλμένα ὑποτάσσεται· ψαιμύθιον τὸ φαῦλον καὶ ψευδές· ψαιδρὸν, τὸ φαιδρόν· ψαίρω, τὸ τινάσσω· ψαιτὰ ἄλφιτα οἴνῳ καὶ ἐλαίῳ μεμαγμένα· ψαίκαλον ἀρνίον ἔμβρυον, νέον βρέφος· ψαίκιον, μακρὸν, ἐλαφρὸν, ὡραῖον· τὰ δὲ διὰ τοῦ ψιλοῦ εἰσὶ ταῦτα· ψελίον· ψεκάς· ψέγω τὸ κακολογῶ [o]· ψεδὸν τὸ ὀλίγον καὶ μαδαρόν· ψίδω τὸ λυπῶ καὶ κτυπῶ· ψεδυρὸς, ψιθυριστής· ψεδνὸς ὁ μαδαρός· ψέφω τὸ δέδοικα, τὸ φροντίζω· ψέφερα ἡ λεπτὴ, ἡ σκοτεινή· ψέφος, τὸ σκότος·

ΜΔ. Ἡ ο συλλαβὴ, εἴτε κατ' ἀρχὴν λέξεως, εἴτε κατὰ τὸ μέσον, ἐν ἁπλῇ καὶ ἀκινήτῳ λέξει ἔχουσα μεθ' ἑαυτὴν δύο σύμφωνα κατὰ σύλληψιν διὰ τοῦ ο μικροῦ γράφεται· ἐν ἀρχῇ μὲν λέξεως, ὄβριμος· ὄβρυζος· ὄγδοος· ὀδμή· ὀθνεῖος· ὄκνος· ὀκλάζω· ὀκτώ· ὀμνύω· ὅπλον· ὁπλή· ὄσπριον· ὀστέον· ὀσφύς· ὀτρύνω· ὀτρηρός· ὄφλω· ὄχλος [p] ὁ ὀφθαλμός· ὀθνεῖος, τὸ δέδοικα· Ὄθρυς λόφος· ὀκλείω· ὀκριώω τὸ λοιδωρῶ· ὁπλότερος ὁ νεώτερος· ὅπλοῖον τὸ τόξον· ὀπτῶ τό τε βαρύτονον καὶ τὸ περισπώμενον· ὀπτὴρ ὁ σκοπός· ὄτλος ὁ μόχθος, ὁ πόνος· ὄτλημα ἡ κακοπραγία· ὀτραλέον· ὀτρεὺς ὁ ἡμίονος· ὄρχις κλῆμα βότρυος ἔχον· ὀχμάζει λαμβάνει· κατὰ δὲ τὸ μέσον τῆς λέξεως, ἢ καὶ συμφώνου τῆς ἀρχούσης προηγουμένου οὕτω· βρόχθος ἡ σταγών· Βόστρα, ἡ πόλις· βόστριχες· γοσταὶ αἱ κριθαί· δόγμος πλάγιος, λοξός· δόχμη δῶρον· κόχλος· κόπρος· κόστος· κοχλιάριον· κοδρᾶτος· κοδράντης· ῥόπτρον πάγη θηρίων, τὸ ἐπιπίπτον τῆς πάγης· ῥοχθεῖ, ψοφεῖ· πόστος· τὸ ὦχρος τό τε βαρύτονον, τό τε ὀξύτονον διὰ τοῦ ω μεγάλου γράφεται οὐχ ἁπλᾶ· ἔστι γὰρ παρὰ τὸ χροῦς χροὸς, καὶ μετὰ τοῦ στερητικοῦ α ἄχροος, καὶ ἐν ἐκθέσει τοῦ ο ἀόχροος, καὶ κράσει τοῦ αο εἰς ω μέγα, ὦχρος·

o Cod. τὸ ε   p i. e. oculus.

σεσημείωται τὸ σκώπτω διὰ τοῦ ω μεγάλου γραφόμενον· τὸ ὤκλασα· ὤκνησα· διωγμὸς, καὶ εἴτι τοιοῦτον κεκίνηνται· τὸ Σώστρατος σύνθετον, παρὰ γὰρ τὸ σώζω.

ΜΕ. Ἡ ο συλλαβὴ ἔχουσα μεθ' ἑαυτὴν ἓν τῶν διπλῶν, εἴτε κατὰ τὸ μέσον ἐν ἁπλῇ καὶ ἀκινήτῳ λέξει διὰ τοῦ ο γράφεται μικροῦ· ὄζος ὁ κλάδος· ὄζω τὸ ῥῆμα· Ὄξηλος ὄνομα τόπου· ὀξηλὶς, ἡ βοτάνη ὀξυτόνως· ῥόξος· φοξός· τὸ Ὦξος ἐπὶ τοῦ ποταμου διὰ τοῦ ω μεγάλου ὁμοίως καὶ τὸ σῴζω· τὸ ὤξεσα· ὤξυνα, κεκίνηνται.

ΜϚ. Τὸ ο ἐν ἁπλῇ καὶ ἀκινήτῳ λέξει, εἴτε κατ' ἀρχὴν λέξεως, εἴτε κατὰ τὸ μέσον, εἰς σύμφωνον λήγει, τῆς ἐπαγομένης συλλαβῆς ἐκ συμφώνου ἀρχομένης, διὰ του ο μικροῦ γράφεται· ἐν ἀρχῇ μὲν λέξεως· οἷον, ὄλβος· ὄνθος· ὁλκός· ὁλκάς [q] * * * * * * *

* * * * * * * κατὰ ἀναλογίαν χωρεῖ· ἡ δὲ δοτικὴ βαρβαρίζει πρὸς τὸ μηδέποτε δοτικὴν ἑνικὴν ἰσοσύλλαβον τῇ ἰδίᾳ εὐθείᾳ εἰς ου δίφθογγον λήγειν· ἢ ἄνευ τοῦ ι ἀνεκφωνήτου γράφεσθαι· ἰστέον οὖν λοιπὸν ἐπὶ τὰ παραδείγματα· Ἰσδηγέρδης· Ἰσμαήλ· Ἰσραήλ· Ἰσκαριώθ· ἱστός· ἴσμεν, καίπερ ἐκ τοῦ εἴδω τοῦ διὰ τῆς ει διφθόγγου γραφομένου γεγονός· ἰθμός· ἱστίον· ἴσπω· ἴσχω· Ἴστρος· Ἱσπανία· ἰσχύς· ἴσθι· ἰσθμαίνει τὸ ἀγονιᾷ καὶ αἰσθάνεται· ἰσθμὴν, ἡ φρόνησις· ἴσκεν, ἔλεγεν· ἰσκάνδιον σαλπιγγωτόν· ἰσμέρα τὸ εἰς τοὺς καθαρμούς· ἴσμα δρύμα· Ἴσμαρος πόλις Θρᾴκης· ἰσπίλαι ἀκολουθοι· ἰσπνιᾶται σειραί· ἰσσέλη αἴγειον δέρμα· ἵστωρ· ἱστάκη τὸ δρέπανον· Ἰστρηνίδες Σκυθικαί· ἰσφαίνει μεριμνᾷ· ἰσφάτατον, βίαιον· ἰσχαναᾶν, κατέχειν, κρατεῖν· ἰσχαλέον λεπτόν· ἰσχνεῦσαι ὑφ' εἶναι· [r] ἰσχαίρω· ἰσχιάζειν ἀναβάλλειν τὸ ἰσχίον· δίσκος· πρίσκος· κρίσκη· μίσγω· μισθός· ὄλισθος· Αἴγισθος· λιμνίσκος· ἀστερίσκος· οὐρανίσκος· τὸ Θρῆσκος δοκεῖ ἀντικεῖσθαι διὰ τοῦ η γραφόμενον, ἀλλ' οὖν ἔχει καὶ αὐτὸ τὸ ι ἀνεκφώνητον· γέγονεν δὲ παρὰ τὸ Θράϊξ Θραῖξ [s] Θράϊσκος, καὶ τροπῇ τοῦ

[q] Hic desunt octo folia et 41 Canones. [r] Sic. [s] Cod. Θαῖξ.

α εἰς η Θρήϊσκος, καὶ κατὰ συναίρεσιν Θρῇσκος· μή ποτε δὲ καὶ τὸ φῆστος ἐκ τοῦ φαίνω γέγονεν φαῖστος, καὶ τροπῇ τῆς αι εἰς η φῆστος· τὸ θνήσκω· πλεῖστος· ἄπληστος· ἔρεισμα· ἐν κινήσει εἰσὶν ὡς πᾶσιν εὔδηλον.

ΠΗ. Ἡ ι συλλαβὴ εἴτε κατ' ἀρχὴν λέξεως, εἴτε κατὰ τὸ μέσον ἐν ἁπλῇ καὶ ἀκινήτῳ λέξει λήγουσα εἰς ν, ἐπαγομένου τοῦ δ, διὰ τοῦ ι γράφεται· οἷον, ἴνδικτος· ἴνδαλμα· ἴνδιξ· Ἰνδός· σινδών· σκινδαψός· Πίνδαρος· γίνδος· γίνδαρις· καλινδοῦμαι· πινδηρα, ἄροτρον· Πίνδος ὄρος Θεσσαλίας· πίνδακας θραύματα σανίδων· σκινδαλαγμός· σκίνδιον τὸ λευκόν· φυγίνδα· βασιλίνδα· κρυπτίνδα· τὸ ἥνδανε ἐκ τοῦ ἀνδάνω γεγονὸς οὐ μάχεται, ὡς οὐδὲ τὸ ἤσχαλλον, εἱστήκειν, ἐκ τοῦ ἀσχάλλω, εἱστήκω, γεγονότα εἰς τὸν προλαβόντα κανόνα.

ΠΘ. Ἡ ι συλλαβὴ εἴτε κατ' ἀρχὴν λέξεως, εἴτε κατὰ τὸ μέσον ἐν ἁπλῇ καὶ ἀκινήτῳ λέξει λήγουσα εἰς ρ, ἢ εἰς ἕν τι τῶν ἀμεταβόλων τῆς ἑξῆς συλλαβῆς ἀρχομένης ἐκ συμφώνου, διὰ τοῦ ι γράφεται· καὶ κατ' ἀρχὴν μὲν λέξεως· ἴννος· Ἴμβρος· ἰνδάλω· ἴνδαλμα· Ἰνδός· ἴνδικτος· Συλιμβρία· Κιμμέριος· σκίνπους· στίλβων· στιλβανός· οἰκτίρμων· σκιρτῶ· κιρνῶ· κίρκος· θίρρον τὸ τρυφερόν· ἰλκαγλοιός, ῥύπος· ἴλλον, πλάγιον, στραβόν· ἰλλάδας ἀγελαίας, διεστραμμένας· Ἰλλυρίς· ἰλμηδεσμὸς, σειρά· ἴννος ὁ ἐξ ὄνου θηλείας καὶ ἵππου, ἢ τὸ ἐν τῇ κυήσει νοσῆς βρέφος· κιλλαγκτὴρ ὁ ὀνελάτης· κίλλοι ὄνοι[t]· τὸ ἑρμὸς ἐκ τοῦ εἴρω γεγονὸς τοῦ τάσσω ἐν κινήσει ὂν, οὐκ ἀντίκειται· σεσημείωται τὸ εἴργω τὸ κωλύω, ἐξ οὗ καὶ εἱρκτὴ διὰ τῆς ει διφθόγγου· καὶ μήποτε παρὰ τὸ ἔργω ἐστὶν ἐν πλεονασμῷ τοῦ ι, καὶ οὐ γνησίαν ἔχει τὴν δίφθογγον· τὸ ἦρχον, εἴτε ἐκ τοῦ ἄρχω, ἢ ἐκ τοῦ ἔρχω ἄδηλον, ὅμως ἐν κινήσει ὂν οὐκ ἀντίκειται.

Ϙ. Ἡ ι συλλαβὴ ἐν ἁπλῇ καὶ ἀκινήτῳ λέξει, εἴτε κατ' ἀρχὴν λέξεως, εἴτε κατὰ τὸ μέσον, πρὸ τοῦ κτ εὑρισκομένη διὰ τοῦ ι γράφεται· ἴκτινος, τὸ ὀρνέον· ἴκτερος, ἡ νόσος· ἰκτὸν τὸ ἐοικός· ἴκτης, οἰκέτης· ἴκταιον τὸ τρόφημον· ἴκταρ τὸ

[t] Cod. ὄνου.

πρόσφατον· ἰκτὺς, ὁμοίωμα, εἰκών· ἴνδικτος· βίκτωρ· προτίκτωρ· τὸ ἐπείκτης ἐκ τοῦ ἐπείγω γεγονὸς κεκινημένον ὂν, οὐκ ἀντίκειται.

ϘΑ. *Ἡ ι συλλαβὴ ἐν ἁπλῇ καὶ ἀκινήτῳ λέξει ἔχουσα τὴν ἑξῆς συλλαβὴν ἀρχομένην ἀπὸ τοῦ γ, ἢ τοῦ δ, ἢ τοῦ κ, ἢ ἑνὸς τῶν λοιπῶν ἀμεταβόλων, ἢ τοῦ ξ, διὰ τοῦ ι γράφεται· οἷον, ἴγδην· ἴγγηρ· ἰλιγγιῶ· ἰγγιστιάριος· στίγγος· λιγκεύς· κίγγλα· κιγκλίς· τιγγάβαρις· ζιγγίβερ· σφίγγω· κιγκλίζω τὸ κινῶ· κίγκλος, εἶδος ὀρνέου· λιγγῶ, τὸ ἠχῶ, καὶ λίγξω τὸ ἠχήσω· μῆνιγξ· σφίγξ· σάλπιγξ.*

ϘΒ. *Ἡ ι συλλαβὴ ἔχουσα μεθ᾽ ἑαυτὴν δύο δασέα κατὰ σύλληψιν ἐν ἁπλῇ καὶ ἀκινήτῳ λέξει· διὰ τοῦ ι γράφεται· οἷον, ἴφθιμος· ἰχθύς· διφθέρα· δίφθογγος· τρίφθογγος· τὸ ἤχθην· ἤφθην οὐκ ἀντίκεινται διὰ τοῦ η γραφόμενα, κεκίνηνται γάρ.*

ϘΓ. *Ἡ ι συλλαβὴ ἐν ἁπλῇ καὶ ἀκινήτῳ λέξει, εἴτε κατ᾽ ἀρχὴν λέξεως, εἴτε κατὰ τὸ μέσον, λήγουσα εἰς ν, τῆς ἑξῆς συλλαβῆς ἐκ τοῦ θ ἀρχομένης, διὰ τοῦ ι γράφεται· σπινθήρ· μίνθα, τὸ ἡδύοσμον· Σμινθεύς· Ῥίνθων· ῥικινθας· Κόρινθος· πλίνθος· σκίνθος, καὶ εἴτι ὅμοιον.*

ϘΔ. *Ἡ ι συλλαβὴ ἐν ἁπλῇ καὶ ἀκινήτῳ λέξει πρὸ τῶν διπλῶν διὰ τοῦ ι γράφεται· οἷον, ἰξός· ἴξαλος· ἰξεύω· ἰξευτής· ἰξύς· ἴξω· σχίζω· καὶ τὸ ἧψα διὰ τοῦ η γραφόμενον οὐκ ἀντίκειται, κεκίνηται γάρ.*

ϘΕ. *Ἡ ι συλλαβὴ ἐν ἁπλῇ καὶ ἀκινήτῳ λέξει εἴτε κατ᾽ ἀρχὴν λέξεως, εἴτε κατὰ τὸ μέσον, εἰς ἕν τι τῶν ἀμεταβόλων λήγουσα, συμφώνου ἢ συμφώνων ἐκ τῆς ἑξῆς συλλαβῆς ἀρχομένης, διὰ τοῦ ι γράφεται· Σίλβεστρος· σίλφιον· σίρφιον· σίμβρος· πιμπρῶ· θρίγκος· κιγκλίς· σκίγκος· Σίρμιον· σινδών· Πίνδαρος· Κίρκη· βίργος ὁ ῥάβδος· Σιμπλίκιος· λιμπάνω· κίνδυνος· Κιμμέριος· τὸ μεσημερία διὰ τοῦ η γραφόμενον τὴν μέσην ἀλλ᾽ οὐχ ἁπλοῦν· ἐκ γὰρ τοῦ μεσημερία γέγονεν κατὰ συγκοπὴν τοῦ ε, καὶ πλεονασμῷ τοῦ β· τὸ κῆνσος λῆγον εἰς ν καὶ ἔχον τὴν ἑξῆς ἐκ τοῦ σ*

ἀρχομένην διὰ τοῦ η γράφεται, καὶ τὸ ἴνβεν τὸ διὰ τοῦ ι καὶ ν ἀμφότερα παράλογα καὶ Ἰταλικά· τὸ μὲν ὅτι διὰ τοῦ η, τὸ δὲ ὅτι μὴ ἔτρεψεν τὸ ν εἰς τὸ μ ἔχον τὴν ἑξῆς ἐκ τοῦ η ἀρχομένην.

ϞϚ. Πρὸ δύο τῶν αὐτῶν συμφώνων ἐν ἁπλῇ καὶ ἀκινήτῳ λέξει, εἴτε κατ' ἀρχὴν λέξεως, εἴτε κατὰ τὸ μέσον οὐκ ἔστιν εὑρεῖν, οὔτε τὸ η οὔτε τινὰ τῶν διφθόγγων ἀλλ' ἢ τὸ ι, ἢ τὸ υ· οἷον, ἴλλος· ἵππος· ἴννος· ὕῤῥας· μικκός· φρίσσω· ψύλλος· σκύλλος· κυλλός· βιλλός· ὁ μαλλός· τίλλω· μίλλα· σκίλλα· ἄμιλλα· Πρίσκιλλα· βίσσα· κίσσα· λύσσα· πτίσσω· πτίσσα· πίσσος εἶδος ὀσπρίου· νύσσω· πτύσσω· σεσημείωται τὸ Θράϊσσα καὶ κατὰ συναίρεσιν Θρᾷσσα· σεσημείωται καὶ τὸ πήσσω· πλήσσω· ῥήσσω διὰ τοῦ η γραφόμενα· τὸ γὰρ ἥσσων τὸ συγκριτικὸν καὶ αὐτὸ γὰρ διὰ τοῦ η γράφεται, ἀλλ' οὐχ ἁπλοῦν· γέγονεν δὲ παρὰ τὸ ἅμα καὶ τὸ ἴσος ἅμισυς, καὶ τροπῇ τοῦ α εἰς η ἥμισυς, ὡς καὶ ἡ δασεῖα μαρτυρεῖ· ἀφ' οὗ τὸ συγκριτικὸν ἡμισύτερος καὶ ἡμισίων ὁ δεύτερος τύπος, καὶ ὁ τρίτος ἥσσων· καὶ Ἀττικῶς ἥττων· τὸ κρείσσων διὰ τῆς ει διφθόγγου γραφόμενον οὐκ ἀκίνητον· γέγονεν γὰρ παρὰ τὸ κράτος τὸ συγκριτικόν.

ϞΖ. Ἡ ι συλλαβὴ ἐν τῇ συνθέσει ἐνίοτε τρέπει τὸ ι εἰς ε· σπάνιοι δὲ αἱ λέξεις, ὡς ἔχει τὸ ἄγχι ἀγχέμαχος, καὶ τὸ δικαστὸς ἀδέκαστος· Αἰολέων[s] δὲ τὸ πάθος.

ϞΗ. Πρὸ τοῦ μν οὐκ ἔστιν εὑρεῖν δίφθογγον ἀλλ' ἢ τὸ ι, ἢ τὸ υ· σπάνιοι δὲ αἱ λέξεις· μίμνω· τέμνω· λίμνη· πρύμνη· σκύμνος· ὕμνος· γύμνος· σεσημείωται τὸ ποίμνη καὶ τὸ Λῆμνος ἐπὶ τῆς νήσου, καὶ τὸ κρημνὸς διὰ τοῦ η ἀμφότερα γραφόμενα· καὶ μήποτε παρὰ τὸ κρεμῶ γέγονε κρεμὸς, καὶ τροπῇ τοῦ ε εἰς η, καὶ πλεονασμῷ τοῦ ν κρημνός.

ϞΘ. Πρὸ τοῦ χ ἡ αι δίφθογγος ἐν ἁπλῇ καὶ ἀκινήτῳ λέξει οὐχ εὑρίσκεται· ἔχω· λέχος· τὸ πέπαιχα ἐκ κινήσεως τοῦ παίζω· τὸ ναίχι κατ' ἐπέκτασιν.

Ρ. Πᾶσα λέξις εἴτε Ἑλληνικὴ, εἴτε βάρβαρος, ἐκ τῆς ια

[s] Cod. αἰωλέων.

συλλαβῆς ἀρχομένη διὰ τοῦ ι γράφεται· οἷον, ἰατρός· Ἰάπυξ· Ἰάειρος· Ἰαήλ· ἰάλεμος θρῆνος· ἴαμνος θάμνος· ἴανθος· ἴασπις· ἰαοινεῖδι· ἀπορεῖ[t]· ἰάζει βοᾷ· ἰακλάζω καταβοῶ· ἰάπτω τὸ θνήσκω· σεσημείωται τὸ εἶα ἐπίῤῥημα καὶ τὸ εἴασα ῥῆμα.

ΡΑ. Πᾶν ὄνομα Ἑλληνικόν τε καὶ βάρβαρον ἐκ τῆς ιε συλλαβῆς ἀρχόμενον, διὰ τοῦ ι καὶ ε ψιλοῦ γράφεται· οἷον, Ἰεχονίας· Ἱερεμίας· Ἰεσσαΐ· τὸ Ἡετίων τὴν ἄρχουσαν ἔχον διὰ τοῦ η οὐκ ἀντίκειται, ἐκ γὰρ τοῦ ἀετίων γέγονεν τροπῇ τοῦ α εἰς η.

ΡΒ. Τὰ διὰ τοῦ ιω ὀνόματα διὰ τοῦ ι γράφεται, καὶ διὰ τοῦ ω· οἷον, Ἰωσίας· Ἰωάβ· Ἰωθώρ· Ἰωβήδ· Ἰωσαφάτ· Ἰωάς· σεσημείωται τὸ Ἰορδάνης καὶ Ἰόππη.

ΡΓ. Τὸ υ εἴτε κατ' ἀρχὴν λέξεως, εἴτε κατὰ τὸ μέσον, ἔχον μεθ' ἑαυτὸ δύο σύμφωνα κατὰ σύλληψιν, ἢ διάστασιν, ἢ ἐν τῶν διπλῶν, διὰ τοῦ υ γράφεται· οἷον, ὕβρις· ὕδρα· ὕθλος· ὕμνος· ὕσπληξ· ὕπνον· γύψος· πύξος· μύξα· κόρυζα· ὄρυζα· βύβλος· Βύζας· Κύπρις· λυπρός· μύστρα· στρύχνος· ἀμυδρός· σεσημείωται τὸ οἶκτος καὶ οἰκτρός· οἶστρος· οἰκτίρμων· οἶδμα· οἴτη ὁ μαλλός· οἴστρησις σχοινίου τι εἶδος· οἶφνος τετραχοινικὸν μέτρον· οἰχνῆσαι πορευθῆναι, καὶ τὸ ῥοῖζος καὶ αὐτὸ διὰ τῆς οι διφθόγγου γραφόμενον.

ΡΔ. Ἡ υ συλλαβὴ πρὸ φωνήεντος διὰ τοῦ υ ψιλοῦ γράφεται· εἰ δέ τι καὶ διὰ τῆς οι διφθόγγου εὑρεθῇ ἐν σημειώσει παραδεξόμεθα· ὡς ἔχει τὸ οἷος ὁ μόνος, καὶ τὸ ἀναφορικόν· Οἴα κώμη, καὶ ἐπὶ τοῦ ἀγροῦ· οἴα τὸ ἐκ προβάτων· οἴας ἀρχὴ καταλόγου· τὰ δὲ διὰ τοῦ υ ψιλοῦ εἰσὶ ταῦτα· ὗας τὸ ἀρσενικόν· ὑάδες· ὑάκυνθος· ὕαλος ὁ βόρβορος, ἐνίοτε δὲ καὶ τὸ λαμπρόν· ὑαλόεν τὸ διαφανές· ὑαλίης εἰκαῖος, βλοσυρός· Ὕης Ζεύς, ὄμβριος· υἱός.

ΡΕ. Ἡ υ συλλαβὴ πρὸ τοῦ β διὰ τοῦ υ ψιλοῦ γράφεται· [βυθός· βυζός· πυκνός·] Ὕβλη πόλις Σικελική· ὑβριστής· ὑβαλλὴν λάγνος.

[t] An leg. ἰαοινεῖ διαπορεῖ.

ΡϚ. Πᾶσα λέξις ἐκ τῆς βυ συλλαβῆς ἀρχομένη διὰ τοῦ υ ψιλοῦ γράφεται βυθός· βυζὸς, πυκνὸς, συνετός· βύζανα, κόνδυλος· βύζειν ἀθρόον, πυκνόν· Βύνη ἡ Λευκοθέα Ἰνω· βύσσος· βυσός· σεσημείωται βοικία, ἡ θεράπαινα· βοικεῖ γαμήσκει· Βοίβη λίμνη καὶ πόλις ἐν Θεσσαλίᾳ· Βοιωτὸς τὸ ἔθνος· βοῖπις γῆ βουνώδης, διὰ τῆς οι διφθόγγου γραφόμενα.

ΡΖ. Τὸ γ πρὸ αὐτοῦ τὴν οι δίφθογγον ἔχειν ἀπείπατο, πλὴν ἐν τῷ οἴγω, τῷ δηλοῦντι τῷ ἀνοίγω· τὰ δ' ἄλλα διὰ τοῦ υ ψιλοῦ· σπάνιοι δὲ αἱ λέξεις, ὡς ἔχει τὸ ὑγιής· ὑγίεια τετρασύλλαβον, οὕτω ζητεῖ ἡ ἀναλογία· ὑγρός· ὑγρασία· καὶ εἴτι ὅμοιον.

ΡΗ. Πᾶσα λέξις ἐκ τῆς γυ συλλαβῆς ἀρχομένη διὰ τοῦ υ ψιλοῦ γράφεται· γύαλον· γυάλαον τὸ κοῖλον· Γυρα, Ἀθηνᾶ ἐγχώριος· γύη πᾶσα ἡ γῆ· γυήτης, χωλός· γύλινα, ἐρίσματα· Γυλιὸς, Ἡρακλῆς· γυναιμανές· γυπῶσαι, πληρῶσαι· γυπαρία· γῦροι, βόθροι· γυρῖνος, ἡ μήπω πόδας ἔχουσα βάτραχος· σεσημείωται τὸ γοῖ [u] τὸ διὰ τῆς οι διφθόγγου γραφόμενον.

ΡΘ. Πᾶσα λέξις ἐκ τῆς γρυ συλλαβῆς ἀρχομένη διὰ τοῦ υ ψιλοῦ γράφεται· οἷον, γρύτη, τὸ μικρόν· γρῦ, ὁ ὑπὸ τὸν ὄνυχα ῥύπος· γρυπόν· γρύξαι, μικρὸν φθέγξασθαι· γρύνη λιβανωτός· γρυμπάνειν ἐπικάμπτειν· γρυμαία σκευοθήκη· γρυνοὶ, δαλοί.

ΡΙ. Τὸ δ πρὸ αὐτοῦ ἔχειν ἐν ἀρχῇ λέξεως τὴν οι δίφθογγον πλὴν τινῶν λέξεων οὐκ ἀνέχεται· σχέδον γὰρ τὰ πάντα διὰ τοῦ υ ψιλοῦ γράφεται· οἷον, ὕδης, συνετός· ὕδη, φημη, ᾠδή· ὕδαρος· ὕδειν, τρέχειν, λέγειν· ὕδος τὸ ὕδωρ· ὕδρος· ὕδρα· σεσημείωται τὸ οἶδα· οἶδμα· οἰδαίνεται· Οἰδήπους, διὰ τῆς οι διφθόγγου γραφόμενα.

ΡΙΑ. Πρὸ τοῦ ζ, ἢ ξ, ἢ ψ τὸ υ ψιλὸν κατ' ἀρχὴν λέξεως οὐχ εὕρηται, εἰ μὴ ἐν τῷ ὕψος· γεγονέναι δὲ καὶ αὐτὸ φασὶν παρὰ τὸ ὄπτω τὸ βλέπω, ὄψω ὄψος, καὶ τροπῇ Αἰολικῇ ὕψος· οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ πνευμάτων.

[u] Leg. vid γοῖτος.

ΡΙΒ. Πᾶσα λέξις ἐκ τῆς ζυ συλλαβῆς ἀρχομένη διὰ τοῦ υ ψιλοῦ γράφεται ζύμη· ζύθος, ὁ ἐκ κριθῆς οἶνος· ζύγλορον κιβωτός· ζυχεινεῖ τὸ μύει.

ΡΙΓ. Πᾶσα λέξις ἀπὸ τῆς ζω συλλαβῆς ἀρχομένη διὰ τοῦ ω μεγάλου γράφεται· ζωγρία θῆκαι νεκρῶν· ζωγρεῖ, ζῶντας θηρεύει· ζώαξ, θώραξ λαγαρος· ζῴδιον· ζωθάλμιον, τὸν βιώσιμον· ζῶμα θώραξ· ζωμός· ζώνη· ζώω· ζωννύω· ζωπυρεῖ· ζωρότερον, ταχύτερον· ζωρὸν ἀκρατεύτερον· ζωστήρ· ζώστρα, τὰ ἐνδύματα· σεσημείωται τὸ ζόφος, καὶ εἴτι παρ' αὐτὸ διὰ τοῦ ο μικροῦ γραφόμενον· ζοφόεν· ζοφοδορπίας, λαθροφάγος· ζόη βαρυτόνως, τὸ ἐπάνω τοῦ μέλιτος, καὶ αὐτὸ διὰ τοῦ ο μικροῦ γραφόμενον.

ΡΙΔ. Ἡ υ συλλαβὴ πρὸ τοῦ θ ἐν ἑνὶ μέρει λόγου καὶ ἡ οι δίφθογγος οὐκ ἔστιν καθόλου· διὸ σημειούμεθα τὸ ὕθλος μόνον διὰ τοῦ υ ψιλοῦ γραφόμενον.

ΡΙΕ. Πᾶσα λέξις ἐκ τῆς θυ συλλαβῆς ἀρχομένη διὰ τοῦ υ ψιλοῦ γράφεται· θύελλα· θυευτὸς οὐξόμβρων[x] ποταμός· θυηλή, ἡ διὰ θυμάτων μαντεῖα· θυηπόλος, ὁ ἱερεύς· θυηκόλος, ἱερεύς· θυμαρές, τὸ ὠφέλημον· θυρεός· θύνεται, ἥδεται· σεσημείωται τὸ θοιὸν ὀξυτόνως· θοία ζεῦγος ἡμιόνων· θοίνη, ἡ εὐωχεῖα διὰ τῆς οι διφθόγγου.

ΡΙϚ. Πᾶσα λέξις ἐκ τῆς θρυ συλλαβῆς ἀρχομένη διὰ τοῦ υ ψιλοῦ γράφεται· θρύψιχος φοβερός· θρυαλλίς· θρυγονᾶν τὸ ξύειν· θρυλεῖν συνεχῶς λέγειν· θρυματὶς κρηπίς· θρύπτω· θρυλιχθῆναι· Θρυὸς πόλις Ἀρκαδίας· θρύειν θορυβεῖν.

ΡΙΖ. Πᾶσα λέξις ἐκ τῆς θρω συλλαβῆς ἀρχομένη διὰ τοῦ ω μεγάλου γράφεται· θρῴσκω τὸ πηδῶ· θρωμὸς ὦια δικτύου· θρωγμὸς τρίβος· θρῶσις τὸ σπαρτίον· θρώσσει ἅλλεται· σεσημείωται τὸ θρόνος· θρόος ὁ φθόγγος· θρόνα ἄνθεα, βάμματα, διὰ τοῦ ο μικροῦ γραφόμενα.

ΡΙΗ. Ἡ υ συλλαβὴ πρὸ του κ ἐν ἑνὶ μέρει λόγου διὰ τοῦ υ ψιλοῦ οὐκ ἔστιν εἰ μὴ ἐν τῷ ὕκηλος, ὃ σημαίνει τὸ ὑγιές· τὰ δ' ἄλλα διὰ τῆς οι διφθόγγου· οἴκελος ὁ πίσος· οἰκόσιτος

[x] An ὁ ἐξ ὄμβρων?

ὁ οἴκοθεν ἐσθίων· οἰκεὺς δοῦλος· οἰκιπάζει οὐκ ἐμποιεῖ· οἰκώδης, φορεύς· οἰκῆϊ λευκῷ· οἰκτρός· οἴκυλος, τὸ ὄσπριον· οἶκτος· οἰκτίρμων· οἰκιμβάζει.

ΡΙΘ. Πᾶσα λέξις ἐκ τῆς κρο συλλαβῆς ἀρχομένη διὰ τοῦ ο μικροῦ γράφεται· κρόκος· κρόκαλος αἰγιαλός· κροταφὶς, σφύρα μικρά· κροαίνων κρούων τοῖς ποσίν· κροτῶ· Κροτώνη· Κροκύλιον πόλις· κροκόπεπλος· κροκοειδής· κρόταλον, λάλον· κροτητὰ, ἐγγεγλυμμένα· κροτεῦσαι τὸ μὴ πλῆρες δοῦναι· κροκώδεσμος· σεσημείωται τὸ κρῶπος ἡ ὑδρία· κρώσιον ἡ στάμνος· κρῶσι, βοῶσι· κρωσσὸς κεράμιον, κρατήρ· Κρῶμνα πόλις Παφλαγονική.

ΡΚ. Τὰ ἀπὸ τῆς κρυ συλλαβῆς ἀρχομένα διὰ τοῦ υ ψιλοῦ γράφεται, εἴτε ὀνόματα, εἴτε ῥήματα, εἴτε ἐπιῤῥήματα· κρύος ὁ χειμών· κρυαίνει, ἱμείρει· κρυμός· κρυὸν, ξηρόν· κρυπτεύω ἐνεδρεύω· κρυμώσσει ῥιγοῖ· κρύβηλος, πύργος· κρυερὸν ἐλεεινόν· σεσημείωται τὸ κροιὸν ἐπὶ τοῦ κολοβοῦ.

ΡΚΑ. Πᾶσα λέξις ἐκ τῆς κυ συλλαβῆς ἀρχομένη διὰ τοῦ υ ψιλοῦ γράφεται· κυλοιάζειν, τὸ τοὺς ὀφθαλμοὺς ἐπικλίνειν χλευάζοντα· κυληβὶς, ἄκαρπος κράμβη· κύλινδρος· κυμαίνω· κύλιξ· κύμινος· κύμινες, γλαύξ· κυμὸν περικεφαλαία πλοίου· κυματαγωγεῖ· κυμήνασθαι κείρεσθαι· κύμορον τὸν ὑπὸ κυμάτων ῥοῦγχος, βαλλάντιον· κυνωτὸς, βώλου ὄνος· κυνώπιδος, ἀναιδοῦς· κύνειρον ἁπαλόν· κυνοθρασὺς, ἀναιδής· σεσημείωται τὸ κοῖλον, ἐξ οὗ καὶ τὸ κοιλία· κοίδυμος· κοινός· κοινωνός· κοίρανος· κοίτη· κοιμίζω· κοίολις ἱερεύς· κοίας στρογγύλος· κοινοδήμιον δημόσιον· κοινομήτωρ ἀδελφός· κοικύλλει παρατρέπει· κοισυροῦται κοσμεῖται· κοιλοριζῶν πάναξ· κοῖτος ὕπνος· διὰ τῆς οι διφθόγγου.

ΡΚΒ. Ἡ οι δίφθογγος κατ' ἀρχὴν λέξεως πρὸ τοῦ λ οὐχ εὕρηται· ὅθεν πᾶσα λέξις ἐκ τοῦ υ ἀρχομένη μεθ' οὗ ὑπάρχει τὸ λ διὰ τοῦ υ ψιλοῦ γράφεται· [λύαιος· λύμη·] ὑλακή· ὑλακόμωρος, ὀξύφωνος. ὑλᾷ, θρηνεῖ· ὑλάξεσθαι, αὐλίζεσθαι· ὑλάσσει· ὑλιᾶσθαι, κινεῖσθαι· Ὕλλος ποταμὸς Λυδίας.

ΡΚΓ. Πᾶσα λέξις ἐκ τῆς λυ συλλαβῆς ἀρχομένη· διὰ τοῦ

υ ψιλοῦ γράφεται λύαιος· λύμη· λύασθαι, διαφθείρεσθαι· λύαια, παύσιμα· λυμαίνω· λυγρόν· λυπρόν· λύπη· λύρα· λύαι στάσεις, διαφοραί· λυγίζει, τὸ κάμπτει· λυάζει, φλυαρεῖ· λυγαίη, σκοτείνη· λυγίσασθαι, κρυβῆναι· Λυδός· λύκος· Λυκοῦργος· λυσιτελής· Λυσίμαχος. λύχνος· Λυκόφρων· Λύκαιστος· σεσημείωται τὸ λοιδορῶ· λοιβαῖον, ἔνσπονδον· λοιάδες αἱ κόραι τῶν ὀφθαλμῶν· λοιβὴ ἡ θυσία· λοίγια ὀλέθρια· λοιγὸς, πονηρὸς φθορά· λοίσθιον, τὸ ὕστατον· λοιμός· λοιγισθῆναι ἀπόλεσθαι· λοίσθημα, τὸ τέλος· διὰ τῆς οι διφθόγγου.

ΡΚΔ. Τὸ μ πρὸ ἑαυτοῦ ἐν ἑνὶ μέρει λόγου ἔχει μὲν τὸ υ ἐν ἀρχῇ λέξεως, ἔχει δὲ καὶ τὴν οι δίφθογγον σχεδὸν ἐν ἴσαις ταῖς λέξεσιν· ὡς εἶναι τὰς λέξεις ἐν σημειώσει καὶ ἱστορίᾳ· καὶ τὰ μὲν διὰ τοῦ υ ψιλοῦ εἰσὶ ταῦτα· ὑμὰ, τὰ ὑμέτερα· ὑμέτιαι, αἱ ἐπὶ ἑνὸς γεγενημέναι· ὕμνος· ὑμίν· ὑμέλαι, στεῤῥαί· ὑμέναις· ὕμενον, ἄτακτον· τὰ δὲ διὰ τῆς οι διφθόγγου· οἶμος ἡ ὁδὸς, καὶ ἔτι παρ' αὐτό· οἰμήσειας ὁδοπορίσειας· οἰμηδοκεῖ ᾠδὴν προσδέχεται, ὁδὸν τηρεῖ· οἰμητεύει, διαπορεύεται· οἰμᾶν νήχεσθαι· οἰμωγή· οἰμὴ κυβευτικὴ βῶλος.

ΡΚΕ. Τὸ ν πρὸ ἑαυτοῦ ἔχον τὸ υ ψιλὸν ἐν ἀρχῇ λέξεως οὐχ εὕρηται εἰ μὴ ἐν μιᾷ λέξει· λέγω δὲ ἐν τῷ ὕνις· ἔστιν δὲ γεωργικὸν ἐργαλεῖον· εὕρηται δὲ καὶ διὰ τῆς οι διφθόγγου ἐν μιᾷ λέξει· λέγω δὴ ἐν τῷ οἶνος, ἐξ οὗ σύνθετα ἔχομεν πολλά· οἷον, οἰνάνθη· οἶνοψ· οἰνοχόος· οἰνόπους· οἰνόπεδον, ἀμπελών· οἰναρχεῖον συμπόσιον· οἰνοβαρὴς, μέθυσος· οἰνωπὸν, μέλαν[z] πυῤῥόν· οἶνοτρον, χάρακα ἐν ᾧ τὴν ἄμπελον ἱστᾶσιν· οἴνη ἡ ἄμπελος κατὰ παραγωγήν· οἴναρα τὰ φύλλα τῶν ἀμπέλων· ἔστιν δὲ καὶ τὸ οἰνὰς εἶδος ὂν ὀρνέου.

ΡΚϚ. Πρὸ τοῦ π κατ' ἀρχὴν λέξεως ἡ οι δίφθογγος οὐκ ἔστιν· διὸ ὅσα πρὸ τοῦ π ἐν ἀρχῇ λέξεως ζητεῖ τὸ υ διὰ τοῦ υ ψιλοῦ γραπτέον· ὑπερήφανος· ὑπόδικος· ὑπέρτατος.

ΡΚΖ. Πᾶσα λέξις ἐκ τῆς πρυ συλλαβῆς ἀρχομένη διὰ τοῦ υ ψιλοῦ γράφεται· πρυμνήσιον, τὸ σχοινίον· πρυμνωρία ἀκ-

[z] Cod. μέλλαν.

ῥώρεια· πρύμνος, τὸ ἔσχατον· πρυλεῖς, πεζοί· πρύλιν, πυῤῥίχην· πρύτανις· πρυτανεῖον.

ΡΚΗ. Πᾶσα λέξις ἐκ τῆς πτυ συλλαβῆς ἀρχομένη διὰ τοῦ υ ψιλοῦ γράφεται· πτύσσω· πτύον· πτύχει· πτύανοι, μῖγμα παντοδαπῶν ὀστρέων· πτυγαργὸς, λέγεται, δὲ καὶ δίχα τοῦ τ· [πτύανοι·] σεσημείωται τὸ πτοῖα, ὃ δηλοῖ τὸν φόβον, καὶ τὸ πτοιόμενος ὃ σημαίνει τὸν περὶ τὰ ἀφροδίσια ὡρμημένον.

ΡΚΘ. Πᾶσα λέξις ἐκ τῆς πυ συλλαβῆς ἀρχομένη διὰ τοῦ υ ψιλοῦ γράφεται· πύανοι· πυγαργός· πυγονος, πήχεως· πυδαρισμὸς, δυσχέρεια· πυδαρίζει, σκιρτᾷ· πυηρὸν ἀναπεπλασμένον· πύθεται· πυθμὴν, γένεσις, ἀρχὴ, ῥίζα· Πυθὼ πόλις Φωκίδος· πυκᾶες, ἰσχυρόν· πυκινόν· πυκνὸν ἰσχυρόν· πυκιμήδεος, συνετός· πυκάσαι, καλύψαι· πυκναῖα, πτερά· Πυκνίας τὸ ἐν Ἀθήναις δικαστήριον· Πυκνὶς τόπος ἐν ᾧ αἱ ἐκκλησίαι ἐγένοντο· πυλοσάκις· πυρετός· τὰ δὲ διὰ τῆς οι διφθόγγου τοιαῦτα· ποι τὸ ἐπίῤῥημα· ποιπνύει, διακονεῖ· ποινή· ποιῶ· ποιμήν· ποίφυγμα σχῆμα ποικίλον· ποινίδες βάκχαι· ποιμάνωρ, βασιλεύς· ποῖ γῆς εἴς τινα τόπον.

ΡΛ. Ἡ οι συλλαβὴ πρὸ τοῦ ρ ἐν ἀρχῇ λέξεως διὰ τοῦ υ ψιλοῦ γράφεται· οἷον, ὑργάλαι, ἀεὶ ἔῤῥωσο· ὕργα, πτύον· ὑρισσὸς ἀγγεῖον πλεκτὸν, εἰς ὃ σῦκα ἐμβάλλουσιν· ὑρμίνη, μάχη, πόλις· ὕρους σίμβλον· ὕῤῥαξ, μίγδην, ἀναμίξ· ὑῤῥάδιος προγονίος ἢ ἄδοξος· ὕῤῥαδα, σπυρίδιον· ὑῤῥαπλεα, ῥηγαλέα· ὑργαὶ ἐπιθέματα πρὸς κουφισμὸν τῶν φορτίων· σεσημείωται τὸ οἰρωγὸς ὁ χάραξ· οἴριος, ἀποστερητής· οἴριζον, ὅρισον· οἰριάζων, τραχυνόμενος· διὰ τῆς οι διφθόγγου.

ΡΛΑ. Πᾶσα λέξις ἀπὸ τῆς ρυ συλλαβῆς ἀρχομένη διὰ τοῦ υ ψιλοῦ γράφεται· ῥύαξ, στεφάνη, πύργος· ῥυάδες, οἱ ἀγελαῖοι καὶ παντοδαποὶ ἰχθύες· ῥύδην· ῥευστικῶς, δαψιλῶς· ῥύζειν, ἕλκειν ἐφ᾽ ὕβρει· ῥύζων, πενθῶν· ῥυηφενὲς, πλούσιον· ῥυκαν, χειρομύλη· ῥύματα, φάρμακα σωτήρια· ῥύμινα ἐλαφρὰ, πυκνά· ῥυμὸς ὁ τῆς ἁμάξης· ῥύμη, ὁρμή· Ῥύπαι· ῥύπον σπῖλον· ῥυσὸν οὖλον· ῥύσιον, σωτήριον· ῥύσον, ἕλκυσον· σεσημείωται τὸ ῥοικὸν, τὸ σημαῖνον τὸ κακόν· ῥοίβδειν, τὸ

ῥοιφῶ· ῥοίδια ὑποδήματα γυναικεῖα· ῥοιγεὺς, βαφεύς· Ῥοίτιον πόλις Τροίας· ῥοιβδῳδεῖ μετὰ ῥοιζοῦ σαλεύει, ᾄδει· ῥοῖβδος, ψόφος ποιός.

ΡΛΒ. Τὸ υ πρὸ τοῦ σ ἐν ἀρχῇ λέξεως φεύγει τὴν διὰ τῆς οι δίφθογγον γραφήν· ὑσαλιβάτης ὃ Σκύθαι ἀλίμματι χρῶνται στέατι μοσχείῳ καὶ αἰγίῳ· ὑσεκώμασε, παροιμία ἐπὶ τῶν ἀκόσμων· ὕσδει, ὄζει· ὕσκλοι ἀγκύλοι· ὑσμίνη, μάχη· ὕσπληξ, πάσσαλος· ὕσπελθος, υἱὸς ἔκπατος[a]· ὑσσὸς, ἐμβόλιον· Ὑσσέλειον ὄνομα ὄρους· ὑστριχὶς, μάστιξ· ὑστακὸς, πάσσαλος· ὕστα, ξυρίς· σεσημείωται τὸ οἶσθα· οἶσε, φέρε· οἴστη, μαλλός· οἰσυπηρόν· οἰσύδρα, ὑδροχέα· οἶσον, σχοινίον· οἰστρεῖον ὁρᾶν· οἶστρος· οἶστρα, σφόδρα· οἰσοπόνηρον, λυπηρόν· οἴσυπος, ῥύπος, διὰ τῆς οι διφθόγγου γράφεται.

ΡΛΓ. Τὸ υ πρὸ τοῦ τ κατ' ἀρχὴν λέξεως σπάνιον πάνυ· τὸ ὕτνον γὰρ εὕρομεν διὰ τοῦ υ ψιλοῦ, καὶ τὸ οἶτος, ὃ δηλοῖ τὸν ὀδυρμὸν διὰ τῆς οι διφθόγγου καὶ μόνα.

ΡΛΔ. Πᾶσα λέξις ἀπὸ τῆς τρυ συλλαβῆς ἀρχομένη διὰ τοῦ υ ψιλοῦ γράφεται· τρυφάλεια κοινῇ προσκεφαλαία· τρυφαλὶς, κοινή· τρυφερός· τρυφὲν, κλασθέν· τρύζω· τρυφῶ· τρύχεται· τρύγει, ξηραίνει· τρύγα πυθμένα· τρυγίας· τρύγη, σῖτος· τρυσὸν, ἀσθενές· τρυλίζει, ὀδύρεται· τρύφη, διεσκεδάσθη· τρύμα, πόνος· τρυτᾶν, τρίβειν· τρυτα, ἄμητος· τρυφὴ, σπατάλη, τρύσιππος ὁ γεγηρακὼς ἵππος· τρυγών· τρυγίας· τρύπη· τρυγῳδία, ἡ νῦν κωμῳδία· σεσημείωται τὸ Τροίη ἐπὶ τῆς Ἰλίου· καὶ τὸ Τροίζην πόλις Ἄργους, διὰ τῆς οι διφθόγγου γραφόμενα.

ΡΛΕ. Πᾶσα λέξις ἐκ τῆς τυ συλλαβῆς ἀρχομένη διὰ τοῦ υ ψιλοῦ γράφεται τύχη· τύπος· τύραννος· τυκάνη, ᾧ ἀλῳῶσι· τύλος· τύλη, τὸ τύλιον· τύχη· τυλὸν τὸ αἰδοῖον· τύννυτον τηλικοῦτον[b]· τυπὶς, σφύρα· τύπης πλήκτης· τύτοον, μικρόν· τύφος· Τυφῶς· τυφῶσαι, ἐμπρῆσαι· τύφεσθαι, μαίνεσθαι· τυφεδανὸς[c], καπνός· τυχος, ὄρυξ· σεσημείωται τὸ τοῖχος

[a] Leg. ἐπακτός. [b] Cod. τυλικοῦτον. [c] Cod. τυφυδανός.

ἐπὶ τῆς οἰκίας· τοιοῦτος, τὸ ἀναφορικόν· τοῖον, ἐπὶ τοῦ αὐτοῦ, καὶ εἴτι ἐξ αὐτῶν εἰς παραγωγὴν ἤχθη, ἢ εἰς σύνθεσιν, ὡς ἔχει τὸ τοιχοδιφήτωρ, ὁ τοιχορύχος· καὶ τὸ τοιόν τε τὸ δύνατον, διὰ τῆς οι διφθόγγου γραφόμενα.

ΡΛϚ. Τὸ υ πρὸ τοῦ φ ἐν ἀρχῇ λέξεως φυσικὸν οὐκ ἔστιν εὑρεῖν· εἴτι γὰρ εὑρεθήσεται, ἐκ τῆς ὑπὸ προθέσεως [καὶ] συντεθὲν εὑρεθήσεται· οἷον, ὑφείς· ὑφεῖναι· ὕφεσις· τὸ ὑφαίνω παρὰ τὸ εἷς γέγονεν αἴνω καὶ ὑφαίνω· οἱ γὰρ ὑφαίνοντες τὰ διηρημένα καὶ κεχωρισμένα εἰς ἓν ἄγειν μάλιστα σπεύδουσιν· τὸ οἰφεῖ, ὃ δηλοῖ τὸ ὀχεύει, καὶ τὸ οἰφίλης ὁ ἀκρατὴς καὶ λάγνος, ἀκόλαστος, καὶ τὸ οἴφνη, τὸ τετραχοινικὸν μέτρον, διὰ τῆς οι διφθόγγου γραφόμενα σεσημείωνται.

ΡΛΖ. Πᾶσα λέξις ἐκ τῆς φρυ συλλαβῆς ἀρχομένη διὰ τοῦ υ ψιλοῦ γράφεται· φρύγανον· φρυατὸς, πυρσός· φρυγαδίς· φρυγόων, φεύγων· φρύκτωρος· φρυνὸς, τὸ ζῶον· σεσημείωται τὸ φροίμιον, τὸ προοίμιον· διὰ τῆς οι διφθόγγου γραφόμενα.

ΡΛΗ. Πᾶσα λέξις ἐκ τῆς φυ συλλαβῆς ἀρχομένη διὰ τοῦ υ ψιλοῦ γράφεται· φύζα ἡ φυγή· φυή· φῦκος· φύκιον, πορφυροῦν· φῦλλον· φύλιψ, ἡ θρίξ· φυλεὺς, ἀλώπηξ· φυτὰ ἡ γένεσις· φυταλίη κῆπος· σεσημείωται τὸ φοῖβος ὁ καθαρὸς, καὶ τὸ φοιτῶ τὸ παραγίνομαι, καὶ εἴτι παρ' αὐτά· φοιτητής· φοιτεία ἡ μάθησις· γέγονεν δὲ τὸ φοιτῶ οὕτως· ὥσπερ παρὰ τὸ πόρος γίνεται πορῶ καὶ πορεύω παράγωγον, καὶ γὰρ τὰ εἰς ος ἰσοσυλλαβεῖ τῇ γενικῇ τοῦ ὀνόματος· ἐὰν δὲ καὶ περιττοσυλλαβᾷ τῆς γενικῆς, παράγωγον καὶ οὐ πρωτότυπον τὸ τοιοῦτον εἶδος ὑποληπτέον· οἷον, δοῦλος δούλου, δουλῶ· τοῦτο πρωτότυπον, τόδ' οὖν δουλεύω παράγωγον· τὸ γοῦν φοιτῶ ἐκ τοῦ ὁδὸς γίνεται ὁδῶ, καὶ πλεονασμῷ τοῦ ι οἰδῶ· καὶ τροπῇ τοῦ δ εἰς τ οἰτῶ, καὶ πλεονασμῷ τοῦ φ φοιτῶ· καὶ τὸ φοινιήεις ὁ ἐρυθρός· φοινὰς, ἡ ἐρυσίβη· φοίνιον τὸ φοινικὸν, τὸ αἱματῶδες· Φοινίκη· φοῖτος μανία· φοινικεληκτης ὁ ἀπατηλός· φοῖνιξ ὀργάνου[d] εἶδος· φοίνια πυρά· φοιβαρτήρια, καθαρτήρια· φοιβαῖμαν[e].

[d] Leg. ὀρνέου. [e] Leg. φοιβὰς, μαινάς.

ΡΛΘ. Τὸ υ τὸ ψιλὸν καθαρὸν ἐν ἀρχῇ λέξεως παρὰ πᾶσι τοῖς Ἕλλησι πρὸ τοῦ χ εἶναι ἀπείρηται, καὶ τὸ αἴτιον ἐχυρόν· πᾶν γὰρ φωνῆεν πρὸ τοῦ χ ψιλοῦται· καὶ τὸ υ ἀρχῇ λέξεως δασύνεται, δύο οὖν κανόνων ἀλλήλοις ἀνθισταμένοις [f], ἐξέφυγεν τὸ υ πρὸ τοῦ χ καθαρὸν εὑρίσκεσθαι· καθαρὸν δὲ εἶπον ἐπεὶ τὸ ὗρχας οὐ καθαρὸν ἔχον τὸ υ πρὸ τοῦ χ εὕρηται· οὕτως Ἡρωδιανὸς ἐν τῇ τάξει τῶν κδ στοιχείων.

ΡΜ. Ἀπὸ τῆς χρυ συλλαβῆς τὸ χρυσὸς μόνον διὰ τοῦ υ γράφειν τῇ παλαιότητι διέγνωσται· καὶ εἴτι παρ' αὐτὸ ἢ παρῆκται, ἢ καὶ εἰς σύνθεσιν προελήλυθεν, ὡς ἔχει τὸ χρυσίον· Χρύσης· χρυσήλατος· καὶ εἴτι ὅμοιον· τὸ χροιὰ μόνον εὕρηται διὰ τῆς οι διφθόγγου· εἰς βοήθειαν τῆς οι τὸ χρόα παρατιθεμεν.

ΡΜΑ. Πᾶσα λέξις ἐκ τῆς χυ συλλαβῆς ἀρχομένη διὰ τοῦ υ ψιλοῦ γράφεται· χύδην· χυμός· χυτὶς, βαθεῖα χωστορυγίς· χυτην· χυλός· χυτλίζειν βρέφη ἐν χύτρα ἐκτίθεσθαι· σεσημείωται τὸ χοῖρος διὰ τῆς οι διφθόγγου.

ΡΜΒ. Πᾶσα λέξις ἐκ τῆς ψυ συλλαβῆς ἀρχομένη διὰ τοῦ υ ψιλοῦ γράφεται· οἷον, ψύαι· ψυάνη, ἀρεὰ ὀλίγη· ψύδα, δυσῳδία· ψύθιος ψίθυρος· ψύθυρος· ψῦθος· ψεῦδος· ψυρὶς, γῆ λυπρὰ, χέρσος· ψυχρότητα, μειρακειωδίαν· ψύχω· ψυκτήρ· πoριον [g]· τὸ ψοῖθος ἐπὶ τῆς σποδοῦ, καὶ ψοίθης, ὁ ἀλαζὼν, σεσημείωται διὰ τῆς οι διφθόγγου.

ΡΜΓ. Τὰ εἰς αν λήγοντα, ἢ καθαρεύειν ἐθέλει, ὡς τὸ Παιάν· Ἰάν· ἢ ἓν ἔχειν σύμφωνον πρὸ τοῦ α, ὡς τὸ Λυκάν· Ἀκάν· ἢ δύο, καὶ ταῦτα, ἢ κατὰ σύλληψιν, ὡς τὸ ἰδμάν· μεγιστάν· ἢ κατὰ διάστασιν, ὡς τὸ πορμάν· Πελλάν· οὐδεπότε δὲ τρία· σεσημείωται τὸ Ἀλκμὰν ἔχον τρία σύμφωνα, καὶ κατὰ σύλληψιν καὶ κατὰ διάστασιν· καὶ δηλονότι πλεονασμὸς ἐγένετο συμφώνου ἐν τῷ ὀνόματι· εἰ γὰρ παρὰ τὴν ἀκμὴν ἐγένετο πεπλεόνακεν τὸ λ· εἰ δὲ παρὰ τὴν ἀλκὴν, πεπλεόνακεν τὸ μ· εἰ δὲ παρὰ τὸ ἄλκιμος, ἐν συγκοπῇ γέγονεν· τὸ γὰρ κύριον

[f] Sic. [g] Sic.

εἶναι τὸ ὄνομα οὐκ εὐθύνεται ὑπὸ τοῦ σημαινομένου· οὕτως Ἡρωδιανὸς ἐν τῇ καθολικῇ.

ΡΜΔ. Εἰς ην, ἢ εἰς ιν, ἢ εἰς ης, ἢ εἰς ις ἐν οὐδετέρῳ γένει ἐπὶ ἑνικῆς εὐθείας ἢ πληθυντικῆς οὐκ ἔστιν εὑρεῖν· λείπεται δὴ τὰ ὄντα ἢ ἀρσενικὰ ἢ θηλυκὰ γένη εἶναι· ἀρκτέον οὖν αὐτόθεν.

ΡΜΕ. Τὰ εἰς ην λήγοντα, εἴτε βαρύτονα, εἴτε ὀξύτονα, μὴ ὄντα δικατάληκτα διὰ τοῦ η γράφεται· καὶ πρὸ τοῦ ην διὰ συμφώνου ἢ συμφώνων ἐκφέρεται· οἷον, λιμήν· σειρήν· τιβήν· πυθμήν· ἀτμήν· σεσημείωται τὸ δοθιὴν διὰ καθαροῦ τοῦ ην ἐκφερόμενον· καὶ τὸ Ἔγκτην ὃ ἔχει τὴν πρὸ τέλους διὰ τριῶν συμφωνων· Ἔγκτηνες δὲ ἐλέγοντο μετὰ τοὺς Ὕαντας τὴν Βοιωτίαν οἰκήσαντες.

ΡΜϚ. Τὰ εἰς ιν δικατάληκτα διὰ τοῦ ι γράφεται· δελφίν· ῥίν· Ἐλευσίν· θίν.

ΡΜΖ. Τὰ εἰς υν ἐπ' εὐθείας ἑνικῆς οὐκ οἶδε τὴν οι δίφθογγον· Φόρκυν· Πόλτυν· Κόλυν· Κάπυν· Γόρτυν ὄνομα ἥρωος.

ΡΜΗ. Εἰς ων μέγα οὐδέτερον ὄνομα οὐκ ἔστιν εὑρεῖν· εἶπον δὲ ὄνομα διὰ τὰς μετοχάς.

ΡΜΘ. Τὰ εἰς ων πατρωνυμικὰ τὴν παραλήγουσαν τὴν αὐτὴν ἔχει τοῖς εἰς δης πατρωνυμικοῖς, καὶ φυλάττει τὸ ω κατὰ τὴν γενικήν· οἷον, Πριαμὶς, Πριαμίων, Πριαμίωνος· Κρονίδης, Κρονίων, Κρονίωνος· Ἀτρείδης, Ἀτρείων, Ἀτρείωνος· πῶς δὲ τὰ εἰς δης πατρωνυμικὰ γράφονται ὕστερον ἐροῦμεν.

ΡΝ. Τὰ διὰ τοῦ ιων ὑποκοριστικὰ διὰ τοῦ ι γράφεται κατὰ τὴν παραλήγουσαν, καὶ φυλάττει τὸ ω κατὰ τὴν γενικήν· Ἡφαιστίων Ἡφαιστίωνος· Ξενίων Ξενίωνος· Μοσχίων Μοσχίωνος· Ἠμαθίων Ἠμαθίωνος· Μελανίων Μελανίωνος· Πορφυρίων Πορφυρίωνος· Τυραννίων Τυραννίωνος· εἰ δέ τι τούτων εἰς κυριότητα μετάγοιτο τὴν αὐτὴν φυλάττει γραφήν.

ΡΝΑ. Τὰ ἐπὶ μηνῶν τῶν Ἀθηναίων εἰς ων λήγοντα τῷ ι παραλήγεται, καὶ φυλάττει τὸ ω κατὰ τὴν γενικήν· Ἀνθεστεριὼν, Ἀνθεστεριῶνος· Βοϊδρομιὼν Βοϊδρομιῶνος· Πυανεψιὼν Πυανεψιῶνος· Γαμηλιὼν Γαμηλιῶνος· ἐπιστατέον οὖν τὸ

ἱππαλεκτρυὼν καὶ Ποσειδεών, ὃ μὲν διὰ τοῦ υ, ὃ δὲ διὰ τοῦ ε γράφοντα τὴν παραλήγουσαν, καὶ φυλάττοντα τὸ ω κατὰ τὴν γενικήν.

ΡΝΒ. Τὰ εἰς ων συγκριτικὰ εἰ μὲν εἴη δισύλλαβα διφθόγγῳ παραλήγονται, εἰ οὐ εἴη ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ι γραφόμενα, πάντα διὰ τοῦ ο μικροῦ κλίνεται· πλείων πλείονος· μείων μείονος· λῴονος· ῥᾴονος· βελτίονος· ἡδίων ἡδίονος· κακίων κακίονος· ἐπιστατέον οὖν τὸ μείζων μείζονος· ὀλίζων ὀλίζονος· χείρων χείρονος· καὶ τὸ χερείων χερείονος· ἀρείων ἀρείονος· ἀμείνων ἀμείνονος, συγκριτικῆς ὕλης ὄντα, καὶ πλὴν τοῦ ὀλίζονος, τοῦτο γὰρ διὰ τοῦ ι γράφεται· τὰ δὲ λοιπὰ διὰ τῆς ει διφθόγγου· ὅμως δὲ καὶ αὐτὰ τρέπει τὸ ω ἐπὶ τῆς γενικῆς· παράλογα δὲ καθὸ τὰ μὲν εἰς ζων, τὰ δὲ εἰς ρων, τὰ δὲ εἰς ων λήγει· τὰ γὰρ εἰς ων συγκριτικὰ ἢ καθαριεύει, ὡς τὸ βελτίων· καλλίων· ἢ εἰς σων λήγει· ὡς τὸ κρείσσων· ἥσσων· θάσσων.

ΡΝΓ. Τὰ εἰς ων παράγωγα ὑπὲρ δύο συλλαβὰς ἐκ πρωτοτύπου φωνῆς ἔχοντα τὴν ει δίφθογγον, ταύτην φυλάττει καὶ ἐπὶ τοῦ παραγώγου· καὶ φυλάττει τὸ ω καὶ ἐν τῇ γενικῇ· Καδμεῖος Καδμείων Καδμείωνος· Ἀργεῖος Ἀργείων Ἀργείωνος· Βακχεῖος Βακχείων Βακχείωνος.

ΡΝΔ. Τὰ εἰς ων ὀξύτονα ὑπὲρ δύο συλλαβὰς μὴ εἰωθότα καὶ διὰ τοῦ α ἐκφέρεσθαι, ὡς ἔχει τὸ ὀπαών, διὰ τοῦ ε ψιλοῦ γράφεται κατὰ τὴν παραλήγουσαν, καὶ φυλάττει τὸ ω κατὰ τὴν γενικήν· ἀνδρεὼν ἀνδρεῶνος· ἀνθερεὼν ἀνθερεῶνος· κενεὼν κενεῶνος· κυκεὼν κυκεῶνος· καυκεὼν καυκεῶνος· λεγεὼν λεγεῶνος· λυμεὼν λυμεῶνος· πυλεὼν πυλεῶνος· ξενεὼν ξενεῶνος· ἀπατεὼν ἀπατεῶνος· λουτρεὼν λουτρεῶνος· περιστερεὼν περιστερεῶνος· παρθενεὼν παρθενεῶνος· λαυρεὼν λαυρεῶνος· τὸ ἐλαιὼν ἐλαιῶνος σεσημείωται διὰ τῆς αι διφθόγγου γραφόμενον κατὰ τὴν παραλήγουσαν, καὶ φυλάττοντα τὸ ω κατὰ τὴν γενικήν.

ΡΝΕ. Τὰ διὰ τοῦ αιων βαρύτονα κύρια ὑπὲρ δύο συλλαβὰς διὰ τῆς αι διφθόγγου γράφεται, καὶ φυλάττει τὸ ω ἐπὶ τῆς

γενικῆς· οἷον· Εὐφραίων Εὐφραίωνος· Αἰγαίων Αἰγαίωνος· ὀνόματα κύρια· Ἀκταίων Ἀκταίωνος· Ἀλκμαίων Ἀλκμαίωνος· Εὐγαίων Εὐγαίωνος· Καδμαίων Καδμαίωνος· Ἀθηναίων Ἀθηναίωνος· ὀνόματα κύρια· δυσαίων δυσαίωνος· ἰσαίων ἰσαίωνος, καὶ εἴτι ὅμοιον.

ΡΝϚ. Τὰ εἰς ων λήγοντα καθαρὸν ὑπὲρ δύο συλλαβὰς μὴ ἔχοντα ἀπὸ πρωτοτύπου φωνῆς τὴν ει δίφθογγον, τὸ η παραλήγοντα, σχεδὸν ταῦτα ἐστίν· προπρήων· ξυνήων· παιήων· καὶ πάντα βαρύνεται, καὶ φυλάττει τὸ ω κατὰ τὴν γενικήν.

ΡΝΖ. Τὰ διὰ τοῦ ιων ὑπὲρ δύο συλλαβὰς, μὴ ἔχοντα πρωτοτύπου φωνῆς τὴν ει δίφθογγον, ὡς ἔχει τὸ Καδμεῖος Καδμείων, καὶ Ἀργεῖος Ἀργείων, διὰ τοῦ ι γράφεται· οἷον, Ἀμφίων· Ὑπερίων· Ἀμφικτίων· περικτίων· ἰνδικτίων.

ΡΝΗ. Τὰ διὰ τοῦ υων, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ υ ψιλοῦ γράφει τὴν παραλήγουσαν· οἷον, κύων τὸ ζῶον· μύων· δύων· ἀλεκτρύων· Ἀμφικτύων· Ἠλεκτρύων· μηνύων· ἰχθύων· ἀρτύων· Κελενδρύων· Κρεμμύων· Κολουτρύων.

ΡΝΘ. Τὰ εἰς ων περιεκτικὰ, φυλάττει τὸ ω καὶ ἐπὶ γενικῆς· δαφνών· παρθενών· ἀνδρών· λειμών· χειμών· ἀγών· αἰών· σεσημείωται τὸ κανὼν κανόνος.

ΡΞ. Τὰ εἰς ων παρώνυμα, μὴ κοινωνοῦντα θηλυκῷ γένει κατὰ τὴν φωνὴν διὰ τοῦ ω κλίνεται· οἷον Φίλωνος· Ἀγάθωνος· Μελίτωνος· Νίκωνος· πρόσκειται μὴ κοινωνοῦντα θηλυκῷ γένει κατὰ τὴν φωνὴν διὰ τὸ ἀπείρων· τοῦτο γὰρ λέγεται καὶ ἡ ἄπειρος παρώνυμον ὂν ἐκ τῆς ἄπειρος, καὶ τρέπει τὸ ω ἐπὶ τῆς γενικῆς· τοιοῦτον δὲ καὶ τὸ ἀσχήμων· εὐσχήμων· λευχήμων· μελανείμων· χαιρείμων, καὶ εἴτι ἕτερον.

ΡΞΑ. Τὰ εἰς ων περισπώμενα, κἄντε διὰ τοῦ ντ κλίνοιτο, κἂν τε μὴ, φυλάττει τὸ ω κατὰ τὴν γενικήν· Χαρναβῶν Χαρναβῶντος[h]· Σολομῶν Σολομῶντος· Τυφῶν Τυφῶνος.

ΡΞΒ. Τὰ εἰς ων ἀρσενικῷ καὶ θηλυκῷ γένει κοινωνοῦντα ἁπλᾶ ὄντα, καὶ μὴ συγκείμενα ἀπὸ ἁπλῶν τῶν φυλαττόντων τὸ ω

[h] Vid. Herodian. π. μον. λεξ. p. 9, 29.

ἐπὶ τῆς γενικῆς διὰ τοῦ ο κλίνεται· ἐλεήμων ἐλεήμονος· οἰκτίρμων οἰκτίρμονος· πρόσκειται μὴ ἀπὸ ἁπλῶν τῶν φυλαττόντων τὸ ω συγκείμενα διὰ τὸ χιτὼν χιτῶνος, καὶ τὸ ἐξ αὐτοῦ συγκείμενον ὁμοίως· λειμὼν λειμῶνος· ὁ βαθυλείμων δὲ τοῦ βαθυλείμωνος κοινὸν ὂν τῷ γένει, οὐ τρέπει τὸ ω ἐπὶ τῆς γενικῆς, ἐπεὶ μηδὲ τὸ ἁπλοῦν ἔτρεπεν.

ΡΞΓ. Τὰ εἰς ων βαρύτονα διὰ τοῦ ντ κλινόμενα τρέπει τὸ ω ἐπὶ τῆς γενικῆς· δράκων δράκοντος· θεράπων θεράποντος· γέρων γέροντος.

ΡΞΔ. Τὰ εἰς ων καθαρὰ δισύλλαβα ἀρσενικὰ βαρύτονα βραχείᾳ παραληγόμενα φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς· Κάων Κάωνος· Φάων Φάωνος· τὸ Κρέων Κρέοντος, καὶ λέων λέοντος ὡς μετοχικὰ οὐκ ἀντίκειται· κοινωνεῖ δὲ μετοχικὸν μετοχῇ τόνῳ καὶ κλίσει.

ΡΞΕ. Τὰ εἰς ων βαρύτονα ἐθνικὰ διὰ τοῦ ω κλίνεται· οἷον Μίτων Μίτωνος· Λάκων Λάκωνος· Ἀργείων Ἀργείωνος· τὸ Κίκων κύριον μὲν ὂν φυλάττει τὸ ω, ἐθνικὸν δὲ γενόμενον διὰ τοῦ ο γράφεται· Μέμνων καὶ ἐπὶ κυρίου τρέπει τὸ ω ἐπὶ τῆς γενικῆς.

ΡΞϚ. Τὰ εἰς ων ὀνόματα ἔχοντα πρὸ τοῦ ων δύο σύμφωνα κατὰ συμπλοκήν, μὴ ὄντα παρώνυμα, διὰ τοῦ ο κλίνεται· οἷον, τέκτων τέκτονος· τὸ Ἄβρων Ἄβρωνος παρώνυμον φυλάττει τὸ ω.

ΡΞΖ. Τὰ εἰς ων ὀξύτονα ἐθνικὰ διὰ τοῦ ο κλίνεται· οἷον Μυρμιδόνος· Μακεδόνος· πρόσκειται ὀξύτονα διὰ τὰ βαρύτονα διὰ τὸ Μίκων καὶ Λάκων περὶ ὧν εἴρηται.

ΡΞΗ. Τὰ σύνθετα τῶν εἰς ων τὴν τῶν ἁπλῶν φυλάττουσιν κλίσιν· οἷον, Ἐνοσίχθων Ἐνοσίχθονος· εὐδαίμων εὐδαίμονος.

ΡΞΘ. Τὰ εἰς βων λήγοντα καθαρόν, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβάς, εἴτε βαρύτονα, εἴτε ὀξύτονα, διὰ τοῦ ω κλίνεται· οἷον, Σκρίβων Σκρίβωνος· Στράβων Στράβωνος· Κίκων Κίκωνος· στίβων στίβωνος· Ἀλαβὼν Ἀλαβῶνος· ἀῤῥαβὼν ἀῤῥαβῶνος· σεσημείωται τὸ Χαρναβῶν περισπώμενον, διὰ τοῦ ντ κλινόμενον καὶ φυλάττον τὸ ω.

ΡΟ. Τὰ εἰς βων δισύλλαβα καθαρὰ τὴν παραλήγουσαν γράφει διὰ τοῦ ι, ἢ τοῦ υ, ἢ τοῦ ο· οἷον, Σκρίβων· τρίβων· τὸ τερεβὼν καὶ ὀξύνεται, καὶ διὰ τοῦ ε γράφεται.

ΡΟΑ. Καθόλου τὰ εἰς βων εἰ καὶ μὴ ὑπάρχει καθαρὰ, φυλάττει τὸ ω ἐπὶ γενικῆς· οἷον, κάρβωνος· ἄμβωνος.

ΡΟΒ. Τὰ εἰς γων δισύλλαβα βαρύτονα διὰ τοῦ ω κλίνεται· λύγων λύγωνος· πώγων πώγωνος· Φλέγων Φλέγωνος, καὶ ὡς μετοχικὸν Φλέγοντος.

ΡΟΓ. Τὰ εἰς γων δισύλλαβα ὀξύτονα μὴ ὄντα περιεκτικὰ, διὰ τοῦ ο κλίνεται· οἷον, λάγων λάγονος· στάγων στάγονος· τὸ ἀγὼν ὡς περιεκτικὸν φυλάττει τὸ ω.

ΡΟΔ. Τὰ εἰς γων ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ βαρύτονα, μὴ ὄντα μετοχικὰ, διὰ τοῦ ντ κλίνεται, καὶ τρέπει τὸ ω, καὶ διὰ τοῦ ω μεγάλου γράφεται τὴν παραλήγουσαν· οἷον, Σταλάγωνες ὄνομα ποταμοῦ· ἀρίγων ἀρίγωνος, εἶδος δόρατος· Ἐρίγων Ἐρίγωνος, ὄνομα κύριον· τὸ Οὐκαλέγοντος Ἁρπάγοντος μετοχικά· τὸ προάγωνος σύνθετον ὂν τοῦ ἁπλοῦ τὴν κλίσιν ἐφύλαξεν· τὸ καταπύγων καταπύγονος, καὶ ἐγκύμων ἐγκύμονος, καὶ ἀσχήμων ἀσχήμονος, καὶ εἴτι τούτοις ὅμοιον τρέποντα τὸ ω οὐκ ἀντίκεινται, παρασύνθετα γὰρ καὶ κοινὰ τῷ γένει· κατάπυγος γὰρ καὶ καταπύγων· καὶ αὖθις ὁ καταπύγων καὶ ἡ καταπύγων· κῦμα ἔγκυμος, ὁ ἐγκύμων ἡ ἐγκύμων.

ΡΟΕ. Τὰ εἰς δων λήγοντα δισύλλαβα ἀρσενικὰ, μὴ κλίνομενα διὰ τοῦ ντ, διὰ τοῦ ω κλίνονται· οἷον κώδωνος, τὸ ὄργανον καὶ τὴν ἄρχουσαν διὰ τοῦ ω· Κόδων Κόδωνος ὄνομα κύριον· τούτου ἡ ἀρχούση βραχεῖα πρὸς ἀντιδιαστολὴν τοῦ ἑτέρου· Κύνδων Κύνδωνος, ὄνομα ποταμοῦ· Φίδων Φίδωνος· Φαίδων Φαίδωνος· ψίδων ψίδωνος· πόδων πόδωνος· Μέδων Μέδωνος, ὅτε δὲ Μέδοντος διὰ τοῦ ο· σπάδων σπάδωνος· ὅτε δὲ σπάδοντος διὰ τοῦ ο· τοιοῦτον δὲ καὶ τὸ Λάδωνος καὶ Λάδοντος, καὶ εἴτι ὅμοιον.

ΡΟϚ. Τὰ εἰς δων ὀξύτονα διασύλλαβα, μὴ ἐπὶ πόλεων λαμβανόμενα διὰ τοῦ ο κλίνεται σπληδὼν σπλήδονος· φλεγδὼν

φλεγδόνος· κληδὼν κληδόνος· σινδὼν σινδόνος· πρόσκειται μὴ ἐπὶ πόλεων λαμβανομένα, διὰ τὸ Σιδὼν Σιδῶνος, καθαρὸν γάρ.

ΡΟΖ. Τὰ εἰς ων θηλυκὰ ἐπὶ πόλεων διὰ τοῦ ω κλίνεται, εἴτε ὀξύνηται, εἴτε βαρύνοιτο· οἷον, Βαβυλὼν Βαβυλῶνος· Ἀσκάλων Ἀσκαλῶνος· σεσημείωται τὸ Ἀνθηδόνος· Ὀλοσσόνος· Ἀπληδόνος· τερηδόνος· Ἰσσηδόνος· Ἀπληδόνος· Καρχηδόνος ἐπὶ τῆς Λιβύης· Καλχηδόνος τῆς ἐν τῷ Βυζαντίῳ, ἡ καὶ Χαλκηδὼν λέγεται· Ἑρμιὼν Ἑρμιόνος· Ἠιόνος, ὅτι ἐπὶ πόλεων ὄντα τρέπουσι τὸ ω ἐπὶ τῆς γενικῆς.

ΡΟΗ. Τὰ διὰ τοῦ εδων ἀρσενικά τε καὶ θηλυκὰ ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ε γράφει τὴν πρὸ τέλους· οἷον, Μακεδών· σηπεδών· τηκεδών· ληθεδών· ἀκηχεδών· ἀλθεδών· τυφεδών· καὶ πάντα ὀξύνεται τρέποντα τὸ ω ἐπὶ τῆς γενικῆς.

ΡΟΘ. Τὰ διὰ τοῦ ηδων ἀρσενικὰ καὶ ὀξύνεται, καὶ τρέπει τὸ ω ἐπὶ τῆς γενικῆς, καὶ διὰ τοῦ η γράφει τὴν παραλήγουσαν· οἷον, Σαρπηδόνος· ἀκηδόνος· ἀλγηδόνος· ἀχθηδόνος· ἀηδόνος, τοῦτο καὶ σὺν τῷ ι· ἐκ γὰρ τοῦ ἀείδω ἀειδὼν, καὶ τροπῇ τῆς ει Αἰολικῶς εἰς η ἀηδὼν, καὶ φυλάττει τῆς ει τὸ ι· Ἀνθηδόνος· Ἀσπληδόνος· Καρχηδόνος· Καλχηδόνος· Φαρκηδόνος· Τενθρηδόνος· σεσημείωται ἐν μὲν ἀρσενικοῖς τὸ Μυρμιδόνος· ἐν δὲ τοῖς θηλυκοῖς τὸ χελιδὼν, ὃ καὶ ἀρσενικῶς λέγεται ἐπὶ κυρίου ὀνόματος· ἀπιδὼν ὅτι διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν.

ΡΠ. Τὰ διὰ τοῦ υδων [i] τῷ υ ψιλῷ παραλήγει, καὶ φυλάττει τὸ ω· Ἀμυδὼν Ἀμυδῶνος· Καλυδὼν Καλυδῶνος.

ΡΠΑ. Τὰ εἰς δων ὑπὲρ δύο συλλαβὰς, μὴ ὄντα παρώνυμα, μήτε σύνθετα παρὰ τὴν ὀδόντος γενικὴν διὰ τοῦ ντ κλίνεται· ὁ δὲ λόγος ἐπὶ βαρυτόνων ἃ καὶ τρέπει τὸ ω κατὰ τὴν γενικήν· οἷον, κελαδόντος· τὸ γὰρ Κελαδῶνος παρώνυμον ἀπὸ τοῦ κέλαδος· Ἀκήδων Ἀκήδοντος ὄνομα ποταμοῦ· Λαομέδων Λαομέδοντος· Σαρπήδων Σαρπηδόντος· ἡ γὰρ Σαρπηδόνος γενικὴ ἀπὸ εὐθείας ὀξυνομένης· πρόσκειται μὴ ὄντα παρώ-

[i] Cod. υδω.

νυμα διὰ τὸ κόρυδος Κορυδὼν Κορυδῶνος· κινιάδος Κινάδων Κινάδωνος· κελάδος Κελάδων Κελάδωνος· πρόσκειται μὴ ὄντα σύνθετα παρὰ τὸ ὀδοὺς, ὅτι ταῦτα διὰ τοῦ ντ κλινόμενα, καὶ τρέπει τὸ ω· Θερμόδων Θερμόδοντος· χαυλιόδων χαυλιόδοντος· εἴωθε δὲ πολλάκις τὰ τοιαῦτα διὰ μετρικὴν χρεῖαν καὶ δίχα τοῦ ντ καὶ διὰ τοῦ ω μεγάλου γράφεσθαι· ὡς ἔχει τὸ ἀμφόδοντος καὶ ἀμφόδωνος.

ΡΠΒ. Τὰ εἰς ων δισύλλαβα βαρύτονα ἔχοντα πρὸ τοῦ ω ἕν τι τῶν διπλῶν ἢ τὸ σ, μὴ ὄντα παρώνυμα, κύρια μὲν ὄντα, φυλάττει τὸ ω· προσηγορικὰ δὲ τρέπουσιν αὐτό· καὶ ἐπὶ μὲν κυρίων· Ῥίζων Ῥίζωνος· Ὄζων Ὄζωνος ὄνομα ποταμοῦ· Ἄζων Ἄζωνος ὄνομα κύριον· Γράσων Γράσωνος· Παύσων Παύσωνος· Θράσων Θράσωνος· ταῦτα ὡς κύρια διὰ τοῦ ω μεγάλου κλίνεται· τὸ Αἴσων κύριον ὂν διχῶς κλίνεται· ἐπὶ δὲ προσηγορικῶν· οἷον, μείζων μείζονος· μάσσων μάσσωνος· δηλοῖ[k] δὲ τὸν μείζονα· εἰ δὲ καὶ κύριον εἴη, δηλοῖ γὰρ ποταμοῦ ὄνομα, τὴν αὐτὴν φυλάττει γραφήν· ἄξων ἄξονος· τὸ καύσων καύσωνος ὡς παρώνυμον διὰ τοῦ ω μεγάλου γραφόμενον οὐκ ἀντίκειται· ἐφυλάξατο γὰρ αὐτὸ ὁ κανών.

ΡΠΓ. Τὰ εἰς ων ὑπὲρ δύο συλλαβὰς βαρύτονα ἔχοντα πρὸ τοῦ ω ἕν τι τῶν διπλῶν, ἢ τὸ σ, μὴ ὄντα μετοχικὰ μή τε συγκριτικὰ, διὰ τοῦ ω μεγάλου γράφεται· οἷον, Ἀλίζων Ἀλίζωνος· Τελέσσων Τελέσσωνος· σεσημείωται τὸ Ἰάσων Ἰάσονος διὰ τοῦ ο μικροῦ κλιθέν· τὸ Ὑψίζων Ὑψίζοντος, δηλοῖ δὲ ὄνομα ποταμοῦ, ὡς μετοχικὸν διὰ τοῦ ντ κλίνεται· τὸ ὀλίζων ὀλίζονος ὡς συγκριτικὸν διὰ τοῦ ὁ κλίνεται.

ΡΠΔ. Τὰ εἰς ων δισύλλαβα ἔχοντα πρὸ τοῦ ω ἓν τῶν δασέων, βαρύτονα ὄντα διὰ τοῦ ω κλίνεται· οἷον, ῥώθων ῥώθωνος· πίθων πίθωνος· μόθων μόθωνος· σίφων σίφωνος· σόφων σόφωνος· Τρύφων Τρύφωνος· Βρύχων Βρύχωνος ὄνομα ποταμοῦ· γλήχων γλήχωνος· Τύχων Τύχωνος ὁ Ἑρμῆς.

ΡΠΕ. Τὰ εἰς ων ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ ω ἓν τῶν δασέων μὴ ὄντα μετοχικὰ διὰ τοῦ ω μεγαλοῦ κλίνεται,

[k] Cod. δειλοῖ.

σπάνια δὲ τὰ παραδείγματα· Ἀγάθων Ἀγάθωνος· Μαραθὼν Μαραθῶνος· Ἀργανθὼν Ἀργανθῶνος ὄνομα ὄρους· Κολοφὼν Κολοφῶνος· τὸ Φαέθων Φαέθοντος, καὶ Πυριφλεγέθων Πυριφλεγέθοντος, ὡς μετοχικὰ οὐκ ἀντίκειται· ἐφυλάξατο γὰρ αὐτὰ ὁ κανών.

ΡΠϚ. Τὰ εἰς ων δισύλλαβα βαρύτονα ἔχοντα πρὸ τοῦ ω ἓν τῶν ψιλῶν διὰ τοῦ ω μεγάλου γράφεται· μὴ ὄντα μετοχικὰ δηλονότι, μή τε ἔχοντα θηλυκὰ διὰ τοῦ αινα· οἷον, Λάκων Λάκωνος· Δόρκων Δόρκωνος· Χάλκων Χάλκωνος· φάλκων φάλκωνος· γλαύκων γλαύκωνος· μήκων μήκωνος· σκήπων σκήπωνος· Λάμπων Λάμπωνος ὄνομα κύριον· σώπων σώπωνος· δράπων δράπωνος ὁ δραπέτης· Δούπων Δούπωνος ὄνομα κύριον· Κρότων Κρότωνος· Πλούτων Πλούτωνος· μίτων μίτωνος· τὸ δράκων δράκοντος καὶ θεράπων θεράποντος, ὡς ἔχοντα θηλυκὸν διὰ τοῦ αινα οὐκ ἀντίκειται· ἐφυλάξατο γὰρ αὐτὰ ὁ κανών· τὸ λάμποντος· τρέποντος, μετοχικά· δεῖ προσθῆναι χωρὶς τῶν ἐχόντων τὸ γένος κοινὸν, ὁποῖον ἐστὶ τὸ γείτων γείτονος.

ΡΠΖ. Τὰ εἰς ων ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ ω ἓν τῶν ψιλῶν διὰ τοῦ ω μεγάλου κλίνονται· οἷον, Χαρίτων Χαρίτωνος· Μελίτων Μελίτωνος· Ἑκάτων Ἑκάτωνος· τὸ τριάκων τριάκοντος ὡς μετοχικὰ διὰ τοῦ ντ κλίνεται, καὶ τὸ θεράπων ὡς ἔχον θηλυκὸν διὰ τοῦ αινα.

ΡΠΗ. Τὰ διὰ τοῦ εμων ὑπὲρ δύο συλλαβὰς ὀξύτονα διὰ τοῦ ε γράφεται, καὶ τρέπει τὸ ω, ἡγεμὼν ἡγεμόνος· κηδεμὼν κηδεμόνος· πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ δαίμων δισύλλαβον βαρύτονον διὰ τῆς αι διφθόγγου γραφόμενον καὶ βαρυνόμενον· ὅμως δὲ ὅτι καὶ αὐτὸ τρέπει τὸ ω ἐπὶ γενικῆς, ὁμοίως καὶ ὁ γείτων καὶ ἡ γείτων.

ΡΠΘ. Τὰ εἰς μων δισύλλαβα βαρύτονα ἔχοντα πρὸ τοῦ μ ἀμετάβολον μὴ ὄντα κύρια, διὰ τοῦ ο μικροῦ κλίνεται· τέρμων τέρμονος· σίρμων σίρμονος· σάλμων σάλμονος· Ἄμμων δὲ Ἄμμωνος διὰ τοῦ ω μεγάλου, κύριον γάρ.

ΡϘ. Τὰ διὰ τοῦ ημων δισύλλαβα ἐκ πρώτης ἢ δευτέρας

συζυγίας τῶν περισπωμένων ῥημάτων παρηγμένα, διὰ τοῦ η γράφει τὴν παραλήγουσαν, καὶ τρέπει τὸ ω ἐπὶ τῆς γενικῆς· μνήμων μνήμονος· κτήμων κτήμονος· στήμων στήμονος· γνώμων γνώμονος· τὸ Τίμων Τίμωνος· Σίμων Σίμωνος οὐ ῥηματικὰ ἀλλὰ παρώνυμα, διὸ καὶ διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν, καὶ φυλάττει τὸ ω.

ΡϞΑ. Τὰ εἰς μων ἔχοντα πρὸ τοῦ μ σύμφωνον κατὰ σύλληψιν, τρέπει τὸ ω· Λάκμων Λάκμονος, ἡ κορυφὴ τοῦ ὄρους· κάρθμων κάρθμονος· κέρχμων κέρχμονος· φράδμων φράδμονος· ἴδμων ἴδμονος· τάτε κύρια αὐτῶν καὶ τὰ προσηγορικά· ἄκμων ἄκμονος ἐπί τε κυρίου καὶ προσηγορικοῦ.

ΡϞΒ. Τὰ εἰς μων δισύλλαβα τὸ ε παραληγόμενα οὐκ ἔστιν πολλά· βαρύτονα μὲν γάρ, τὸ Θέμων ὄνομα κύριον, καὶ τὸ Βρέμων κύριον· καὶ τὸ κρεμὼν ὀξύτονον καὶ διὰ τοῦ ο μικροῦ γράφεται· καὶ τρισυλλάβως λέγεται καὶ ὀξυτόνως, ἀκρεμόνος διὰ τοῦ ο μικροῦ· τὰ γὰρ κύρια διὰ τοῦ ω μεγάλου.

ΡϞΓ. Τὰ διὰ τοῦ υμων, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ υ ψιλοῦ γράφει τὴν παραλήγουσαν, καὶ τρέπει τὸ ω εἰς ο ἐπὶ τῆς γενικῆς· οἷον, Στρυμὼν Στρυμόνος· δαιτυμὼν δαιτυμόνος· δεῖ προσθεῖναι μὴ ὄντα περιεκτικὰ, ἐπεὶ τὸ δρυμὼν περιεκτικὸν ὂν τὸ μὲν ι ψιλὸν γράφει τὴν παραλήγουσαν, καὶ φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς· δρυμῶνος γάρ.

ΡϞΔ. Τὰ διὰ τοῦ εμων ὑπὲρ δύο συλλαβὰς βαρύτονα διὰ τοῦ ε ψιλοῦ γράφει τὴν παραλήγουσαν, καὶ φυλάττει τὸ ω· οἷον, Ἀρτέμων Ἀρτέμωνος· Πολέμων Πολέμωνος· τὸ κηδεμὼν καὶ ἀκρεμὼν ὀξυνόμενα ἐναλλάξαντα[l] τὰ περὶ τόνων, παρήλλαξε καὶ κατὰ τὴν γραφήν· τρέπει γὰρ τὸ ω εἰς ο.

ΡϞΕ. Τὰ εἰς λων δισύλλαβα φυλάττει τὸ ω, καὶ παραλήγεται ἢ τὸ ι, ὡς τὸ Δρίλων· Φίλων· Μίλων· τιλών· βριλὼν, ὁ βαλανεύς· Χίλων· ἢ τὸ ο, ὡς τὸ Σόλων[m]· Δόλων· ἢ τὸ η, ὡς τὸ χήλων· Μήλων ὁ Ἡρακλῆς· ἢ τὸ α, ὡς τὸ σκαλων· ἢ τὸ ε, ὡς τὸ Γέλων· μέλων· τοῦτο δὲ ἀδιάγνωστον μήποτε μετοχή

[l] Cod. ἐναλάξαντα. [m] Cod. ἐόλων.

ἐστιν· ἢ τὸ υ, ὡς τὸ σκύλων· Πύλων τὸ κύριον· τὸ γὰρ ἕτερον ὀξύνεται ὁμοίως τὸ πυλών· μυλών.

ΡϞϚ. *Τὰ εἰς λων λήγοντα ὑπὲρ δύο συλλαβὰς ἀρσενικὰ ὀξύτονά τε καὶ βαρύτονα φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον,* Ἀπόλλωνος· Ἀσκάλωνος, *ἀφ' οὗ καὶ ἡ πόλις·* Κεφάλωνος· Νασσάλωνος *ὄνομα πόλεως·* Βαβυλῶνος· *ἀμπελῶνος· καμηλῶνος· τὸ μιμαλὼν μιμαλῶνος θηλυκὸν ὂν καὶ ὀξύτονον διὰ τοῦ ο κλινόμενον οὐ μάχεται· ἐφυλάξατο γὰρ αὐτὸ ὁ κανών· δηλοῖ δὲ τὰς μαινάδας.*

ΡϞΖ. *Τὰ εἰς ων βαρύτονα δισύλλαβα κύρια ἔχοντα πρὸ τοῦ ω ἀμετάβολον φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον,* Σόλων Σόλωνος· Φίλων Φίλωνος· Ἕρμων Ἕρμωνος· Σίμων Σίμωνος· Νέρων Νέρωνος· Χείρων Χείρωνος· *ἐπὶ τοῦ* Κενταύρου, *τὸ γὰρ συγκριτικὸν τρέπει τὸ ω εἰς ο·* Νάρων Νάρωνος [n] *τὸ γὰρ*

Νάρονος [o] ὄχθας

διὰ μετρικὴν χρεῖαν συνέσταλται· σεσημείωται τὸ πάμμων πάμμονος διὰ τοῦ ο μικροῦ γραφόμενον.

ΡϞΗ. *Τὰ διὰ τοῦ ερων ὀνόματα δισύλλαβα βαρύτονα διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, γέρων·* Νέρων· *πτέρων· φέρων· πέρων· πρόσκειται ὀνόματα διὰ τὰς μετοχάς· τὸ αἴρων καὶ σκαίρων καὶ παίρων διὰ τῆς αι διφθόγγου γράφονται· πίστις δὲ τῆς διὰ τῆς αι διφθόγγου γραφῆς οἱ ἐξ αὐτῶν μέλλοντες· σπαρῶ γάρ, καὶ ἀρῶ, καὶ σκαρῶ· πᾶς δὲ μέλλων πρῶτος διὰ τοῦ α ἐκφερόμενος ἔχει τὸν ἐνεστῶτα διὰ τῆς αι διφθόγγου γραφόμενον ὡς ἐπὶ τὸ πλεῖστον· φανῶ φαίνω· ξανῶ ξαίνω· χαρῶ χαίρω· εἶπον ὡς ἐπὶ τὸ πλεῖστον διὰ τὸ ψαλῶ* [p] *ψάλλω· θαλῶ θάλλω, καὶ εἴτι ὅμοιον· ἔχουσι γὰρ ταῦτα τὸν μέλλοντα εἰς α· οὐκ ἔτι δὲ τὸν ἐνεστῶτα διὰ τῆς αι διφθόγγου.*

ΡϞΘ. *Τὰ παρὰ τὸ φρὴν συγκείμενα, καὶ τὰ παρὰ ῥῆμα, καὶ παρὰ τὸ δαίμων, καὶ τὰ ἀπὸ τῶν εἰς ος συνθέτων, τὰ γὰρ*

[n] Cod. *μάρων μάρονος.* [o] Cod. *μάρονος.* Nicand. Ther. 607. Νάρονος ὄχθη. [p] Cod. *ψαλλῶ.*

πάντα κοινὰ ὑπάρχει τῷ γένει, τρέπουσι τὸ ω εἰς ο ἐπὶ τῆς γενικῆς· οἷον, ἄφρων ἄφρονος· ὁ ἄφρων γὰρ καὶ ἡ ἄφρων· ὁ μεγαλόφρων καὶ ἡ μεγαλόφρων, τοῦ μεγαλόφρονος· ὁ οἰκτίρμων καὶ ἡ οἰκτίρμων, τοῦ οἰκτίρμονος· ὁ ἐλεήμων καὶ ἡ ἐλεήμων, τοῦ ἐλεήμονος· ὁ εὐδαίμων καὶ ἡ εὐδαίμων, τοῦ εὐδαίμονος· ὁ ἄπειρος, ἐξ οὗ ὁ ἀπείρων καὶ ἡ ἀπείρων, τοῦ ἀπείρονος· σεσημείωται τὸ εἴρων εἴρωνος ὅτι κοινὸν τῷ γένει ὂν φυλάττει τὸ ω.

C. Τὰ *εἰς μων ὑπὲρ δύο συλλαβὰς βραχείᾳ παραληγόμενα βαρύτονα ὄντα διὰ τοῦ ω μεγάλου γράφε τὴν παραλήγουσαν τῆς γενικῆς· οἷον,* Ἀρτέμων Ἀρτέμωνος· Σολόμων Σολόμωνος· Πολέμων Πολέμωνος.

CA. Τὰ *εἰς νων ὑπὲρ δύο συλλαβὰς βαρύτονα, ὡς ἐπὶ τὸ πλεῖστον μετοχικά ἐστιν, καὶ τὴν τῶν μετοχῶν κλίσιν ἀναδέχονται· οἷον,* Ὑγιαίνων Ὑγιαίνοντος *ὄνομα ἰατροῦ·* Αὐξάνων Αὐξάνοντος *ὄνομα κύριον· τὸ ἀμείνων ἀμείνονος οὐ μετοχικὸν ἀλλὰ συγκριτικόν, καὶ τὴν τῶν συγκριτικῶν κλίσιν ἐφύλαξεν.*

CB. Πᾶσα *μετοχὴ εἰς ων λήγουσα, εἴτε βαρύτονος, εἴτε ὀξύτονος, εἴτε περισπώμενος, ἐπὶ ἀρσενικοῦ γένους διὰ τοῦ ω μεγάλου γράφεται, καὶ διὰ τοῦ ντ κλίνεται· καὶ βαρύτονος μὲν οὖσα ἢ ὀξύτονος, τρέπει τὸ ω· οἷον, λέγων λέγοντος· λαβὼν λαβόντος· τῶν περισπωμένων γὰρ ἡ δευτέρα συζυγία μόνη ἐφύλαξεν τὸ ω· οἷον, βοῶν βοῶντος· ἀγαπῶν ἀγαπῶντος· ἡ πρώτη γὰρ καὶ ἡ τρίτη οὐκ ἔτι.*

CΓ. *Αἱ εἰς ον μετοχαὶ οὐδετέρου γένους οὖσαι, βαρύτονοι μὲν οὖσαι ἢ ὀξύτονοι διὰ τοῦ ο μικροῦ γράφονται, καὶ διὰ τοῦ ντ κλίνονται· τῶν περισπωμένων δὲ ἡ δευτέρα μόνη διὰ τοῦ ω μεγάλου· αἱ δὲ λοιπαὶ εἰς ουν περαίνουσι*[q] *τὸ οὐδέτερον.*

CΔ. Τὰ *εἰς ων ὀνόματα μονοσύλλαβα φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον, κλὼν κλωνός· πρὼν πρωνός· ἀφ' οὗ τὸ*

πρωόνες[r] *ἄκροι* (Il. Π. 299.)

κατὰ πλεονασμὸν τοῦ ο· τὸ χθὼν χθονὸς μόνον θηλυκοῦ γένους ὂν σεσημείωται διὰ τοῦ ο μικροῦ γραφόμενον.

q Cod. *παραίνουσι.* r Cod. *πρώνες.*

CE. Τὰ εἰς ων καθαρὸν ὀξύτονα ἀρσενικὰ, μὴ ὄντα ἐθνικὰ, διὰ τοῦ ω μεγάλου γράφει τὴν παραλήγουσαν τῆς γενικῆς· οἷον, παίων παίωνος ἐπὶ τοῦ ὕμνου, ἐπὶ γὰρ τοῦ ἔθνους διὰ τοῦ ο μικροῦ· αἰὼν αἰῶνος· Ποσειδέων Ποσειδέωνος· ὁμοίως καὶ τὰ ἐπὶ μηνῶν τῶν Ἀθηναίων· οἷον, Ἑκατομβεὼν Ἑκατομβεῶνος· Βοϊδρομιὼν Βοϊδρομιῶνος· ὁμοίως ὅσα βραχεῖ διχρόνῳ παραλήγεται· καὶ ταῦτα γὰρ διὰ τοῦ ο μικροῦ γράφει τὴν παραλήγουσαν τῆς γενικῆς· Περιεκτιόνος· Ἀλεκτρυόνος· σεσημείωται τὸ Κνακιὼν Κνακιῶνος ὄνομα ποταμοῦ, καὶ τὸ Ἀσιὼν Ἀσιῶνος· δηλοῖ δὲ ὄνομα ὄρους· καὶ κηρυβιὼν, δηλοῖ δὲ τὸν καθαρματώδη, ὅτι βραχεῖ διχρόνῳ παραληγόμενα φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς.

CϚ. Τὰ εἰς γων ὀξύτονα θηλυκὰ διὰ τοῦ ο κλίνεται· οἷον, λαγὼν λαγόνος· σταγὼν σταγόνος· τρυγὼν τρυγόνος· τὸ ἀγὼν ἀγῶνος καὶ ὀξύτονον καὶ εἰς γων λῆγον καὶ φυλάττον τὸ ω οὐ λυμαίνεται τῷ κανόνι, ὅτι καὶ ἀρσενικὸν καὶ περιεκτικὸν, ὡς περιέχον γυμνάσια.

CZ. Τὰ εἰς ων ὀξύτονα ἔχοντα πρὸ τοῦ ω ἕν τι τῶν διπλῶν ἢ τὸ σ, ἐπίθετα ὄντα ἢ ἐθνικὰ, τρέπει τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον, Αὐσὼν Αὐσόνος· πρηξὼν πρηξόνος, οὕτως γὰρ τοὺς ἀγοραίους καλοῦσι Σικελοί· Ἀμαζὼν Ἀμαζόνος· λέγεται γὰρ καὶ ἀρσενικῶς, ὡς παρὰ Καλλιμάχῳ,

ἵν' Ἀμαζόνες ἄνδρες ἐῶσιν·

ἀλαζὼν ἀλαζόνος τὸ ἐπίθετον· τὸ γὰρ ἐπὶ ἔθνους φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς, ὡς Ἡρωδιανὸς ἐν τῇ καθόλου· ὁ δὲ αὐτὸς οἶδε καὶ τὸ Ὀλιζὼν Ὀλιζῶνος ὀξύτονον ἐπὶ πόλεως ὂν, καὶ διὰ τοῦ ω μεγάλου γραφόμενον· τὸ κισσὼν κισσῶνος φυλάττον τὸ ω οὐ μάχεται, περιεκτικὸν γάρ.

CH. Τὰ εἰς ων ὀξύτονα ἀρσενικὰ, ἔχοντα πρὸ τοῦ ω τὸ λ ἢ τὸ ρ, φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον, αὐλὼν αὐλῶνος· Βαβυλὼν Βαβυλῶνος· ἐξ οὗ καὶ ἡ πόλις· οἰορὼν οἰορῶνος, οὕτως δὲ ἡ χάραξις τοῦ ἀρότρου· Χαιρὼν Χαιρῶνος ὄνομα κύριον· Βραυρὼν Βραυρῶνος ὄνομα ἥρωος· τὸ μιμαλὼν μιμαλόνος διὰ τοῦ ο κλιθὲν οὐ μάχεται, θηλυκὸν γάρ.

ΣΘ. Τὰ εἰς ων ὀξύτονα ἀρσενικὰ ἔχοντα πρὸ τοῦ ω ἕν τι τῶν ψιλῶν, μὴ ὄντα ἐθνικὰ, φυλάττουσι τὸ ω καὶ ἐπὶ γενικῆς· οἷον, ἀγκὼν ἀγκῶνος· κροτὼν κροτῶνος εἶδος ζώου φθαρτικοῦ· Πλατανιστὼν Πλατανιστῶνος ὄνομα ποταμοῦ· πρόσκειται μὴ ὄντα ἐθνικὰ, διὰ τὸ Βιστὼν Βιστόνος, ἐθνικὸν γὰρ, καὶ τρέπει τὸ ω εἰς ο ἐπὶ τῆς γενικῆς.

ΣΙ. Τὰ εἰς μων δισύλλαβα ἀρσενικὰ ὀξύτονα ἐπὶ καιροῦ ἢ τόπου λαμβανόμενα, φυλάττει τὸ ω· οἷον, χειμὼν χειμῶνος· κευθμὼν κευθμῶνος· οὐχ οὕτως δὲ ἔχοντα διὰ τοῦ ο κλίνεται· οἷον, Στρυμὼν Στρυμόνος· κρεμὼν κρεμόνος· λέγεται γὰρ καὶ δισυλλάβως ἐπὶ τῆς αὐτῆς σημασίας τῷ τρισυλλάβῳ.

ΣΙΑ. Τὰ εἰς νων ὀξύτονα περιεκτικὰ φυλάττει τὸ ω· οἷον, ξενὼν ξενῶνος· σεσημείωται τὸ κανὼν κανόνος ὅτι τρέπει τὸ ω εἰς ο.

ΣΙΒ. Τὰ εἰς ων θηλυκὰ βαρύτονα μὲν ὄντα φυλάττουσι τὸ ω· οἷον, μήκων μήκωνος· τρήρων τρήρωνος· ἅλων ἅλωνος· Ἀσκάλων Ἀσκάλωνος· τὸ γὰρ Λακεδαίμων Λακεδαίμονος τοῦ ἁπλοῦ τὴν κλίσιν ἐφύλαξεν· ὀξύτονα δὲ ὄντα, καὶ μὴ ἐπὶ πόλεως λαμβανόμενα τρέπουσι τὸ ω ἐπὶ τῆς γενικῆς· σταγὼν σταγόνος· τρυγὼν τρυγόνος· ἐπὶ πόλεων δὲ φυλάττει τὸ ω· οἷον, Βαβυλὼν Βαβυλῶνος· χωρὶς τοῦ Ὀλοσσὼν Ὀλοσσόνος· Ἀνθηδὼν Ἀνθηδόνος· Ἰσσηδὼν Ἰσσηδόνος· Καρχηδὼν Καρχηδόνος, ἡ ἐν τῷ Βυζαντίῳ ἥτις καὶ Χαλκηδὼν λέγεται· Ἑρμιὼν Ἑρμιόνος· Ἠϊὼν Ἠϊόνος· ὅτι ἐπὶ πόλεως ὄντα διὰ τοῦ ο γράφεται· καὶ χωρὶς τοῦ Ἠβιὼν Ἠβιόνος· ἔστι δὲ ὄνομα νήσου· σεσημείωται ἐν τοῖς ὀξυτόνοις, καὶ μὴ οὖσιν ἐπὶ πόλεων φυλάττοντα τὸ ω κατὰ τὴν γενικὴν ποιητικῶς· τὸ μελεδῶνος ἐπὶ τῆς φροντίδος, καὶ τὸ τυφεδῶνος ἐπὶ τῆς καύσεως.

ΣΙΓ. Εἰς ξ μονοσύλλαβον, ἢ καὶ ὑπὲρ μίαν συλλαβὴν, ἔχον πρὸ τοῦ ξ τὴν οι δίφθογγον οὐκ ἴσμεν, εἰ μὴ μόνον τὸ προίξ· πρόσκειται τὴν οι δίφθογγον, ἐπεὶ ἡ αι δίφθογγος καὶ ἡ αυ εὑρίσκεται σπανίως, ὡς ἐν τῷ αἴξ, γλαύξ· ἀλλ' οὔτε ἡ ει δίφθογγος εὑρίσκεται πρὸ τοῦ ξ· τὰ γοῦν εἰς υξ μονοσύλ-

σπάνια δὲ τὰ παραδείγματα· Ἀγάθων Ἀγάθωνος· Μαραθὼν Μαραθῶνος· Ἀργανθὼν Ἀργανθῶνος ὄνομα ὄρους· Κολοφὼν Κολοφῶνος· τὸ Φαέθων Φαέθοντος, καὶ Πυριφλεγέθων Πυριφλεγέθοντος, ὡς μετοχικὰ οὐκ ἀντίκειται· ἐφυλάξατο γὰρ αὐτὰ ὁ κανών.

ΡΠϚ. Τὰ εἰς ων δισύλλαβα βαρύτονα ἔχοντα πρὸ τοῦ ω ἓν τῶν ψιλῶν διὰ τοῦ ω μεγάλου γράφεται· μὴ ὄντα μετοχικὰ δηλονότι, μή τε ἔχοντα θηλυκὰ διὰ τοῦ αινα· οἷον, Λάκων Λάκωνος· Δόρκων Δόρκωνος· Χάλκων Χάλκωνος· φάλκων φάλκωνος· γλαύκων γλαύκωνος· μήκων μήκωνος· σκήπων σκήπωνος· Λάμπων Λάμπωνος ὄνομα κύριον· σώπων σώπωνος· δράπων δράπωνος ὁ δραπέτης· Δούπων Δούπωνος ὄνομα κύριον· Κρότων Κρότωνος· Πλούτων Πλούτωνος· μίτων μίτωνος· τὸ δράκων δράκοντος καὶ θεράπων θεράποντος, ὡς ἔχοντα θηλυκὸν διὰ τοῦ αινα οὐκ ἀντίκειται· ἐφυλάξατο γὰρ αὐτὰ ὁ κανών· τὸ λάμποντος· τρέποντος, μετοχικά· δεῖ προσθῆναι χωρὶς τῶν ἐχόντων τὸ γένος κοινὸν, ὁποῖον ἐστὶ τὸ γείτων γείτονος.

ΡΠΖ. Τὰ εἰς ων ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ ω ἓν τῶν ψιλῶν διὰ τοῦ ω μεγάλου κλίνονται· οἷον, Χαρίτων Χαρίτωνος· Μελίτων Μελίτωνος· Ἑκάτων Ἑκάτωνος· τὸ τριάκων τριάκοντος ὡς μετοχικὰ διὰ τοῦ ντ κλίνεται, καὶ τὸ θεράπων ὡς ἔχον θηλυκὸν διὰ τοῦ αινα.

ΡΠΗ. Τὰ διὰ τοῦ εμων ὑπὲρ δύο συλλαβὰς ὀξύτονα διὰ τοῦ ε γράφεται, καὶ τρέπει τὸ ω, ἡγεμὼν ἡγεμόνος· κηδεμὼν κηδεμόνος· πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ δαίμων δισύλλαβον βαρύτονον διὰ τῆς αι διφθόγγου γραφόμενον καὶ βαρυνόμενον· ὅμως δὲ ὅτι καὶ αὐτὸ τρέπει τὸ ω ἐπὶ γενικῆς, ὁμοίως καὶ ὁ γείτων καὶ ἡ γείτων.

ΡΠΘ. Τὰ εἰς μων δισύλλαβα βαρύτονα ἔχοντα πρὸ τοῦ μ ἀμετάβολον μὴ ὄντα κύρια, διὰ τοῦ ο μικροῦ κλίνεται· τέρμων τέρμονος· σίρμων σίρμονος· σάλμων σάλμονος· Ἄμμων δὲ Ἄμμωνος διὰ τοῦ ω μεγάλου, κύριον γάρ.

ΡϚ. Τὰ διὰ τοῦ ημων δισύλλαβα ἐκ πρώτης ἢ δευτέρας

συζυγίας τῶν περισπωμένων ῥημάτων παρηγμένα, διὰ τοῦ η γράφει τὴν παραλήγουσαν, καὶ τρέπει τὸ ω ἐπὶ τῆς γενικῆς· μνήμων μνήμονος· κτήμων κτήμονος· στήμων στήμονος· γνώμων γνώμονος· τὸ Τίμων Τίμωνος· Σίμων Σίμωνος οὐ ῥηματικὰ ἀλλὰ παρώνυμα, διὸ καὶ διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν, καὶ φυλάττει τὸ ω.

ΡϞΑ. Τὰ εἰς μων ἔχοντα πρὸ τοῦ μ σύμφωνον κατὰ σύλληψιν, τρέπει τὸ ω· Λάκμων Λάκμονος, ἡ κορυφὴ τοῦ ὄρους· κάρθμων κάρθμονος· κέρχμων κέρχμονος· φράδμων φράδμονος· Ἴδμων Ἴδμονος· τάτε κύρια αὐτῶν καὶ τὰ προσηγορικά· ἄκμων ἄκμονος ἐπί τε κυρίου καὶ προσηγορικοῦ.

ΡϞΒ. Τὰ εἰς μων δισύλλαβα τὸ ε παραληγόμενα οὐκ ἔστιν πολλά· βαρύτονα μὲν γὰρ, τὸ Θέμων ὄνομα κύριον, καὶ τὸ Βρέμων κύριον· καὶ τὸ κρεμὼν ὀξύτονον καὶ διὰ τοῦ ο μικροῦ γράφεται· καὶ τρισυλλάβως λέγεται καὶ ὀξυτόνως, ἀκρεμόνος διὰ τοῦ ο μικροῦ· τὰ γὰρ κύρια διὰ τοῦ ω μεγάλου.

ΡϞΓ. Τὰ διὰ τοῦ υμων, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ υ ψιλοῦ γράφει τὴν παραλήγουσαν, καὶ τρέπει τὸ ω εἰς ο ἐπὶ τῆς γενικῆς· οἷον, Στρυμὼν Στρυμόνος· δαιτυμὼν δαιτυμόνος· δεῖ προσθεῖναι μὴ ὄντα περιεκτικὰ, ἐπεὶ τὸ δρυμὼν περιεκτικὸν ὂν τὸ μὲν ι ψιλὸν γράφει τὴν παραλήγουσαν, καὶ φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς· δρυμῶνος γάρ.

ΡϞΔ. Τὰ διὰ τοῦ εμων ὑπὲρ δύο συλλαβὰς βαρύτονα διὰ τοῦ ε ψιλοῦ γράφει τὴν παραλήγουσαν, καὶ φυλάττει τὸ ω· οἷον, Ἀρτέμων Ἀρτέμωνος· Πολέμων Πολέμωνος· τὸ κηδεμὼν καὶ ἀκρεμὼν ὀξυνόμενα ἐναλλάξαντα[l] τὰ περὶ τόνων, παρήλλαξε καὶ κατὰ τὴν γραφήν· τρέπει γὰρ τὸ ω εἰς ο.

ΡϞΕ. Τὰ εἰς λων δισύλλαβα φυλάττει τὸ ω, καὶ παραλήγεται ἢ τὸ ι, ὡς τὸ Δρίλων· Φίλων· Μίλων· τιλών· βριλὼν, ὁ βαλανεύς· Χίλων· ἢ τὸ ο, ὡς τὸ Σόλων[m]· Δόλων· ἢ τὸ η, ὡς τὸ χήλων· Μήλων ὁ Ἡρακλῆς· ἢ τὸ α, ὡς τὸ σκαλων· ἢ τὸ ε, ὡς τὸ Γέλων· μέλων· τοῦτο δὲ ἀδιάγνωστον μήποτε μετοχή

[l] Cod. ἐναλάξαντα. [m] Cod. ἐόλων.

ἐστιν· ἢ τὸ υ, ὡς τὸ σκύλων· Πύλων τὸ κύριον· τὸ γὰρ ἕτερον ὀξύνεται ὁμοίως τὸ πυλών· μυλών.

ΡϘϚ. Τὰ εἰς λων λήγοντα ὑπὲρ δύο συλλαβὰς ἀρσενικὰ ὀξύτονά τε καὶ βαρύτονα φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον, Ἀπόλλωνος· Ἀσκάλωνος, ἀφ' οὗ καὶ ἡ πόλις· Κεφάλωνος· Νασσάλωνος ὄνομα πόλεως· Βαβυλῶνος· ἀμπελῶνος· καμηλῶνος· τὸ μιμαλὼν μιμαλῶνος θηλυκὸν ὂν καὶ ὀξύτονον διὰ τοῦ ο κλινόμενον οὐ μάχεται· ἐφυλάξατο γὰρ αὐτὸ ὁ κανών· δηλοῖ δὲ τὰς μαινάδας.

ΡϘΖ. Τὰ εἰς ων βαρύτονα δισύλλαβα κύρια ἔχοντα πρὸ τοῦ ω ἀμετάβολον φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον, Σόλων Σόλωνος· Φίλων Φίλωνος· Ἕρμων Ἕρμωνος· Σίμων Σίμωνος· Νέρων Νέρωνος· Χείρων Χείρωνος· ἐπὶ τοῦ Κενταύρου, τὸ γὰρ συγκριτικὸν τρέπει τὸ ω εἰς ο· Νάρων Νάρωνος [n] τὸ γὰρ

Νάρονος [o] ὄχθας

διὰ μετρικὴν χρεῖαν συνέσταλται· σεσημείωται τὸ πάμμων πάμμονος διὰ τοῦ ο μικροῦ γραφόμενον.

ΡϘΗ. Τὰ διὰ τοῦ ερων ὀνόματα δισύλλαβα βαρύτονα διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, γέρων· Νέρων· πτέρων· φέρων· πέρων· πρόσκειται ὀνόματα διὰ τὰς μετοχάς· τὸ αἴρων καὶ σκαίρων καὶ παίρων διὰ τῆς αι διφθόγγου γράφονται· πίστις δὲ τῆς διὰ τῆς αι διφθόγγου γραφῆς οἱ ἐξ αὐτῶν μέλλοντες· σπαρῶ γὰρ, καὶ ἀρῶ, καὶ σκαρῶ· πᾶς δὲ μέλλων πρῶτος διὰ τοῦ α ἐκφερόμενος ἔχει τὸν ἐνεστῶτα διὰ τῆς αι διφθόγγου γραφόμενον ὡς ἐπὶ τὸ πλεῖστον· φανῶ φαίνω· ξανῶ ξαίνω· χαρῶ χαίρω· εἶπον ὡς ἐπὶ τὸ πλεῖστον διὰ τὸ ψαλῶ [p] ψάλλω· θαλῶ θάλλω, καὶ εἴτι ὅμοιον· ἔχουσι γὰρ ταῦτα τὸν μέλλοντα εἰς α· οὐκ ἔτι δὲ τὸν ἐνεστῶτα διὰ τῆς αι διφθόγγου.

ΡϘΘ. Τὰ παρὰ τὸ φρὴν συγκείμενα, καὶ τὰ παρὰ ῥῆμα, καὶ παρὰ τὸ δαίμων, καὶ τὰ ἀπὸ τῶν εἰς ος συνθέτων, τὰ γὰρ

[n] Cod. μάρων μάρονος. [o] Cod. μάρονος. Nicand. Ther. 607. Νάρονος ὄχθη. [p] Cod. ψαλλῶ.

πάντα κοινὰ ὑπάρχει τῷ γένει, τρέπουσι τὸ ω εἰς ο ἐπὶ τῆς γενικῆς· οἷον, ἄφρων ἄφρονος· ὁ ἄφρων γὰρ καὶ ἡ ἄφρων· ὁ μεγαλόφρων καὶ ἡ μεγαλόφρων, τοῦ μεγαλόφρονος· ὁ οἰκτίρμων καὶ ἡ οἰκτίρμων, τοῦ οἰκτίρμονος· ὁ ἐλεήμων καὶ ἡ ἐλεήμων, τοῦ ἐλεήμονος· ὁ εὐδαίμων καὶ ἡ εὐδαίμων, τοῦ εὐδαίμονος· ὁ ἄπειρος, ἐξ οὗ ὁ ἀπείρων καὶ ἡ ἀπείρων, τοῦ ἀπείρονος· σεσημείωται τὸ εἴρων εἴρωνος ὅτι κοινὸν τῷ γένει ὂν φυλάττει τὸ ω.

C. Τὰ εἰς μων ὑπὲρ δύο συλλαβὰς βραχείᾳ παραληγόμενα βαρύτονα ὄντα διὰ τοῦ ω μεγάλου γράφε τὴν παραλήγουσαν τῆς γενικῆς· οἷον, Ἀρτέμων Ἀρτέμωνος· Σολόμων Σολόμωνος· Πολέμων Πολέμωνος.

CA. Τὰ εἰς νων ὑπὲρ δύο συλλαβὰς βαρύτονα, ὡς ἐπὶ τὸ πλεῖστον μετοχικά ἐστιν, καὶ τὴν τῶν μετοχῶν κλίσιν ἀναδέχονται· οἷον, Ὑγιαίνων Ὑγιαίνοντος ὄνομα ἰατροῦ· Αὐξάνων Αὐξάνοντος ὄνομα κύριον· τὸ ἀμείνων ἀμείνονος οὐ μετοχικὸν ἀλλὰ συγκριτικὸν, καὶ τὴν τῶν συγκριτικῶν κλίσιν ἐφύλαξεν.

CB. Πᾶσα μετοχὴ εἰς ων λήγουσα, εἴτε βαρύτονος, εἴτε ὀξύτονος, εἴτε περισπώμενος, ἐπὶ ἀρσενικοῦ γένους διὰ τοῦ ω μεγάλου γράφεται, καὶ διὰ τοῦ ντ κλίνεται· καὶ βαρύτονος μὲν οὖσα ἢ ὀξύτονος, τρέπει τὸ ω· οἷον, λέγων λέγοντος· λαβὼν λαβόντος· τῶν περισπωμένων γὰρ ἡ δεύτερα συζυγία μόνη ἐφύλαξεν τὸ ω· οἷον, βοῶν βοῶντος· ἀγαπῶν ἀγαπῶντος· ἡ πρώτη γὰρ καὶ ἡ τρίτη οὐκ ἔτι.

CΓ. Αἱ εἰς ον μετοχαὶ οὐδετέρου γένους οὖσαι, βαρύτονοι μὲν οὖσαι ἢ ὀξύτονοι διὰ τοῦ ο μικροῦ γράφονται, καὶ διὰ τοῦ ντ κλίνονται· τῶν περισπωμένων δὲ ἡ δεύτερα μόνη διὰ τοῦ ω μεγάλου· αἱ δὲ λοιπαὶ εἰς ουν περαίνουσι[q] τὸ οὐδέτερον.

CΔ. Τὰ εἰς ων ὀνόματα μονοσύλλαβα φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον, κλὼν κλωνός· πρὼν πρωνός· ἀφ' οὗ τὸ

πρωόνες[r] ἄκροι (Il. Π. 299.)

κατὰ πλεονασμὸν τοῦ ο· τὸ χθὼν χθονὸς μόνον θηλυκοῦ γένους ὂν σεσημείωται διὰ τοῦ ο μικροῦ γραφόμενον.

q Cod. περαίνουσι. r Cod. πρίωνες.

CE. Τὰ εἰς ων καθαρὸν ὀξύτονα ἀρσενικὰ, μὴ ὄντα ἐθνικὰ, διὰ τοῦ ω μεγάλου γράφει τὴν παραλήγουσαν τῆς γενικῆς· οἷον, παίων παίωνος ἐπὶ τοῦ ὕμνου, ἐπὶ γὰρ τοῦ ἔθνους διὰ τοῦ ο μικροῦ· αἰὼν αἰῶνος· Ποσειδέων Ποσειδέωνος· ὁμοίως καὶ τὰ ἐπὶ μηνῶν τῶν Ἀθηναίων· οἷον, Ἑκατομβεὼν Ἑκατομβεῶνος· Βοϊδρομιὼν Βοϊδρομιῶνος· ὁμοίως ὅσα βραχεῖ διχρόνῳ παραλήγεται· καὶ ταῦτα γὰρ διὰ τοῦ ο μικροῦ γράφει τὴν παραλήγουσαν τῆς γενικῆς· Περιεκτιόνος· Ἀλεκτρυόνος· σεσημείωται τὸ Κνακιὼν Κνακιῶνος ὄνομα ποταμοῦ, καὶ τὸ Ἀσιὼν Ἀσιῶνος· δηλοῖ δὲ ὄνομα ὄρους· καὶ κηρυβιὼν, δηλοῖ δὲ τὸν καθαρματώδη, ὅτι βραχεῖ διχρόνῳ παραληγόμενα φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς.

CϚ. Τὰ εἰς γων ὀξύτονα θηλυκὰ διὰ τοῦ ο κλίνεται· οἷον, λαγὼν λαγόνος· σταγὼν σταγόνος· τρυγὼν τρυγόνος· τὸ ἀγὼν ἀγῶνος καὶ ὀξύτονον καὶ εἰς γων λῆγον καὶ φυλάττον τὸ ω οὐ λυμαίνεται τῷ κανόνι, ὅτι καὶ ἀρσενικὸν καὶ περιεκτικὸν, ὡς περιέχον γυμνάσια.

CZ. Τὰ εἰς ων ὀξύτονα ἔχοντα πρὸ τοῦ ω ἕν τι τῶν διπλῶν ἢ τὸ σ, ἐπίθετα ὄντα ἢ ἐθνικὰ, τρέπει τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον, Αὐσὼν Αὐσόνος· πρηξὼν πρηξόνος, οὕτως γὰρ τοὺς ἀγοραίους καλοῦσι Σικελοί· Ἀμαζὼν Ἀμαζόνος· λέγεται γὰρ καὶ ἀρσενικῶς, ὡς παρὰ Καλλιμάχῳ,

ἵν' Ἀμαζόνες ἄνδρες ἔωσιν·

ἀλαζὼν ἀλαζόνος τὸ ἐπίθετον· τὸ γὰρ ἐπὶ ἔθνους φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς, ὡς Ἡρωδιανὸς ἐν τῇ καθόλου· ὁ δὲ αὐτὸς οἶδε καὶ τὸ Ὀλιζὼν Ὀλιζῶνος ὀξύτονον ἐπὶ πόλεως ὂν, καὶ διὰ τοῦ ω μεγάλου γραφόμενον· τὸ κισσὼν κισσῶνος φυλάττον τὸ ω οὐ μάχεται, περιεκτικὸν γάρ.

CH. Τὰ εἰς ων ὀξύτονα ἀρσενικὰ, ἔχοντα πρὸ τοῦ ω τὸ λ ἢ τὸ ρ, φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον, αὐλὼν αὐλῶνος· Βαβυλὼν Βαβυλῶνος· ἐξ οὗ καὶ ἡ πόλις· οἰορὼν οἰορῶνος, οὕτως δὲ ἡ χάραξις τοῦ ἀρότρου· Χαιρὼν Χαιρῶνος ὄνομα κύριον· Βραυρὼν Βραυρῶνος ὄνομα ἥρωος· τὸ μιμαλὼν μιμαλόνος διὰ τοῦ ο κλιθὲν οὐ μάχεται, θηλυκὸν γάρ.

CΘ. Τὰ εἰς ων ὀξύτονα ἀρσενικὰ ἔχοντα πρὸ τοῦ ω ἕν τι τῶν ψιλῶν, μὴ ὄντα ἐθνικὰ, φυλάττουσι τὸ ω καὶ ἐπὶ γενικῆς· οἷον, ἀγκὼν ἀγκῶνος· κροτὼν κροτῶνος εἶδος ζώου φθαρτικοῦ· Πλατανιστὼν Πλατανιστῶνος ὄνομα ποταμοῦ· πρόσκειται μὴ ὄντα ἐθνικὰ, διὰ τὸ Βιστὼν Βιστόνος, ἐθνικὸν γὰρ, καὶ τρέπει τὸ ω εἰς ο ἐπὶ τῆς γενικῆς.

CI. Τὰ εἰς μων δισύλλαβα ἀρσενικὰ ὀξύτονα ἐπὶ καιροῦ ἢ τόπου λαμβανόμενα, φυλάττει τὸ ω· οἷον, χειμὼν χειμῶνος· κευθμὼν κευθμῶνος· οὐχ οὕτως δὲ ἔχοντα διὰ τοῦ ο κλίνεται· οἷον, Στρυμὼν Στρυμόνος· κρεμὼν κρεμόνος· λέγεται γὰρ καὶ δισυλλάβως ἐπὶ τῆς αὐτῆς σημασίας τῷ τρισυλλάβῳ.

CIA. Τὰ εἰς νων ὀξύτονα περιεκτικὰ φυλάττει τὸ ω· οἷον, ξενὼν ξενῶνος· σεσημείωται τὸ κανὼν κανόνος ὅτι τρέπει τὸ ω εἰς ο.

CIB. Τὰ εἰς ων θηλυκὰ βαρύτονα μὲν ὄντα φυλάττουσι τὸ ω· οἷον, μήκων μήκωνος· τρήρων τρήρωνος· ἅλων ἅλωνος· Ἀσκάλων Ἀσκάλωνος· τὸ γὰρ Λακεδαίμων Λακεδαίμονος τοῦ ἁπλοῦ τὴν κλίσιν ἐφύλαξεν· ὀξύτονα δὲ ὄντα, καὶ μὴ ἐπὶ πόλεως λαμβανόμενα τρέπουσι τὸ ω ἐπὶ τῆς γενικῆς· σταγὼν σταγόνος· τρυγὼν τρυγόνος· ἐπὶ πόλεων δὲ φυλάττει τὸ ω· οἷον, Βαβυλὼν Βαβυλῶνος· χωρὶς τοῦ Ὀλοσσὼν Ὀλοσσόνος· Ἀνθηδὼν Ἀνθηδόνος· Ἰσσηδὼν Ἰσσηδόνος· Καρχηδὼν Καρχηδόνος, ἡ ἐν τῷ Βυζαντίῳ ἥτις καὶ Χαλκηδὼν λέγεται· Ἑρμιὼν Ἑρμιόνος· Ἠϊὼν Ἠϊόνος· ὅτι ἐπὶ πόλεως ὄντα διὰ τοῦ ο γράφεται· καὶ χωρὶς τοῦ Ἠβιὼν Ἠβιόνος· ἔστι δὲ ὄνομα νήσου· σεσημείωται ἐν τοῖς ὀξυτόνοις, καὶ μὴ οὖσιν ἐπὶ πόλεων φυλάττοντα τὸ ω κατὰ τὴν γενικὴν ποιητικῶς· τὸ μελεδῶνος ἐπὶ τῆς φροντίδος, καὶ τὸ τυφεδῶνος ἐπὶ τῆς καύσεως.

CIΓ. Εἰς ξ μονοσύλλαβον, ἢ καὶ ὑπὲρ μίαν συλλαβὴν, ἔχον πρὸ τοῦ ξ τὴν οι δίφθογγον οὐκ ἴσμεν, εἰ μὴ μόνον τὸ προίξ· πρόσκειται τὴν οι δίφθογγον, ἐπεὶ ἡ αι δίφθογγος καὶ ἡ αυ εὑρίσκεται σπανίως, ὡς ἐν τῷ αἶξ, γλαύξ· ἀλλ' οὔτε ἡ ει δίφθογγος εὑρίσκεται πρὸ τοῦ ξ· τὰ γοῦν εἰς υξ μονοσύλ-

σπάνια δὲ τὰ παραδείγματα· Ἀγάθων Ἀγάθωνος· Μαραθὼν Μαραθῶνος· Ἀργανθὼν Ἀργανθῶνος ὄνομα ὄρους· Κολοφὼν Κολοφῶνος· τὸ Φαέθων Φαέθοντος, καὶ Πυριφλεγέθων Πυριφλεγέθοντος, ὡς μετοχικὰ οὐκ ἀντίκειται· ἐφυλάξατο γὰρ αὐτὰ ὁ κανών.

ΡΠϚ. Τὰ εἰς ων δισύλλαβα βαρύτονα ἔχοντα πρὸ τοῦ ω ἓν τῶν ψιλῶν διὰ τοῦ ω μεγάλου γράφεται· μὴ ὄντα μετοχικὰ δηλονότι, μή τε ἔχοντα θηλυκὰ διὰ τοῦ αινα· οἷον, Λάκων Λάκωνος· Δόρκων Δόρκωνος· Χάλκων Χάλκωνος· φάλκων φάλκωνος· γλαύκων γλαύκωνος· μήκων μήκωνος· σκήπων σκήπωνος· Λάμπων Λάμπωνος ὄνομα κύριον· σώπων σώπωνος· δράπων δράπωνος ὁ δραπέτης· Δούπων Δούπωνος ὄνομα κύριον· Κρότων Κρότωνος· Πλούτων Πλούτωνος· μίτων μίτωνος· τὸ δράκων δράκοντος καὶ θεράπων θεράποντος, ὡς ἔχοντα θηλυκὸν διὰ τοῦ αινα οὐκ ἀντίκειται· ἐφυλάξατο γὰρ αὐτὰ ὁ κανών· τὸ λάμποντος· τρέποντος, μετοχικά· δεῖ προσθῆναι χωρὶς τῶν ἐχόντων τὸ γένος κοινὸν, ὁποῖον ἐστὶ τὸ γείτων γείτονος.

ΡΠΖ. Τὰ εἰς ων ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ ω ἓν τῶν ψιλῶν διὰ τοῦ ω μεγάλου κλίνονται· οἷον, Χαρίτων Χαρίτωνος· Μελίτων Μελίτωνος· Ἑκάτων Ἑκάτωνος· τὸ τριάκων τριάκοντος ὡς μετοχικὰ διὰ τοῦ ντ κλίνεται, καὶ τὸ θεράπων ὡς ἔχον θηλυκὸν διὰ τοῦ αινα.

ΡΠΗ. Τὰ διὰ τοῦ εμων ὑπὲρ δύο συλλαβὰς ὀξύτονα διὰ τοῦ ε γράφεται, καὶ τρέπει τὸ ω, ἡγεμὼν ἡγεμόνος· κηδεμὼν κηδεμόνος· πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ δαίμων δισύλλαβον βαρύτονον διὰ τῆς αι διφθόγγου γραφόμενον καὶ βαρυνόμενον· ὅμως δὲ ὅτι καὶ αὐτὸ τρέπει τὸ ω ἐπὶ γενικῆς, ὁμοίως καὶ ὁ γείτων καὶ ἡ γείτων.

ΡΠΘ. Τὰ εἰς μων δισύλλαβα βαρύτονα ἔχοντα πρὸ τοῦ μ ἀμετάβολον μὴ ὄντα κύρια, διὰ τοῦ ο μικροῦ κλίνεται· τέρμων τέρμονος· σίρμων σίρμονος· σάλμων σάλμονος· Ἄμμων δὲ Ἄμμωνος διὰ τοῦ ω μεγάλου, κύριον γάρ.

ΡϚ. Τὰ διὰ τοῦ ημων δισύλλαβα ἐκ πρώτης ἢ δευτέρας

συζυγίας τῶν περισπωμένων ῥημάτων παρηγμένα, διὰ τοῦ η γράφει τὴν παραλήγουσαν, καὶ τρέπει τὸ ω ἐπὶ τῆς γενικῆς μνήμων μνήμονος· κτήμων κτήμονος· στήμων στήμονος· γνώμων γνώμονος· τὸ Τίμων Τίμωνος· Σίμων Σίμωνος οὐ ῥηματικὰ ἀλλὰ παρώνυμα, διὸ καὶ διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν, καὶ φυλάττει τὸ ω.

ΡϚΑ. Τὰ εἰς μων ἔχοντα πρὸ τοῦ μ σύμφωνον κατὰ σύλληψιν, τρέπει τὸ ω· Λάκμων Λάκμονος, ἡ κορυφὴ τοῦ ὄρους· κάρθμων κάρθμονος· κέρχμων κέρχμονος· φράδμων φράδμονος· ἴδμων ἴδμονος· τάτε κύρια αὐτῶν καὶ τὰ προσηγορικά· ἄκμων [illegible] ἄκμονος ἐπί τε κυρίου καὶ προσηγορικοῦ.

ΡϚΒ. Τὰ εἰς μων δισύλλαβα τὸ ε παραληγόμενα οὐκ ἔστιν πολλά· βαρύτονα μὲν γάρ, τὸ Θέμων ὄνομα κύριον, καὶ [illegible] Βρέμων κύριον· καὶ τὸ κρεμὼν ὀξύτονον καὶ διὰ τοῦ [illegible] γράφεται· καὶ τρισυλλάβως λέγεται καὶ ὀξυτόνως [illegible] μόνος διὰ τοῦ ο μικροῦ· τὰ γὰρ κύρια διὰ τοῦ [illegible]

ΡϚΓ. Τὰ διὰ τοῦ υμων, εἴτε δισύλλαβα, εἴτε [illegible] βὰς, διὰ τοῦ υ ψιλοῦ γράφει τὴν παραλήγουσαν [illegible] τὸ ω εἰς ο ἐπὶ τῆς γενικῆς· οἷον, Στρυμὼν [illegible] τυμὼν δαιτυμόνος· δεῖ προσθεῖναι μὴ ὄντα [illegible] τὸ δρυμὼν περιεκτικὸν ὂν τὸ μὲν ι ψιλὸν [illegible] λήγουσαν, καὶ φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς [illegible]

ΡϚΔ. Τὰ διὰ τοῦ εμων ὑπὲρ δύο συλλαβὰς [illegible] ε ψιλοῦ γράφει τὴν παραλήγουσαν, καὶ φυλάττει [illegible] οἷον, Ἀρτέμων Ἀρτέμωνος· Πολέμων [1] [illegible] μὼν καὶ ἀκρεμὼν ὀξυνόμενα ἐναλλάξαντα [illegible] παρήλλαξε καὶ κατὰ τὴν γραφήν· τρέπει [illegible]

ΡϚΕ. Τὰ εἰς λων δισύλλαβα φυλάττει τὸ ω, καὶ [illegible] ἢ τὸ ι, ὡς τὸ Δρίλων· Φίλων· Μίλων [illegible] λανεύς· Χίλων· ἢ τὸ ο, ὡς τὸ Σόλων [illegible] τὸ χήλων· Μήλων ὁ Ἡρακλῆς· ἢ τὸ α, ὡς τὸ [illegible] ὡς τὸ Γέλων· μέλων· τοῦτο δὲ ἀδιάκριτον [illegible]

[1] Cod. ἐναλάξαντα. [illegible]

ἐστιν· ἢ τὸ υ, ὡς τὸ σκύλων· Πύλων τὸ κύριον· τὸ γὰρ ἕτερον ὀξύνεται ὁμοίως τὸ πυλών· μυλών.

ΡϞϚ. Τὰ εἰς λων λήγοντα ὑπὲρ δύο συλλαβὰς ἀρσενικὰ ὀξύτονά τε καὶ βαρύτονα φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον, Ἀπόλλωνος· Ἀσκάλωνος, ἀφ' οὗ καὶ ἡ πόλις· Κεφάλωνος· Νασσάλωνος ὄνομα πόλεως· Βαβυλῶνος· ἀμπελῶνος· καμηλῶνος· τὸ μιμαλὼν μιμαλῶνος θηλυκὸν ὂν καὶ ὀξύτονον διὰ τοῦ ο κλινόμενον οὐ μάχεται· ἐφυλάξατο γὰρ αὐτὸ ὁ κανών· δηλοῖ δὲ τὰς μαινάδας.

ΡϞΖ. Τὰ εἰς ων βαρύτονα δισύλλαβα κύρια ἔχοντα πρὸ τοῦ ω ἀμετάβολον φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον, Σόλων Σόλωνος· Φίλων Φίλωνος· Ἕρμων Ἕρμωνος· Σίμων Σίμωνος· Νέρων Νέρωνος· Χείρων Χείρωνος· ἐπὶ τοῦ Κενταύρου, τὸ γὰρ συγκριτικὸν τρέπει τὸ ω εἰς ο· Νάρων Νάρωνος[n] τὸ γὰρ

Νάρονος[o] ὄχθας

διὰ μετρικὴν χρεῖαν συνέσταλται· σεσημείωται τὸ πάμμων πάμμονος διὰ τοῦ ο μικροῦ γραφόμενον.

ΡϞΗ. Τὰ διὰ τοῦ ερων ὀνόματα δισύλλαβα βαρύτονα διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, γέρων· Νέρων· πτέρων· φέρων· πέρων· πρόσκειται ὀνόματα διὰ τὰς μετοχάς· τὸ αἴρων καὶ σκαίρων καὶ παίρων διὰ τῆς αι διφθόγγου γράφονται· πίστις δὲ τῆς διὰ τῆς αι διφθόγγου γραφῆς οἱ ἐξ αὐτῶν μέλλοντες· σπαρῶ γὰρ, καὶ ἀρῶ, καὶ σκαρῶ· πᾶς δὲ μέλλων πρῶτος διὰ τοῦ α ἐκφερόμενος ἔχει τὸν ἐνεστῶτα διὰ τῆς αι διφθόγγου γραφόμενον ὡς ἐπὶ τὸ πλεῖστον· φανῶ φαίνω· ξανῶ ξαίνω· χαρῶ χαίρω· εἶπον ὡς ἐπὶ τὸ πλεῖστον διὰ τὸ ψαλῶ[p] ψάλλω· θαλῶ θάλλω, καὶ εἴτι ὅμοιον· ἔχουσι γὰρ ταῦτα τὸν μέλλοντα εἰς α· οὐκ ἔτι δὲ τὸν ἐνεστῶτα διὰ τῆς αι διφθόγγου.

ΡϞΘ. Τὰ παρὰ τὸ φρὴν συγκείμενα, καὶ τὰ παρὰ ῥῆμα, καὶ παρὰ τὸ δαίμων, καὶ τὰ ἀπὸ τῶν εἰς ος συνθέτων, τὰ γὰρ

[n] Cod. μάρων μάρονος. [o] Cod. μάρονος. Nicand. Ther. 607. Νάρονος ὄχθη. [p] Cod. ψαλλῶ.

πάντα κοινὰ ὑπάρχει τῷ γένει, τρέπουσι τὸ ω εἰς ο ἐπὶ τῆς γενικῆς· οἷον, ἄφρων ἄφρονος· ὁ ἄφρων γὰρ καὶ ἡ ἄφρων· ὁ μεγαλόφρων καὶ ἡ μεγαλόφρων, τοῦ μεγαλόφρονος· ὁ οἰκτίρμων καὶ ἡ οἰκτίρμων, τοῦ οἰκτίρμονος· ὁ ἐλεήμων καὶ ἡ ἐλεήμων, τοῦ ἐλεήμονος· ὁ εὐδαίμων καὶ ἡ εὐδαίμων, τοῦ εὐδαίμονος· ὁ ἄπειρος, ἐξ οὗ ὁ ἀπείρων καὶ ἡ ἀπείρων, τοῦ ἀπείρονος· σεσημείωται τὸ εἴρων εἴρωνος ὅτι κοινὸν τῷ γένει ὂν φυλάττει τὸ ω.

C. Τὰ *εἰς μων ὑπὲρ δύο συλλαβὰς βραχείᾳ παραληγόμενα βαρύτονα ὄντα διὰ τοῦ ω μεγάλου γράφε τὴν παραλήγουσαν τῆς γενικῆς· οἷον,* Ἀρτέμων Ἀρτέμωνος· Σολόμων Σολόμωνος· Πολέμων Πολέμωνος.

CA. Τὰ *εἰς νων ὑπὲρ δύο συλλαβὰς βαρύτονα, ὡς ἐπὶ τὸ πλεῖστον μετοχικά ἐστιν, καὶ τὴν τῶν μετοχῶν κλίσιν ἀναδέχονται· οἷον,* Ὑγιαίνων Ὑγιαίνοντος *ὄνομα ἰατροῦ·* Αὐξάνων Αὐξάνοντος *ὄνομα κύριον· τὸ ἀμείνων ἀμείνονος οὐ μετοχικὸν ἀλλὰ συγκριτικὸν, καὶ τὴν τῶν συγκριτικῶν κλίσιν ἐφύλαξεν.*

CB. Πᾶσα *μετοχὴ εἰς ων λήγουσα, εἴτε βαρύτονος, εἴτε ὀξύτονος, εἴτε περισπώμενος, ἐπὶ ἀρσενικοῦ γένους διὰ τοῦ ω μεγάλου γράφεται, καὶ διὰ τοῦ ντ κλίνεται· καὶ βαρύτονος μὲν οὖσα ἢ ὀξύτονος, τρέπει τὸ ω· οἷον, λέγων λέγοντος· λαβὼν λαβόντος· τῶν περισπωμένων γὰρ ἡ δευτέρα συζυγία μόνη ἐφύλαξεν τὸ ω· οἷον, βοῶν βοῶντος· ἀγαπῶν ἀγαπῶντος· ἡ πρώτη γὰρ καὶ ἡ τρίτη οὐκ ἔτι.*

CΓ. Αἱ *εἰς ον μετοχαὶ οὐδετέρου γένους οὖσαι, βαρύτονοι μὲν οὖσαι ἢ ὀξύτονοι διὰ τοῦ ο μικροῦ γράφονται, καὶ διὰ τοῦ ντ κλίνονται· τῶν περισπωμένων δὲ ἡ δευτέρα μόνη διὰ τοῦ ω μεγάλου· αἱ δὲ λοιπαὶ εἰς ουν περαίνουσι*[q] *τὸ οὐδέτερον.*

CΔ. Τὰ *εἰς ων ὀνόματα μονοσύλλαβα φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον, κλὼν κλωνός· πρὼν πρωνός· ἀφ᾽ οὗ τὸ*

πρωόνες[r] *ἄκροι* (Il. Π. 299.)

κατὰ πλεονασμὸν τοῦ ο· τὸ χθὼν χθονὸς μόνον θηλυκοῦ γένους ὂν σεσημείωται διὰ τοῦ ο μικροῦ γραφόμενον.

[q] Cod. *παραίνουσι.* [r] Cod. *πρόωνες.*

σπάνια δὲ τὰ παραδείγματα· Ἀγάθων Ἀγάθωνος· Μαραθὼν Μαραθῶνος· Ἀργανθὼν Ἀργανθῶνος ὄνομα ὄρους· Κολοφὼν Κολοφῶνος· τὸ Φαέθων Φαέθοντος, καὶ Πυριφλεγέθων Πυριφλεγέθοντος, ὡς μετοχικὰ οὐκ ἀντίκειται· ἐφυλάξατο γὰρ αὐτὰ ὁ κανών.

ΡΠϚ. Τὰ εἰς ων δισύλλαβα βαρύτονα ἔχοντα πρὸ τοῦ ω ἓν τῶν ψιλῶν διὰ τοῦ ω μεγάλου γράφεται· μὴ ὄντα μετοχικὰ δηλονότι, μή τε ἔχοντα θηλυκὰ διὰ τοῦ αινα· οἷον, Λάκων Λάκωνος· Δόρκων Δόρκωνος· Χάλκων Χάλκωνος· φάλκων φάλκωνος· γλαύκων γλαύκωνος· μήκων μήκωνος· σκήπων σκήπωνος· Λάμπων Λάμπωνος ὄνομα κύριον· σώπων σώπωνος· δράπων δράπωνος ὁ δραπέτης· Δούπων Δούπωνος ὄνομα κύριον· Κρότων Κρότωνος· Πλούτων Πλούτωνος· μίτων μίτωνος· τὸ δράκων δράκοντος καὶ θεράπων θεράποντος, ὡς ἔχοντα θηλυκὸν διὰ τοῦ αινα οὐκ ἀντίκειται· ἐφυλάξατο γὰρ αὐτὰ ὁ κανών· τὸ λάμποντος· τρέποντος, μετοχικά· δεῖ προσθῆναι χωρὶς τῶν ἐχόντων τὸ γένος κοινὸν, ὁποῖον ἐστὶ τὸ γείτων γείτονος.

ΡΠΖ. Τὰ εἰς ων ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ ω ἓν τῶν ψιλῶν διὰ τοῦ ω μεγάλου κλίνονται· οἷον, Χαρίτων Χαρίτωνος· Μελίτων Μελίτωνος· Ἑκάτων Ἑκάτωνος· τὸ τριάκων τριάκοντος ὡς μετοχικὰ διὰ τοῦ ντ κλίνεται, καὶ τὸ θεράπων ὡς ἔχον θηλυκὸν διὰ τοῦ αινα.

ΡΠΗ. Τὰ διὰ τοῦ εμων ὑπὲρ δύο συλλαβὰς ὀξύτονα διὰ τοῦ ε γράφεται, καὶ τρέπει τὸ ω, ἡγεμὼν ἡγεμόνος· κηδεμὼν κηδεμόνος· πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ δαίμων δισύλλαβον βαρύτονον διὰ τῆς αι διφθόγγου γραφόμενον καὶ βαρυνόμενον· ὅμως δὲ ὅτι καὶ αὐτὸ τρέπει τὸ ω ἐπὶ γενικῆς, ὁμοίως καὶ ὁ γείτων καὶ ἡ γείτων.

ΡΠΘ. Τὰ εἰς μων δισύλλαβα βαρύτονα ἔχοντα πρὸ τοῦ μ ἀμετάβολον μὴ ὄντα κύρια, διὰ τοῦ ο μικροῦ κλίνεται· τέρμων τέρμονος· σίρμων σίρμονος· σάλμων σάλμονος· Ἄμμων δὲ Ἄμμωνος διὰ τοῦ ω μεγάλου, κύριον γάρ.

ΡϚ. Τὰ διὰ τοῦ ημων δισύλλαβα ἐκ πρώτης ἢ δευτέρας

συζυγίας τῶν περισπωμένων ῥημάτων παρηγμένα, διὰ τοῦ η γράφει τὴν παραλήγουσαν, καὶ τρέπει τὸ ω ἐπὶ τῆς γενικῆς· μνήμων μνήμονος· κτήμων κτήμονος· στήμων στήμονος· γνώμων γνώμονος· τὸ Τίμων Τίμωνος· Σίμων Σίμωνος οὐ ῥηματικὰ ἀλλὰ παρώνυμα, διὸ καὶ διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν, καὶ φυλάττει τὸ ω.

ΡϞΑ. Τὰ εἰς μων ἔχοντα πρὸ τοῦ μ σύμφωνον κατὰ σύλληψιν, τρέπει τὸ ω· Λάκμων Λάκμονος, ἡ κορυφὴ τοῦ ὄρους· κάρθμων κάρθμονος· κέρχμων κέρχμονος· φράδμων φράδμονος· ἴδμων ἴδμονος· τάτε κύρια αὐτῶν καὶ τὰ προσηγορικά· ἄκμων ἄκμονος ἐπί τε κυρίου καὶ προσηγορικοῦ.

ΡϞΒ. Τὰ εἰς μων δισύλλαβα τὸ ε παραληγόμενα οὐκ ἔστιν πολλά· βαρύτονα μὲν γάρ, τὸ Θέμων ὄνομα κύριον, καὶ τὸ Βρέμων κύριον· καὶ τὸ κρεμὼν ὀξύτονον καὶ διὰ τοῦ ο μικροῦ γράφεται· καὶ τρισυλλάβως λέγεται καὶ ὀξυτόνως, ἀκρεμόνος διὰ τοῦ ο μικροῦ· τὰ γὰρ κύρια διὰ τοῦ ω μεγάλου.

ΡϞΓ. Τὰ διὰ τοῦ υμων, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβάς, διὰ τοῦ υ ψιλοῦ γράφει τὴν παραλήγουσαν, καὶ τρέπει τὸ ω εἰς ο ἐπὶ τῆς γενικῆς· οἷον, Στρυμὼν Στρυμόνος· δαιτυμὼν δαιτυμόνος· δεῖ προσθεῖναι μὴ ὄντα περιεκτικά, ἐπεὶ τὸ δρυμὼν περιεκτικὸν ὂν τὸ μὲν ι ψιλὸν γράφει τὴν παραλήγουσαν, καὶ φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς· δρυμῶνος γάρ.

ΡϞΔ. Τὰ διὰ τοῦ εμων ὑπὲρ δύο συλλαβὰς βαρύτονα διὰ τοῦ ε ψιλοῦ γράφει τὴν παραλήγουσαν, καὶ φυλάττει τὸ ω· οἷον, Ἀρτέμων Ἀρτέμωνος· Πολέμων Πολέμωνος· τὸ κηδεμὼν καὶ ἀκρεμὼν ὀξυνόμενα ἐναλλάξαντα[l] τὰ περὶ τόνων, παρήλλαξε καὶ κατὰ τὴν γραφήν· τρέπει γὰρ τὸ ω εἰς ο.

ΡϞΕ. Τὰ εἰς λων δισύλλαβα φυλάττει τὸ ω, καὶ παραλήγεται ἢ τὸ ι, ὡς τὸ Δρίλων· Φίλων· Μίλων· τιλών· βριλὼν, ὁ βαλανεύς· Χίλων· ἢ τὸ ο, ὡς τὸ Σόλων[m]· Δόλων· ἢ τὸ η, ὡς τὸ χήλων· Μήλων ὁ Ἡρακλῆς· ἢ τὸ α, ὡς τὸ σκαλων· ἢ τὸ ε, ὡς τὸ Γέλων· μέλων· τοῦτο δὲ ἀδιάγνωστον μήποτε μετοχή

[l] Cod. ἐναλάξαντα. [m] Cod. ἐόλων.

ἐστιν· ἢ τὸ υ, ὡς τὸ σκύλων· Πύλων τὸ κύριον· τὸ γὰρ ἕτερον ὀξύνεται ὁμοίως τὸ πυλών· μυλών.

ΡϞϚ. Τὰ εἰς λων λήγοντα ὑπὲρ δύο συλλαβὰς ἀρσενικὰ ὀξύτονά τε καὶ βαρύτονα φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον, Ἀπόλλωνος· Ἀσκάλωνος, ἀφ' οὗ καὶ ἡ πόλις· Κεφάλωνος· Νασσάλωνος ὄνομα πόλεως· Βαβυλῶνος· ἀμπελῶνος· καμηλῶνος· τὸ μιμαλὼν μιμαλῶνος θηλυκὸν ὂν καὶ ὀξύτονον διὰ τοῦ ο κλινόμενον οὐ μάχεται· ἐφυλάξατο γὰρ αὐτὸ ὁ κανών· δηλοῖ δὲ τὰς μαινάδας.

ΡϞΖ. Τὰ εἰς ων βαρύτονα δισύλλαβα κύρια ἔχοντα πρὸ τοῦ ω ἀμετάβολον φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον, Σόλων Σόλωνος· Φίλων Φίλωνος· Ἕρμων Ἕρμωνος· Σίμων Σίμωνος· Νέρων Νέρωνος· Χείρων Χείρωνος· ἐπὶ τοῦ Κενταύρου, τὸ γὰρ συγκριτικὸν τρέπει τὸ ω εἰς ο· Νάρων Νάρωνος[n] τὸ γὰρ

Νάρονος[o] ὄχθας

διὰ μετρικὴν χρεῖαν συνέσταλται· σεσημείωται τὸ πάμμων πάμμονος διὰ τοῦ ο μικροῦ γραφόμενον.

ΡϞΗ. Τὰ διὰ τοῦ ερων ὀνόματα δισύλλαβα βαρύτονα διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, γέρων· Νέρων· πτέρων· φέρων· πέρων· πρόσκειται ὀνόματα διὰ τὰς μετοχάς· τὸ αἴρων καὶ σκαίρων καὶ παίρων διὰ τῆς αι διφθόγγου γράφονται· πίστις δὲ τῆς διὰ τῆς αι διφθόγγου γραφῆς οἱ ἐξ αὐτῶν μέλλοντες· σπαρῶ γὰρ, καὶ ἀρῶ, καὶ σκαρῶ· πᾶς δὲ μέλλων πρῶτος διὰ τοῦ α ἐκφερόμενος ἔχει τὸν ἐνεστῶτα διὰ τῆς αι διφθόγγου γραφόμενον ὡς ἐπὶ τὸ πλεῖστον· φανῶ φαίνω· ξανῶ ξαίνω· χαρῶ χαίρω· εἶπον ὡς ἐπὶ τὸ πλεῖστον διὰ τὸ ψαλῶ[p] ψάλλω· θαλῶ θάλλω, καὶ εἴτι ὅμοιον· ἔχουσι γὰρ ταῦτα τὸν μέλλοντα εἰς α· οὐκ ἔτι δὲ τὸν ἐνεστῶτα διὰ τῆς αι διφθόγγου.

ΡϞΘ. Τὰ παρὰ τὸ φρὴν συγκείμενα, καὶ τὰ παρὰ ῥῆμα, καὶ παρὰ τὸ δαίμων, καὶ τὰ ἀπὸ τῶν εἰς ος συνθέτων, τὰ γὰρ

[n] Cod. μάρων μάρονος. [o] Cod. μάρονος. Nicand. Ther. 607. Νάρονος ὄχθη. [p] Cod. ψαλλῶ.

πάντα κοινὰ ὑπάρχει τῷ γένει, τρέπουσι τὸ ω εἰς ο ἐπὶ τῆς γενικῆς· οἷον, ἄφρων ἄφρονος· ὁ ἄφρων γὰρ καὶ ἡ ἄφρων· ὁ μεγαλόφρων καὶ ἡ μεγαλόφρων, τοῦ μεγαλόφρονος· ὁ οἰκτίρμων καὶ ἡ οἰκτίρμων, τοῦ οἰκτίρμονος· ὁ ἐλεήμων καὶ ἡ ἐλεήμων, τοῦ ἐλεήμονος· ὁ εὐδαίμων καὶ ἡ εὐδαίμων, τοῦ εὐδαίμονος· ὁ ἄπειρος, ἐξ οὗ ὁ ἀπείρων καὶ ἡ ἀπείρων, τοῦ ἀπείρονος· σεσημείωται τὸ εἴρων εἴρωνος ὅτι κοινὸν τῷ γένει ὂν φυλάττει τὸ ω.

C. Τὰ εἰς μων ὑπὲρ δύο συλλαβὰς βραχείᾳ παραληγόμενα βαρύτονα ὄντα διὰ τοῦ ω μεγάλου γράφε τὴν παραλήγουσαν τῆς γενικῆς· οἷον, Ἀρτέμων Ἀρτέμωνος· Σολόμων Σολόμωνος· Πολέμων Πολέμωνος.

CA. Τὰ εἰς νων ὑπὲρ δύο συλλαβὰς βαρύτονα, ὡς ἐπὶ τὸ πλεῖστον μετοχικά ἐστιν, καὶ τὴν τῶν μετοχῶν κλίσιν ἀναδέχονται· οἷον, Ὑγιαίνων Ὑγιαίνοντος ὄνομα ἰατροῦ· Αὐξάνων Αὐξάνοντος ὄνομα κύριον· τὸ ἀμείνων ἀμείνονος οὐ μετοχικὸν ἀλλὰ συγκριτικὸν, καὶ τὴν τῶν συγκριτικῶν κλίσιν ἐφύλαξεν.

CB. Πᾶσα μετοχὴ εἰς ων λήγουσα, εἴτε βαρύτονος, εἴτε ὀξύτονος, εἴτε περισπώμενος, ἐπὶ ἀρσενικοῦ γένους διὰ τοῦ ω μεγάλου γράφεται, καὶ διὰ τοῦ ντ κλίνεται· καὶ βαρύτονος μὲν οὖσα ἢ ὀξύτονος, τρέπει τὸ ω· οἷον, λέγων λέγοντος· λαβὼν λαβόντος· τῶν περισπωμένων γὰρ ἡ δευτέρα συζυγία μόνη ἐφύλαξεν τὸ ω· οἷον, βοῶν βοῶντος· ἀγαπῶν ἀγαπῶντος· ἡ πρώτη γὰρ καὶ ἡ τρίτη οὐκ ἔτι.

CΓ. Αἱ εἰς ον μετοχαὶ οὐδετέρου γένους οὖσαι, βαρύτονοι μὲν οὖσαι ἢ ὀξύτονοι διὰ τοῦ ο μικροῦ γράφονται, καὶ διὰ τοῦ ντ κλίνονται· τῶν περισπωμένων δὲ ἡ δευτέρα μόνη διὰ τοῦ ω μεγάλου· αἱ δὲ λοιπαὶ εἰς ουν περαίνουσι[q] τὸ οὐδέτερον.

CΔ. Τὰ εἰς ων ὀνόματα μονοσύλλαβα φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον, κλὼν κλωνός· πρὼν πρωνός· ἀφ' οὗ τὸ

πρωόνες[r] ἄκροι (Il. Π. 299.)

κατὰ πλεονασμὸν τοῦ ο· τὸ χθὼν χθονὸς μόνον θηλυκοῦ γένους ὂν σεσημείωται διὰ τοῦ ο μικροῦ γραφόμενον.

[q] Cod. παραίνουσι. [r] Cod. πρώνες.

CE. Τὰ εἰς ων καθαρὸν ὀξύτονα ἀρσενικὰ, μὴ ὄντα ἐθνικὰ, διὰ τοῦ ω μεγάλου γράφει τὴν παραλήγουσαν τῆς γενικῆς· οἷον, παίων παίωνος ἐπὶ τοῦ ὕμνου, ἐπὶ γὰρ τοῦ ἔθνους διὰ τοῦ ο μικροῦ· αἰὼν αἰῶνος· Ποσειδέων Ποσειδέωνος· ὁμοίως καὶ τὰ ἐπὶ μηνῶν τῶν Ἀθηναίων· οἷον, Ἑκατομβεὼν Ἑκατομβεῶνος· Βοϊδρομιὼν Βοϊδρομιῶνος· ὁμοίως ὅσα βραχεῖ διχρόνῳ παραλήγεται· καὶ ταῦτα γὰρ διὰ τοῦ ο μικροῦ γράφει τὴν παραλήγουσαν τῆς γενικῆς· Περιεκτιόνος· Ἀλεκτρυόνος· σεσημείωται τὸ Κνακιὼν Κνακιῶνος ὄνομα ποταμοῦ, καὶ τὸ Ἀσιὼν Ἀσιῶνος· δηλοῖ δὲ ὄνομα ὄρους· καὶ κηρυβιὼν, δηλοῖ δὲ τὸν καθαρματώδη, ὅτι βραχεῖ διχρόνῳ παραληγόμενα φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς.

Cϛ. Τὰ εἰς γων ὀξύτονα θηλυκὰ διὰ τοῦ ο κλίνεται· οἷον, λαγὼν λαγόνος· σταγὼν σταγόνος· τρυγὼν τρυγόνος· τὸ ἀγὼν ἀγῶνος καὶ ὀξύτονον καὶ εἰς γων λῆγον καὶ φυλάττον τὸ ω οὐ λυμαίνεται τῷ κανόνι, ὅτι καὶ ἀρσενικὸν καὶ περιεκτικὸν, ὡς περιέχον γυμνάσια.

CZ. Τὰ εἰς ων ὀξύτονα ἔχοντα πρὸ τοῦ ω ἕν τι τῶν διπλῶν ἢ τὸ σ, ἐπίθετα ὄντα ἢ ἐθνικὰ, τρέπει τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον, Αὐσὼν Αὐσόνος· πρηξὼν πρηξόνος, οὕτως γὰρ τοὺς ἀγοραίους καλοῦσι Σικελοί· Ἀμαζὼν Ἀμαζόνος· λέγεται γὰρ καὶ ἀρσενικῶς, ὡς παρὰ Καλλιμάχῳ,

ἵν' Ἀμαζόνες ἄνδρες ἔασιν·

ἀλαζὼν ἀλαζόνος τὸ ἐπίθετον· τὸ γὰρ ἐπὶ ἔθνους φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς, ὡς Ἡρωδιανὸς ἐν τῇ καθόλου· ὁ δὲ αὐτὸς οἶδε καὶ τὸ Ὀλιζὼν Ὀλιζῶνος ὀξύτονον ἐπὶ πόλεως ὂν, καὶ διὰ τοῦ ω μεγάλου γραφόμενον· τὸ κισσὼν κισσῶνος φυλάττον τὸ ω οὐ μάχεται, περιεκτικὸν γάρ.

CH. Τὰ εἰς ων ὀξύτονα ἀρσενικὰ, ἔχοντα πρὸ τοῦ ω τὸ λ ἢ τὸ ρ, φυλάττει τὸ ω ἐπὶ τῆς γενικῆς· οἷον, αὐλὼν αὐλῶνος· Βαβυλὼν Βαβυλῶνος· ἐξ οὗ καὶ ἡ πόλις· οἰορὼν οἰορῶνος, οὕτως δὲ ἡ χάραξις τοῦ ἀρότρου· Χαιρὼν Χαιρῶνος ὄνομα κύριον· Βραυρὼν Βραυρῶνος ὄνομα ἥρωος· τὸ μιμαλὼν μιμαλόνος διὰ τοῦ ο κλιθὲν οὐ μάχεται, θηλυκὸν γάρ.

CΘ. Τὰ εἰς ων ὀξύτονα ἀρσενικὰ ἔχοντα πρὸ τοῦ ω ἕν τι τῶν ψιλῶν, μὴ ὄντα ἐθνικὰ, φυλάττουσι τὸ ω καὶ ἐπὶ γενικῆς· οἷον, ἀγκὼν ἀγκῶνος· κροτὼν κροτῶνος εἶδος ζώου φθαρτικοῦ· Πλατανιστὼν Πλατανιστῶνος ὄνομα ποταμοῦ· πρόσκειται μὴ ὄντα ἐθνικὰ, διὰ τὸ Βιστὼν Βιστόνος, ἐθνικὸν γὰρ, καὶ τρέπει τὸ ω εἰς ο ἐπὶ τῆς γενικῆς.

CI. Τὰ εἰς μων δισύλλαβα ἀρσενικὰ ὀξύτονα ἐπὶ καιροῦ ἢ τόπου λαμβανόμενα, φυλάττει τὸ ω· οἷον, χειμὼν χειμῶνος· κευθμὼν κευθμῶνος· οὐχ οὕτως δὲ ἔχοντα διὰ τοῦ ο κλίνεται· οἷον, Στρυμὼν Στρυμόνος· κρεμὼν κρεμόνος· λέγεται γὰρ καὶ δισυλλάβως ἐπὶ τῆς αὐτῆς σημασίας τῷ τρισυλλάβῳ.

CIA. Τὰ εἰς νων ὀξύτονα περιεκτικὰ φυλάττει τὸ ω· οἷον, ξενὼν ξενῶνος· σεσημείωται τὸ κανὼν κανόνος ὅτι τρέπει τὸ ω εἰς ο.

CIB. Τὰ εἰς ων θηλυκὰ βαρύτονα μὲν ὄντα φυλάττουσι τὸ ω· οἷον, μήκων μήκωνος· τρήρων τρήρωνος· ἅλων ἅλωνος· Ἀσκάλων Ἀσκάλωνος· τὸ γὰρ Λακεδαίμων Λακεδαίμονος τοῦ ἁπλοῦ τὴν κλίσιν ἐφύλαξεν· ὀξύτονα δὲ ὄντα, καὶ μὴ ἐπὶ πόλεως λαμβανόμενα τρέπουσι τὸ ω ἐπὶ τῆς γενικῆς· σταγὼν σταγόνος· τρυγὼν τρυγόνος· ἐπὶ πόλεων δὲ φυλάττει τὸ ω· οἷον, Βαβυλὼν Βαβυλῶνος· χωρὶς τοῦ Ὀλοσσὼν Ὀλοσσόνος· Ἀνθηδὼν Ἀνθηδόνος· Ἰσσηδὼν Ἰσσηδόνος· Καρχηδὼν Καρχηδόνος, ἡ ἐν τῷ Βυζαντίῳ ἥτις καὶ Χαλκηδὼν λέγεται· Ἑρμιὼν Ἑρμιόνος· Ἠϊὼν Ἠϊόνος· ὅτι ἐπὶ πόλεως ὄντα διὰ τοῦ ο γράφεται· καὶ χωρὶς τοῦ Ἠβιὼν Ἠβιόνος· ἔστι δὲ ὄνομα νήσου· σεσημείωται ἐν τοῖς ὀξυτόνοις, καὶ μὴ οὖσιν ἐπὶ πόλεων φυλάττοντα τὸ ω κατὰ τὴν γενικὴν ποιητικῶς· τὸ μελεδῶνος ἐπὶ τῆς φροντίδος, καὶ τὸ τυφεδῶνος ἐπὶ τῆς καύσεως.

CIΓ. Εἰς ξ μονοσύλλαβον, ἢ καὶ ὑπὲρ μίαν συλλαβὴν, ἔχον πρὸ τοῦ ξ τὴν οι δίφθογγον οὐκ ἴσμεν, εἰ μὴ μόνον τὸ προΐξ· πρόσκειται τὴν οι δίφθογγον, ἐπεὶ ἡ αι δίφθογγος καὶ ἡ αυ εὑρίσκεται σπανίως, ὡς ἐν τῷ αἲξ, γλαύξ· ἀλλ' οὔτε ἡ ει δίφθογγος εὑρίσκεται πρὸ τοῦ ξ· τὰ γοῦν εἰς υξ μονοσύλ-

λαβα, ἢ καὶ ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, νύξ· Στύξ· κῆρυξ· κώνξ· Κήυξ· φάρυξ· οὕτω γὰρ ὅ τε Ἡρωδιανὸς καὶ οἱ λοιποὶ γραμματικοὶ, χωρὶς τοῦ γ τὴν εὐθεῖαν καὶ τὴν γενικὴν δι' ἑνὸς γ.

CΙΔ. *Τὰ εἰς εξ ὀνόματα καὶ βαρύνεται, καὶ ὑπὲρ μίαν συλλαβήν ἐστιν, καὶ διὰ τοῦ ε ψιλοῦ γράφεται· σπάνιοι δὲ αἱ λέξεις· οἷον, Λέλεξ· Βέβρεξ, ὄνομα ἔθνους· ἐπίτεξ· ἀγχίτεξ· πιντάλεξ, καὶ εἴτι ὅμοιον.*

CΙΕ. *Ἡ εἰς οξ κατάληξις διὰ τοῦ ο μικροῦ καὶ στενὴ λίαν, καὶ ἱστορίας οὐκ ἀναλογίας ἐχομένη· ἔστι γὰρ τὸ φέροξ βαβαρικόν τι ὄνομα· Ἀλλόβροξ ὄνομα ἔθνους· τινὲς δὲ Ἀλλόβριξ διὰ τοῦ ι προφέρονται· ἴσοξ ποιός τις ἰχθύς· ἄλοξ παρὰ δέ τισιν αὖλαξ· πρὸς τούτοις δὲ καὶ τὸ Καππάδοξ· τούτου δὲ τοῦ ὀνόματος οἱ παλαιοὶ τρεῖς εὐθείας διδόασιν· ὁ Καππάδοξ γὰρ λέγουσιν, καὶ ὁ Καππάδοκος, καὶ ὁ Καππαδόκης, ἥτις καὶ τέτριπται· αἱ γὰρ ἄλλαι οὐκ εὔχρηστοι.*

CΙϚ. *Τὰ εἰς ηξ εἰωθότα Δωρικῶς τρέπεσθαι εἰς α, διὰ τοῦ η γράφεται ἁπλᾶ ὄντα· οἷον, νάρθηξ, νάρθαξ αὐτοί· κάχληξ, κάχλαξ ἐκεῖνοι· ὁμοίως σκώληξ, ὅτι σκώλαξ· θώρηξ θώραξ· μύρμηξ μύρμαξ· ἀλώπηξ ἀλώπαξ, καὶ εἴτι ὅμοιον.*

CΙΖ. *Τὰ εἰς ηξ σύνθετα παρὰ τὸ πλήσσω, ἢ πήσσω, ἢ τήκω, ἢ θήγω διὰ τοῦ η γράφεται· οἷον, ἁρματοπήξ· κλινοπήξ· ξυμπήξ· ἀκανθοπλήξ· παραπλήξ· μολυβδοτήξ· κεραμοτήξ· εὐθήξ· φιλοθήξ· καὶ εἴτι ὅμοιον.*

CΙΗ. *Τὰ εἰς ιξ μὴ εἰωθότα Δωρικῶς τρέπεσθαι εἰς α· μήτε ἀπὸ ῥήματος τοῦ πλήσσω, πήσσω, τήκω ἢ θήγω γινόμενα, διὰ τοῦ ι γράφεται· οἷον, πέρδιξ· κώδιξ· Κίλιξ· ἧλιξ· πάλλιξ· μάστιξ· Φοίνιξ· χοίνιξ· χάλιξ· χόλιξ· ἕλιξ· κύλιξ· ἄδδιξ μέτρον τετραχοινικόν· σκάνδιξ λάχανον ποιόν τι· οἷς ὅμοια κατὰ τὴν γραφὴν καὶ ὅσα ἐκ τούτων συντέθειται· καλλίτριχος· ὁμήλικος· καὶ εἴτι παρόμοιον.*

CΙΘ. *Εἰς οξ μονοσύλλαβα πέντε τινά ἐστιν· πρὸξ καὶ κρόξ· φλόξ· ζόρξ· δόρξ· ὥσπερ καὶ εἰς ωξ μέγα· τὸ βώξ· πτώξ· καὶ ῥώξ· πρώξ· ὦλξ.*

CK. Εἰς ηξ διὰ τοῦ η γραφόμενα σπάνιά ἐστι μονοσύλλαβα, καὶ σημειώσεως δεόμενα· ἔστι γὰρ τὸ βήξ· σφήξ· κήξ· ῥήξ.

CKA. Τὰ εἰς ιξ μονοσύλλαβα εἴτε καθαρὸν ἔχει τὸ ξ, ἢ καὶ μετὰ συμφώνου διὰ τοῦ ι γράφεται· οἷον, θρίξ· Βρὶξ ὄνομα ἔθνους· στρὶξ εἶδος ὀρνέου· εὕρηται δὲ τοῦτο καὶ στλὶξ μετὰ τοῦ λ· ψίξ· στίξ· ἶξ θηρίδιον ἐσθίων τὰς ἀμπέλους· πνὶξ ἐξ οὗ τὸ πνίγος· πλὶξ, καὶ εἴτι ὅμοιον.

CKB. Τὰ εἰς ωξ ὀνόματα συγκείμενα παρὰ ῥῆμα τὸ ῥώσσω, ἢ τρώγω, ἢ πτώσσω διὰ τοῦ ω μεγάλου γράφονται· οἷον ἀποῤῥώξ· ἀῤῥώξ· κυαμοτρώξ· θυλακοτρώξ· ἀπτώξ· πολυπτώξ, καὶ εἴτι ὅμοιον.

CKΓ. Πᾶν ὄνομα εἰς ρ λῆγον, πᾶσαν δίφθογγον ἀποστρέφεται πλὴν τῆς ει ποσότητος συλλαβῆς ἐν τῷ κανόνι μὴ τηρουμένης· οἷον, κήρ· θήρ· ἀνήρ· αἰθήρ· σεσημείωται τὸ χεὶρ καὶ φθεὶρ ἀπὸ τῆς σαρκὸς διὰ τῆς ει διφθόγγου γραφόμενα· τὸ γὰρ κυρίον ὄνομα οἱ πλείους διὰ τοῦ ι γράφουσι· τὸ αὐτόχειρ· ἑκατόγχειρ· πολύχειρ, διὰ τῆς ει διφθόγγου γραφόμενα σύνθετά ἐστι παρὰ τὸ χεὶρ, καὶ τοῦ ἁπλοῦ τὴν γραφὴν ἐφύλαξαν[s].

CKΔ. Τὰ εἰς υρ λήγοντα διὰ τοῦ υ ψιλοῦ γράφεται· μάρτυρ· ψίθυρ· Κέρκυρ· Ἴλλυρ· Φίλυρ· Ἄσυρ.

CKE. Τὰ εἰς ειρ λήγοντα, καὶ σπάνια καὶ ἀσυνήθη τῇ κοινῇ διαλέκτῳ, καὶ σχεδὸν ἐν σημειώσει· οἷον, τὸ Βέχειρ ὄνομα ἔθνους· Σάπειρ ὁμοίως· Ἀλάζειρ ὄνομα κύριον· Λίγειρ ὄνομα ποταμοῦ· Ἐλάτειρ ὁμοίως· τὸ χρυσέθειρ ἀπὸ τοῦ χρυσέθειρος ἀποκέκοπται· οἱ μεντοὶ Βοιωτοὶ πολλὴν ἴσασι τὴν ειρ κατάληξιν· καθὸ παρ' αὐτοῖς εἴωθε τὸ η εἰς τὴν ει διφθογγον τρέπεσθαι· τὸ γὰρ πένης πένεις γράφουσιν διὰ τῆς ει διφθόγγου· καὶ τὸ πατὴρ καὶ μήτηρ παρ' ἡμῖν μὲν διὰ τοῦ η παρ' αὐτοῖς δὲ διὰ τῆς ει διφθόγγου.

CKϚ. Εἰς ορ λῆγον καὶ διὰ τοῦ ο μικροῦ γραφόμενον ἐπ' εὐθείας πτώσεως ἐπ' οὐδενὸς γένους ἐστὶν εὑρεῖν ὅτι μὴ μόνον τὸ ἄορ

s Cod. ἐφύλαξεν.

καὶ ἦτορ οὐδετέροις· τὰ γὰρ λοιπὰ πάντα διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, Νέστωρ· Ἕκτωρ· κέλωρ· πέλωρ· ὕδωρ· τέκμωρ.

CKZ. Τῶν εἰς ωρ ληγόντων τὰ τὸ λ παραληγόμενα φυλάττει τὸ ω ἐπὶ γενικῆς· Ἕλωρος· πέλωρος· τὰ δὲ μὴ ἔχοντα τὸ λ, διὰ τοῦ ο, Κάστορος· Θέστορος· Νικάνορος· τὸ κοιαίστωρος τὴν ἀπὸ τέλους τρίτην γράφον διὰ τῆς αι διφθόγγου, τῆς ἀναλογίας τοῦτο οὐ παραδεχομένης, καθὸ οὐκ ἔστιν εὑρεῖν συλλαβὴν ἐν ἁπλῇ καὶ ἀκινήτῳ λέξει ἐχούσῃ μεθ' ἑαυτὴν δύο σύμφωνα κατὰ σύλληψιν, διὰ τῆς αι διφθόγγου γράφουσιν· ὁμοίως δὲ καὶ τὸ πραίτωρος φυλάττον τὸ ω, Ἰταλικὰ οὐχ Ἑλληνικά.

CKH. Τὰ διὰ τοῦ ιας δισύλλαβα καθαρὰ διὰ τῆς ει διφθόγγου γράφοντα τὴν πρὸ τέλους ἕν ἐστι τὸ φλειάς· τὰ δὲ διὰ τῆς αι διφθόγγου· τὸ Αἴας καὶ Λαίας· διὰ δὲ τῆς οι διφθόγγου τὸ Ποίας καὶ Δοίας· διὰ δὲ τοῦ υ ψιλοῦ τὸ Δρύας καὶ Ὕας καὶ ῥύας· οὔτε δὲ διὰ τοῦ ε ψιλοῦ, οὔτε δὲ διὰ τοῦ ω μεγάλου, ἀλλὰ διὰ τοῦ ο μικροῦ· κρόας· Θόας· ῥόας· μόας· πλόας· διὰ δὲ τοῦ ι· Βίας· Πρίας· Ἴας· Τίας.

CKΘ. Τὰ διὰ τοῦ ιας ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν· οἷον, πραγματίας· Ἱππίας· πωγωνίας· Γλαυκίας· τοξίας, πλὴν τοῦ Αἰνείας· παρείας· Ἑρμείας· Αὐγείας.

CΛ. Τὰ διὰ τοῦ εας ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ε ψιλοῦ γράφει τὴν παραλήγουσαν· οἷον, Βανέας· Βορέας· Ἀνδρέας· Θρασέας· Μενέας· Ἀριστέας· Μνασέας.

CΛA. Τὰ διὰ τοῦ υας ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ υ ψιλοῦ γράφεται· οἷον, Μαρσύας· Ἰχθύας· Ὀθρύας· Φλεγύας· Λινύας· Σατύας· Πακτύας.

CΛB. Εἰς ες λῆγον ἐπ' εὐθείας πτώσεως μονογενὲς οὐκ ἔστιν εὑρεῖν ἢ μόνον τὸ Κυνόσαργες ἐπὶ οὐδετέρου γένους· ἡ γὰρ τοιαύτη κατάληξις ἐπὶ μὲν οὐδετέρων τὰ παρασχηματισμένα ἀπὸ ἀρσενικῶν δείκνυσιν, ὡς ἔχει ὁ εὐγενὴς καὶ τὸ εὐγενές· ὁ εὐλαβὴς καὶ τὸ εὐλαβές, καὶ εἴτι ὅμοιον· ἐπὶ δὲ τῶν ἀρσενι-

κῶν ἑνικῶν μὲν κλητικὴν ἐπαγγέλλεται· Διόμηδες· Ἀριστόφανες· ἐπὶ δὲ τῶν πληθυντικῶν εὐθεῖαν· Αἴαντες· Θόαντες.

CΛΓ. Τὰ εἰς ης ὀνόματα ἔχοντα τὴν γενικὴν εἰς ου ἢ εἰς τος, ἢ εἰς ους περατουμένην, μὴ Βοιωτικῶς προϊόντα, διὰ τοῦ η γράφονται· οἷον, Πέρσης διὰ τοῦ η, ἡ γὰρ γενικὴ Πέρσου· ὁμοίως Ἰορδάνης, Ἰορδάνου γάρ· πένης ὅτι πένητος· ὁ Χάρης, τοῦ Χάρητος γὰρ, τὸ ἀρσενικόν· τὸ δὲ θηλυκὸν διὰ τοῦ ι, ὅπερ διὰ τοῦ δος κλίνεται, ὡς ἔρις ἔριδος· ἀλλὰ τροπὴν πέπονθεν τοῦ δ εἰς τὸ τ, καὶ γέγονεν χάριτος· πρόσκειται μὴ Βοιωτικῶς προϊόντα, διὰ τὸ λέβεις· πένεις· παρ' ἐκείνοις διὰ τῆς ει διφθόγγου γραφόμενα.

CΛΔ. Εἰς ης καθαρὸν ὀξύτονα τὸ ι παραληγόμενα δύο ἐστὶ, τὸ χαρίεις, ἐξ οὗ τὸ χαριέστερος συγκριτικὸν, καὶ τὸ ὑγιής.

CΛΕ. Τὰ εἰς της, εἴτε βαρύτονα, εἴτε ὀξύτονα, ἔχοντα πρὸ τοῦ τ τὸ σ, οὐκ οἶδε τὴν διὰ τῆς αι δίφθογγον πρὸ τέλους γραφήν· οἷον, κηδεστής· Ὀρέστης· Θυέστης· σεσημείωται τὸ παλαίστης διὰ διφθόγγου.

CΛϚ. Τὰ διὰ τοῦ ετης, εἴτε ὀξύτονα, εἴτε βαρύτονα, μηδενὸς συμφώνου πρὸ τοῦ γ ἡγουμένου, διὰ τοῦ ε ψιλοῦ γράφει τὴν παραλήγουσαν· εὑρετής· προπετής· εὐπετής· εὐνέτης· ὀφειλέτης· φυλέτης· ἐρέτης· στρατηγέτης.

CΛΖ. Τὰ εἰς της ἔχοντα πρὸ τοῦ τ ἀμετάβολον καθόλου πᾶσαν δίφθογγον ἀποστρέφεται, ἀλλὰ καὶ τὴν διὰ τοῦ η γραφὴν κατὰ τὴν παραλήγουσαν· οἷον, ὀξύντης· ἀγύρτης· ἐγέρτης· ὁρίντης· αὐθέντης· Λαέρτης· ποικιλτής· βιβύρτης.

CΛΗ. Τὰ εἰς της ἀπὸ τῶν διὰ τοῦ ιζω ῥημάτων γινόμενα διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν· οἷον, ὑβριστής· λεπιστής· ἐρανιστής· τὸ δανειστὴς μόνον διὰ τῆς ει διφθόγγου, ἐπεὶ καὶ τὸ δανείζω ῥῆμα· τὸ ὀρχηστὴς οὐκ ἀπὸ τοῦ ὀρχίζω, οὐδὲ γάρ ἐστιν, ἀλλ' ἀπὸ τοῦ ὀρχῶ, ὀρχήσω ὀρχητὴς, ὡς ἀπὸ τοῦ ποιήσω ποιητὴς, καὶ πλεονασμῷ τοῦ σ ὀρχηστής.

CΛΘ. Τὰ εἰς ης λήγοντα ἔχοντα πρὸ τοῦ η ἀμετάβολον οὐκ οἶδε τὴν αυ δίφθογγον ἐν τῇ πρὸ τέλους· οἷον, ἀχέλης· ἀχέ-

ρης· ὑπέρης· ἀμελής· εὐμενής· δυσμενής· ὑψικέρης· ἀφελής· Δημοσθένης.

CM. Τὰ διὰ τοῦ ινης κύρια βαρύτονα διὰ τοῦ ι γράφεται· Αἰσχίνης· Σμικρίνης· Λεπτίνης.

CMA. Τὰ διὰ τοῦ ηνης ὀξύτονα ἐπιθετικὰ διὰ τοῦ η γράφει τὴν παραλήγουσαν· οἷον, ἀπηνής· προσηνής· δυσηνής· τὸ ἀπινὴς ἐπὶ τοῦ κυρίου, διὰ ι γράφεται· πινὸς γὰρ ὁ ῥύπος· παρὸ Ἀπινὸς ὄνομα κύριον· ἐξ οὗ ἀπινὴς ὁ ἀμόλυντος.

CMB. Καθόλου τὰ εἰς ης σύνθετα ὀξύτονα καὶ βαρύτονα τὴν παραλήγουσαν ἔχει τὴν αὐτὴν τοῦ πρωτοτύπου· οἷον, σέβω τό σε ψιλόν· ἀσεβὴς, τό σε ψιλόν· σθένος ἀσθενής· εὐσθενής· Δημοσθένης· Καλλισθένης· διὰ τοῦ ε ψιλοῦ· λήθω ἀληθής· πείθω εὐπειθής· γένος εὐγενής· δυσγενής· προσγενής· κῆτος μεγακήτης· ἦθος εὐήθης· συνήθης· τέλος εὐτελής· ἐντελής· μένος εὐμενής· δυσμενής· μέρος ἀμερής.

CMΓ. Τὰ διὰ τοῦ ηρης ἅπαντα διὰ τοῦ η γράφει τὴν παραλήγουσαν· οἷον, τριήρης· ποδήρης· θυμήρης· μονήρης· μόνον τὸ πλήρης ἐκ πάντων δισύλλαβον εὕρηται· βούλονται δὲ αὐτὸ γεγενῆσθαι παρὰ τὸ πολὺ πολυήρης, καὶ κατὰ συγκοπὴν πλήρης.

CMΔ. Τὰ διὰ τοῦ υτης ὀξύτονα καὶ βαρύτονα διὰ τοῦ υ ψιλοῦ γράφεται· πρεσβύτης· ἐλύτης· βασανύτης· μεγύτης· Ἀρχύτης· πεδύτης· ἀλκυονύτης· κωλύτης· μηνύτης.

CME. Τὰ διὰ τοῦ ωτης καθαρὰ ὑπὲρ δύο συλλαβὰς βαρύτονα ἀρσενικὰ διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, στρατιώτης· νησώτης· ταξεώτης· βοώτης· γαλεώτης· Ἀμβρακιώτης· Μαρεώτης· ἀγγελιώτης· Ἰταλιώτης· Ἡρακλειώτης· πρόσκειται βαρύτονα ἀρσενικὰ διὰ τὸ ἁγιότης· ὁσιότης· πραότης· βαρύτονα καὶ καθαρὰ διὰ τοῦ ο μικροῦ γράφεται, ἀλλ' οὐκ ἀντίκειται ἡμῖν θηλυκὰ γάρ εἰσιν.

CMϛ. Τὰ διὰ τοῦ ωτης παρώνυμα βαρύτονα ἔχοντα πρὸ τοῦ ω σύμφωνον διὰ τοῦ ω μεγάλου γράφεται· ὁ δὲ κανὼν ἐπὶ ἀρσενικῶν· Περκώτης· Μαλλώτης· Ἠπειρώτης· Κολώτης· ἀσκαλαβώτης· δεσμώτης· δενδρώτης· λεσχηνώτης· ἀγρώτης,

καὶ ἐν πλεονασμῷ τοῦ σ ἀγρώστης· ὁμοίως δὲ μονώτης καὶ μονώστης· σεσημείωται διὰ τοῦ ο μικροῦ γραφόμενα· τὸ ὁμότης καὶ ξυνωμότης· δεσπότης· ἀγρότης· τοξότης· δημότης· ἱππότης· ἀκρότης.

CMZ. Τὰ διὰ ιτης παρώνυμα μὴ ὄντα ἀπὸ τῶν εἰς ευς, μήτε ἀπὸ τῶν εἰς η θηλυκῶν διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν· οἷον, ζευγίτης· στυλίτης· τεμενίτης· ἑρκίτης· Θερσίτης· πολίτης· μεσίτης· στεφανίτης· πυρίτης· ὁδίτης· ἐπαλξίτης· μαγνίτης· φεγγίτης· λυχνίτης· καὶ εἴτι ὅμοιον· πρόσκειται μὴ ὄντα ἀπὸ τῶν εἰς ευς, ἐπεὶ τὰ ἀπὸ τῶν εἰς ευς διὰ τοῦ ειτης γινόμενα διὰ τῆς ει διφθόγγου γράφει τὴν παραλήγουσαν· οἷον, ἱερεὺς ἱερείτης· Σαμαρεὺς Σαμαρείτης· Ἀταρνεὺς Ἀταρνείτης, καὶ εἴτι ὅμοιον· δεῖ προσθεῖναι καὶ εἴτι παρὰ τὸ ῥέω ῥῆμα παρήχθη, καὶ ταῦτα γὰρ διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, εὐρείτης, ὁ καλῶς ῥέων· βαθυῤῥείτης, ὁ εἰς βάθος ῥέων· ἀκαλλαρείτης, ὁ ἡσύχως ῥέων· ἀκαλὸν γὰρ παρὰ Σικελοῖς τὸ ἥσυχον· τὸ τραπεζίτης ἐπὶ διαφόρου σημασίας, διάφορον ἔσχε τῆς παραληγούσης τὴν γραφήν· ἐπὶ μὲν γὰρ τοῦ ἐν τῇ ἀγορᾷ διαπονουμένου διὰ τὸ ι γράφεται, παρὰ γὰρ τὸ τράπεζα· ἐπὶ δὲ τοῦ κυνὸς, ἐπεὶ ἀπὸ τοῦ τραπεζεὺς παρῆκται διὰ τῆς ει διφθόγγου γράφεται· τοῦτο δὲ παρ' Ἰβύκῳ εὕρηται κατὰ τροπὴν τῆς ει διφθόγγου εἰς η, ὥς φησὶν Ἡρωδιανὸς ἐν τῇ καθόλου· πρόσκειται μὴ ὄντα ἀπὸ τῶν εἰς η θηλυκῶν· ἐπεὶ τὰ ἀπὸ τῶν εἰς η θηλυκῶν διὰ τοῦ ητης παραγόμενα διὰ τοῦ η γράφεται· οἷον, πλάνη πλανήτης· κώμη κωμήτης· ὑπήνη ὑπηνήτης· κορύνη κορυνήτης· νίκη νικήτης· ἄλη ἀλήτης· κόμη κομήτης· λίμνη λιμνήτης· πλὴν τοῦ τεχνίτης· στυλίτης· στήλη στηλίτης· ἀφ' οὗ τὸ στηλιτεύω· ταῦτα γὰρ διὰ τοῦ ι γράφεται.

CMH. Τὰ διὰ τοῦ ωρης διὰ τοῦ ω μεγάλου γράφει τὴν παραλήγουσαν· οἷον, κατώρης· Διώρης ὄνομα κύριον· αὐτώρης[t] νεσσώρης· ὑλῃώρης· νεώρης· ἡ Λυκωρέος γενικὴ ἀπὸ τῆς Λυκωρεὺς[u] εὐθείας ἐκφερομένη οὖσα τετήρηται.

[t] Cod. αὐτόρης. [u] Cod. λυκορεύς.

ΣΜΘ. Τὰ διὰ τοῦ οιτης βαρύτονα, μὴ ὄντα παρώνυμα, διὰ τῆς οι διφθόγγου γράφονται· Δαμοίτης· Ἀγροίτης· Φιλοίτης· Μενοίτης· Ἀτοίτης· Θαμοίτης· Λοίτης· Ἀνεμοίτης· Ἀροίτης· Ἀνδροίτης· Σακοίτης· ἀλοίτης· τὸ πρεσβύτης· εὐλύτης· μεγύτης· βασανύτης· Ἀρχύτης· πιδύτης· ἀλκυονύτης, σεσημείωνται ὡς παρώνυμα διὰ μακροῦ τοῦ υ γράφοντα τὴν παραλήγουσαν.

ΣΝ. Τὰ διὰ τοῦ ωδης καθόλου διὰ τοῦ ω μεγάλου γράφει τὴν παραλήγουσαν· οἷον, γεώδης· ἀμμώδης· γραώδης· σαρκώδης, καὶ εἴτι ὅμοιον.

ΣΝΑ. Τὰ εἰς της ὀξύτονα ῥηματικὰ διὰ καθαροῦ τοῦ τ ἐκφερόμενα, πρώτης ἢ δευτέρας συζυγίας τῶν περισπωμένων ὑπάρχοντα, διὰ τοῦ η γράφει τὴν παραλήγουσαν· οἷον, ποιητής· μαθητής· ἀθλήτης· ἐγγυητής· φοιτητής· τρυγητής· ἀκονητής.

ΣΝΒ. Τὰ εἰς της ὀξύτονα καθαρὰ ἀπὸ τῆς τρίτης συζυγίας τῶν περισπωμένων ὁρμώμενα, διὰ τοῦ ω μεγάλου γράφει τὴν παραλήγουσαν· οἷον, σταυρώτης· χρυσώτης· βεβαιώτης· ζηλώτης· διορθώτης.

ΣΝΓ. Τὰ εἰς ος ἀρσενικὰ, εἴτε ἀπὸ εὐθείας, εἴτε ἀπὸ γενικῆς ποιοῦντα πατρωνυμικὰ εἰς δης, ἢ καὶ εἰς ων, διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν· οἷον, Πρίαμος Πριαμίδης· Πάνταλος Πανταλίδης [x]· Ἕκτωρ Ἕκτορος Ἑκτορίδης· Πέλοψ· Πέλοπος Πελοπίδης· Κέκροπος Κεκροπίδης.

ΣΝΔ. Τὰ ἀπὸ τῶν εἰς ευς, ἢ καὶ παρὰ τὸ κλέος εἰς δης παρήγμενα ἀρσενικὰ πατρωνυμικὰ, ἢ εἰς ων καθαρὸν, διὰ τῆς ει διφθόγγου γράφει τὴν παραλήγουσαν· οἷον, Ἀτρεὺς Ἀτρείδης Ἀτρείων· Πηλεὺς Πηλείδης Πηλείων· Ἡρακλῆς Ἡρακλείδης Ἡρακλείων· Χαρικλῆς Χαρικλείδης Χαρικλείων.

ΣΝΕ. Τὰ ἀπὸ ῥημάτων συγκείμενα τὴν αὐτὴν ἔχει τῷ ῥήματι γραφὴν κατὰ τὴν παραλήγουσαν· οἷον, λήθω ἀληθής· πείθω ἀπειθής· τρίβω ἀτριβής· παιδοτρίβης· κλίνω ἀκλίνης· εἴκω ἐπιεικής· πλήθω ἐμπληθής· δεῖ προσθεῖναι [y] χωρὶς τῶν ἀπὸ

[x] Leg. Τάνταλος Ταντανίδης. [y] Cod. προσθῆναι.

τοῦ δευτέρου μέλλοντος συγκειμένων· ὁποῖον ἐστὶν τὸ εὐλαβής· ἐλλιπής· ἐμφανὴς, καὶ εἴτι ὅμοιον.

CNϚ. Τὰ ἀπὸ οὐδετέρων συγκείμενα φυλάττει τὴν τοῦ οὐδετέρου γραφὴν κατὰ τὴν παραλήγουσαν· οἷον, ἦθος εὐήθης· συνήθης· κακοήθης· κῆτος μεγακήτης· εἶδος εὐειδής· τέλος εὐτελής.

CNZ. Τὰ ἀπὸ τῶν εἰς υς εἰς ης γινόμενα φυλάττει τὴν τοῦ πρωτοτύπου γραφὴν κατὰ τὴν παραλήγουσαν· οἷον, ἡδὺς ἀηδής· βριθὺς ἐμβριθής· ὠκὺς ποδώκης.

CNH. Τὰ διὰ τοῦ οτης θηλυκὰ διὰ τοῦ ο μικροῦ γράφει τὴν παραλήγουσαν· οἷον, λαμπρότης· ὁσιότης· γενναιότης· μεγαλειότης.

CNΘ. Τὰ εἰς ις ἀρσενικὰ τὲ καὶ θηλυκὰ, εἴτε ὀξύτονα, εἴτε βαρύτονα, διὰ τοῦ δος, ἢ διὰ τοῦ θος κλινόμενα, διὰ τοῦ ι γράφεται· οἷον, Πάρις Πάριδος· τίγρις τίγριδος· ἴασπις ἰάσπιδος· μέρμις μέρμιθος· ἔρις ἔριδος· ὄρνις ὄρνιθος· σεσημείωται τὸ κλεῖς κλειδὸς, καὶ ἀντίρεις ἀντίρειδος διὰ τῆς ει διφθόγγου γραφόμενα.

CΞ. Τὰ εἰς ις προσηγορικὰ διὰ τοῦ εος κλινόμενα, καὶ τρέποντα τῆς γενικῆς τὸ ο εἰς ω Ἀττικῶς, διὰ τοῦ ι γράφονται· οἷον, πόλις· νῆστις· ἔχις· ὄφις· πόσις· ὕννις· ῥάχις· ἶβις· λέξις· θέσις· γνῶσις· πρόσκειται τρέποντα τὸ ο[z] εἰς ω Ἀττικῶς, ἐπεὶ τὸ εὐγενὴς κλίνεται μὲν διὰ τοῦ εος, εὐγενέος γὰρ λέγομεν· ἀλλὰ μὴ τρέποντα τὸ ο εἰς ω Ἀττικῶς οὐχ ὑποπίπτει τῷ κανόνι.

CΞA. Τὰ εἰς εις ὀνόματά τε καὶ μετοχαὶ διὰ τοῦ εντος, ἢ διὰ καθαροῦ τοῦ νος ποιοῦντα τὴν γενικὴν, καὶ μὴ Σικελικῷ ἔθει διὰ τοῦ εντος κλινόμενα, διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, πυρόεις, πυρόεντος γάρ· Σιμόεις Σιμόεντος· εἷς ὁ ἀριθμὸς, ἑνὸς γάρ· κτεὶς τὸ ὄστρεον, κτενὸς γάρ· δεῖς ὁ μετὰ τῆς μὴ ἀπαγορεύσεως, καὶ τῆς οὐ ἀποφάσεως γίνεται μηδεὶς καὶ οὐδείς· μηδενὸς γὰρ καὶ οὐδενός· τυφθεὶς τυφθέντος· δαρεὶς δαρέντος· καὶ εἴτι ὅμοιον· τὸ Κλήμης Κλήμεντος, καὶ Κρήσκης Κρήσκεντος· Οὐάλης Οὐάλεντος· Μάνης Μάνεν-

CΜΘ. Τὰ διὰ τοῦ οιτης βαρύτονα, μὴ ὄντα παρώνυμα, διὰ τῆς οι διφθόγγου γράφονται· Δαμοίτης· Ἀγροίτης· Φιλοίτης· Μενοίτης· Ἀτοίτης· Θαμοίτης· Λοίτης· Ἀνεμοίτης· Ἀροίτης· Ἀνδροίτης· Σακοίτης· ἀλοίτης· τὸ πρεσβύτης· εὐλύτης· μεγύτης· βασανύτης· Ἀρχύτης· πιδύτης· ἀλκυονύτης, σεσημείωνται ὡς παρώνυμα διὰ μακροῦ τοῦ υ γράφοντα τὴν παραλήγουσαν.

CΝ. Τὰ διὰ τοῦ ωδης καθόλου διὰ τοῦ ω μεγάλου γράφει τὴν παραλήγουσαν· οἷον, γεώδης· ἀμμώδης· γραώδης· σαρκώδης, καὶ εἴτι ὅμοιον.

CΝΑ. Τὰ εἰς της ὀξύτονα ῥηματικὰ διὰ καθαροῦ τοῦ τ ἐκφερόμενα, πρώτης ἢ δευτέρας συζυγίας τῶν περισπωμένων ὑπάρχοντα, διὰ τοῦ η γράφει τὴν παραλήγουσαν· οἷον, ποιητής· μαθητής· ἀθλήτης· ἐγγυητής· φοιτητής· τρυγητής· ἀκονητής.

CΝΒ. Τὰ εἰς της ὀξύτονα καθαρὰ ἀπὸ τῆς τρίτης συζυγίας τῶν περισπωμένων ὁρμώμενα, διὰ τοῦ ω μεγάλου γράφει τὴν παραλήγουσαν· οἷον, σταυρώτης· χρυσώτης· βεβαιώτης· ζηλώτης· διορθώτης.

CΝΓ. Τὰ εἰς ος ἀρσενικὰ, εἴτε ἀπὸ εὐθείας, εἴτε ἀπὸ γενικῆς ποιοῦντα πατρωνυμικὰ εἰς δης, ἢ καὶ εἰς ων, διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν· οἷον, Πρίαμος Πριαμίδης· Πάνταλος Πανταλίδης[x]· Ἕκτωρ Ἕκτορος Ἑκτορίδης· Πέλοψ· Πέλοπος Πελοπίδης· Κέκροπος Κεκροπίδης.

CΝΔ. Τὰ ἀπὸ τῶν εἰς ευς, ἢ καὶ παρὰ τὸ κλέος εἰς δης παρήγμενα ἀρσενικὰ πατρωνυμικὰ, ἢ εἰς ων καθαρὸν, διὰ τῆς ει διφθόγγου γράφει τὴν παραλήγουσαν· οἷον, Ἀτρεὺς Ἀτρείδης Ἀτρείων· Πηλεὺς Πηλείδης Πηλείων· Ἡρακλῆς Ἡρακλείδης Ἡρακλείων· Χαρικλῆς Χαρικλείδης Χαρικλείων.

CΝΕ. Τὰ ἀπὸ ῥημάτων συγκείμενα τὴν αὐτὴν ἔχει τῷ ῥήματι γραφὴν κατὰ τὴν παραλήγουσαν· οἷον, λήθω ἀληθής· πείθω ἀπειθής· τρίβω ἀτριβής· παιδοτρίβης· κλίνω ἀκλίνης· εἴκω ἐπιεικής· πλήθω ἐμπληθής· δεῖ προσθεῖναι[y] χωρὶς τῶν ἀπὸ

x Leg. Τάνταλος Ταντναλίδης. y Cod. προσθῆναι.

τοῦ δευτέρου μέλλοντος συγκειμένων· ὁποῖον ἐστὶν τὸ εὐλαβής· ἐλλιπής· ἐμφανὴς, καὶ εἴτι ὅμοιον.

CNϚ. Τὰ ἀπὸ οὐδετέρων συγκείμενα φυλάττει τὴν τοῦ οὐδετέρου γραφὴν κατὰ τὴν παραλήγουσαν· οἷον, ἦθος εὐήθης· συνήθης· κακοήθης· κῆτος μεγακήτης· εἶδος εὐειδής· τέλος εὐτελής.

CNZ. Τὰ ἀπὸ τῶν εἰς υς εἰς ης γινόμενα φυλάττει τὴν τοῦ πρωτοτύπου γραφὴν κατὰ τὴν παραλήγουσαν· οἷον, ἡδὺς ἀηδής· βριθὺς ἐμβριθής· ὠκὺς ποδώκης.

CNH. Τὰ διὰ τοῦ οτης θηλυκὰ διὰ τοῦ ο μικροῦ γράφει τὴν παραλήγουσαν· οἷον, λαμπρότης· ὁσιότης· γενναιότης· μεγαλειότης.

CNΘ. Τὰ εἰς ις ἀρσενικὰ τὲ καὶ θηλυκὰ, εἴτε ὀξύτονα, εἴτε βαρύτονα, διὰ τοῦ δος, ἢ διὰ τοῦ θος κλινόμενα, διὰ τοῦ ι γράφεται· οἷον, Πάρις Πάριδος· τίγρις τίγριδος· ἴασπις ἰάσπιδος· μέρμις μέρμιθος· ἔρις ἔριδος· ὄρνις ὄρνιθος· σεσημείωται τὸ κλεῖς κλειδὸς, καὶ ἀντίρεις ἀντίρειδος διὰ τῆς ει διφθόγγου γραφόμενα.

CΞ. Τὰ εἰς ις προσηγορικὰ διὰ τοῦ εος κλινόμενα, καὶ τρέποντα τῆς γενικῆς τὸ ο εἰς ω Ἀττικῶς, διὰ τοῦ ι γράφονται· οἷον, πόλις· νῆστις· ἔχις· ὄφις· πόσις· ὕννις· ῥάχις· ἶβις· λέξις· θέσις· γνῶσις· πρόσκειται τρέποντα τὸ ο[1] εἰς ω Ἀττικῶς, ἐπεὶ τὸ εὐγενὴς κλίνεται μὲν διὰ τοῦ εος, εὐγενέος γὰρ λέγομεν· ἀλλὰ μὴ τρέποντα τὸ ο εἰς ω Ἀττικῶς οὐχ ὑποπίπτει τῷ κανόνι.

CΞA. Τὰ εἰς εις ὀνόματά τε καὶ μετοχαὶ διὰ τοῦ εντος, ἢ διὰ καθαροῦ τοῦ νος ποιοῦντα τὴν γενικὴν, καὶ μὴ Σικελικῷ ἔθει διὰ τοῦ εντος κλινόμενα, διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, πυρόεις, πυρόεντος γάρ· Σιμόεις Σιμόεντος· εἷς ὁ ἀριθμὸς, ἑνὸς γάρ· κτεὶς τὸ ὄστρεον, κτενὸς γάρ· δεῖς ὁ μετὰ τῆς μὴ ἀπαγορεύσεως, καὶ τὴς οὐ ἀποφάσεως γίνεται μηδεὶς καὶ οὐδείς· μηδενὸς γὰρ καὶ οὐδενός· τυφθεὶς τυφθέντος· δαρεὶς δαρέντος· καὶ εἴτι ὅμοιον· τὸ Κλήμης Κλήμεντος, καὶ Κρήσκης Κρήσκεντος· Οὐάλης Οὐάλεντος· Μάνης Μάνεν-

τος διὰ τοῦ εντος κλινόμενα, καὶ τὰς εὐθείας ἔχοντα διὰ τοῦ η, οὐ τῆς κοινῆς ἀλλὰ τῆς Σικελικῆς ἀρχαιότητος ἴδιον, ὡς φησὶν ὁ Ἡρωδιανὸς ἐν τῷ Ὀνοματικῷ.

CΞB. Τὰ διὰ τοῦ αιος ἀρσενικὰ κύριά τε καὶ προσηγορικὰ ὀξύτονα δισύλλαβα διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, λαιὸς ὁ εὐώνυμος· σκαιὸς ὁ δόλιος· ἔστι δὲ καὶ κύριον ὄνομα· φαιὸς ὁ μέσον λευκοῦ καὶ μέλανος· Σαβαιὸς ὄνομα ἔθνους· βαιὸς ἐπὶ τοῦ ὀλίγου ἢ τοῦ μόνου· ἔστι δὲ καὶ κύριον ὄνομα βαρυτονουμένου· σεσημείωται τὸ θεὸς διὰ τοῦ ε ψιλοῦ γραφόμενον· γεγονέναι δὲ τὸ ὄνομα φασὶν οἱ περὶ ταῦτα σοφοὶ ἀπὸ τοῦ θῶ ῥήματος, θὸς, καὶ ἐπεὶ εἰς ος λῆγον ὄνομα μονοσύλλαβον οὐκ ἔστιν εὑρεῖν, τοῦτο γὰρ ἄρθρων καὶ ἀντωνυμιῶν ἴδιον, ἐπλεόνασε τὸ ε καὶ ἐγένετο θεός· τὸ κλέος· σπέος βαρύτονα καὶ οὐδέτερα οὐκ ἀντίκεινται.

CΞΓ. Τὰ διὰ τοῦ ειος ἀρσενικὰ δισύλλαβα βαρύτονα, ἔχοντα οὐδετέρου παρασχηματισμὸν διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, μεῖος· θεῖος· Κεῖος· ῥεῖος· χρεῖος, ὁ χρήζων· πλεῖος· λεῖος· τὸ νειὸς ὀξύτονον καὶ αὐτὸ διὰ τῆς ει διφθόγγου γραφόμενον, μὴ ὂν ἀρσενικὸν, μήδε ἔχον οὐδετέρου παρασχηματισμὸν ἐπὶ τῆς ἀνανεουμένης γῆς μονῆρες.

CΞΔ. Τὰ διὰ ιος δισύλλαβα ἀπὸ συμφώνου ἢ συμφώνων ἀρχόμενα, εἴτε κύρια, εἴτε προσηγορικὰ, διὰ μακροῦ τοῦ ι γράφεται· οἷον, Πῖος· Χῖος· δῖος· Θρῖος· Γρῖος· Φθῖος· κρῖος· κἂν τε βαρύνοιτο, κἂν τε ὀξύνοιτο· τούτοις ὅμοιον κατά τε γραφὴν καὶ χρόνον, τὸ ἰὸς ὀξύτονον ἐπὶ τοῦ βέλους, εἰ καὶ μὴ ἀπὸ συμφώνου ἢ συμφώνων ἦρξατο· σεσημείωται τὸ Ἰὸς ἐπὶ τῆς νήσου· δηλοῖ δὲ καὶ τὸν μόνον· Τῖος ὄνομα πόλεως· Χῖος ὄνομα νήσου· Κῖος ὄνομα ποταμοῦ καὶ ἔθνους· βίος ἐπὶ τῆς ζωῆς· ἐπὶ γὰρ τοῦ βέλους ὀξύνεται, ὅτι διὰ βραχέος τοῦ ι γράφεται.

CΞΕ. Τὰ διὰ τοῦ υος δισύλλαβα οὐδέτερα, εἴτε κύρια εἴτε προσηγορικὰ, μονογενῆ διὰ τοῦ υ ψιλοῦ γράφονται· πύος· τρύος· κρύος· θύος· φῦος· ῥῦος· σεσημείωται τὸ Δρῦος ὄνομα κύριον υἱὸς Αἰγύπτου, καὶ τὸ φλύος ὅτι ἀρσενικὰ, καὶ τὸ νυὸς ὅτι θηλυκὸν καὶ ὀξύτονον ὅμως, ὅτι καὶ αὐτὰ διὰ τοῦ υ

ψιλοῦ γράφεται· πρόσκειται μονογενῆ διὰ τὸ ποῖος καὶ οἷος, κἄντε προπερισπῶνται, κἄντε ὀξύνονται· καὶ τὸ τοῖος, ἐξ οὗ παράγωγον τὸ τοιοῦτος· ταῦτα γὰρ οὐ μονογενῆ, καὶ διὰ τῆς οι διφθόγγου γράφονται.

CΞϚ. Τὰ διὰ τοῦ εος δισύλλαβα ἀπὸ συμφώνου ἢ συμφώνων ἀρχόμενα βαρύτονα, διὰ τοῦ ε ψιλοῦ γράφεται· φλέος· Κέος· Τέος· πλέος· νέος· οἷς ἀκόλουθον τὸ ἔος ἐπὶ τοῦ ἀγαθοῦ οὐκ ἀπὸ συμφώνου ἀρξάμενον.

Τὰ διὰ τοῦ οος δισύλλαβα κύριά τε καὶ προσηγορικὰ ἀπὸ συμφώνου ἢ συμφώνων ἀρχόμενα, μὴ κτητικῆς ἐννοίας ἐχόμενα, διὰ τοῦ ο μικροῦ γράφει τὴν παραλήγουσαν· οἷον, γόος· θρόος· πλόος· φλόος· σόος· εἴτε τὸ κύριον, εἴτε τὸ προσηγορικόν· ὅπερ ἡ συνήθεια νῦν διὰ τοῦ ω γράφει, τινὲς δὲ καὶ σὺν τῷ ι· Κόος ὄνομα τόπου· γέγονεν δὲ ἀπὸ τῆς Κέος τροπῇ τοῦ ε εἰς ο ἐπὶ τοῦ αὐτοῦ σημαινομένου· ὁμοίως, φλέος φλόος· πλέος πλόος· νέος νόος· πρόσκειται μὴ κτητικῆς ἐννοίας ἐχόμενα διὰ τὸ Κῷος· δηλοῖ δὲ τὸν πολίτην τῆς Κῶ· τοῦτο γὰρ διὰ τῆς ωι διφθόγγου γράφεται.

CΞΖ. Τὰ διὰ τοῦ ῳος κτητικὰ διὰ τῆς ωι διφθόγγου γράφεται· οἷον, Κῷος· Μινῷος[a]· ἡρῷος· ἀνδρῷος· ἀστρῷος· πατρῷος.

CΞΗ. Τὰ διὰ τοῦ οιος δισύλλαβα ἀρσενικὰ, εἴτε κύρια, εἴτε προσηγορικὰ, εἴτε προπερισπώμενα, εἴτε ὀξύτονα, εἴτε πυσματικὰ, εἴτε ἀναφορικὰ, διὰ τῆς οι διφθόγγου γράφονται· οἷον, σμοῖος τὸ ἐπιθετικόν· σκοῖος ὁ σκολιός· δοῖος· μνοῖος ὁ ἰπνός· γλοῖος ἡ κόπρος· Βοῖος τὸ ἔθνος, δηλοῖ δὲ καὶ ὄνομα κύριον· φλοιός· κλοιὸς ὃ καὶ κλῳὸς λέγεται· τοῖος· ποῖος· τό τε προπερισπώμενον τό τε ὀξύτονον· τό τε ψιλούμενον καὶ τὸ δασυνόμενον· κοῖος· ποῖος· οἷος· τό τε ὀξύτονον· δηλοῖ δὲ δῆμον Ἀττικὸν καὶ πόλιν Κρητικὴν, καὶ ὄνομα λιμένος καὶ ῥεῖθρον.

CΞΘ. Τὰ εἰς ος λήγοντα καθαρὸν δισύλλαβα τῇ υι διφθόγγῳ παραληγόμενα δύο ἐστιν· υἱὸς καὶ γυιός· ταῦτα δὲ Ἀττικοὶ ἄνευ τοῦ ι γράφουσιν.

[a] Cod. μηνῶιος.

CO. Τὰ διὰ τοῦ λεος τρισύλλαβα ὀξύτονα μονογενῆ ἁπλᾶ διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, Ἀλεὸς ὄνομα κύριον· εἰλεὸς ἡ νόσος· παλεὸς ὁ σκώπτης [b]· τίθεται δὲ καὶ ἐπὶ τοῦ ἄφρονος· γαλεὸς τὸ ζῷον καὶ μάντεων γένος· Κελεός· κολεός· μαλεός· πελεός· ἐλεός· τό τε κύριον καὶ τὸ σημαῖνον τὸν ἐλεεινὸν, ἤγουν τὸν ἀπὸ τοῦ ἔλους· συναπηνέχθη δ' αὐτοῖς κατὰ τὴν γραφὴν εἰ καὶ μὴ κατὰ τόνον, τὸ μέλεος, προπαροξύτονον, σύνθετον ὂν παρὰ τὸ μὴ ἐλεεῖν· ἢ παρὰ τὸ μὴ λῶ, ὃ δηλοῖ τὸ θέλω· τὸ γὰρ τέλεος· κήλεος ὁ καυστικὸς, κατὰ πάθος, ἀπὸ τοῦ τέλειος· κήλειος; κατὰ ἀποβολὴν τοῦ ι.

COA. Τὰ εἰς ος λήγοντα καθαρὸν ὀξύτονα ὑπὲρ δύο συλλαβὰς, παραληγόμενα τῇ νε συλλαβῇ διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, ἐνεός· Φηνεός· γενεός· ἀφνεός· κανεός· Ἐλινεὸς ὄνομα ἔθνους· λαϊνεὸς, ἐλαϊνεὸς, ὁμοίως κατὰ τὴν γραφὴν, λέγεται γὰρ καὶ ἄνευ τοῦ ε· τὸ κυάνεος προπαροξύτονον κτητικὸν ἀποβολὴν ἔπαθεν τοῦ ι ἀπὸ τοῦ κυάνειος γεγονός· τὸν τόνον ἀμείψαν, τὴν γραφὴν ἐφύλαξεν.

COB. Τὰ εἰς ος καθαρὸν ὑπὲρ δύο συλλαβὰς ὀξύτονα ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων γινόμενα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, φωλεύω φωλεός· κηδεύω κηδεός· ὀχεύω ὀχεός· καὶ ἐν πλεονασμῷ τοῦ σ ὀσχεός· ὀρεύω ὀρεός· μεδεύω Μεδεός, ὄνομα κύριον· σωρεύω σωρεός· τούτοις ἀκόλουθον καὶ τὸ θυρεὸς, εἰ καὶ μὴ ἔχει πρωτότυπον ῥῆμα διὰ τοῦ ευω· δηλοῖ δὲ τὴν ἀσπίδα, ἐπὶ γὰρ τοῦ οιδοῦ θυραῖος λέγεται προπερισπωμένως [c]· παρὰ γὰρ τὸ θύρα, ὡς ὥρα ὡραῖος.

COΓ. Τὰ ἀπὸ τῶν εἰς τος ὀξυτόνων ἀπὸ ῥημάτων παρηγμένων κατὰ πλεονασμὸν τοῦ ε, παροξυνόμενα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, γραπτὸς γραπτέος· μεμπτὸς μεμπτέος· λαλητὸς λαλητέος· νοητὸς νοητέος· ποιητὸς ποιητέος· γνωστὸς γνωστέος· εἰ οὖν εὐκτὸς εὐκτέος ὥστε διὰ τῆς αι διφθόγγου γραφόμενον, ἀδιάγνωστον ἁμάρτημα· τὸ ἐτὸς ὀξύτονον ποιῆσαν τὸ ἐτεὸς ὀξύτονον, τὸν τόνον ἀμείψαν τὴν γραφὴν ἐφύ-

b MS. σκόπτης. c Cod. προπερισπωμένως.

λαξεν τοῖς πρὸ αὐτοῦ· γέγονεν δὲ ἀπὸ τοῦ εἰμὶ δηλοῦντος τὸ ὑπάρχω· ἔτος· ἀφ' οὗ παράγωγον τὸ ἔτυμος διὰ τοῦ υ ψιλοῦ, δηλοῖ δὲ τὸν ἀληθῆ· ὁ γὰρ ἀληθὴς ἀεὶ τὰ ὄντα καὶ ὑφεστῶτα πρεσβεύει, ὥσπερ ἐκ τοῦ ἐναντίου ὁ ψευδόμενος τὰ μὴ ὑπάρχοντα καὶ μὴ ὑφεστῶτα· ἀπὸ γοῦν τοῦ ἐτὸς ὀξυτόνου, ἐν πλεονασμῷ τοῦ ε γέγονεν ἐτεὸς, ὡς ἀπὸ τοῦ κενὸς κενεὸς ὀξείᾳ τάσει.

ΣΟΔ. Τὰ *διὰ τοῦ αλεος παροξύτονα παράγωγα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, νηφαλέος· ῥωμαλέος· ὀπταλέος· σμερδαλέος· ἰκμαλέος· κερδαλέος· καρφαλέος· φρικαλεός· ἁρπαλεός· τὸ δαιδάλεος· κονισάλεος· αἰθάλεος· ἀτασθάλεος, κοινωνήσαντα τῇ γραφῇ τὸν τόνον διήλλαξαν, ἀπὸ τοῦ δαιδάλειος· κονισάλειος· αἰθάλειος, γεγονότα κατὰ ἀποβολὴν τοῦ ι, καὶ τὸ ἀτασθάλεος κατὰ πλεονασμὸν τοῦ ε.*

ΣΟΕ. Τὰ *εἰς ος λήγοντα καθαρὸν ἁπλᾶ κατὰ τὴν κοινὴν διάλεκτον τὸ η παραληγόμενα οὐκ ἔστιν εὑρεῖν, εἰ μὴ τὸ αἰζηὸς, καὶ αὐτὸ ἐκ πάθους, καὶ τὸ πηὸς ὁ συγγενής· πρόσκειται κατὰ τὴν κοινὴν διάλεκτον· ἐπεὶ τὸ παλῃός· ἀρχῃός·* Ἀχῃὸς Βοιώτιᾳ *ἐστιν κατὰ τροπὴν τῆς αι διφθόγγου εἰς η ὡς καὶ τὸ ὄρηος·* Λύκηος, Λακονικά· *πρόσκειται ἁπλᾶ διὰ τὸ πολύνηος· ἐχένηος σύνθετα· παρὰ γὰρ τὸ ναῦς νηὸς συνετέθη.*

ΣΟΖ. Τὰ *διὰ τοῦ υος καθαροῦ ὑπὲρ δύο συλλαβὰς κύρια προπαροξύτονα διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον,* Σίκυος· Πέρυος, *ὄνομα ποταμοῦ·* Κάνδυος· Ἀλάσυος· Φόγγυος· Ἐρύγυος· Νώγυος, *ὄνομα ποταμοῦ.*

ΣΟΗ. Τὰ *διὰ τοῦ αιος καθαροῦ ἀπὸ τῶν εἰς η θηλυκῶν ὀξυτόνων γεγενημένα διὰ τῆς αι διφθόγγου γράφονται, καὶ προπερισπῶνται· οἷον, ἀρχὴ ἀρχαῖος· πηγὴ πηγαῖος· ἀμοιβὴ ἀμοιβαῖος· σπουδὴ σπουδαῖος· τροπὴ τροπαῖος· εὐνὴ εὐναῖος.*

ΣΟΘ. Τὰ *διὰ τοῦ μαιος, εἴτε κύρια, εἴτε προσηγορικὰ διὰ τῆς αι διφθόγγου γράφονται· οἷον,* Πτολεμαῖος· Ἰδουμαῖος· *δρομαῖος· ἀκμαῖος· ἱμαῖος ἡ ἐπιμύλιος ᾠδή· δηλοῖ δὲ καὶ ὄνομα κύριον.*

ΣΠ. Τὰ *διὰ τοῦ δαιος, εἴτε κύρια, εἴτε προσηγορικὰ διὰ τῆς αι*

διφθόγγου γράφονται· οἷον, Ἰουδαῖος· Χαλδαῖος· σπουδαῖος· Θαδδαῖος· ῥαγδαῖος· χυδαῖος· σταδαῖος[c]· ὀπιδαῖος.

CΠΑ. Τὰ διὰ τοῦ αιος ὑπὲρ τρεῖς συλλαβὰς πρὸ μιᾶς ἔχοντα τὸν τόνον, διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, ἀγοραῖος· Ἀμυκλαῖος· Ἀθηναῖος· κορυφαῖος· Δερκεταῖος· Ἀριδαῖος· τούτοις ὅμοιον καὶ τὸ ὑμέναιος κατὰ γραφὴν εἰ καὶ μὴ κατὰ τόνον· ἐτυμολογοῦσι δὲ τὸ ὄνομα ἀπὸ τοῦ ὁμοῦ ναίειν ὁμοναῖος, καὶ τροπῇ Αἰολικῇ τοῦ ο εἰς υ, καὶ τοῦ κατὰ τὸ μέσον ο εἰς ε ὑμέναιος· Ἱμεραῖος· ἡμεραῖος· ταλαντιαῖος· ἀρουραῖος· πηχυαῖος· ὀργυαῖος.

CΠΒ. Τὰ διὰ τοῦ χαιος προπερισπώμενα διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, ἀρχαῖος· τροχαῖος· λοχαῖος· λεχαῖος· νυχαῖος· Μαρδοχαῖος· ἡσυχαῖος· Παγγαῖος· τούτοις ὅμοιον κατὰ τὴν γραφὴν τὸ Ἀχαιὸς ὀξυνόμενον.

CΠΓ. Τὰ διὰ τοῦ αιος ὀξύτονα τρισύλλαβα ἀπὸ οὐδετέρων δισύλλαβα παρῆγμενα διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, γῆρας γηραιός· γέρας γεραιός· κράτος κραταιός· ἄχος ἀχαιός· τὸ ἀρεὸς ἀπὸ τοῦ ῥέω ῥήματος, ὃ δηλοῖ τὸ φθείρω, γέγονε ῥεός, καὶ ἐν πλεονασμῷ τοῦ α ἀραιὸς, μετελθούσης τῆς δασείας τοῦ ρ εἰς τὸ α, καθὼς καὶ ἐπὶ τοῦ ῥέζω καὶ ἔρδω· οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου.

CΠΔ. Τὰ διὰ τοῦ αιος προπερισπώμενα διὰ τῆς αι διφθόγγου γράφονται, ἀπὸ τῶν εἰς α, ἢ εἰς η, ἢ εἰς ος παραγόμενα· οἷον, πύλη πυλαῖος· ὕλη ὑλαῖος· Πέλλη Πελλαῖος· ὥρα ὡραῖος· θύρα θυραῖος· δρόμος δρομαῖος· τὸ φύλαιος· δείλαιος προπαροξύτονα, καὶ τὸ ἐλαιὸς ὀξύτονον, κατὰ τόνον μόνον διήλλαξεν.

CΠΕ. Τὰ διὰ τοῦ αιος τρισύλλαβα προπερισπώμενα ἔχοντα κατ᾽ ἀρχὴν δύο σύμφωνα ἢ καὶ πλείονα, εἴτε κατὰ σύλληψιν, εἴτε κατὰ διάστασιν, διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, Ἀγκαῖος· Ἀνταῖος· Ἀρναῖος· Τυμφαῖος ὄνομα ἔθνους· Τριγκαῖος· ἐρσαῖος· Ἑρμαῖος· ἀρχαῖος· Δικταῖος· Ἀλκαῖος· Μενδαῖος· βαρκαῖος εἶδος ἰχθύος.

c MS. στοδαῖος.

CΠϚ. Τὰ διὰ τοῦ αιος τρισύλλαβα, ἔχοντα τὴν πρώτην τὴν διὰ τοῦ υ, προπερισπώμενα διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, ὑλαῖος· χυδαῖος· Λυαῖος· Λυγαῖος ὄνομα κύριον προπαροξύτονον τὴν γραφὴν φυλάξαν τὸν τόνον ἤμειψεν.

CΠΖ. Τὰ διὰ τοῦ αιος τρισύλλαβα, ἔχοντα ἐν τῇ πρώτῃ συλλαβῇ τὸ ι βραχὺ, προπερισπώμενα διὰ τῆς αι διφθόγγου γράφονται· Βιλλαῖος, ὄνομα ποταμοῦ· Ἰμαῖος ὄνομα κύριον· Νισαῖος· Πισαῖος· Κρισαῖος· Θιαῖος· οἷς ὅμοιον κατὰ τὴν γραφὴν τὸ φίλαιος· βίαιος· δίκαιος, εἰ καὶ κατὰ τὸν τόνον διήλλαξεν· ἐπιστατέον οὖν τὸ Τίμαιος· Νίκαιος ἐκτείνοντα τὸ ι.

CΠΗ. Τὰ διὰ τοῦ αιος προπερισπώμενα, ἔχοντα πρὸ τῆς αι ἕν τι τῶν διπλῶν, ἢ τὸ σ διὰ τῆς αι διφθόγγου γράφονται· κολαξαῖος· Γαζαῖος· Στρεψαῖος, ὁ Ἑρμῆς παρὰ τῷ[d] Ἀριστοφάνει παρὰ τὸ διεστράφθαι τὰς ὄψεις· Νισαῖος· χαρσαῖος[e]· Πισαῖος· Μουσαῖος· Δερσαῖος ὄνομα ἔθνους.

CΠΘ. Τὰ παρ' ἐπίῤῥημα διὰ τοῦ αιος διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, πάλαι παλαιός· δηναιός[f]· χυδαῖος· ῥαγδαῖος· Ἀδαῖος· σταδαῖος· ἀνταῖος· Ἀγκαῖος παρὰ τὸ ἀγκάς· μάταιος.

CϘ. Τὰ διὰ τοῦ αιος ἀπὸ ῥημάτων, εἴτε κύρια, εἴτε προσηγορικὰ, καὶ προπαροξύνεται, καὶ διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, τιμῶ Τίμαιος· λύω Λύαιος· ὀνόματα κύρια· ματῶ μάταιος· τὸ βέβαιος παρὰ τὸ βιβῶ βίβαιος, καὶ τροπῇ Αἰολικῇ τοῦ ι εἰς ε ὡς ἀγχίμαχοι ἀγχέμαχοι· ἀδίκαστος ἀδέκαστος, γέγονε βέβαιος.

CϘΑ. Τὰ διὰ τοῦ οιος ὀξύτονα ὑπὲρ δύο συλλαβὰς διὰ τῆς οι διφθόγγου γράφονται· οἷον, κολοιός· ψοθοιὸς ὁ ἀκάθαρτος· τὸ Ζάτοιος· Ἄθοιος κύρια ὄντα προπαροξύνονται· οἷς ὅμοιον καὶ τὸ τραπέζοιος, Βοιωτιακὸν ὂν, καὶ κατὰ τόνον καὶ κατὰ τὴν γραφήν.

CϘΒ. Τὰ διὰ τοῦ οιος ὑπὲρ δύο συλλαβὰς προπερισπώμενα, εἴτε

[d] Cod. τὸ. [e] Leg. χερσαῖος. [f] Cod. διναιός.

κύρια, εἴτε προσηγορικὰ, διὰ τῆς οι διφθόγγου γράφονται· οἷον, ἀλλοῖος· αἰδοῖος· ἑτεροῖος· γελοῖος· ἠοῖος ὁ τῆς ἠοῦς· ὁποῖος· ὁμοῖος· τοῦτο οἱ νεώτεροι Ἀττικοὶ δὲ προπαροξύνουσιν.

CϞΓ. Τὰ διὰ τοῦ ινδος, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς, διὰ του ι γράφονται· οἷον, Ἰνδός· Ἄλινδος· Ἴσινδος πόλις Μακεδονίας· Ἄρινδος ὄνομα ποταμοῦ· Βερέκινδος.

CϞΔ. Τὰ διὰ τοῦ ηθος δισύλλαβα διὰ τοῦ η γράφονται· Λῆθος ὄνομα κύριον· Σῆθος ὄνομα ποταμοῦ Σκυθίας· Ζῆθος ὄνομα κύριον· σεσημείωται τὸ λίθος ἐπὶ τῆς πέτρας, καὶ τὸ πίθος διὰ τοῦ ι γραφόμενα.

CϞΕ. Τὰ διὰ τοῦ οθος δισύλλαβα διὰ τοῦ ο μικροῦ γράφονται· νόθος· πόθος· ῥόθος· ψόθος ὁ ψόφος· μόθος· Κόθος ὄνομα κύριον· σεσημείωται τὸ κῶθος τὸ προσηγορικὸν διὰ τοῦ ω μεγάλου γραφόμενον· δηλοῖ δὲ τὸν κωβίον.

CϞϚ. Τὰ διὰ τοῦ υθος δισύλλαβα διὰ τοῦ υ ψιλοῦ γράφονται, εἰ καὶ σπάνιοι αἱ λέξεις· οἷον μῦθος, τοῦτο ἐκτείνει τὸ υ· ζύθος ὁ ἐκ κριθῆς οἶνος· γνύθος τὸ κοῖλον τῆς πέτρας καὶ ὁ βοθρός· τὸ βυθὸς τὴν γραφὴν φυλάξαν τὸν τόνον ἤμειψεν.

CϞΖ. Τὰ διὰ τοῦ διος ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ προπαροξύτονα, εἴτε κύρια, εἴτε προσηγορικὰ, μὴ ὄντα μετουσιαστικὰ, ἢ ἀπὸ ῥημάτων παρηγμένα διὰ τοῦ ι γράφονται· οἷον, παυρίδιος· τυμβίδιος· ῥαΐδιος ῥηΐδιος· φωρίδιος· μαψίδιος· σχέδιος· Ἀρκάδιος· νυμφίδιος· ὠμίδιος καὶ ἐπωμίδιος· εἰ γὰρ καὶ λέξις συνετέθη ἀλλὰ τοῦ ἁπλοῦ τὴν γραφὴν ἐφύλαξεν· μηνυνθάδιος· Ἐξάδιος· ἴδιος· Κνίδιος ὁ ἀπὸ τῆς Κνίδου, ὡς καὶ Ῥόδιος ὁ ἀπὸ τῆς Ῥόδου· τὸ ἐρῳδιὸς τὴν γραφὴν φυλάξαν τὸν τόνον ἤμειψεν, ὀξύνεται γὰρ καὶ τὴν τρίτην ἀπὸ τέλους ἔχει διὰ τῆς ωι διφθόγγου· λέγεται δὲ καὶ ῥῴδιος τρισυλλάβως παρὰ τοῖς παλαιοῖς· πρόσκειται μὴ ὄντα μετουσιαστικὰ διὰ τὸ κνίδειος καρπὸς, ἤγουν ὁ τῆς κνίδης, καὶ σίδειος κλάδος ὁ τῆς σίδης· πρόσκειται μὴ ἀπὸ ῥήματος, διὰ τὸ ἐπιτηδεύω ἐπιτήδειος διὰ τῆς ει διφθόγγου γραφόμενα.

CϚH. Τὰ διὰ τοῦ ωνιος ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα κύριά τε καὶ προσηγορικὰ, μὴ σημαίνοντα μέρος σωματικὸν, διὰ τοῦ ι γράφονται, καὶ τὴν τρίτην ἀπὸ τέλους διὰ τοῦ ω μεγάλου· Ἑλικώνιος· Κιθαιρώνιος· Ἀπολλώνιος· Μαραθώνιος· ἐναγώνιος· Ἀμμώνιος· αἰώνιος· Πλευρώνιος· Σιδώνιος· Λαβρώνιος εἶδος ἐκπώματος· Τροφώνιος· πρόσκειται μὴ ὄντα μετουσιαστικὰ διὰ τὸ χελώνειος καὶ ἀχελώνιος οὐρά· τοῦτο γὰρ διὰ τῆς ει διφθόγγου γράφεται, μέρος γάρ ἐστι σωματικόν· δεῖ προσθεῖναι τῷ κανόνι, ὁπότε ἡ πρωτότυπος φωνὴ τοῦ ὀνόματος φυλάττει τὸ ω, ἐὰν γὰρ ἡ πρωτότυπος φωνὴ τοῦ ὀνόματος τρέψῃ τὸ ω εἰς ο ἐπὶ γενικῆς, τότε καὶ ἡ τρίτη ἀπὸ τέλους ἔχει τὸ ο μικρόν· οἷον, Μακεδὼν Μακεδόνος Μακεδόνιος· δαίμων δαίμονος δαιμόνιος· Σαρπηδὼν Σαρπηδόνος Σαρπηδόνιος.

CϚΘ. Καθόλου τὰ διὰ τοῦ νιος ὑπὲρ δύο συλλαβὰς, μὴ σημαίνοντα μέρος σωματικὸν, μήτε μετουσίαν δηλοῦντα, διὰ τοῦ ι γράφονται· Τιτάνιος· Γερήνιος· Ἑλλήνιος· Τροιζήνιος· παρθένιος· πυθμένιος· Λυκαόνιος· Σαλαμίνιος· Ἐλευσίνιος· τὸ κλονίος καὶ τὸ μονιὸς τὴν γραφὴν τὴν αὐτὴν φυλάξαντα τὸν τόνον ἤμειψεν· τὸ μὲν γὰρ παροξύνεται· τὸ δὲ μονιὸς ὀξύνεται· δεχόμενον δὲ καὶ αὐτὸ πλεονασμὸν τοῦ υ ἐν τῷ "μούνιος ὕπνος·" πρόσκειται μὴ σημαίνοντα μέρος σωματικὸν διὰ τὸ χήνειος κάρα· ὄνειος δορά· ταῦτα γὰρ καὶ τὰ ὅμοια διὰ τῆς ει διφθόγγου γράφονται· πρόσκειται μετουσιαστικὰ, διὰ τὸ δάφνειος καρπός· σχίνειος κλάδος· καὶ αὐτὰ γὰρ διὰ τῆς εἰ διφθόγγου γράφονται· ἡ δὲ τρίτη ἀπὸ τέλους ἡ αὐτή ἐστι τοῖς πρωτοτύποις· ὡς ἐπιστήσας εὑρήσειας.

T. Τὰ διὰ τοῦ κιος ἀπὸ τῶν εἰς ξ ληγόντων γινόμενα, μὴ ὄντα μετουσιαστικὰ, ἢ μέρος σωματικὸν δηλοῦντα, διὰ τοῦ ι γράφονται· οἷον, Φαίαξ Φαίακος Φαιάκιος· Κίλιξ Κίλικος Κιλίκιος· Θρήϊξ Θρήϊκος Θρηΐκιος· Νάρυξ Νάρυκος Ναρύκιος· πρόσκειται μὴ ὄντα μετουσιαστικὰ, διὰ τὸ σμίλαξ, σμιλάκειος βλαστὸς διὰ τῆς ει διφθόγγου γραφόμενον· σμίλαξ δέ ἐστιν

εἶδος φυτοῦ· ἐπὶ δὲ μέρους σωματικοῦ διὰ τὸ πέρδιξ πέρδικος περδίκειος κάρα, γραφόμενον καὶ αὐτὸ διὰ τῆς ει διφθόγγου.

ΤΑ. Τὰ ἀπὸ τῶν εἰς ρ ληγόντων διὰ τοῦ ριος γινόμενα, διὰ τοῦ ι γράφονται· τῆς τρίτης ἀπὸ τέλους ἀπὸ τῆς παραληγούσης τῆς γενικῆς θεωρουμένης· οἷον, ἀὴρ ἀέρος ἀέριος· αἰθὴρ αἰθέρος αἰθέριος· σωτὴρ σωτῆρος σωτήριος· ὀλετὴρ ὀλετῆρος ὀλετήριος· μάκαρ μάκαρος μακάριος.

ΤΒ. Τὰ ἀπὸ τῶν εἰς ος ἀρσενικῶν τε καὶ θηλυκῶν διὰ τοῦ ιος γινόμενα, μήτε μετούσιαν ἢ μέρος σωματικὸν δηλοῦντα, διὰ τοῦ ι γράφονται· Ῥόδος Ῥόδιος· Σάμος Σάμιος· Αἴγυπτος Αἰγύπτιος· Δῆλος Δήλιος· Κύπρος Κύπριος· τόπος τόπιος καὶ ἐντόπιος· οὐρανὸς οὐράνιος· Ἄψινθος Ἀψίνθιος ἐπὶ τοῦ ἔθνους· Πύλος Πύλιος· πρόσκειται μὴ σημαίνοντα μέρος σωματικὸν, διὰ τὸ ἀνθρώπιος χείρ· βόειος κάρα· μήτε μετουσίαν, διὰ τὸ χρύσειος ἧλος· ἀργύριος δίσκος· σιδήρειος λόγχη· ταῦτα γὰρ καὶ τὰ ὅμοια διὰ τῆς ει διφθόγγου γράφονται.

ΤΓ. Καθόλου πᾶν μετουσιαστικὸν ἢ μέρος σωματικὸν δηλοῦν, διὰ τῆς ει διφθόγγου γράφονται· σημειωτέον δὲ ὅτι μετουσιαστικὰ ἐπὶ ἀψύχων· τὰ δὲ μέρος σωματικὸν δηλοῦντα ἀπὸ ἐμψύχων παράγονται· χάλκειος· χρύσειος· ἀργύρειος· σιδήρειος· χήνειος πούς· βόειος κάρα· βρόβειος[g] οὐρά· καὶ παραιτοῦμαι τῶν παραδειγμάτων τὸ πλῆθος διὰ τὸ εὐσύνοπτον.

ΤΔ. Τὰ διὰ τοῦ σιος ἅπαντα, πλὴν τῶν μετουσιαστικῶν καὶ τῶν δηλούντων μέρος σωματικὸν, διὰ τοῦ ι γράφονται· οἷον, διπλάσιος· ἀσπάσιος· ταράσιος· ἀμβρόσιος· ἱκέσιος· ἀνάρσιος· Ἐφέσιος· Συρακόσσιος, οὕτω γὰρ Ἡρωδιανὸς ἐν τῇ καθόλου διὰ δύο σσ καὶ διὰ τοῦ ο γράφων τὸ ὄνομα παραδίδωσι· δημόσιος· διαπρύσιος· ὁμοίως καὶ τὰ ἐπὶ ἀριθμῶν διὰ τοῦ σιος· διακόσιοι· τριακόσιοι· πεντακόσιοι· εἶπον μὴ σημαίνοντα μέρος σωματικὸν ἢ μετουσίαν, διὰ τὸ νήσειος κάρα· χρύσειος στρατὸς, διὰ τῆς ει διφθόγγου γραφόμενα.

[g] Sic.

TE. Τὰ διὰ τοῦ τιος, εἴτε κύρια, εἴτε προσηγορικὰ, μὴ ὄντα μετουσιαστικὰ, διὰ τοῦ ι γράφονται· οἷον, Ὑπάτιος· Εὐστράτιος· Ἀέτιος· Φιλοίτιος· Μενοίτιος· ὑστάτιος· ὀσσάτιος· Μελέτιος· Ἀχερόντιος· γερόντιος· πρόσκειται μὴ ὄντα μετουσιαστικὰ, διὰ τὸ ἐλάτειος κλάδος, διὰ τῆς ει διφθόγγου γραφόμενον.

TϚ. Τὰ κατὰ διάλυσιν τῶν ἀπὸ τῶν διὰ τοῦ ειος, καὶ ἔκτασιν τοῦ ε εἰς τὸ η ὁμοίως, καὶ ὅσα ἀπὸ τῶν διὰ τοῦ ῳος κτητικῶν, διὰ τοῦ η γράφει τὴν παραλήγουσαν, καὶ τὴν τρίτην ἀπὸ τέλους ἔχει διὰ τοῦ η, ἢ διὰ τοῦ ω· ὁμοίως δὲ καὶ ὅσα ἔχει ἀπὸ πλεονασμοῦ τὸ η κατὰ τὴν τρίτην ἀπὸ τέλους· οἷον, δήϊος, τοῦτο ἀπὸ πλεονασμοῦ ἀπὸ τοῦ δῖος· Κίηος ὁμοίως ἐκ τοῦ Κῖος· νήϊος· Τήϊος[h]· βασιλήϊος· Ἰλήϊος[i]· χαλκήϊος· Ὀδυσσήϊος· ἀρχήϊος· αἰζήϊος· πλεονάσαν γὰρ τὸ ι, οὐ τὸ η, ἀνεβίβασε τὸν τόνον, ὡς φησὶν Ἡρωδιανὸς ἐν τῇ καθόλου· λώϊος· Κώϊος· πατρώϊος· ἡρώϊος· Τρώϊος· Μινώϊος· Λητώϊος.

TZ. Τὰ διὰ τοῦ ηλιος ἢ ωλιος, μὴ ὄντα μετουσιαστικὰ, μὴ σημαίνοντα μέρος σωματικὸν, διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν, καὶ τὴν πρὸ αὐτῆς διὰ τοῦ η, ἢ διὰ τοῦ ω· οἷον, κειμήλιος· γαμήλιος· Ταργήλιος· ἀπατήλιος· Σετήλιος ὄνομα ἔθνους· ἐτώλιος· ἀφώλιος· εἶπον μὴ ὄντα μετουσιαστικὰ, διὰ τὸ μήλειος κλάδος· μὴ ἐπὶ μέρους σωματικοῦ ταττόμενα, διὰ τὸ καμήλειος ποὺς, διὰ τῆς ει διφθόγγου γραφόμενα.

TΘ. Τὰ διὰ τοῦ ελιος μὴ ὄντα μετουσιαστικὰ, διὰ τοῦ ι γράφεται, καὶ τὴν τρίτην ἀπὸ τέλους διὰ τοῦ ε· οἷον, θεμέλιος· ἠέλιος· νυκτέλιος· ἀεικέλιος[k]· εἶπον μὴ ὄντα μετουσιαστικὰ, διὰ τὸ ἀμπέλειος βότρυς, διὰ τῆς ει διφθόγγου γραφόμενον.

TH. Τὰ διὰ τοῦ λιος τρισύλλαβα ὀξύτονα διὰ τοῦ ι γράφονται· οἷον, πολιός· φαλιός· σκολιός· λαλιός· βαλιός· πελιός.

[h] Cod. τιήϊος. [i] Leg. vid. ἰήϊος. [k] Cod. ἀεικέλειος.

ΤΙ. Τὰ παρὰ μέλλοντα διὰ τοῦ ιος γινόμενα διὰ τοῦ ι γράφονται· οἷον, ἄζω τὸ σέβομαι ἄσω ἄσιος, καὶ τροπῇ τοῦ α εἰς ο ὅσιος· ἀσπάσω ἀσπάσιος· ἀλέξω ἀλέξιος· κτήσω κτήσιος· μνήσω μνήσιος· τὸ δεξιὸς καὶ ἀνεψιὸς κατὰ τόνον μόνον διήλλαξεν.

ΤΙΑ. Τὰ διὰ τοῦ ιος τρισύλλαβα προπαροξύτονα, ἔχοντα ἐν τῇ πρώτῃ συλλαβῇ τὸ υ, διὰ τοῦ ι γράφονται· οἷον· κύριος· Σύριος· Τύριος· Κύπριος· νύχιος· Στύγιος· Μύσιος· Πύθιος· βύθιος· δύϊος· κύκλιος· μύριος, ἡ τῶν δέκα χιλιάδων ἀπαρίθμησις· ἐπὶ γὰρ τοῦ ἀορίστου παροξύνεται, ὁμοίως καὶ τὸ νυμφίος καὶ νύμφιος· ἐπὶ μὲν γὰρ τοῦ οἰκοῦ ἐν ᾧ ὁ νυμφίος, προπαροξύνεται, ἐπὶ δὲ αὐτοῦ τοῦ νυμφίου παροξύνεται· προσκείσθω δὲ τῷ κανόνι εἰς τελειότητα, τὸ μὴ μέρος σωματικὸν σημαίνειν, διὰ τὸ κύκνειος ποὺς διὰ τῆς ει διφθόγγου γραφόμενον.

ΤΙΒ. Τὰ παρ' ἐπίῤῥημα διὰ τοῦ ιος προπαροξύτονα διὰ τοῦ ι γράφονται· οἷον, ἶφι ἴφιος· πρωῒ πρώϊος· σχεδὸν σχέδιος· ἐκτάδην ἐκτάδιος· ἀμφαδὸν ἀμφάδιος· ἐταδὸν ἐτάδιος· σταδὸν στάδιος· ὀπίσθιος· νοσφίδιος· ἀεὶ ἀΐδιος, κατὰ συστολὴν τῆς ει διφθόγγου εἰς τὸ ι· ῥηΐδιος· μαψίδιος· τὸ ἀντίος μόνον κατὰ τόνον παρήλλαξε παροξυνόμενον.

ΤΙΓ. Τὰ διὰ τοῦ ιος τρισύλλαβα παροξύτονα ἀπὸ μακρᾶς ἀρχόμενα διὰ τοῦ ι γράφεται· οἷον, Βάκχιος· Μούλιος, οὐ τὸ σωματικὸν μέρος, ἐκεῖνο γὰρ διὰ τῆς ει διφθόγγου· Αἴνιος· Φήμιος, καὶ Εὐφήμιος· Λάϊος· ἄγριος· Αἴλιος· μάντιος· τὸ ἐρχίος· ἀντίος τοῖς λοιποῖς ἐναντία μόνον κατὰ τόνον.

ΤΙΔ. Τὰ διὰ τοῦ εδος κύρια ἐπὶ πόλεων τιθέμενα, ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα ἁπλᾶ διὰ τοῦ ι γράφονται· οἷον, Τένεδος· Λέβεδος· Κάπεδος.

ΤΙΕ. Τὰ διὰ του ιθος ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ διὰ του ι γράφονται· οἷον, λέπιθος· λέκιθος· ἔριθος· θωνέκιθος· Πεπάριθος· Ἄριθος· Κάνιθος· Σέβιθος ὄνομα ποταμοῦ· ὀλόκιθος· Λάπιθος.

ΤΙϚ. Τὰ διὰ τοῦ υθος ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ υ ψιλοῦ

γράφονται· οἷον, ἄκυθος ἡ ἡμίονος, παρὰ τὸ μὴ κύειν· Μίκυθος ὄνομα κύριον· μαμμάκυθος ὁ μωρός.

ΤΙΖ. Τὰ διὰ τοῦ αιθος ὑπὲρ δύο συλλαβὰς διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, Σίμαιθος, ὄνομα ποταμοῦ· Ἀρίαιθος· Κύναιθος ὄνομα κύριον· Τενέαιθος ὄνομα ποταμοῦ· Ὀλίγαιθος.

ΤΙΗ. Τὰ εἰς κος ὀξύτονα κτητικὰ διὰ τοῦ ι γράφονται· οἷον, Ὁμηρικός· δουλικός· βασιλικός· δεσποτικός· πλὴν τοῦ βοεικός· Δαρεικός· Δεκελεικός· Κεραμεικὸς, διὰ τῆς ει διφθόγγου γραφομένων, καὶ τοῦ μαληκὸς διὰ τοῦ η, ἀπὸ τοῦ μαλακὸς γεγενημένου τροπῇ τοῦ α εἰς η.

ΤΙΘ. Τὰ εἰς κος δισύλλαβα βραχεῖ διχρόνῳ παραληγόμενα σπάνιά ἐστι μονογενῆ ὄντα· οἷον, λύκος· κρίκος· Μύκος, ὄνομα ἔθνους.

ΤΚ. Εἰς κος λῆγον ὑπὲρ δύο συλλαβὰς τὸ ε παραληγόμενον τὸ ἀλώπεκος ἀπὸ γενικῆς μεταβὰν εἰς εὐθεῖαν.

ΤΚΑ. Τὰ εἰς κος λήγοντα καθαρὸν ὑπὲρ δύο συλλαβὰς τὸ ο παραληγόμενα σπάνιά ἐστι, καὶ σχεδὸν ἐν περιλήψει· ἔστι γὰρ τὸ Καππάδοκος· λέγεται γὰρ τὸ ὄνομα τριχῶς· ὁ Καππάδοκος, ὁ Καππάδοξ, ὁ Καππαδόκης· ἔστι δὲ καὶ Σπάρδοκος, Θρᾴκιον δὲ τὸ ὄνομα· δοίδοκος· διόδοκος· ξεινόδοκος· Δημόδοκος ὄνομα κύριον.

ΤΚΒ. Τὰ εἰς κος λήγοντα ὑπὲρ δύο συλλαβὰς, τὸ ο παραληγόμενα ἢ τὸ ω, ὀλιγιστά εἰσι, καὶ ἐν περιλήψει ποσότητος εἰρήμενα· εἴσι δὲ καὶ βαρύτονα· Ἄτρικος πόλις Κρητική· μάλικος ὄνομα ὀρνέου βαρυτονούμενον· ὀξυνόμενον δὲ ἀπὸ τοῦ μαλακὸς γέγονεν τροπῇ τοῦ α εἰς η· πίθηκος· Πίληκος νήσου ὄνομα· Ζάληκος ὄνομα ποταμοῦ· Κάθωκος ὄνομα ἥρωος, ὥσπερ καὶ τὸ Ἰολκὸς ὀξύτονον, εἰ καὶ μὴ καθαρὸν ἔχει τὸ ω.

ΤΚΓ. Τὰ εἰς κος λήγοντα καθαρὸν βαρύτονα, εἴτε κύρια, εἴτε προσηγορικὰ, μὴ κτητικῆς ἐννοίας ἐχόμενα, διὰ τοῦ ι γράφονται· καὶ ὅσα μὲν μακρὸν ἔχει τὸ ι σημειούμεθα· ὡς ἔχει τὸ Αἰνικὸς ὄνομα ποιητοῦ· Κάϊκος· Γρήνικος [m] ὀνόματα

[m] Cod. τρήνικος.

ποταμῶν· Ἑλλάνικος· Φίλικος ὄνομα κύριον· τὸ γὰρ κτητικὸν ὀξύνεται, καὶ βραχὺ ἔχει τὸ ι· τὸ Καμικὸς ὄνομα ποταμοῦ ἐν Σικελίᾳ ὀξυνόμενον, καὶ διὰ τοῦ ι γραφόμενον, ἀμφίβολον ἔχει τὸν χρόνον τοῦ ι· τοιοῦτον δὲ καὶ τὸ Παλικὸς ὀξύτονον, καὶ αὐτὸ πόλις Σικελικὴ ἐφ' ᾗ οἱ ἀπυθμένες κρατῆρες· τὰ δὲ ἔχοντα βραχὺ τὸ υ, ἔστι ταῦτα· ἀνθέρικος· ἀνθιήνικος· Σώρικος ὄνομα λιμένος· Ἔρικος ὄνομα κύριον· Τεμικὸς ὄνομα πόλεως Κρητικῆς· Λυκάνικος ὄνομα ποταμοῦ· ἀσφάδικος· τὸ Θωρικὸς οἱ πλείους ὀξύνουσι.

ΤΚΔ. Τὰ εἰς κος λήγοντα καθαρὸν ὑπὲρ δύο συλλαβὰς, εἴτε κύρια, εἴτε προσηγορικὰ, εἴτε ἐπίθετα, μὴ ἔχοντα κατ' ἰδίαν θηλυκὰ, οὐκ οἶδεν ἐν τῇ πρὸ τέλους τὴν οι δίφθογγον· οἷον, Ἴβυκος· Ἄμυκος· Κώρυκος· Σίμυκος· Δίνυκος ὄνομα πόλεως· Σίτυκος· Ἁρπάλυκος ὄνομα κύριον· Εὔτυκος· Ἐλίσυκος ὄνομα ἔθνους· Κήρυκος ὄνομα κύριον· πλὴν τοῦ σόλοικος· τὸ θηλυκός· Λιβυκός· ἁλυκὸς, τὴν γραφὴν φυλάξαντα τὸν τόνον καὶ τὴν σημασίαν ἐνήλλαξαν, κτητικῆς ὕλης τυγχάνοντα.

ΤΚΕ. Τὰ εἰς κος λήγοντα ὑπὲρ δύο συλλαβὰς, ἔχοντα πρὸ τοῦ κ τὸ σ, τὸ υ παραλήγεται, ἐνίοτε δὲ καὶ τὸ υ, καὶ παροξύνεται· σατυρίσκος· παιδίσκος· οὐρανίσκος· ἀστερίσκος· τὸ ἀργησκὸς σεσημείωται διὰ τοῦ η γραφόμενον καὶ ὀξυνόμενον.

ΤϚ. Τὰ διὰ τοῦ αικος ὑπὲρ δύο συλλαβὰς, σπάνια· τὰ δὲ ὄντα, διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, Φάλαικος· Πάταικος· Μίθαικος ὄνομα κύριον· μόνον τὸ ἀλώπεκος σεσημείωται διὰ τοῦ ε ψιλοῦ.

ΤΚΖ. Τὰ διὰ τοῦ ηλικος τρισύλλαβα πυσματικὰ δύο ἐστί· τὸ πηλίκος· ἡλίκος, καὶ τὸ ὁπήλικος ἀναφορικὸν τετρασύλλαβον· τὰ πάντα δὲ τὴν μὲν πρὸ τέλους γράφει διὰ τοῦ ι, καὶ τὴν πρὸ αὐτῆς διὰ τοῦ η, καὶ δασύνει τὰ κατ' ἀρχὴν φωνήεντα.

ΤΚΗ. Τὰ διὰ τοῦ ιλος δισύλλαβα μονογενῆ, εἴτε κύρια, εἴτε προσηγορικὰ βαρύτονα, διὰ μακροῦ τοῦ ι γράφεται· οἷον, Ἶλος

τὸ κύριον· ἐπὶ γὰρ τῆς καταδύσεως τοῦ θηρίου ὀξύνεται· πῖλος· κτῖλος· Βρῖλος ὄνομα κύριον· Μῖλος ὄνομα νήσου· φίλος· τοῦτο συστέλλει τὸ ι· κτῖλος ὁ προηγούμενος τῶν προβάτων κριός· οἷς ὅμοιον τὸ ψιλός· χιλός· εἰ καὶ περὶ τὸν τόνον διήλλαξεν· τὸ δειλὸς ἀπὸ τοῦ δέος διὰ τῆς ει διφθόγγου γράφεται· σεσημείωται τὸ Τῆλος ὄνομα κύριον λιμένος καὶ πόλεως· Μῆλος· Βῆλος ὁ Ζεύς· δῆλος ὁ φανερός· Σφῆλος ὄνομα κύριον· ἧλος τὸ δασυνόμενον· Ἦλος τὸ κύριον, ὃ καὶ ψιλοῦται.

ΤΚΘ. Τὰ διὰ τοῦ ηλος δισύλλαβα ἔχοντα ἐν τῇ πρώτῃ ἄφωνον διὰ τοῦ η γράφονται· χηλός· βηλός· πηλός· φηλός· τούτοις ὅμοιον καὶ τὸ δηλὸς ἀπὸ τοῦ δέελος γεγονὸς κατὰ συναίρεσιν τῶν δύο εε εἰς η.

ΤΛ. Καθόλου τὰ διὰ τοῦ υλος δισύλλαβά τε καὶ ὑπὲρ δύο συλλαβὰς, ὀξύτονά τε καὶ παροξύτονα, πλὴν τοῦ κοῖλος· τοῦτο γὰρ διὰ τῆς οι διφθόγγου γράφεται, ὅτι εὕρηται καὶ ἐν διαλύσει κόϊλον· τὰ λοιπὰ πάντα διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, μυλός· τύλος· στύλος· γρύλος· σύλος· θρύλος· χύλος· δάκτυλος· σπόνδυλος· Βάκχυλος· Πάπυλος· Αἰσχύλος· αἱμύλος· Ῥώμυλος· στώμυλος· κήρυλος, ὁ τῶν ἀλκυόνων ἄῤῥην· Βετύλος ὁ λίθος ὃν ὁ Κρόνος κατέπιεν· κρώβυλος· δείμυλος· θηβύλος· Σίπυλος· τίτυλος· νικάσυλυλος· Ὀνήσυλος.

ΤΛΑ. Τὰ διὰ τοῦ υλλος διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, Ὕλλος· ψύλλος· σκύλλος· Λύλλος ὄνομα κύριον· εἴρηται δὲ περὶ τούτων κἂν τοῖς καθολικωτέροις κανόσι.

ΤΛΒ. Τὰ διὰ τοῦ ελος, εἴτε τρισύλλαβα, εἴτε ὑπὲρ τρεῖς συλλαβὰς, βαρύτονά τε καὶ ὀξύτονα, διὰ τοῦ ε ψιλοῦ γράφονται· εἴκελος· ἄγγελος· Σθένελος· ἄμπελος· πύελος· σφάκελος· σκόπελος· ἀσφόδελος· Κύψελος· μυελός· πτυελός· ὀβελός· Σικελός.

ΤΛΓ. Τὰ διὰ τοῦ ηλος ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα κύριά τε καὶ προσηγορικὰ διὰ τοῦ η γράφονται· οἷον, Κάρμηλος

ὄνομα ὄρους· τράχηλος· κάπηλος· πάσηλος· φάσηλος· κάμηλος· βέβηλος.

ΤΛΔ. Τὰ διὰ τοῦ ηλος ὀξύτονα ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ η γράφονται· οἷον, μιμηλός· σιγηλός· ὑψηλός· χαμηλός· ἀπατηλός· ἰδρηλός· ὀμβρηλός· ὀκνηλός.

ΤΛΕ. Τὰ διὰ τοῦ ιλος ὑπὲρ δύο συλλαβὰς πρὸ τέλους ἔχοντα τὸν τόνον διὰ τοῦ ι γράφονται· Ζωΐλος· Καδμίλος· Τρωΐλος· ναυτίλος· βανδίλος· πενθίλος· ὀργίλος· Μυρτίλος· Χοιρίλος· φρυγίλος.

ΤΛϚ. Τὰ διὰ τοῦ ιλλος δισύλλαβά τε καὶ ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ι γράφονται· οἷον, σίλλος· Βίλλος· Στίλλος τὸ ἔθνος· Κύριλλος· Μέγιλλος· Ἀΐλλος· Πέριλλος· Σόφιλλος· Ἀνάσιλλος· Τήριλλος· Ἔπιλλος· Δώριλλος· Πράστιλλος.

ΤΛΖ. Τὰ διὰ τοῦ υλος δισύλλαβα βαρύτονα, κύριά τε καὶ προσηγορικὰ διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, Πῶλος τὸ κύριον ὄνομα· βῶλος ὁ τῆς γῆς· Σκῶλος· Στῶλος πόλις Θρᾴκης· Τμῶλος· μῶλος· κῶλος τὸ σωματικόν· Χῶλος τὸ κύριον καὶ τὸ ὀξύτονον· ψῶλος· τὸ χόλος· ψόλος ἡ ἀσβόλη· βόλος· πόλος· κόλος· μόλος· στόλος· πρὸς ἀντιδιαστολὴν τῶν κυρίων τε καὶ ἐπιθέτων τὸ σόλος· θόλος· ὅλος· σεσημείωται διὰ τοῦ ο μικροῦ· ἐπιστήσεις δὲ ὅτι τὸ μὲν θόλος βαρυνόμενον ἐπὶ οἰκοδομῆς· τὸ δὲ ὀξυνόμενον ἐπὶ ὕδατος τεταραγμένου λαμβάνεται· καὶ τὸ ὅλος βαρυνόμενον μὲν καὶ δασυνόμενον, περιληπτικόν τι δηλοῖ· ψιλούμενον δὲ καὶ ὀξυνόμενον ποικίλην ποιεῖ τὴν σημασίαν· δηλοῖ δὲ τὸν πηλὸν, τὸν ῥύπον, τὸν μολυσμὸν, καὶ τῆς σηπίας τὸ μέλαν.

ΤΛΗ. Τὰ διὰ τοῦ ωλος ὑπὲρ δύο συλλαβὰς, εἴτε βαρύτονα, εἴτε ὀξύτονα, ἁπλᾶ ὄντα διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, Κίμωλος, ὄνομα νήσου· Μαύσωλος· φάκωλος ὁ θύλακος· Μαγδωλὸς ὄνομα πόλεως· Ἐτέωλος ὄνομα λιμένος· Ἄῤῥωλος ὄνομα πόλεως· ἕωλος· φειδωλός· Αἰτωλός· ἁμαρτωλός· Πακτωλός· Σπαρτωλός· πρόσκειται ἁπλᾶ διὰ τὰ σύνθετα·

ἐκηβόλος· ἀσβόλος· διάβολος, διὰ τοῦ ο μικροῦ γραφόμενα, καὶ εἴτι ὅμοιον.

ΤΛΘ. *Τὰ διὰ τοῦ ημος δισύλλαβα κύριά τε καὶ προσηγορικὰ βαρύτονα διὰ τοῦ η γράφονται· οἷον, Κνῆμος ὄνομα κύριον· Φῆμος· Ρῆμος ὄνομα ποταμοῦ· κημὸς τὸ ἐπιτιθέμενον τοῖς ἵπποις ἐν στόματι· δηλοῖ δὲ καὶ πλέγμα ἐκ σχοινίου· δῆμος τὸ πλῆθος βαρύτονον, ἐπὶ γὰρ τοῦ λίπους, ὀξύνεται, ἀμφότερα δὲ διὰ τοῦ η· τὸ φιμός· σιμός· λιμὸς ὀξύτονα οὐκ ἀντίκειται γραφόμενα διὰ τοῦ ι· τὸ μῖμος· βρῖμος· πρίμος σεσημείωται ὅτι καὶ βαρύνεται καὶ διὰ τοῦ ι γράφεται· τὸ δεῖμος ἐπὶ τοῦ φόβου διὰ τῆς ει διφθόγγου· γέγονεν γὰρ παρὰ τὸ δέος δέϊμος, καὶ κατὰ συναίρεσιν δεῖμος.*

ΤΜ. *Τὰ διὰ τοῦ υμος δισύλλαβα ὀξύτονα, τῷ υ ἐκτεταμένῳ παραλήγεται· θυμὸς ἡ ὀργὴ, ἐπὶ γὰρ τοῦ φυτοῦ βαρύνεται, καὶ τὴν αὐτὴν φυλάττει γραφήν· ῥυμὸς ἐπὶ τῆς ἁμάξης· χυμός· δρυμός· σεσημείωται τὸ λοιμὸς διὰ τῆς οι διφθόγγου γραφόμενον.*

ΤΜΑ. *Τὰ διὰ τοῦ ωμος δισύλλαβα ὀξύτονα ἀπὸ συμφώνου ἀρχόμενα, καὶ ἐπὶ οὐσίας τιθέμενα, διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, μωμός· ζωμός· ψωμός· θωμὸς ὁ σωρός· οἷς ὅμοιον καὶ τὸ βρῶμος ἐπὶ τοῦ χόρτου βαρύτονον, ἐπὶ γὰρ τοῦ ἤχου διὰ τοῦ ο μικροῦ βαρύτονον· παρὰ γὰρ τὸ βρέμω βρόμος, ὡς τρέμω τρόμος· καὶ ὅτι οὐκ ἔστιν ἐπὶ οὐσίας· τὸ ὠμὸς ἐπὶ τοῦ σκληροῦ διὰ τοῦ ω, εἰ καὶ μὴ ἀπὸ συμφώνου ἤρξατο, καὶ οὐσίαν ὑπισχνεῖται· τὸ κῶμος ἀπὸ συμφώνου ἀρξάμενον, τὴν γραφὴν φυλάττον, τὸν τόνον καὶ τὴν σημασίαν παρήμειψεν· τὸ ὦμος ἐπὶ τοῦ σώματος τὴν σημασίαν φυλάξαν καὶ τὴν γραφὴν, περὶ τὸν τόνον διενήνοχε· σεσημείωται τὸ ὁμὸς ἐπὶ τοῦ ὁμοίου διὰ τοῦ ο μικροῦ γραφόμενον.*

ΤΜΒ. *Καθόλου τὰ εἰς ος, εἴτε βαρύτονα, εἴτε ὀξύτονα, ἀπὸ ῥημάτων τὸ ε παραληγομένων γινόμενα, διὰ τοῦ ο μικροῦ γράφονται· βρέμω βρόμος· γέμω γόμος· τρέμω τρόμος· τέμνω τόμος· μένω μόνος· φένω τὸ φονεύω φόνος· πένω πόνος· νείφω τὸ*

χιονίζω νόφος, καὶ μετὰ τοῦ γ γνόφος· τέκω τόκος· μείρω τὸ μερίζω μόρος, καὶ πλεονασμὸς τοῦ τ μόρτος· καὶ κατὰ ἐναλλαγὴν τοῦ ρ μροτος· καὶ ἐπεὶ τὸ μ πρὸ τοῦ ρ οὔτε κατὰ σύλληψιν, οὔτε κατὰ διάστασίν ἐστιν εὑρεῖν, τέτραπται τὸ μ εἰς τὸ β, καὶ γέγονε βροτός· οὕτως Ἡρωδιανὸς *ἐν* Ἐπιμερισμοῖς.

ΤΜΓ. Τὰ *εἰς μος δισύλλαβα διφθόγγῳ τῇ διὰ τοῦ ι παραληγόμενα, σπάνια καὶ ἐν ἀριθμῷ· ὁποῖον τί ἐστιν τὸ λοιμὸς ἀπὸ τοῦ λείπω γεγονὸς κατὰ ἐναλλαγὴν*[n] *τοῦ π εἰς μ, καὶ τοῦ λαιμὸς ἀπὸ τοῦ λαύω· καὶ τοῦ δειμὸς, ἀπὸ τοῦ δεϊμός· καὶ τοῦ* Αἶμος *ὄνομα κύριον, ἀφ' οὗ καὶ* Αἶμος *τὸ ὄρος ἐν* Θρᾴκῃ, *καὶ οἶμος ἐπὶ τῆς ὁδοῦ.*

ΤΜΔ. Τὰ *διὰ τοῦ εμος ἁπλᾶ ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, ἄνεμος· πόλεμος· ἤρεμος·* Ἔχεμος *ὄνομα κύριον· τήλεμος· τρίλεμος·* Ἰάλεμος· *κάλλεμος· φάλεμος· ἄγρεμος· ἄνθεμος, ἐξ οὗ τὸ ἀνθεμόεις· καὶ τὸ θελεμὸς ὀξύτονον· πρόσκειται ἁπλᾶ διὰ τὸ ἄναιμος σύνθετον παρὰ τὸ αἷμα, καὶ εἴτι παρ' αὐτὸ ἕτερον, σύναιμος· πολύαιμος.*

ΤΜΕ. Τὰ *διὰ τοῦ ημος ἁπλᾶ οὐκ ἔστιν εὑρεῖν διὰ τοῦ η γραφόμενα, εἰ μὴ τὸ ἔρημος, ὅπερ καὶ αὐτὸ γέγονεν ἀπὸ τοῦ ἤρεμος κατὰ ἐναλλαγὴν τῶν στοιχείων· ἢ ἀπὸ τοῦ ἔρα ἔραμος, καὶ τροπῇ τοῦ α εἰς η ἔρημος· ἔρα δέ ἐστιν ἡ γῆ· καὶ τὸ* Κέημος *ὄνομα νήσου· πρόσκειται ἁπλᾶ διὰ τὸ σῆμα εὔσημος· ἄσημος· ἐπίσημος· φήμη εὔφημος· βλάσφημος· πάνδημος ὡς ἀπὸ τοῦ δῆμος·* Νικόδημος· *ἐπίδημος· τὰ δὲ ἁπλᾶ· οἷον, ἄλκιμος· κύδιμος· φαίδιμος· δόκιμος· καὶ τἄλλα τῶν παραδειμάτων ἐῶ διὰ τὸ πλῆθος.*

ΤΜϚ. Τὰ *διὰ τοῦ υμος προπαροξύτονα διὰ τοῦ υ ψιλοῦ γράφονται·* Ἔλυμος· *ἥδυμος· νήδυμος· ἔτυμος ὁ ἀληθὴς, καὶ ἐν πλεονασμῷ τῆς τη συλλαβῆς ἐτήτυμος· δίδυμος·* Σόλυμος· Πόλυμος *ὄνομα κύριον· σκώλυμος· ἔρυμος ὁ ῥυμὸς ὅμοιον κατὰ γραφὴν οὐ κατὰ τόνον, ὀξύνεται γάρ.*

ΤΜΖ. Τὰ *διὰ τοῦ οιμος τρισύλλαβα ὀξύτονα μὴ παρασχηματι-*

n Cod. *ἐναλαγήν.*

ζόμενα εἰς θηλυκὸν γένος διὰ τῆς οι διφθόγγου γράφονται· οἷον, ἀλοιμός· κυδοιμός· ἀμοιμὸς κατὰ ἐναλλαγὴν στοιχείων ἀπὸ τοῦ ἀμοιβός· σεσημείωται τὸ ἕτοιμος προπαροξυνόμενον καὶ διὰ τῆς οι διφθόγγου γραφόμενον· τριγενὲς γάρ, καὶ τὸ ἀλύδοιμος.

ΤΜΗ. Τὰ εἰς ος δισύλλαβα ἔχοντα ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ τὸ αὐτὸ σύμφωνον· διὰ τοῦ ι γράφεται· οἷον, Νίνος· μῖμος· Τίτος· τίτλος· βίβλος.

ΤΜΘ. Τὰ εἰς ος ὑπὲρ δύο συλλαβὰς ἔχοντα ἐν τῇ ἀρχούσῃ καὶ ἐν τῇ μετὰ ταύτην τὸ αὐτὸ σύμφωνον διὰ τοῦ ι γράφονται· οἷον, διδάσκαλος· δίδυμος· Τίτανος· Σισίννιος· σεσημείωται τὸ σήσαμος διὰ τοῦ η.

ΤΝ. Τὰ διὰ τοῦ ενος δισύλλαβα, εἴτε ὀξύτονα εἴτε βαρύτονα, διὰ του ε ψιλοῦ γράφονται τῇ παραληγούσῃ· σεσημείωται τὸ αἶνος ἐπὶ τοῦ ὕμνου, ἐπί τε τῆς πόλεως, διὰ τῆς διφθόγγου γραφόμενον, καὶ βαρυνόμενον· ἐπὶ γὰρ τοῦ δεινοῦ ὀξύνεται καὶ τὴν αὐτὴν φυλάττει γραφήν· γέγονε γὰρ οὕτω· ἀπὸ τοῦ δέος παρωνύμως γέγονε δεινὸς, ὡς καὶ ἀπὸ τοῦ κλέος κλεεινὸς, καὶ κατὰ συγκοπὴν κλεινὸς καὶ δεινός· ἀποβολῇ οὖν τοῦ δ καὶ τροπῇ τοῦ ε εἰς α αἰνός· τὰ γοῦν διὰ τοῦ ψιλοῦ γραφόμενα εἰσὶ ταῦτα· ἑνὸς ὁ ἐνιαυτός· ξένος· στενός· κενὸς ὁ μάταιος· ἐπὶ γὰρ τοῦ νέου διὰ τῆς αι διφθόγγου.

ΤΝΑ. Τὰ εἰς νος δισύλλαβα ὀξύτονα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, στενός· πτενός· κενὸς ὁ μάταιος· μενὸς ὄνομα ἐπίθετον· τὸ καινὸς ἐπὶ τοῦ νέου σεσημείωται διὰ τῆς αι διφθόγγου.

ΤΝΒ. Τὰ διὰ τοῦ ηνος δισύλλαβα κύριά τε καὶ προσηγορικὰ βαρύτονα διὰ τοῦ η γράφεται· οἷον Τῆνος· Ἧνος· Σφῆνος, ὄνομα τόπου· Ῥῆνος ὄνομα ποταμοῦ· Σμῆνος ὄνομα ποταμοῦ· Γλῆνος ὄνομα πόλεως Κρητικῆς· Μῆνος· Θρῆνος· τὸ γὰρ ἐπίθετον ὀξύνεται· Φῆνος ὄνομα ποταμοῦ, τὸ δὲ ἐπίθετον ὀξύνεται· δηλοῖ δὲ τὸν λαμπρὸν ἀπὸ τοῦ φανὸς γεγονός· οἷς ὅμοιον καὶ τὸ πτηνός· στρηνός· ψηνός· ληνός.

ΤΝΓ. Τὰ διὰ τοῦ ινος δισύλλαβα προσηγορικὰ διὰ τοῦ ι γρά-

φονται· οἷον, λῖνος· σχῖνος· πρῖνος· σπῖνος εἶδος ὀρνέου· πῖνος ὁ ῥύπος· δῖνος ἡ συστροφή· βρῖνος.

ΤΝΔ. Τὰ διὰ τοῦ υνος δισύλλαβα οὐκ οἶδε τὴν διὰ τῆς οι διφθόγγου γραφήν· θυνός· φρυνός· ξυνός· γρυνός· πλυνός· τὸ οἶνος σεσημείωται διὰ τῆς οι διφθόγγου γραφόμενον· τὸ γὰρ κοινὸς διφορεῖται· ἐπὶ μὲν γὰρ τῆς πόλεως βαρύνεται καὶ διὰ τοῦ υ ψιλοῦ γράφεται· ἐπὶ δὲ τοῦ ἐν δυσὶ τισὶ κειμένου διὰ τῆς οι διφθόγγου ὀξύνεται· ὁμοίως καὶ τὸ φοινὸς, ἀφ' οὗ τὸ δαφοινὸς ὁ ἄγαν φόνιος.

ΤΝΕ. Τὰ εἰς νος λήγοντα δισύλλαβα μονογενῆ ἀπαρασχημάτιστα, διὰ τοῦ ο γράφει τὴν παραλήγουσαν· οἷον, χρόνος· Κρόνος· δόνος· φθόνος· κλόνος· τὸ ὄνος ἔχον θηλυκὸν συνέπεσε τοῖς εἰρημένοις ὡς ἀσχημάτιστον.

ΤΝϚ. Τὰ διὰ τοῦ ωνος δισύλλαβα μὴ ἀπὸ ῥήματος ἔχοντα τὴν γένεσιν διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, ὦνος ἡ τιμή· Πρῶνος πόλις Κρητική· κῶνος τὸ ἀποσκίασμα τῆς γῆς· στῶνος· χῶνος ἡ χώνη· φῶνος ὁ μεγαλόφωνος· πρόσκειται μὴ ἀπὸ ῥήματος γενόμενα διὰ τὸ πένω πόνος· μένω μένος· φένω τὸ φονεύω, ἐξ οὗ φόνος καὶ εἴτι ὅμοιον.

ΤΝΖ. Τὰ διὰ τοῦ ανος ὑπὲρ δύο συλλαβὰς ὀξύτονα μὴ ἔχοντα ἀπὸ πρωτοτύπου φωνῆς τὴν ει δίφθογγον τὴν τρίτην ἀπὸ τέλους ἔχει διὰ τοῦ ι· τάδε παραδείγματα ὀλίγα ἐκ πολλῶν ὑμῖν ἀρκέσει· οἷον, Ἀσιανός· Ἀδρειανός· Ἀγαλλιανός· Δαμιανός· Ἰουλιανός· Ἰουστινιανός· Κυπριανός· Παρειανὸς ἀπὸ τοῦ αρειος ἔχον τὴν ει δίφθογγον οὐ μάχεται, ἐφυλάξατο γὰρ αὐτὸ ὁ κανών.

ΤΝΗ. Τὰ διὰ τοῦ αινος ὑπὲρ δύο συλλαβὰς, μὴ ἔχοντα κατ' ἰδίαν θηλυκὰ εἰς η λήγοντα, βαρύτονα ὄντα διὰ τῆς αι διφθόγγου γράφονται· γέγονε δὲ τὰ πλείω ἀπὸ τῶν διὰ τοῦ αινα τροπῇ τοῦ α εἰς ος· Κόλαινος ὄνομα κύριον, ἀφ' οὗ καὶ Κολαινία Ἄρτεμις· Κρύσταινος· Λέαινος ὄνομα κύριον· Μύραινος· Τάλαινος ἀπὸ τοῦ τάλας· Μακαρίαινος· Πέρταινος· Ἀρίσταινος· κέλαινος ὁ μέλας.

ΤΝΘ. Τὰ διὰ τοῦ εανος ὀξύτονα ὑπὲρ δύο συλλαβὰς τὴν τρίτην

ἀπὸ τέλους ἔχει διὰ τοῦ ε ψιλοῦ γραφήν· οἷον, ὠκεανός· Μυρλεανός· κτεανός· ἀκεανός.

ΤΞ. Τὰ διὰ τοῦ μενος, εἴτε ὀνόματα, εἴτε μετοχαὶ, εἴτε ὀξύτονα, εἴτε βαρύτονα, διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, Τισαμενός· Σωζομενός· Δεξαμενός· τυπτόμενος· νικώμενος.

ΤΞΑ. Τὰ διὰ τοῦ ενος τρισύλλαβα προπαροξύτονα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, Ἕλενος ὄνομα κύριον· ἔβενος εἶδος ξύλου· ὤγενος· Ὤλενος· ἄφενος· ἴσχενος· οἷς ὅμοιον καὶ τὸ παρθένος κατὰ τὴν γραφὴν, εἰ καὶ κατὰ τόνον διήλλαξεν.

ΤΞΒ. Τὰ διὰ τοῦ ηνος ὀξύτονα ἐθνικὰ διὰ τοῦ η γράφονται· Αἰδεσηνός· Σαρακηνός· Ἀβυδηνός· Δαμασκηνός· Περγαμηνός· Λαμψακηνός· οἷς ὅμοιον καὶ τὸ Γαληνὸς, εἰ καὶ μὴ ἐθνικὸν ἀλλὰ κύριον.

ΤΞΓ. Τὰ διὰ τοῦ ινος ἐπὶ μετουσίας λαμβανόμενα, ἢ τοιαύτης ὕλης ἐχόμενα, προπαροξύτονα διὰ τοῦ ι γράφονται· οἷον, ξύλινος· δρύϊνος· λίθινος· πέτρινος· γήϊνος· δερμάτινος· τούτοις ὅμοια τὸ κάμινος· ἴκτινος· κύμινος· κυκλάμινος· κόφινος· κότινος· διὰ τοῦ ι γραφόμενα, εἰ καὶ μὴ μετουσιαστικά.

ΤΞΔ. Τὰ διὰ τοῦ ινος ὑπὲρ δύο συλλαβὰς πρὸ τέλους ἔχοντα τὸν τόνον διὰ μακροῦ τοῦ ι γράφεται· οἷον· Κρατῖνος· Φαυστῖνος· Λογγῖνος· Κωνσταντῖνος· Ἰουστῖνος· σεσημείωται τὸ Ἐχίνος καὶ Καρκίνος διὰ βραχέος.

ΤΞΕ. Τὰ εἰς νος ὀξύτονα ἐπὶ καιροῦ διὰ τοῦ ι γράφεται· πρωϊνός· ὀψινός· χθεσινός· περυσινός· δειλινός· μετοπωρινός· χειμερινός· θερινός· ἐαρινός.

ΤΞϚ. Τὰ εἰς νος ὀξύτονα παρώνυμα διὰ τῆς ει διφθόγγου γράφονται· φωτεινός· ἐλεεινός· ὀρεινός· κλεεινὸς, καὶ κατὰ συγκοπὴν κλεινός· ὁμοίως δεεινὸς καὶ δεινός· τὸ ταπεινὸς ἀπὸ τοῦ τόπος τοπεινὸς, καὶ τροπῇ τοῦ ο εἰς α ταπεινός· τὸ ταχινός· ἀληθινός· λεπτακινός· οὐδαμινός· φυζακινός· χαλινός· διὰ τοῦ ι γράφονται, οὐ γὰρ παρώνυμα.

ΤΞΖ. Τὰ διὰ τοῦ ηνος ὑπὲρ δύο συλλαβὰς μὴ ὄντα μετουσιαστικὰ, μήτε ὑποκοριστικὰ, διὰ τοῦ η γράφονται· οἷον, Ἀκεσηνὸς ὄνομα ποταμοῦ· Εὐηνός· σεληνός· ποτηνός· ὠγη-

νός· μεμηνός· γαλαθηνός· πετηνός· ἀργηνός· τὸ δύστηνος· δίμηνος· πανσέληνος· διχόμηνος σύνθετα, περὶ τόνον μόνον οὐ περὶ γραφὴν διήλλαξαν.

ΤΞΗ. *Τὰ διὰ τοῦ ηνος ἀπὸ γενικῆς εἰς εὐθεῖαν παρωνύμως παραχθέντα, ἢ ἀπὸ τῶν εἰς η γραφομένων· οἷον, ὁ Γέρην, τοῦ Γέρηνος, ὁ Γέρηνος· ὁ Τροίζην τοῦ Τροίζηνος, ὁ Τροίζηνος· ἰπήνη ἴπηνος· Μυκήνη Μύκηνος· Κυλλήνη Κύλληνος.*

ΤΞΘ. *Τὰ διὰ τοῦ υνος ὑπὲρ δύο συλλαβὰς οὐκ οἶδε πρὸ τέλους τὴν οι δίφθογγον· οἷον, Πάχυνος· Μόσσυνος· κίνδυνος· χέλυνος· εὔθυνος· Ῥόσχυνος· Πόλτυνος· Ὄρδυνος, ὄνομα ποταμοῦ· Κόρυνος.*

ΤΟ. *Τὰ διὰ τοῦ ονος ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ὁ μικροῦ γραφόμενα δύο ἐστίν· τὸ Μύκονος προπαροξυνόμενον, καὶ τὸ Ἤδονος ἐπὶ τοῦ ποταμοῦ· τὰ δ' ἄλλα σύνθετα διὰ τοῦ ο μικροῦ· ἡμίονος· ἔγγονος· πρόγονος· ἄτονος.*

ΤΟΑ. *Τὰ διὰ τοῦ ωνος ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ ὀξύτονα διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, υἱωνὸς ὁ υἱοῦ υἱός· οἰωνὸς ὁ κόραξ· κοινωνός· Τιθωνός· ξυνωνός· Κολωνός· μελλεδωνὸς ὁ φροντιστής· Ἠδωνὸς ὄνομα ἔθνους· Ἐτεωνός· Καννωνός· Ὀθρωνὸς ὄνομα ἔθνους· Κορωνός.*

ΤΟΒ. *Τὰ διὰ τοῦ υπος, δισύλλαβα τὸ υ ψιλὸν παραλήγεται· οἷον, ῥύπος· τύπος· κτύπος· στύπος τὸ στέλεχος τοῦ δένδρου· κύπος· γρυπός· σεσημείωται τὸ λοιπὸς διὰ τῆς οι διφθόγγου, ἀπὸ γὰρ τοῦ λείπω· ὥσπερ ἀπὸ τοῦ ἀμείβω ἀμοιβός.*

ΤΟΓ. *Τὰ διὰ τοῦ ιπος δισύλλαβα, τὸ ι παραλήγεται· οἷον, τρίπος· ῥίπος· γρίπος· ἶπος· λίπος, εἰ καὶ διαφέρει κατὰ γένος, οὐδέτερον ὄν· σεσημείωται τὸ κῆπος διὰ τοῦ η γραφόμενον· κᾶπος γὰρ οἱ Δωριεῖς.*

ΤΟΔ. *Τὰ διὰ τοῦ οπος δισύλλαβα ἀπαρασχημάτιστα ἁπλᾶ διὰ τοῦ ο μικροῦ γραφόμενα σπάνιά ἐστιν· ἔστι γὰρ τὸ λόπος, ὃ δηλοῖ τὸ λαμπρόν· κόπος· τόπος· τὸ σκοπὸς καὶ ὀπὸς ἐναντία περὶ τόνον, οὐ περὶ γραφήν· λῶπος δὲ τὸ ἱμάτιον διὰ τοῦ ω μεγάλου σεσημείωται.*

ΤΟΕ. Τὰ διὰ τοῦ επος ὑπὲρ δύο συλλαβὰς δύο ἐστὶν τὸ υ ψιλὸν παραληγόμενα· χαλεπός· ἀρεπός.

ΤΟϚ. Τὰ εἰς πος δισύλλαβα τὸ ω παραληγόμενα δύο ἐστί· τὸ ῥῶπος καὶ κρῶπος ὁ παντοδαπὸς φόρτος· ἀμφότερα βαρύνεται.

ΤΟΖ. Τὰ εἰς πος παρὰ τὴν ὦπα συγκείμενα διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, αἵμωπος· εὔωπος· τήλωπος· μελεσωπός· χαρωπός· πελιωπός.

ΤΟΗ. Τὰ εἰς ξος, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ ο μικροῦ γράφεται κατὰ τὴν παραλήγουσαν· οἷον, κοξός· λοξός· φοξός· κροξός· βοξός· λαοξός· φίλοξος· Δαοξὸς ὁ ποταμός· τὸ Ὦξος ἐπὶ μὲν τοῦ ποταμοῦ διὰ τοῦ ω μεγάλου, ἐπὶ δὲ τοῦ οἴνου, διὰ τοῦ ο μικροῦ γραπτέον.

ΤΟΘ. Τὰ εἰς ξος δισύλλαβα τὴν διὰ τοῦ η, τὴν διὰ τῆς ει, καὶ τῆς οι διφθόγγων, παραιτεῖται γραφήν· ἔχει γὰρ πρὸ τοῦ ξ τὸ ι ἢ τὸ υ· οἷον, ἰξός· Σιξὸς πόλις· Φριξός· Λιξὸς ἡ πόλις· μύξος· πύξος· Βύξος ὄνομα κύριον.

ΤΠ. Τὰ εἰς πος κύρια ὑπὲρ δύο συλλαβὰς ἀπὸ φύσει μακρᾶς ἀρχόμενα διὰ τοῦ ω μεγάλου γράφονται τῇ παραληγούσῃ· οἷον, Ἰνωπὸς ὄνομα ποταμοῦ· Αἰσωπός· Εὐρωπός· Ὠρωπός· τὸ Αἴσωπος· ἄνθρωπος, σημειώδη οὐ κατὰ τὴν γραφὴν ἀλλὰ κατὰ τόνον.

ΤΠΑ. Τὰ εἰς πος ὑπὲρ δύο συλλαβὰς βαρύτονα ἀπὸ βραχείας ἀρχόμενα διὰ τοῦ ω μεγάλου γράφει τὴν παρατέλευτον· Κρότωπος ὄνομα κύριον· Μελάνωπος· τὸ προσηγορικὸν γὰρ ὀξύνεται· κατενωπὸς δὲ ὀξυνόμενον τὴν αὐτὴν ἐφύλαξεν γραφήν.

ΤΠΒ. Τὰ διὰ τοῦ ηρος δισύλλαβα κύριά τε καὶ προσηγορικὰ καὶ ἐπίθετα, ὁποίας ἂν εἴη τάσεως, διὰ τοῦ η γράφεται· οἷον, Σῆρος ὄνομα κύριον· Δρῆρος πόλις Κρητικὴ, ἀμφότερα βαρύνονται· πηρός· μηρός· κηρός· ξηρός· φηρὸς ἡ τροφὴ τῶν θεῶν· κλῆρος· λῆρος· σκληρός· νηρός· σεσημείωται διὰ τοῦ ι γραφόμενα κύρια τέσσαρα· Ἶρος· Τίρος· Πίρος· Σκίρος· καὶ ἐπὶ προσηγορικῶν ὀξύτονα δύο· ἱρὸς ὁ ἱερός· σιρὸς τὸ οἴκημα.

ΤΠΓ. Τὰ διὰ τοῦ υρος ἅπαντα διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, Κύρος· Τύρος· Σύρος· Σκύρος· φυρός· πυρός· ξυρός· πλὴν τοῦ χοῖρος.

ΤΠΔ. Τὰ διὰ τοῦ ορος δισύλλαβα κύριά τε καὶ προσηγορικὰ, μὴ ἔχοντα ῥῆμα ἐξ οὗ παρήχθησαν, διὰ τοῦ ω μεγάλου γράφονται, ὀξύτονά τε καὶ βαρύτονα τυγχάνοντα· λῶρος· χῶρος· Ὧρος ὄνομα κύριον· πρῶρος· βῶρος· Πῶρος ὄνομα κύριον· ψῶρος· βλῶρος ὁ διάλευκος· πωρὸς ὀξυτόνως· ζωρός· μωρός· τοῦτο ἐπὶ ἐμψύχου τιθέμενον βαρύνεται· τὸ Φλόρος ὄνομα κύριον διὰ τοῦ ο μικροῦ· τὸ σωρὸς ἀρσενικὸν μὲν ὂν διὰ τοῦ ω μεγάλου· θηλυκὸν δὲ διὰ τοῦ ο μικροῦ· ὁμοίως καὶ τὸ μωρὸς, ὀξυνόμενον μὲν διὰ τοῦ ω, βαρυνόμενον δὲ διὰ τοῦ ο μικροῦ.

ΤΠΕ. Τὰ διὰ τοῦ ορος δισύλλαβα ἀπὸ ῥημάτων γινόμενα διὰ τοῦ ο μικροῦ γράφονται· εἴρω τὸ συμπλέκω ὅρος· σπείρω σπόρος· χαίρω χαρῶ χόρος· τροπῇ τοῦ ω εἰς ο· οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου· σπερῶ σπόρος· φθερῶ φθόρος.

ΤΠϚ. Τὰ διὰ τοῦ αιρος δισύλλαβα σπάνια καὶ ἐν ἱστορίᾳ περιληπτὰ διὰ τῆς αι διφθόγγου γράφονται· Σφαῖρος· Σκαῖρος· ὀνόματα κύρια· τὸ καιρὸς ὀξύτονον· τὸ γὰρ δαιρος περὶ τόνον διαφορεῖται.

ΤΠΖ. Τὰ διὰ τοῦ τερος βαρύτονά τε καὶ ὀξύτονα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον· κρατερός· ἀριστερός· περιστερός· Βλαττερὸς ὄνομα κύριον· πρότερος· ὕστερος· φέρτερος· ὁ δὲ κανὼν καὶ ἐπὶ ἀντωνυμιῶν· σφέτερος· σφωΐτερος· ἡμέτερος· ὑμέτερος.

ΤΠΗ. Τὰ διὰ τοῦ αιτερος ἢ αιτατος, τὴν τρίτην ἀπὸ τέλους ἔχει διὰ τῆς αι διφθόγγου· οἷον, φιλαίτερος· πλησιαίτερος· περαίτερος· μεσαίτατος· ἰδιαίτατος, καὶ εἴτι ὅμοιον.

ΤΠΘ. Τὰ διὰ τοῦ ερος ὑπὲρ δύο συλλαβὰς, εἴτε ὀξύτονα, εἴτε βαρύτονα διὰ τοῦ υ ψιλοῦ γράφει τὴν παραλήγουσαν· οἷον, σφαλερός· δολερός· χλοερός· νοερός· φοβερός· νοσερός· σταθερός· ἥμερος καὶ ἵμερος ὁ ἐπιθυμητός· Κέρβερος· πέρπερος·

ἕτερος· σεσημείωται τὸ Πάλαιρος· Χήμαιρος διὰ τῆς αι διφθόγγου γραφόμενα· τὸ γὰρ κύπαιρος Δωρικὸν ἀπὸ τοῦ κύπειρος γέγονεν τροπῇ τοῦ ε εἰς α, ὡς κατόγειος κατόγαιος· εἰ δὲ σεσημείωται τὸ ἑταῖρος προπερισπώμενον διὰ τῆς αι διφθόγγου, γέγονεν δὲ παρὰ τὸ ἔθος ἐθαῖος, ὡς δρόμος δρομαῖος, καὶ τροπῇ τοῦ θ εἰς τ, καὶ πλεονασμῷ τοῦ ρ ἑταῖρος, μεταθέσει τῆς ψιλῆς εἰς δασεῖαν· οὕτως Ἡρωδιανὸς ἐν Ἐπιμερισμοῖς.

ΤϞ. Τὰ διὰ τοῦ ηρος παράγωγα ὑπὲρ δύο συλλαβὰς ὀξύτονα διὰ τοῦ η γράφονται· οἷον, ὀλισθηρός· μοχθηρός· καματηρός· αἱματηρός· πονηρός· τὸ καυτειρὸς σεσημείωται διὰ τῆς ει διφθόγγου γραφόμενον τροπῇ Βοιωτιακῇ τοῦ η εἰς τὴν ει δίφθογγον.

ΤϞΑ. Τὰ διὰ τοῦ ηρος ὑπὲρ δύο συλλαβὰς κύριά τε καὶ προσηγορικὰ προπαροξύτονα, μὴ ἔχοντα ἀπὸ ῥήματος τὴν γένεσιν, διὰ τοῦ η γράφονται· οἷον, Ὅμηρος· Ἄβδηρος· Ἄηρος πόλις Κρητική· Φάληρος· Ἄνδηρος· Ἴβηρος· σίδηρος· ἄσηρος· ἐρίηρος· Σεύηρος.

ΤϞΒ. Τὰ διὰ τοῦ ειρος προπαροξύτονα ἀπὸ ῥημάτων γινόμενα διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, μάσσω μάγειρος· Αἰολεῖς δὲ διὰ τοῦ ι· πέπτω πέπειρος· ὀνῶ τὸ ὠφελῶ ὄνειρος· αἴσσω αἴγειρος· ἥδω Ἄνδειρος ὄνομα ποταμοῦ· κονῶ Κόνειρος ὄνομα ἔθνους· καίω καυστειρός· τοῦτο τὴν γραφὴν ἐφύλαξεν οὐ τὸν τόνον, ὀξύνεται γάρ· τοῦτο δὲ διὰ τοῦ η ἔδει γράφεσθαι, ἐτράπη δὲ παρὰ Βοιωτοῖς εἰς τὴν ει δίφθογγον, εἴγε παρ' αὐτοῖς ἠγνόηται ἡ διὰ τοῦ η γραφή· διὸ καὶ τὸ πένης· πονηρός· ἥρως, παρ' ἡμῖν διὰ τοῦ η γραφόμενα, παρ' αὐτοῖς διὰ τῆς ει διφθόγγου γράφονται.

ΤϞΓ. Τὰ διὰ τοῦ ιρος ἐπὶ πόλεων βαρύτονα διὰ μακροῦ τοῦ ι γράφονται· οἷον, Κάμιρος· Στάγιρος· Στάλιρος· Κύπτιρος· Δύϊρος· Βεδύσιρος· Σίτιρος· Πύστιρος· τοῦτο καὶ διὰ διφθόγγου γράφεται.

ΤϞΔ. Τὰ διὰ τοῦ υρος ὑπὲρ δύο συλλαβὰς, εἴτε κύρια, εἴτε προσηγορικὰ, εἴτε ὀξύτονα, εἴτε βαρύτονα διὰ τοῦ υ ψιλοῦ

γράφονται· οἷον, πόρφυρος· πάπυρος· Ἴπυρος ὄνομα ποταμοῦ· Μάνθυρος· ἐκυρός· ἰσχυρός· βδελυρός· ἀλμυρός.

ΤϞΕ. Τὰ παρὰ τὸ ὁρῶ συγκείμενα ὀξύτονα διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, θυρωρός· πυλωρός· μυλωρός· φρυκτωρός· σκευωρός· ἰωρός.

ΤϞϚ. Τὰ διὰ τοῦ ησος βαρύτονα δισύλλαβα κύριά τε καὶ προσηγορικὰ διὰ τοῦ η γράφονται· οἷον, Κῆσος ὄνομα ποταμοῦ· Κτῆσος· Βῆσος· Μνῆσος· Δρῆσος· νῆσος· Ῥῆσος.

ΤϞΖ. Τὰ διὰ τοῦ ωσος δισύλλαβα θηλυκὰ καὶ ὀξύτονα διὰ τοῦ ω μεγάλου γράφονται· Κνωσὸς δι' ἑνὸς σ, Τρύφων δὲ διὰ δύο· Ῥωσός· Κρῶσος βαρύτονον καὶ μόνως ἀρσενικὸν τῷ τόνῳ παραλλάξαν κατὰ τὴν γραφὴν τοῖς θηλυκοῖς ἠκολούθησεν.

ΤϞΗ. Τὰ διὰ τοῦ ισος δισύλλαβα κύρια μονογενῆ βαρύτονα διὰ μακροῦ τοῦ ι γράφει τὴν παραλήγουσαν· οἷον, Κρῖσος· Ῥῖσος· Ἶσος· Κῖσος· Πῖσος, ἀφ' οὗ καὶ Πῖσα ἡ πόλις.

ΤϞΘ. Τὰ διὰ τοῦ υσος δισύλλαβα βαρύτονα διὰ μακροῦ τοῦ υ γράφονται· οἷον, ῥῦσος· κῦσος· Νῦσος ποταμός· Τρῦσος ποταμός· τὸ χρυσός· Μυσὸς, ὄνομα ἔθνους, κατὰ τόνον οὐ κατὰ τὴν γραφὴν διήλλαξεν· σεσημείωται τὸ Κροῖσος καὶ τόνῳ καὶ γραφῇ διήλλαξαν· γράφεται γὰρ διὰ τῆς οι διφθόγγου, καὶ βαρύνεται.

Υ. Τὰ διὰ τοῦ αισος δισύλλαβα ὀξύτονα διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, Παισός· Πραισὸς, ὄνομα ἔθνους· βλαισός· τὸ Ναῖσος ἐπὶ τοῦ ποταμοῦ καὶ τὸ παῖσος[o] ἐπὶ τοῦ δόρατος, καὶ τὸ γαῖσος βαρύτονα κατὰ τόνον μόνον οὐ κατὰ τὴν γραφὴν διήλλαξαν.

ΥΑ. Τὰ διὰ τοῦ εσος ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα σπάνια· τὰ δ' ὄντα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, Ἔφεσος, Ἔρεσος, ὀνόματα πόλεων· τὸ Εὐεσσὸς σεσημείωται διὰ δύο σσ γραφόμενον· ἔστι δὲ ὄνομα πόλεως.

ΥΒ. Τὰ διὰ τοῦ ησσος ὀξύτονα ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ η καὶ δύο σσ γράφονται· οἷον, Μυκαλησσός· Τευμησσός· Ταρτησσός· ὀνόματα ποταμῶν[p]· Λυρνησσὸς ὄνομα ποταμοῦ·

[o] Cod. παῖος. [p] Leg. πόλεων.

Ἐλβησσὸς ὄνομα ποταμοῦ· Ὀρδησσός· Μοδησσός· Σαλμυδησσός· τὸ Κέησος· Βρίλησος δι' ἑνὸς σ γραφόμενα βαρύνονται· τὸ Μαρπησσὸς παρώνυμον ἀπὸ τοῦ Μαρπήσσας, ὡς καὶ ἀπὸ τοῦ μέλισσα Μέλισσος.

ΥΓ. Τὰ διὰ τοῦ ισσος ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ μονογενῆ προσηγορικὰ προπαροξύτονα, ἔχοντα τὴν πρὸ τέλους εἰς σ καταλήγουσαν, διὰ τοῦ ι γράφονται· οἷον, κυπάρισσος· νάρκισσος· Μέλισσος· Κύρμισσος· Πόλισσος· Ἀρχέμισσος ὄνομα ποταμοῦ· τὸ περισσὸς τὸν τόνον ἀμείψαν τὴν γραφὴν ἐφύλαξεν· τὸ Χερόνησος, Μυόνησος, ὀνόματα πόλεων οὐχ ἁπλᾶ.

ΥΔ. Τὰ διὰ τοῦ ισος ὑπὲρ δύο συλλαβὰς βαρύτονα κύριά τε καὶ προσηγορικὰ διὰ τοῦ ι γράφονται· δηλονότι τῆς παραληγούσης δι' ἑνὸς σ ἐκφερομένης· οἷον, Ἄρνισος ὁ ποταμός· Κήφισος· Ἕλισος· Λάνισος· Νήρισος· Ἄρισος ὁ ποταμός· Πάμισος· Λάρισος· Ῥίμισος ὁ ποταμὸς Σικελίας· Κρίμισος· Μόρμισος ὁ ποταμός· ἄϊσος· ὕβρισος· τὸ Ἀμισὸς τὸν τόνον ἀμείψαν τὴν γραφὴν ἐφύλαξεν.

ΥΕ. Τὰ κατὰ διπλασιασμὸν τοῦ σ ὀξύτονα τὸ ο παραληγόμενα πάνυ σπάνια, καὶ σχεδὸν ὡρισμένα· ἔστι γὰρ τὸ Μολοσσὸς ὄνομα ἔθνους, καὶ τὸ νεοσσός· Κολοσσὸς καὶ μόνον.

ΥϚ. Τὰ διὰ τοῦ υσος ἅπαντα, εἴτε δι' ἑνὸς σ ἐκφέροιντο, εἴτε διὰ δύο, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, βύσος ὁ βυθός· Ὄνυσος ὁ ποταμός· μέθυσος· Διόνυσος· Βρύσος ὁ λιμήν· ἄφυσος· ἄρυσος ἀγγεῖον πλεκτὸν σπυριδῶδες· Γέννυσσος ὄνομα ποταμοῦ διὰ δύο σσ· Ἄμβρυσσος· σεσημείωται τὸ Κροῖσος διὰ τῆς οι διφθόγγου γραφόμενον.

ΥΖ. Τὰ διὰ τοῦ αισος ὑπὲρ δύο συλλαβὰς τῇ αι διφθόγγῳ παραληγόμενα σπάνιά εἰσι καὶ ἐν ἀριθμῷ· ὡς ἔχει τὸ Ἄπαισος· κέλαισος· κάβαισος ὁ ἄπληστος· τὸ Γναῖσος ὄνομα ποταμοῦ, τὸ παραισὸς μόνον ὀξυνθὲν τὴν αὐτὴν γραφὴν τοῖς βαρυτόνοις ἐφύλαξεν.

ΥΗ. Εἰς ος λήγοντα ὑπὲρ δύο συλλαβὰς καὶ διὰ δισσοῦ σ προσφερόμενα, καὶ τὸ ω παραληγόμενα σπάνιά ἐστιν· ἔστι γὰρ τὸ Βήρωσσος διὰ δύο σσ προσφερόμενον, καὶ τὸ Κερωσσὸς ὀξυνόμενον· ἔστι δὲ πόλις Ἀπολλωνιάδος· καὶ τὸ Βλῶσος βαρύτονον παρὰ τὸν βλώσω μέλλοντα γεγονὸς, καὶ δι' ἑνὸς σ γραφόμενον.

ΥΘ. Τὰ διὰ τοῦ οιτος δισύλλαβα ἀρσενικὰ, μὴ ἐπιθετικὰ βαρύτονα διὰ τῆς οι διφθόγγου γράφονται· οἷον, μοῖτος· οἶτος· κοῖτος· Προῖτος· γοῖτος ὁ ῥύπος· φοῖτος.

ΥΙ. Τὰ διὰ τοῦ αιτος δισύλλαβα βαρύτονα, μὴ ἐπιθετικὰ, τῇ αι διφθόγγῳ παραλήγεται· οἷον, Λαῖτος· Παῖτος· οἷς ἀκόλουθον καὶ τὸ Κλοιτὸς διὰ τῆς οι διφθόγγου γραφόμενον, εἰ καὶ μὴ διὰ τῆς αι· σεσημείωται τὸ ἔτος ἐπὶ τοῦ χρόνου.

ΥΙΑ. Τὰ διὰ τοῦ ητος ἢ ωτος, κύρια ἢ ἐπιθετικὰ δισύλλαβα, τὴν πρὸ τέλους ἔχει διὰ τοῦ η, ἢ διὰ τοῦ ω· οἷον, Κλητὸς ὄνομα ποταμοῦ· νητός· ῥητός· κρητός· τρητός· Δωτός· Κνωτός· Ὦτος ὄνομα κύριον καὶ τὸ ὄρνεον· νῶτος ἐπὶ τῆς ψόας, ἐπὶ γὰρ τοῦ ἀνεμοῦ διὰ τοῦ ο μικροῦ· πλωτός· στρωτός· γνωτός· καὶ ἐν πλεονασμῷ τοῦ σ γνωστός· πτωτός· βωτός· οἷς ἀκόλουθον τὸ πρῶτος οὐ κατὰ τόνον ἀλλὰ κατὰ τὴν γραφήν.

ΥΙΒ. Τὰ διὰ τοῦ οτος δισύλλαβα μονογενῆ βαρύτονα διὰ τοῦ ο μικροῦ γράφωνται· οἷον, βρότος· νότος ὁ ἄνεμος, ἐπὶ γὰρ τῆς ψύας [q] διὰ τοῦ ω· κρότος· σκότος· κότος.

ΥΙΓ. Τὰ διὰ τοῦ ιτος δισύλλαβα βαρύτονα διὰ μακροῦ τοῦ ι γράφονται· οἷον, ῥῖτος· σῖτος· μῖτος· Τρῖτος ἐπὶ τοῦ ποταμοῦ, ἐπὶ γὰρ τοῦ ἀριθμοῦ βραχὺ τὸ ι· ὁμοίως καὶ τὸ τίτος διὰ βραχὺ τοῦ ι· τὸ λιτὸς ὃ κατὰ τὴν γραφὴν οὐ δὲ κατὰ χρόνον, ἢ μόνον διήλλαξεν.

ΥΙΔ. Τὰ διὰ τοῦ υτος δισύλλαβα ὀξύτονα διὰ τοῦ υ ψιλοῦ γράφονται ἀπὸ ῥημάτων γινόμενα· οἷον, χυτός· ῥυτός· βρυτός· πλυτός· κλυτός· τρυτός.

ΥΙΕ. Τὰ διὰ τοῦ ετος δισύλλαβα τριγενῆ ἀπὸ τῶν εἰς μι ῥη-

q Sic.

μάτων παραγόμενα, διὰ τοῦ ε ψιλοῦ γράφει τὴν παραλήγουσαν ὀξύτονα ὄντα· οἷον, δετός· ἀπὸ γὰρ τοῦ δίδημι, ὃ δηλοῖ τὸ δεσμεύω· θετὸς ἀπὸ τοῦ τίθημι· ἐτὸς ὁ ἀληθής· ἀπὸ γὰρ τοῦ εἰμὶ ὃ δηλοῖ τὸ ὑπάρχω.

ΤΙϚ. Τὰ διὰ τοῦ ετος ὑπὲρ δύο συλλαβὰς κύριά τε καὶ προσηγορικὰ ὀξύτονά τε καὶ βαρύτονα, διὰ τοῦ ε ψιλοῦ γράφει τὴν παραλήγουσαν· οἷον, νιφετός· ἀφετός· τοκετός· Ἔχετος ὄνομα κύριον· πυρετός· αἰνετός· τηλύγετος.

ΤΙΖ. Τὰ διὰ τοῦ ητος ὑπὲρ δύο συλλαβὰς κύρια μονογενῆ προπαροξύτονα διὰ τοῦ η γράφονται· οἷον, Ἄρητος ὄνομα κύριον· Λάμητος ὁ ποταμός· Κατάρητος ὁ ποταμός· Ἔνητος ὄνομα κύριον· Μέλητος ὄνομα κύριον· Μίλητος ὄνομα πόλεως· Κόρητος· οἷς ἀκόλουθον τὸ τρύγητος καὶ ἄμητος προπαροξυνόμενα ἐπὶ[r] καιροῦ λαμβανόμενα, ἐπὶ γὰρ τῆς πράξεως ὀξύνεται.

ΤΙΗ. Τὰ διὰ τοῦ ητος ὀξύτονα ὑπὲρ δύο συλλαβὰς ἀπὸ ῥημάτων γεγενημένα, τῆς πρώτης ἢ καὶ δευτέρας συζυγίας τῶν περισπωμένων, διὰ τοῦ η γράφονται· οἷον, ποτητός· λαλητός· ἀγαπητός· τρυγητός· τοῦτο διαφορεῖ καθὼς εἴρηται οὐ κατὰ τὴν γραφὴν ἀλλὰ κατὰ τόνον.

ΤΙΘ. Τὰ διὰ τοῦ ιτος ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ προπαροξύτονα, ἐπιθετικά τε καὶ κύρια, διὰ τοῦ ι γραφόμενα σπάνιά ἐστιν· οἷον, Ἄγχιτος ὄνομα κύριον· Ἀφρόδιτος· ἀδήριτος· Ὀΐκριτος ὄνομα κύριον· τὸ ἀμαξιτός· λυχνιτός· ἀτραπιτὸς ὀξύτονα, κατὰ τόνον καὶ κατὰ γένος, οὐ κατὰ τὴν γραφὴν ἀνακόλουθα.

ΤΚ. Τὰ διὰ τοῦ οτος ὑπὲρ δύο συλλαβὰς τὸ ο παραληγόμενα προπαροξύτονα δύο ἐστιν· βίοτος· ἄροτος· ὀξύτονα δὲ τέσσαρα· βιοτός· ὁμοτός· ὀνοτός· μολοτός.

ΤΚΑ. Τὰ διὰ τοῦ υτος ὑπὲρ δύο συλλαβὰς, εἴτε βαρύτονα, εἴτε ὀξύτονα, εἴτε κύρια, εἴτε προσηγορικὰ, διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, Νέρυτος ὄνομα κύριον· πίνυτος· Ἄνυτος· Μάδυτος ἡ πόλις· Αἴπυτος· Ὄρυτος· Ὠκυτός· ὀξυτός·

[r] Cod. om. ἐπί.

φορυτός· ἀρυτός· Βηρυτός· κωκυτός· κορδυτός· ὠρυτός· Κολλυτός· τὸ ἄλοιτος, ὃ δηλοῖ τὸν ἄδικον καὶ μιαρὸν, σεσημείωται διὰ τῆς οι διφθόγγου γραφόμενον.

ΥΚΒ. Τὰ διὰ τοῦ ωτος ὀξύτονα ἀπὸ τῆς τρίτης συζυγίας τῶν περισπωμένων γεγενημένα, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, πλωτός· στρωτός· τρωτός· πτωτός· ἁλωτός· περωτός· αὐλωτός· κηρωτός· ἄζωτος.

ΥΚΓ. Τὰ διὰ τοῦ υφος, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, ἄργυφος· κόσσυφος· κολόσυφος· κόρυφος· κύφος· τύφος· κρύφος· σύφος· σκύφος· ὕφος.

ΥΚΔ. Τὰ διὰ τοῦ ιφος δισύλλαβά τε καὶ ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ι γράφονται· οἷον, γρίφος· στίφος, τὸ οὐδέτερον· ἔριφος· Σέριφος· σεσημείωται τὸ ψῆφος διὰ τοῦ η γραφόμενον.

ΥΚΕ. Τὰ εἰς χος δισύλλαβα τὸ η παραληγόμενα σπάνια· ἔστιν γὰρ τὸ ἦχος· Τρῆχος ὄνομα κύριον· σεσημείωται τὸ τεῖχος διὰ τῆς ει διφθόγγου γραφόμενον· καὶ τὸ στῖχος διὰ τοῦ ι.

ΥΚϚ. Τὰ διὰ τοῦ υχος δισύλλαβα διὰ τοῦ υ ψιλοῦ γραφόμενα σπάνια· ἔστι γὰρ τὸ μυχὸς, ἐπὶ τοῦ βαθοῦς· καὶ τὸ τύχος· βρύχος ὁ κήρυξ, δηλοῖ δὲ καὶ ὄνομα τόπου· σεσημείωται τὸ μοιχὸς ἐπὶ τοῦ πόρνου, καὶ τοῖχος ἐπὶ τοῦ κτίσματος, διὰ τῆς οι διφθόγγου γραφόμενα· γέγονε δὲ τὸ τοῖχος ἀπὸ τοῦ στείχω στοῖχος, καὶ ἀποβολῇ τοῦ σ τοῖχος.

ΥΚΖ. Τὰ διὰ τοῦ ιχος ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ι γράφονται· καὶ προπαροξύνονται· οἷον, σωτήριχος· μείλιχος· Ἰάμβλιχος· τάριχος· δόλιχος.

ΥΚΗ. Τὰ διὰ τοῦ υχος ὑπὲρ δύο συλλαβὰς οὐκ οἶδε τὴν οι δίφθογγον· οἷον, ἥσυχος· βόρυχος· βόστρυχος· Μόρυχος.

ΥΚΘ. Οὐδὲν τῶν εἰς ψος ληγόντων ὀνομάτων, οὔτε δισύλλαβα, οὔτε ὑπὲρ δύο συλλαβὰς, πρὸ τοῦ ψ εὕρηται ἔχον τὴν οι δίφθογγον, ἢ τὴν ει, ἢ τὸ η, ἢ τὴν αι δίφθογγον, ἢ τὸ ω· ὅθεν ταῦτα περιελομένου τοῦ κανόνος, τὰ λοιπὰ ἴσχει διὰ τοῦ ι, ἢ διὰ τοῦ υ, ἢ διὰ τοῦ ε, ἢ διὰ τοῦ ο γραφόμενα·

οἷον· ὕψος· γυψός· Τίψος ἡ πόλις· δίψος· Μίψος τὸ ἔθνος· νίψος· Γάλιψος· Τράνιψος τὸ ἔθνος· Κάλυψος τὸ ἔθνος.

ΤΛ. Τὰ εἰς ος οὐδέτερα, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς ὀνόματα βαρύνεται, καὶ διὰ τοῦ ε ψιλοῦ γράφει τὴν παραλήγουσαν· οἷον, βέλος· δέλος· βρέφος· δέος· κλέος· μέγεθος· στέλεχος· καὶ τἄλλα διὰ τὸ πλῆθος ἐῶ· σεσημείωται τὸ λαῖφος καὶ αἶσχος διὰ τῆς αι διφθόγγου γραφόμενα· γέγονε δὲ τὸ αἶσχος οὕτως· ὥσπερ ἀπὸ τοῦ ἔπω γίνεται ἴσπω καὶ ἐνίσπω, οὕτως καὶ παρὰ τὸ ἔχω γίνεται ἴσχος, καὶ μετὰ τοῦ α τοῦ δηλοῦντος τὸ κακὸν ἄϊσχος, καὶ κατὰ συναίρεσιν αἶσχος.

ΤΛΑ. Τὰ εἰς μα λήγοντα οὐδέτερα, πάντα παράγωγά ἐστιν, καὶ ἐκ τοῦ πρώτου προσώπου τοῦ παρακειμένου τὴν γένεσιν ἔχει· καὶ τὰ μὲν ἀπὸ βαρυτόνων ῥημάτων γινόμενα τὴν παραλήγουσαν τὴν αὐτὴν φυλάττει τῷ ἐνεστῶτι· τύπτω τέτυμμαι τύμμα· λήβω λέλημμαι λῆμμα· τοῦτο συστέλλουσι τινὲς, καὶ διὰ τοῦ ι γράφουσιν· δήκω, ἐξ οὗ τὸ δαγκάνω, δέδηγμαι δῆγμα· δείκω, ἐξ οὗ τὸ δεικνύω, δέδειγμαι, δεῖγμα καὶ ὑπόδειγμα.

ΤΛΒ. Τὰ εἰς μα οὐδέτερα ἀπὸ περισπωμένων γινόμενα τὴν παραλήγουσαν τὴν αὐτὴν ἔχει τῇ παραληγούσῃ τοῦ ἐνεργητικοῦ παρακειμένου· οἷον, πεποίηκα πεποίημαι, ποίημα· τετέλεκα, τετέλεσμαι, τέλεσμα· εἰ γὰρ καὶ τὸ σ προσέλαβεν κλητικῇ ἀκολουθίᾳ, ἀλλὰ τὸ ε ἐφύλαξεν τῆς παραληγούσης τοῦ ἐνεργητικοῦ παρακειμένου· μεμελέτηκα, μεμελέτημαι, μελέτημα· ἐστεφάνωκα, ἐστεφάνωμαι, στεφάνωμα· οὕτω δὲ καὶ ὅσα τῆς ε συζυγίας ὡς ἀπὸ περισπωμένων ἐκλίθη, ὡς ἔχει τὸ τεθέληκα, τεθέλημαι, θέλημα· βεβούληκα, βεβούλημαι, βούλημα· ἐπιστήσεις γὰρ ὅτι ἀπὸ παθητικοῦ ἐνεστῶτος ῥηματικὸν[r] ὄνομα οὐ παράγεται.

ΤΛΓ. Τὰ εἰς μα οὐδέτερα ἀπὸ τῶν εἰς μι παραγόμενα, καὶ αὐτὰ ἀπὸ παθητικοῦ παρακειμένου τὴν γένεσιν ἔχοντα τὰ πάντα βραχεῖα παραλήγεται· καὶ τὰ μὲν ἀπὸ τῆς πρώτης

[r] Cod. ῥηματικοῦ.

συζυγίας, τὸ ε ψιλὸν παραλήγεται· τίθημι, τέθεικα, τέθεμαι, θέμα· τὰ δὲ ἀπὸ τῆς δευτέρας τὸ α· βίβημι βέβηκα, βέβαμαι, βάμα καὶ τροπῇ τοῦ α εἰς η βῆμα· τὰ ἀπὸ τῆς τρίτης τὸ ο· δέδωκα, δέδομαι, δόμα· τὰ τῆς τετάρτης διχρόνῳ βραχεῖ· δύμι, δέδυκα, δέδυμαι, δύμα καὶ ἔνδυμα.

ΥΛΔ. Τὰ εἰς μα οὐδέτερα καὶ βαρύνεται καὶ συστέλλει τὸ α, καὶ τὸ μ, παραλήγεται καὶ διὰ τοῦ τος κλίνεται· οἷον, θέμα θέματος· καὶ εἴτι ὅμοιον· τὸ δὲ κάρα· λίπα· ἄλειφα, ἀπὸ τοῦ κάρανον, λιπαρὸν, ἄλειφαρ γεγενῆσθαι φησὶν κατὰ ἀποκοπὴν ὁ τεχνικός· οὕτω δὲ καὶ τὰ τῶν στοιχείων ὀνόματα· ἄλφα, βῆτα, ἦτα, θῆτα, καὶ τὰ λοιπά· τὸ ἰῶτα μόνον ἐκ πάντων καὶ τρισύλλαβον καὶ προπερισπώμενον· καὶ ἐχρὴν αὐτὸ προπαροξύνεσθαι, ἀλλ' ἐπεὶ στοιχεῖον ἦν ἠκολούθησε τοῖς δισυλλάβως ἔχουσι πρὸ τέλους τὸν τόνον· οὕτως Ἡρωδιανὸς ἐν τῇ συντάξει τῶν στοιχείων· σημειούμεθα δὲ μὴ τὸ μ παραληγόμενα τὸ φάβα καὶ Πάσχα· ὧν τὸ μὲν ἀπὸ τῆς Ἰταλῶν· τὸ Πάσχα δὲ ἀπὸ τῆς Ἑβραίων φωνῆς μετηγμένον εἰς τὴν Ἑλλάδα φωνήν· τὸ μὲν κλίνεται ἀκολούθως τοῖς εἰς μα· τοῦ Πάσχα δὲ αἱ καθεξῆς πτώσεις σεσίγηνται.

ΥΛΕ. Τὰ ἀπὸ τοῦ δευτέρου καὶ τρίτου προσώπου τοῦ παθητικοῦ παρακειμένου γινόμενα ὀνόματα ῥηματικὰ, εἴτε ἀπὸ τῶν εἰς ω, εἴτε ἀπὸ τῶν εἰς μι κατὰ τὴν παραλήγουσαν τὴν αὐτὴν φυλάττει γραφήν· οἷον, λέλεξαι, λέξις· λέλεκται, λεκτὸς καὶ ἄλεκτος, καὶ διάλεκτος· τέθεσαι θέσις· τέθεται, θετὸς, καὶ ἄθετος, καὶ ἐπίθετος· δέδοσαι, δόσις, ἐπίδοσις· δέδοται, δοτὸς καὶ θεόδοτος.

ΥΛϚ. Εἰς α μακρὸν, ἢ εἰς η ἐπὶ ἑνικῶν οὐδετέρων οὐκ ἔστιν εὑρεῖν· διὸ τὸ μὲν κάρα ἀπὸ τοῦ κάρανον ἀποκεκόφθαι φαμέν· τὸ δὲ κάρη ἀπὸ τοῦ κάρηνον· τὸ δὲ καρὴ ὀξύτονον θηλυκὸν εἶναι.

ΥΛΖ. Τὰ εἰς ι οὐδέτερα ἀπαρασχημάτιστα μονογενῆ ὑπὲρ μίαν συλλαβὴν καὶ σπάνια καὶ Αἰγύπτια· ἃ καὶ βαρύνεται καὶ διὰ τοῦ ι γράφεται· οἷον, μέλι· κίκι εἶδός τι ἐλαίου·

παρ' οἷς καὶ γίνεται φημὶ δὴ διὰ τοῦ ι κατὰ τὴν παραλήγουσαν, ἐν πολλοῖς δὲ τῶν ἀντιγράφων διὰ τοῦ η ἐστὶν ἡ παραλήγουσα· ἴσως ἐννοηθέντων τῶν γραφέων ὅτι ἐκ τὰς κηκίδας ἐστίν· κάκις γὰρ παρὰ Δωριεῦσι τῆς κηκίδος ἡ τελαιοτάτη στᾶχις σύνηθες Αἰγυπτίοις· ἔστι δὲ ἐρυθρὸν ἀπὸ πλίνθου λελεπτυσμένης, ὃ μετὰ γύψου φυραθὲν, καὶ χρισθὲν εὐθέως πήγνυται· κόρι τὸ κορίαννον· κόμι· πέπερι· κιννάβαρι· τοῦτο οἱ Ἀττικοὶ τιγγάβαρυ φασίν· τάγυρι· χνάσμι· κόρι· σέσελι, καὶ εἴτι ὅμοιον.

ΤΛΗ. Τὰ εἰς υ οὐδέτερα διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, δόρυ· δάκρυ· κάχρυ· ἄστυ· πῶϋ· μῶλυ· γόνυ· μέθυ· φίτυ, τὸ φυτόν· ἄσχυ, ἀπόρευμα δένδρου· κόνδυ εἶδος ἐκπόματος· σίνηπυ· τοῦτο Ἀττικοὶ νάπυ φασίν· ἡ δὲ συνήθεια σίνηπι διὰ τοῦ ι ἀπὸ τῆς τῶν Αἰγυπτίων χρήσεως· αἶπυ, τὸ γὰρ τριγενὲς ὀξύνεται.

ΤΛΘ. Εἰς ων μέγα οὐδέτερον μονογενὲς, ἢ εἰς ην, ἢ εἰς αν, ἢ εἰς εν, ἢ εἰς ιν, ἢ εἰς υν οὐκ ἔστιν εὑρεῖν· τὸ γὰρ ἰθύτρην παρὰ Δημοκρίτῳ[s] βεβίασται· οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου· μονογενῆ δὲ εἰπὼν ὁ κανὼν ὀνόματα νόει· ἐπὶ γὰρ μετοχῶν τῆς δευτέρας συζυγίας τῶν περισπωμένων χρόνου ἐνεστῶτος τὰ οὐδέτερα διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, τὸ βοῶν, τὸ ἀγαπῶν, καὶ εἴτι ὅμοιον.

ΤΜ. Τὰ εἰς ον οὐδέτερα ὀνόματα μονογενῆ διὰ τοῦ ο μικροῦ γράφονται, καὶ εἰς ου ἔχει τὴν γενικήν· οἷον, νίτρον νίτρου, καὶ εἴτι ὅμοιον.

ΤΜΑ. Τὰ διὰ τοῦ εαρ οὐδέτερα δισύλλαβα διὰ τοῦ ε ψιλοῦ γράφει τὴν παραλήγουσαν· οἷον, ἔαρ· κέαρ· φρέαρ· στέαρ· κτέαρ· οἷς ἀκόλουθον καὶ τὸ δέλεαρ ὑπὲρ δύο συλλαβὰς ὄν· καὶ ὄνειαρ· ἄλειαρ, διὰ τῆς ει διφθόγγου γραφόμενα.

ΤΜΒ. Εἰς αρ λήγοντα οὐδέτερα δισύλλαβα ἔχοντα ἐν ἐπιπλοκῇ δύο σύμφωνα σπάνιά ἐστιν· ἔστι γὰρ τὸ τέκμαρ· ἔχθαρ· νέκταρ.

ΤΜΒ. Εἰς αρ λήγοντα οὐδέτερα δισύλλαβα [ἔχοντα ἐν ἐπιπλοκῇ

[s] MS. διμοκρίτῳ.

δύο σύμφωνα] ἑνὶ τῶν φύσει βραχέων παραληγόμενα σπάνιά ἐστιν, ἔχοντα πρὸ τοῦ α σύμφωνον· ἔστι γὰρ τὸ πέπαρ· σθέναρ· ὄναρ· καὶ τὸ νόαρ καθαρόν.

ΥΜΔ. Εἰς αρ λήγοντα οὐδέτερα δισύλλαβα ἑνὶ τῶν φύσει μακρῶν παραληγόμενα σπάνιά ἐστιν· ἔστι γὰρ τὸ ἧπαρ· ἦμαρ· νῶκαρ· μῶμαρ.

ΥΜΕ. Εἰς αρ λήγοντα οὐδέτερα τὸ υ παραληγόμενα τρία ἐστίν· ὕπαρ· πύαρ· σύφαρ.

ΥΜϚ. Εἰς αρ λήγοντα οὐδέτερα δισύλλαβα τὸ ι παραληγόμενα δύο ἐστίν· πίαρ καὶ ἴλαρ.

ΥΜΖ. Εἰς αρ λήγοντα οὐδέτερα δισύλλαβα τῇ ει διφθόγγῳ παραληγόμενα σπάνιά ἐστιν· εἶδαρ· στεῖαρ· φρεῖαρ· μήποτε οὖν ἀπὸ τοῦ φρέαρ· στέαρ· ἔδαρ γεγόνασιν ἐν πλεονασμῷ τοῦ ι.

ΥΜΗ. Τὰ εἰς ας οὐδέτερα δισύλλαβα, τὸ ε παραλήγεται· οἷον, δέπας· κέρας· δέμας· πέρας· τέρας· βρέτας· λέπας· κρέας· τοῦτο μονῆρες εἰς ας καθαρὸν τὸ ε παραληγόμενον· σκέπας· κνέφας· σέβας· γέρας· σέλας· ψέφας· σεσημείωται τὸ γῆρας διὰ τοῦ η γραφόμενον.

ΥΜΘ. Τὰ εἰς ωρ οὐδέτερα μονογενῆ διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, ὕδωρ· τέκμωρ· ἔλωρ· σεσημείωται τὸ ἄορ· ἦτορ· διὰ τοῦ ο μικροῦ γραφονται.

ΥΝ. Πᾶσα λέξις ἐξ ἁπλότητος εἰς σύνθεσιν προϊοῦσα, ἢ τὸ ὁλόκληρον φυλάττει τῶν λέξεων, ὡς ἔχει τὸ Χειρίσοφος· θεόσδοτος· ἢ τὸ ἕτερον μέρος τῆς λέξεως ἀλλοιοῦσα, ἢ καὶ ἀμφότερα, τὴν σύνθεσιν ἀπεργάζεται, ὡς ἔχει τὸ προφήτης· Νικόδημος· Δημοσθένης.

ΥΝΑ. Πᾶσα πρόθεσις βραχυκαταληκτεῖ ἀνεπέκτατος οὖσα δηλονότι πλὴν τῆς ἐξ καὶ εἰς· ἐν γοῦν τῇ συνθέσει, εἴτε κατ' ἀρχὴν τῆς λέξεως, εἴτε κατὰ τὸ μέσον τὴν ἰδίαν φυλάττει γραφήν· κατ' ἀρχὴν μέν· οἷον, ἔντιμος· ἔνδοξος· εἴσπραξις· σύνδουλος· πρόλογος· πρόδρομος· πρόσφατον· ἐπίτροπος· ἀντίληψις, καὶ εἴτι ὅμοιον· κατὰ δὲ τὸ μέσον· ἀνέκβατος· πολυείσοδος· ἀσυντελής· ἀπροσδεής· ἀπερίληπτος· ἀναντίρῥητος· ἀναμφίλεκτος· ἀνυπέρθετος.

ΥΝΒ. Τὰ παρὰ τὸ λέγω συγκείμενα διὰ τοῦ ε ψιλοῦ γράφει τὴν παραλήγουσαν· οἷον, διάλεκτος· ἄλεκτος· ἐπίλεκτος.

ΥΝΓ. Ὁμοίως καὶ παρὰ τὸ στέγω ἢ φλέγω, ἢ τέγγω συγκείμενα φυλάττει τὸ ε· οἷον, ἄστεκτος· ἄφλεκτος· ἄτεγκτος ὁ σκληρός· τὸ γὰρ βρέχω τοῦ τέγγω διαφέρειν φησὶν Αἰέτιος ὁ ἰατρός· βρέχεται μὲν γὰρ τὸ ξύλον ἢ ὁ λίθος, ἤγουν τὸ τῆς ἐπιφανείας· τέγγεται δὲ ὁ σπόγγος ἢ τὸ ἱμάτιον, ἤγουν τὸ εἰς βάθος χωρεῖν.

ΥΝΔ. Τὰ παρὰ τὸ ἄνεμος συγκείμενα τὴν μὲν παραλήγουσαν ἔχει διὰ τοῦ ει, τὴν δὲ τρίτην ἀπὸ τέλους διὰ τοῦ η· δυσήνεμος· ὑπήνεμος· νήνεμος· ἐξ οὗ καὶ νηνεμία· ποδήνεμος.

ΥΝΕ. Τὰ παρὰ τὸ λόγος σύγκείμενα διὰ τοῦ ο μικροῦ γράφονται· οἷον, θεολόγος· πρόλογος· σύλλογος· ἄλογος· ἐπίλογος· διάλογος.

ΥΝϚ. Τὰ παρὰ τὴν ὦπα συγκείμενα διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, μέτωπον[t] πρόσωπον· ἄνθρωπος, καὶ εἴτι ὅμοιον.

ΥΝΖ. Τὸ βιὸς γέγονεν οὕτως· ἔστιν ὄνομα ἲς ὃ δηλοῖ τὴν δύναμιν ὃ καὶ ἶν λέγεται· δικατάληκτον γάρ ἐστι· τούτου ἡ γενικὴ ἰνός· ἀποβολῇ οὖν τοῦ ν καὶ πλεονασμῷ τοῦ β βίος· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα, εἴτε κατ' ἀρχὴν λέξεως, εἴτε κατὰ τὸ μέσον διὰ τοῦ ι γράφονται· οἷον, βιωφελής· βιοτελής· ἀμφίβιος· Πολύβιος· ἄβιος· ὑπέρβιος.

ΥΝΗ. Τὰ παρὰ βαρύτονον ἐνεστῶτα συγκείμενα, εἰ μὲν ὁ ἐνεστὼς εἴη δισύλλαβος, τοῦ τρίτου προσώπου ἀποβάλλει τὸ ι, καὶ οὕτως ποιεῖ τὴν σύνθεσιν· οἷον, φέρω, φέρεις, φέρει· φερέοικος· Ἐχεκράτης· Μενέλαος· χαιρέκακος· εἰ δὲ ὑπὲρ δύο συλλαβὰς βαρύτονος ἐκκόπτει μίαν συλλαβὴν, ὅπως ἀναλογοίη τοῖς δισυλλάβοις· οἷον, γανύω, γανύεις γανύει, Γανυμήδης· τανύω, τανύεις, τανύει, τανύπεπλος· ἰθαίνω, ἰθαίνεις, ἰθαίνει, ἰθαινάθυμος, ἰθαιγένης· μιαίνω, μιαίνεις, μιαίνει, μιαιφόνος· τὸ ἀλέξω ἐν τῷ ἀλεξίκακος· ἀλεξιφάρμακον οὐκ ἀποβαλὸν συλλαβὴν οὐκ ἀντίκειται, οὐ γὰρ βαρύτονον κυρίως· ὁ γὰρ ἀλεξήσω μέλλων δείκνυσι τὸν ἐνεστῶτα περι-

[t] Cod. μέτοπον.

σπώμενον, εἰ καὶ Ἀττικῶς βεβάρυνται, ὡς καὶ τὸ αὔξω· ἕψω· τὸ ἐθελόκακος· ἐθελόσυχνος οὐκ ἀπὸ βαρυτόνου, ἀλλ' ἀπὸ περισπωμένου εἶναι τὴν σύνθεσιν· οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν.

ΥΝΘ. Πᾶς ἐνεστὼς ἢ μέλλων ἐν πρώτῳ προσώπῳ λαβὼν σύνθεσιν τρέπει τὸ ω εἰς ο· οἷον, λείπω, λειποτάκτης· ἀλιτῶ, ἀλιτόμηνος· ἐθέλω, ἐθελόκακος· μίξω, μιξοπόλιος, μιξοβάρβαρος· λείψω, λειψόθριξ· λήξω, ληξοπύρετος· κερῶ, κέρσω, κερσοκόμης καὶ ἀκερσοκόμης.

ΥΞ. Τὸ χειμὼν γέγονεν ἀπὸ τοῦ χέω ῥήματος, οὗ ὁ μέλλων χεύσω, ῥηματικὸν ὄνομα χεῖμα τροπῇ τοῦ υ εἰς ι, ἀφ' οὗ χειμών· τὰ γοῦν ἀπὸ τῶν εἰς μα οὐδετέρων εἰς μων παραγόμενα ὀνόματα, κοινὰ τῷ γένει ἐστὶ, καὶ τρέπει τὸ ω ἐπὶ γενικῆς· οἷον, μνῆμα, ἀμνήμων, ἀμνήμονος· σχῆμα, ἀσχήμων ἀσχήμονος· εἷμα, λευχείμων, λευχείμονος· τὸ γοῦν χειμὼν καὶ ὀξύτονον καὶ ἁπλοῦν καὶ περιεκτικὸν ὂν διήλλαξε περὶ τὴν γραφὴν, καὶ φυλάττει τὸ ω ἐπὶ γενικῆς· ὁμοίως καὶ εἴτι παρ' αὐτὸ σύγκειται φυλάττει τὴν αὐτὴν γραφήν· οἷον, βαρυχείμων, βαρυχείμωνος· εὐχείμων, εὐχείμωνος.

ΥΞΑ. Τὸ νοῦς ὄνομα γέγονεν παρὰ τὸ νέω ῥῆμα, ὃ δηλοῖ τὸ ὁρμῶ, οὗ ὁ μέλλων, νεύσω, ὡς πλέω, πλεύσω, ἀποβολῇ τοῦ ω νεὺς, καὶ τροπῇ τοῦ ε εἰς ο νοῦς· τούτου ἡ γενικὴ νοός· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα διὰ τοῦ ο μικροῦ γράφονται· οἷον, Ἀλκίνοος· Ἀντίνοος.

ΥΞΒ. Ὅσα ῥήματα ἐν κινήσεσιν εὑρίσκονται γεννῶντα τὸ ο τὸ ε προεῖχον· γείνω, τὸ γεννῶ γόνος· δρέμω, τὸ τρέχω δρόμος· ἔχω, ὄχος, καὶ ἔξοχος· ἀείδω, ἀοιδή· ἀμείβω, ἀμοιβή· τὰ γοῦν ἀπ' αὐτῶν συγκείμενα τὴν αὐτὴν φυλάττει γραφήν· σύλλογος· σύγγονος· ἱππόδρομος.

ΥΞΓ. Τὸ κηρύσσω γίνεται οὕτω· ὥσπερ παρὰ τὸ πτερὸν γίνεται πτερῶ, καὶ ἐν παραγωγῇ πτερύσσω, οὕτως καὶ παρὰ τὸ ἐρῶ, ὃ δηλοῖ τὸ λέγω, ἐρύσσω, ὁ μέλλων ἐρύξω, ἀποβολῇ τοῦ ω ἔρυξ· καὶ τροπῇ τοῦ ε[u] εἰς η ἤρυξ, καὶ πλεονασμῷ τοῦ

[u] Cod. ω.

κ κήρυξ· τὰ γοῦν ἐξ αὐτοῦ συγκείμενα τὴν αὐτὴν φυλάττει γραφήν· οἷον, ἀκήρυκτος·· ἐγκήρυκτος, καὶ εἴτι ὅμοιον.

ΥΞΔ. Τὸ μηνύω γέγονεν παρὰ τὸ ἀνύω τροπῇ τοῦ α εἰς η, καὶ πλεονασμῷ τοῦ μ μηνύω· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα τὴν αὐτὴν φυλάττει γραφήν· οἷον, εὐμήνυτος· ἀμήνυτος.

ΥΞΕ. Τὸ ἥμισυς ὄνομα γέγονεν παρὰ τὸ ἅμα καὶ ἴσος· ἐν συνθέσει ἀμάϊσος, καὶ δι' εὐφωνίαν ἥμισυς τροπῇ τοῦ α εἰς η· τὰ γοῦν ἐξ αὐτοῦ συγκείμενα ἀποβάλλει τὴν συ συλλαβήν· οἷον, ἡμίονος· ἡμίφωνον· ἡμιμέδιμνον[x]· εὕρηται δὲ παρὰ τοῖς παλαιοῖς σπανίως μετὰ τῆς συ συλλαβῆς· ὡς ἐν τῷ ἡμισύχοιρος· ἡμισυψοίνιξ[y]· οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν· ἐφθημιμερής· πενθημιμερής[z].

ΥΞϚ. Τὰ εἰς υς ὀνόματα ἐν τῇ συνθέσει κατ' ἀρχὴν μὲν λέξεως συντιθέμενα ἀεὶ ἀποβάλλει τὸ σ καὶ φυλάττει τὸ υ· οἷον, ὀξὺς, ὀξύθυμος· βραδὺς, βραδύγλωσσος· ταχὺς, ταχύγραφος· κατὰ δὲ τὸ τέλος συγκείμενα ἢ φυλάττει τὸ υ καὶ σ, ὡς ἔχει τὸ εὔσταχυς· τρίπηχυς· τρίβραχυς· ἀῤῥενόθηλυς· ἢ τρέπει αὐτὰ εἰς ης, ὡς ἔχει τὸ βριθὺς, ἐμβριθής· ἡδὺς, ἀηδής· πλατὺς, ἀπλατής· ὠκὺς, ποδωκής.

ΥΞΖ. Τὸ ὀπίσω ἐπίῤῥημα διὰ τὸ ο μικροῦ γραπτέον κατὰ τὴν ἄρχουσαν· κατὰ δὲ τὸ μέσον διὰ τοῦ ι· καὶ κατὰ τὸ τέλος διὰ τοῦ ω μεγάλου· ὡς γὰρ παρὰ τὴν εἰς πρόθεσιν γίνεται εἴσω, καὶ παρὰ τὴν ἐξ ἔξω, καὶ τὴν ἀνὰ ἄνω, καὶ τὴν κατὰ κάτω, οὕτω καὶ παρὰ τὴν ἐπὶ ἐπίσω, καὶ τροπῇ τοῦ ε εἰς ο ὀπίσω· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα τὴν αὐτὴν φυλάττει γραφήν· οἷον, ὀπισθόπους· ὀπισθόπονδος[a]· ὀπισθόδρομος· ὀπίσθιος[b].

ΥΞΗ. Τὸ πρῶτον γέγονεν παρὰ τὴν προ πρόθεσιν· ὡς γὰρ παρὰ τὴν ἐξ γίνεται ἐξώτερος, οὕτως καὶ παρὰ τὴν πρὸ πρότερος τὸ συγκριτικὸν καὶ πρότατος ὑπερθετικόν· καὶ ἀποβολῇ τοῦ τ, πρόατος, καὶ κράσει τοῦ αο εἰς ω πρῶτος· οὕτως Ἡρωδιανὸς ἐν Ἐπιμερισμοῖς· τὰ γοῦν παρ' αὐτὰ συγκείμενα

[x] Cod. ἡμιμέδεμνον. [y] Leg. vid. ἡμισύχοινιξ. [z] Cod. πεθημιμερής. [a] Cod. ὀπισθοπονδχ̄ος an ὀπισθόποντος? [b] Cod. ὀπίθιος.

κατ' ἀρχὴν λέξεως τὴν αὐτὴν φυλάττει γραφήν· πρωτόγονος· πρωτότοκος· πρωτόθρονος.

ΥΞΘ. Τὸ ἀλλότριος ὄνομα σύνθετόν ἐστι, παρὰ γὰρ τὸ ἄλλος καὶ τὸ ὅρος ἀρσενικὸν, ἀλλόορος καὶ ἀλλοόριος· ἀποβολῇ οὖν τοῦ ο, καὶ πλεονασμῷ τοῦ τ γίνεται ἀλλότριος· τὰ γοῦν παρὰ τὸ ἄλλος συγκείμενα διὰ δύο λλ γράφονται· οἷον, ἀλλογενής· ἀλλόφυλος· ἀλλοδαπής.

ΥΟ. Ζῆλος, τὸ ζη η· παρὰ γὰρ τὸ ζέω ῥῆμα καὶ τὸ λίαν ζέλος, ὁ γὰρ ζῆλος θερμὸς λίαν ὀφείλει εἶναι, καὶ τροπῇ τοῦ ε εἰς η ζῆλος· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα, εἴτε κατ' ἀρχὴν λέξεως, εἴτε κατὰ τέλος τὴν αὐτὴν φυλάττει γραφήν· οἷον, ζηλότυπος· ζηλωτής· τοῦτο οὐ σύνθετον ἀλλὰ παράγωγον· ἀρίζηλος· πολύζηλος.

ΥΟΑ. Τὰ κατὰ τροπὴν τοῦ α ἐν τῇ συνθέσει ὀνόματα γινόμενα, διὰ τοῦ ο μικροῦ γράφονται· οἷον, ἡμέρα ἡμερόβιος· Ἥρα, Ἡρόδοτος· ὥρα, ὡροσκόπος, ὡρολόγος· Ἀθηνᾶ, Ἀθηνόδωρος· μοῖρα μοιρογενὴς καὶ μοιρηγενὴς διὰ τοῦ ι.

ΥΟΒ. Κλῆρος παρὰ τὸ καλῶ κλῶ, κλήσω, κλῆρος διὰ τοῦ η· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα διὰ τῆς αὐτῆς πρόεισι γραφῆς· οἷον, ναύκληρος· ἄκληρος· ἐπίκληρος.

ΥΟΓ. Τὸ ἧλος διὰ τοῦ η· ἀπὸ γὰρ τοῦ ἵημι, ἥσω, ἧλος· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα τὴν αὐτὴν φυλάττει γραφήν· οἷον, ἀργυρόηλος· χρυσόηλος· μακρόηλος.

ΥΟΔ. Τὸ οἶκος διὰ τῆς οι διφθόγγου· παρὰ γὰρ τὸ εἴκω τὸ ὑποχωρῶ οἶκος· ὡς λείπω, λοιπός· τὰ γοῦν ἐξ αὐτοῦ συγκείμενα διὰ τῆς οι διφθόγγου γράφονται· πάροικος· ἔξοικος· μέτοικος· ἔνοικος· ἄποικος.

ΥΟΕ. Πᾶσα λέξις ἁπλὴ εἰς σύνθεσιν ἐρχομένη· ἢ ὅλη ἡ λέξις, ἢ λείψανόν τι ταύτης ἐν τῇ συνθέσει ὁρᾶται· οἷον, Χειρίσοφος· νυκτίλοχος· Σωσθένης· Σωκράτης· Ἱπποκράτης· Δημοσθένης.

ΥΟϚ. Τὰ εἰς ος ὀνόματα ἀρσενικά τε καὶ θηλυκὰ ἐπὶ τέλους λέξεως συντιθέμενα τὴν αὐτὴν φυλάττει γραφὴν, εἰ μὴ Ἀττικὴ παρακολουθήσει τροπή· σοφὸς, φιλόσοφος· καλὸς, φι-

λόκαλος· εἶπον ἀρσενικὰ καὶ θηλυκὰ, ἐπεὶ τὰ οὐδέτερα τρέπεται· τέλος, ἐντελής· μέρος, τριμερής· σθένος, ἀσθενής· εἶπον εἰ μὴ Ἀττικὴ τροπὴ παρακαλουθήσει, διὰ τὸ λαὸς Μενέλαος, Μενέλεως· χρέως, ἀξιόχρεως, καὶ εἴτι ὅμοιον.

ΥΟΖ. Τὰ παρὰ τὸ ἡδὺς παραγόμενα φυλάττει τὸ υ· ἡδὺς, νήδυμος.

ΥΟΗ. Τὸ χαίτη τὸ χαι δίφθογγον· γέγονεν γὰρ παρὰ τὸ κρατῶ κράτη ἀποβολῇ οὖν τοῦ ρ, καὶ πλεονασμῷ τοῦ ι, καὶ τροπῇ τοῦ κ εἰς χ· οὕτως Ἡρωδιανὸς ἐν τῇ Ὀρθογραφίᾳ· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, κυανοχαίτης· μελανοχαίτης.

ΥΟΘ. Τὰ παρὰ τὸ ἔλω, ὃ δηλοῖ τὸ ἐλαύνω, συγκείμενα διὰ τοῦ η γράφει τὴν τρίτην ἀπὸ τέλους· ἁρματηλάτης· χρυσήλατος· σφυρήλατος· θεήλατος· ἱππήλατος.

ΥΠ. Τὰ ἀπὸ τοῦ α ἀρχόμενα ὀνόματα ἐν τῇ συνθέσει τρέπει τὸ α εἰς η· οἷον, δυσήνεμος· ποδήνεμος· ἀνήκοος· παρήκοος· ὑπήκοος· δυσήκοος· ἀνήμελκτος· ἀνήνυτος.

ΥΠΑ. Τὸ θρὶξ γέγονεν ἢ ἀπὸ τοῦ θερίζω, θερίξω, Δωρικῶς, θέριξ καὶ συγκοπῇ θρίξ· ἢ ἀπὸ τοῦ τρέχω, τρέχιξ, καὶ κατὰ συγκοπὴν τρὶξ, καὶ τροπῇ τοῦ τ εἰς θ θρὶξ, τὰ γοῦν παρ' αὐτὸ πάντα διὰ τοῦ ι· οἷον, ἄθριξ· εὔθριξ· πολύθριξ· οὐλόθριξ.

ΥΠΒ. Τὸ ὁδὸς παρὰ τὸ ἕζω ῥῆμα ἕδος, ὡς καὶ πέζω, ὃ δηλοῖ τὸ πεζεύω, πέδος καὶ ποδὸς, καὶ ἐν πλεονασμῷ τοῦ σ σποδός· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα διὰ τοῦ ο γράφονται· οἷον, ἄνοδος· κάθοδος· πάροδος· δίοδος· ἔξοδος· πρόσοδος.

ΥΠΓ. Τὰ ἀπὸ τῆς πρώτης, δευτέρας, τρίτης τε καὶ τετάρτης συζυγίας ῥήματα, ἐν τῷ δευτέρῳ ἀορίστῳ γεννῶντα τὸ α, ἐν τῇ παραληγούσῃ τοῦ ἐνεστῶτος εἶχε τὸ η· οἷον, σήπω, ἔσαπον· λήβω, ἔλαβον· δήκω, ἔδακον· λήχω, ἔλαχον· τήκω, ἔτακον· λήθω, ἔλαθον· πήθω τὸ πάσχω, ἔπαθον· πήσσω, ἔπαγον· πλήσσω, ἔπλαγον· τοῦτο ἐπὶ τοῦ ψυχικοῦ, ἐπὶ γὰρ τοῦ σωματικοῦ διὰ τοῦ η· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα διὰ τοῦ η γράφονται· οἷον, ἄσηπτος· ἄληπτος· ἄδηκτος· ἄτηκτος· ἄληστος· ἄπληκτος· καὶ ἀκατάπληκτος.

ΥΠΔ. Τὰ ἀείδω ἐπὶ τοῦ ψάλλω ἢ μέλπω διὰ τῆς ει διφθόγγου γράφονται, ὡς μαρτυρεῖ τὸ ἀοιδός· τὰ γοῦν ἐξ αὐτοῦ συγκείμενα τὴν αὐτὴν φυλάττει γραφήν· οἷον, ὑμναοιδός· ἐπαοιδός· κελαοιδός· ἀπὸ γοῦν τοῦ ἀοιδὸς γίνεται κατὰ κρᾶσιν τοῦ αο εἰς ω ᾠδὸς, διὰ τῆς ωι διφθόγγου, μένει γὰρ τὸ ι μὴ ἐκφωνούμενον διὰ τὸ μέγεθος τοῦ ω· τὰ γοῦν ἐξ αὐτοῦ συγκείμενα διὰ τῆς ωι διφθόγγου γράφονται· οἷον, ὑμνῳδός· μελῳδός· τραγῳδός· κωμῳδός· ψαλμῳδός.

ΥΠΕ. Τὸ πυθμὴν γέγονεν ἀπὸ τοῦ κεύθω, ὃ δηλοῖ τὸ κρύπτω· κυθὴν καὶ πλεονασμῷ τοῦ μ, καὶ τροπῇ τοῦ κ εἰς π πυθμήν· γράφεται διὰ τοῦ υ, καὶ ὡς ἔχον δύο σύμφωνα καθέν· ὧν τὸ μὲν δεύτερον ἀμετάβολον, τὸ δὲ ἡγούμενον ἄφωνόν ἐστι, καθὼς ἤδη εἰρήκαμεν· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα τὴν αὐτὴν φυλάττει γραφήν· οἷον, ἀπύθμην· βαθυπύθμην· ὀλιγοπύθμην.

ΥΠϚ. Καθόλου ἀπὸ γενικῆς συγκείμενα τὴν ὀφειλομένην τῇ γενικῇ φυλάττει γραφήν· οἷον, πρόχειρος· δίμηνος· ἐπίῤῥινος.

ΥΠΖ. Τὰ παρὰ τὸ δύο συγκείμενα διὰ τοῦ ι γράφει τὴν τρίτην ἀπὸ τέλους· οἷον, δίμηνος· δίψυχος.

ΥΠΗ. Τὰ ἀπὸ τῶν εἰς η θηλυκῶν ἐν τῇ συνθέσει τρέπει τὸ η εἰς ο· οἷον, τιμὴ, Τιμολέων· σκηνὴ, σκηνοποιός· κλίνη, κλινόπους· εἰρήνη, εἰρηνόδωρος.

ΥΠΘ. Τὰ εἰς ων ἀπὸ εὐθείας συγκείμενα τρέπει τὸ ω εἰς ο· οἷον, Ἀπόλλων, Ἀπολλόδωρος· Ἀπολλογενής· λέων, λεόπαρδος· λεομακέλλης.

ΥϞ. Τὰ εἰς ος ὀνόματα ἐν τῇ συνθέσει, τῆς ἐπαγομένης λέξεως ἀπὸ συμφώνου ἀρχομένης, ἀποβάλλει τὸ σ, καὶ φυλάττει τὸ ο· οἷον, θεὸς, Θεόδωρος· Θεόδωτος· νέος, νεόφυτος· λόγος, λογοποιός· λογοθέτης.

ΥϞΑ. Τὰ εἰς ος ἐν τῇ συνθέσει, τῆς ἐπαγομένης λέξεως ἀπὸ φωνήεντος ἀρχομένης, διὰ τὴν τῶν φωνηέντων σύγκρασιν ἐκτείνεται τὸ ο εἰς ω· οἷον, Ἱππόαναξ, Ἱππῶναξ· Λεσβῶναξ· τοιχορύχος, τοιχωρύχος· τυμβωρύχος.

ΥϞΒ. Τὸ γλῶσσα γέγονεν οὕτως· ὥσπερ ἀπὸ τοῦ ὀγδοήκοντα, ὀγδώκοντα, κατὰ κρᾶσιν τοῦ ο καὶ η εἰς ω μέγα, οὕτω καὶ

παρὰ τὸ νοήσω, νώσω, καὶ ἐκ τούτου νῶσσα, καὶ πλεονασμῷ τοῦ γ γνῶσσα, καὶ τροπῇ τοῦ ν εἰς λ γλῶσσα· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα τὴν πρὸ τέλους γραφὴν διὰ τοῦ ω· οἷον, ἀλλόγλωσσος· ἑτερόγλωσσος· πολύγλωσσος.

ΥϟΓ. Τὰ διὰ τοῦ νικος διττὴν ἔχει τὴν γραφήν· ἐπὶ μὲν γὰρ τῆς ἐρισίας διὰ τοῦ ι· ἐπὶ δὲ τῆς ἀμφισβητήσεως διὰ τῆς ει διφθόγγου· ἐφ' ἑκατέρας οὖν σημασίας τὴν ἀνάλογον φυλάξοις γραφήν· οἷον, Νικόλαος· Νικόπολις· φιλόνεικος, φιλονεικία.

ΥϟΔ. Τὸ τιμὴ γέγονεν παρὰ τὸ τίω τὸ τιμῶ· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα διὰ τοῦ ι γράφονται· οἷον, ἔντιμος· ἄτιμος· βαρύτιμος.

ΥϟΕ. Μηχανὴ τὸ μη η· μαχανὰ γὰρ λέγουσι Δωριεῖς· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα τὴν διὰ τοῦ η γραφὴν συντηρεῖ· οἷον, εὐμήχανος· ἀμήχανος· πολυμήχανος.

Υϟϛ. Τὸ πολὺ τὸ πο μικρὸν, καὶ τὸ λυ ψιλόν· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα τὴν αὐτὴν τηρεῖ γραφήν· οἷον, πολύολκος· πολύτιμος· πολύαρνος.

ΥϟΖ. Τὸ ζωὴ διὰ τοῦ ω μεγάλου· ὡς γὰρ ἀπὸ τοῦ ῥέω ῥοὴ, καὶ χέω χοὴ, οὕτω καὶ ἀπὸ τοῦ ζέω ζοὴ, καὶ τροπῇ τοῦ ο εἰς ω ζωή· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα τὴν αὐτὴν φυλάττει γραφήν· οἷον, ζωηφόρος· ζωητόκος· ἀείζωος· φιλόζωος.

ΥϟΗ. Τὸ δίκη διὰ τοῦ ι· ἐκ γὰρ τοῦ εἰς δύο χέειν τὰ πράγματα εἴρηται διχήτις οὖσα, τροπῇ καὶ ἐναλλαγῇ τῶν στοιχείων δίκη· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα διὰ τοῦ ι γράφονται· οἷον, ἔνδικος· ἔκδικος· ἄδικος· διάδικος.

ΥϟΘ. Τὸ φημὶ τὸ φη η· δευτέρας γὰρ συζυγίας· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα διὰ τοῦ η γράφονται· οἷον, εὔφημος· δύσφημος· βλάσφημος.

†. Ἡμέρα τὸ η η· ἁμέρα γὰρ λέγουσι Δωριεῖς· διὸ καὶ τὰ παρ' αὐτὸ πάντα διὰ τοῦ η· τριήμερος· τετραήμερος· ὀλιγοήμερος.

Φ. Ζώνη τὸ ζω μέγα, ἀπὸ γὰρ τοῦ ζώω ζώνη, ὡς καὶ ἀπὸ τοῦ χώω χώνη, διὸ καὶ τὰ παρ' αὐτὸ πάντα διὰ τοῦ ω

γράφονται· οἷον, ἄζωνος· βαθύζωνος· καλλίζωνος· χρυσόζωνος.

ΦΑ. Τὸ μοῖρα τὸ μ δίφθογγον· παρὰ γὰρ τὸ μείρω μοῖρα, διὸ καὶ τὰ παρ' αὐτὸ διὰ τῆς οι διφθόγγου· οἷον, ἄμοιρος· εὔμοιρος· δίμοιρος[e].

ΦΒ. Ὀδοὺς παρὰ γὰρ τὸ ἔδω, ὃ δηλοῖ τὸ ἐσθίω, ὀδὸς, ὡς τέμνω τόμος, καὶ πλεονασμῷ τοῦ υ ὀδούς· διὸ καὶ τὰ παρ' αὐτὸ πάντα διὰ τοῦ ο· τριόδους· καρχαρόδους.

ΦΓ. Ὄλβος παρὰ γὰρ τὸ ὅλος, καὶ πλεονασμῷ τοῦ β ὄλβος· οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν· διὸ καὶ τὰ παρ' αὐτὸ διὰ τοῦ ο· πανόλβιος· ὑπερόλβιος.

ΦΔ. Δόξα, ἢ ἀπὸ τοῦ δόκω βαρυτόνου, ἢ ἀπὸ τοῦ δοκῶ περισπωμένου δοκήσω, κατὰ συγκοπὴν τοῦ η, καὶ κρᾶσιν τοῦ κσ εἰς ξ, ὃ καὶ περίεργον· τὰ γοῦν παρ' αὐτὸ πάντα διὰ τοῦ ο μικροῦ γράφονται· οἷον, ἔνδοξος· ἐπίδοξος· Εὐδόξιος.

ΦΕ. Τοῦ κνήμη διὰ τοῦ η ἡ πρὸ τέλους· ἀπὸ γὰρ τοῦ κινῶ κινήσω κινήμη, καὶ κατὰ συγκοπὴν τοῦ ι κνήμη· οὕτως Ἡρωδιανὸς καὶ Φιλόξενος· ὅσα δὲ παρ' αὐτὸ τὴν αὐτὴν φυλάττει γράφην· εὔκνημος· βαθύκνημος· πολύκνημος· κακόκνημος.

ΦϚ. Γυνὴ τὸ γυ ψιλόν· παρὰ γὰρ τὸ γείνω, ὃ δηλοῖ τὸ τίκτω, γονὴ, καὶ τροπῇ τοῦ ο εἰς υ Αἰολικῇ, ὡς ὅμοιον ὕμμιον, γονὴ γυνή· διὸ καὶ τὰ παρ' αὐτὸ διὰ τοῦ υ ψιλοῦ· οἷον, ἀνδρόγυνος· λάγυνος· μισόγυνος.

ΦΖ. Πορφύρα τὸ φυ ψιλόν· τὰ γὰρ διὰ τοῦ υρα θηλυκὰ πλὴν τοῦ μοῖρα, οὐκ οἶδε τὴν οι δίφθογγον· οἷον, γέφυρα· ὄλυρα· λύρα· θύρα· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, ὁλοπόρφυρος· μεσοπόρφυρος· χρυσοπόρφυρος· διπόρφυρος.

ΦΗ. Ὥρα ἡ φροντὶς, καὶ ὁ καιρὸς, καὶ ἡ θεὰ διὰ τοῦ ω μεγάλου· τὰ γοῦν παρ' αὐτὸ διὰ τοῦ ω· οἷον, ἄωρος· ὀλίγωρος· μετέωρος.

ΦΘ. Νεφέλη τὸ νε ψιλόν· παρὰ γὰρ τὸ νείφω νεφέλη, ὡς καὶ

e Cod. δίμυρος.

ἄγω ἀγέλη, διὸ τὰ παρ' αὐτὸ διὰ τοῦ ε ψιλοῦ· ἀνέφελος· πολυνέφελος.

ΦΙ. Ἄγγελος τὸ γε ψιλόν· ὡς γὰρ παρὰ τὸ εἴκω τὸ ὁμοιῶ εἴκελος, οὕτω καὶ παρὰ τὸ ἄγω ἄγελος, καὶ ἐν διπλασιασμῷ τοῦ γ ἄγγελος, ὁμοίως καὶ εἴτι παρ' αὐτό· ἀρχάγγελος· ἀγαθάγγελος· ἰσάγγελος.

ΦΙΑ. Ψυχὴ τὸ ψυ ψιλόν· πρὸ γὰρ τοῦ χ οὐχ εὕρηται ἡ οι δίφθογγος, εἰ μὴ ἐν τῷ τοῖχος, καὶ ἐν τῷ μοιχὸς ἐπὶ τοῦ ἀνδρός· διὸ καὶ τὰ παρ' αὐτὸ διὰ τοῦ υ ψιλοῦ· δίψυχος· ἄψυχος· μεγαλόψυχος.

ΦΙΒ. Τὸ ἥβω διὰ τοῦ η, καὶ ὅσα παρ' αὐτό· ἔφηβος· ἄνηβος. παρήβος.

ΦΙΓ. Πρῶρα τὸ πρω μέγα· παρὰ γὰρ τὸ προῶρας ὃ δηλοῖ τὸν καιρὸν ἔργον τῷ πρωρεῖ προῶρας ὁρᾶν· τὰ οὖν παρ' αὐτὸ διὰ τοῦ ω· ἀντίπρωρος· ἐπίπρωρος.

ΦΙΔ. Ὅπλον τὸ ο μικρόν· παρὰ γὰρ τὸ ἕπω ὅπλον ἐν πλεονασμῷ τοῦ λ· διὸ καὶ τὰ παρ' αὐτὸ τὴν αὐτὴν ἀποίσει γραφήν· οἷον, ἔνοπλος· εὔοπλος· ὑπέροπλος.

ΦΙΕ. Πτερὸν, παρὰ τὸ πέτω πετέρον, καὶ κατὰ συγκοπὴν πτερόν· τὰ γοῦν παρ' αὐτὸ πάντα διὰ τοῦ ε ψιλοῦ γράφονται· ἄπτερος· πολύπτερος· ἑξάπτερος.

ΦΙϚ. Ἀπὸ τοῦ τέκω, τέκανον, ὡς λείψω, λείψανον· πήσσω, πήγανον· καὶ κατὰ συγκοπὴν τέκνον· τὰ γοῦν παρ' αὐτὸ διὰ τοῦ ε ψιλοῦ· οἷον, ἄτεκνος· καλλίτεκνος· φιλότεκνος.

ΦΙΖ. Τὰ παρὰ τὸ ὄνομα συγκείμενα τὴν τρίτην ἀπὸ τέλους ἔχει διὰ τοῦ ω, καὶ τὴν μετ' αὐτὴν διὰ τοῦ υ· οἷον, διώνυμος· παρώνυμος· ἀνώνυμος· ἐπώνυμος.

ΦΙΗ. Φοιτῶ τὸ φοι δίφθογγον· ἀπὸ γὰρ τοῦ ὁδὸς, ὁδῶ καὶ πλεονασμῷ τοῦ ι οἰδῶ, καὶ τροπῇ τοῦ δ εἰς τ, πλεονασμῷ τοῦ φ, φοιτῶ· τὰ γοῦν παρ' αὐτὸ τὴν αὐτὴν ἀποίσει γραφήν· οἷον, φοιτητὴς οὖν ὁ φοίτης· ἀεροφοίτης.

ΦΙΘ. Ῥίγος τὸ ρι ν· ἀπὸ γὰρ τοῦ φρίσσω φρίγος, καὶ ἀποβολῇ τοῦ φ ῥίγος· οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν· τὰ γοῦν παρ' αὐτὸ διὰ τοῦ ι· δύσριγος·

ΦΚ. Παρὰ τὸ φύω φύλλον διὰ δύο λλ, ὁμοίως καὶ ὅσα παρ' αὐτό· πολύφυλλος· τρίφυλλον.

ΦΚΑ. Πόθος τὸ πο μικρόν· ἢ παρὰ τὸ πήθω τὸ δηλοῦν τὸ πάσχω, τροπῇ τοῦ η εἰς ο· ἢ ἀπὸ τοῦ πείθω τοῦ εἰς συγκατάθεσιν ἄγειν· ἐξ οὗ τὸ πέποιθα, ὁ γὰρ πόθος πείθει τὸν ποθοῦντα ποθεῖν ὃ ποθεῖ· διὸ καὶ τὰ παρ' αὐτὸ πάντα διὰ τοῦ ο· ποθεινός· ποθητός· πολυπόθητος.

ΦΚΒ. Βλέφαρον παρὰ τὸ βλέπω καὶ αἴρω, βλεπέαρόν τι ὄν· τὰ γοῦν παρ' αὐτὸ τὴν αὐτὴν ἀποίσει γραφήν· καλλιβλέφαρος· κυανοβλέφαρος· εὐβλέφαρος.

ΦΚΓ. Τὰ παρὰ τὸ αἴθω ῥῆμα, ὃ δηλοῖ τὸ καίω, διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, αἰθάλη· αἰθήρ· ἀπὸ οὖν τοῦ αἴθω, ὁ παθητικὸς παρακείμενος ἧσμαι, ἀφ' οὗ ῥηματικὸν ὄνομα αἷσμα, καὶ ἀποβολῇ τοῦ σ αἷμα, καὶ δασύνεται· τὰ γοῦν παρ' αὐτὸ πάντα διὰ τῆς αι διφθόγγου· οἷον, ἄναιμος· σύναιμος· πολύαιμος.

ΦΚΔ. Τὸ σφυρὸν τὸ φυ ψιλόν· τὰ γὰρ διὰ τοῦ υρον οὐδέτερα δισύλλαβα διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, πυρόν· ξυρόν· μῦρον· οὕτω δὴ καὶ σφύρον· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα τὴν αὐτὴν φυλάττει γραφήν· οἷον, μεγαλόσφυρος· ὁλόσφυρος.

ΦΚΕ. Τὸ κινῶ γέγονεν οὕτως· ἔστιν ὄνομα ἴς, ὃ καὶ ἶν λέγεται, δικατάληκτον γάρ, καὶ δηλοῖ τὴν δύναμιν, καὶ γράφεται διὰ τοῦ ι· τούτου ἡ γενικὴ ἰνός, ἀφ' οὗ ῥῆμα ἰνῶ· τὰ γοῦν παρ' αὐτὸ πάντα διὰ τοῦ ι γράφονται· οἷον, ἀκίνητος· εὐκίνητος· δυσκίνητος.

ΦΚϚ. Δῶρον τὸ δω μέγα· παρὰ γὰρ τὸν δώσω μέλλοντα· ἢ δοκεῖ σημειῶδες εἶναι τὸ ὄνομα διὰ τοῦ ω μεγάλου γραφόμενον, ὥσπερ καὶ τὸ ἁλωτὸς ἀπὸ τῶν εἰς μι· οὐδὲν γὰρ ὄνομα ἀπὸ τῆς τρίτης συζυγίας τῶν εἰς μι παραχθέν, διὰ τοῦ ω μεγάλου γράφεται, πλὴν τῶν δύο τούτων· διὸ καὶ τὰ παρ' αὐτοῖς συγκείμενα διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, Ἀθηνόδωρος· μεγαλόδωρος· αἰχμάλωτος· ἀνάλωτος.

ΦΚΖ. Τὰ παρὰ τὸ καριν [f] συγκείμενα διὰ τοῦ η γράφονται· οἷον, τρικάρηνος· οὐλοκάρηνος [g].

ΦΚΗ. Μῆλον τὸ μη η· μᾶλον γὰρ λέγουσιν Δωριεῖς· ὁμοίως καὶ εἴτι παρ' αὐτὸ διὰ τοῦ η· οἷον, χρυσόμηλος· πολύμηλος· ὀξύμηλος.

ΦΚΘ. Τὰ διὰ τοῦ ιφος δισύλλαβα οὐδέτερα διὰ τοῦ ι γράφονται· οἷον, ξίφος· στίφος· πρόσκειται οὐδέτερα διὰ τὸ ψῆφος θηλυκὸν διὰ τοῦ η γραφόμενον· τὰ γοῦν παρ' αὐτὰ πάντα τὴν αὐτὴν φυλάττει γραφήν· οἷον, ἄξιφος· πολύξιφος· ἀψήφιστος.

ΦΛ. Τὰ ἀπὸ τῆς κρι συλλαβῆς ἀρχόμενα διὰ τοῦ ι γράφονται· οἷον, κρῖνον τὸ ῥόδον· κριὸς τὸ ζῶον· κριτής· κρίβανος, καὶ τροπῇ τοῦ ρ εἰς λ κλίβανος· καὶ τἄλλα τῶν παραδειγμάτων ἐατέον διὰ τὸ πλῆθος· σεσημείωται διὰ τῆς ει διφθόγγου γραφόμενον, τὸ κρείων ἡ μετοχὴ, καὶ τὸ κρείσσων ὄνομα συγκριτικόν· διὰ δὲ τοῦ η τὸ Κρὴς τὸ ἐθνικὸν, ἀφ' οὗ καὶ τὸ Κρητίζειν τὸ ψεύδεσθαι· οἰκεῖον γὰρ τοῖς Κρησὶ τὸ ψεύδεσθαι, ὡς καὶ ζώῳ παντὶ τὸ κινεῖσθαι· κρημνός· κρηπίς· κρήδεμνον· κρήγυον· κρητήριον ἡ ἐπίχυσις· * * * * κρήδεσμον τὸ εὐῶδες· κρητήριον ὁ κρατήρ· κρηστεύω, κρησέριον τὸ κόσκινον· κρησερα ἱμάτιον τραχύ· κρήηνον τὸ ἐπιτέλεσον· γέγονεν δὲ παρὰ τὸ κραίνω· ὁ ἀόριστος ἔκρανα, ὡς φαίνω, ἔφανα· τὸ προστακτικὸν κράνον, ὡς φάνον, καὶ Ἰωνικῶς τροπῇ τοῦ α εἰς η κρῆνον, καὶ ἐν πλεονασμῷ τοῦ η κρήηνον· οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν· τοιαῦτα δὲ καὶ τὰ ἐξ αὐτῶν σύνθετα μετὰ τῆς αὐτῆς γραφῆς.

ΦΛΑ. Γῆρας τὸ γη η, παρὰ γὰρ τὸ γέρας· ἕπεται γὰρ τοῖς γέρουσιν ἡ τιμή· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα διὰ τοῦ η γράφονται· βαθύγηρος· καλόγηρος· ὑπέργηρος.

ΦΛΒ. Τύπος τὸ τυ ψιλὸν, παρὰ γὰρ τὸ τύπτω· τὰ δὲ διὰ τοῦ υπτω διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, κρύπτω· θρύπτω· κύπτω· καλύπτω· οὕτω δὴ καὶ τύπτω· ἀφ' οὗ τύπος· ἐν

[f] Sic. Cod. Leg. κάρηνον. [g] Cod. οὐλοκάρινος.

ΦΚ. Παρὰ τὸ φύω φύλλον διὰ δύο λλ, ὁμοίως καὶ ὅσα παρ' αὐτό· πολύφυλλος· τρίφυλλον.

ΦΚΑ. Πόθος τὸ πο μικρόν· ἢ παρὰ τὸ πήθω τὸ δηλοῦν τὸ πάσχω, τροπῇ τοῦ η εἰς ο· ἢ ἀπὸ τοῦ πείθω τοῦ εἰς συγκατάθεσιν ἄγειν· ἐξ οὗ τὸ πέποιθα, ὁ γὰρ πόθος πείθει τὸν ποθοῦντα ποθεῖν ὃ ποθεῖ· διὸ καὶ τὰ παρ' αὐτὸ πάντα διὰ τοῦ ο· ποθεινός· ποθητός· πολυπόθητος.

ΦΚΒ. Βλέφαρον παρὰ τὸ βλέπω καὶ αἴρω, βλεπέαρόν τι ὄν· τὰ γοῦν παρ' αὐτὸ τὴν αὐτὴν ἀποίσει γραφήν· καλλιβλέφαρος· κυανοβλέφαρος· εὐβλέφαρος.

ΦΚΓ. Τὰ παρὰ τὸ αἴθω ῥῆμα, ὃ δηλοῖ τὸ καίω, διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, αἰθάλη· αἰθήρ· ἀπὸ οὖν τοῦ αἴθω, ὁ παθητικὸς παρακείμενος ἦσμαι, ἀφ' οὗ ῥηματικὸν ὄνομα αἶσμα, καὶ ἀποβολῇ τοῦ σ αἷμα, καὶ δασύνεται· τὰ γοῦν παρ' αὐτὸ πάντα διὰ τῆς αι διφθόγγου· οἷον, ἄναιμος· σύναιμος· πολύαιμος.

ΦΚΔ. Τὸ σφυρὸν τὸ φυ ψιλόν· τὰ γὰρ διὰ τοῦ υρον οὐδέτερα δισύλλαβα διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, πυρόν· ξυρόν· μῦρον· οὕτω δὴ καὶ σφύρον· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα τὴν αὐτὴν φυλάττει γραφήν· οἷον, μεγαλόσφυρος· ὁλόσφυρος.

ΦΚΕ. Τὸ κινῶ γέγονεν οὕτως· ἔστιν ὄνομα ἶς, ὃ καὶ ἶν λέγεται, δικατάληκτον γὰρ, καὶ δηλοῖ τὴν δύναμιν, καὶ γράφεται διὰ τοῦ ι· τούτου ἡ γενικὴ ἰνὸς, ἀφ' οὗ ῥῆμα ἰνῶ· τὰ γοῦν παρ' αὐτὸ πάντα διὰ τοῦ ι γράφονται· οἷον, ἀκίνητος· εὐκίνητος· δυσκίνητος.

ΦΚϚ. Δῶρον τὸ δω μέγα· παρὰ γὰρ τὸν δώσω μέλλοντα· ἢ δοκεῖ σημειῶδες εἶναι τὸ ὄνομα διὰ τοῦ ω μεγάλου γραφόμενον, ὥσπερ καὶ τὸ ἁλωτὸς ἀπὸ τῶν εἰς μι· οὐδὲν γὰρ ὄνομα ἀπὸ τῆς τρίτης συζυγίας τῶν εἰς μι παραχθὲν, διὰ τοῦ ω μεγάλου γράφεται, πλὴν τῶν δύο τούτων· διὸ καὶ τὰ παρ' αὐτοῖς συγκείμενα διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, Ἀθηνόδωρος· μεγαλόδωρος· αἰχμάλωτος· ἀνάλωτος.

ΦΚΖ. Τὰ παρὰ τὸ καριν[f] συγκείμενα διὰ τοῦ η γράφονται· οἷον, τρικάρηνος· οὐλοκάρηνος[g].

ΦΚΗ. Μῆλον τὸ μη η· μᾶλον γὰρ λέγουσι Δωριεῖς ὁμοίως καὶ εἴτι παρ' αὐτὸ διὰ τοῦ η· οἷον, χρυσόμηλος· πολύμηλος· ὀξύμηλος.

ΦΚΘ. Τὰ διὰ τοῦ ιφος δισύλλαβα οὐδέτερα διὰ τοῦ ι γράφονται· οἷον, ξίφος· στίφος· πρόσκειται οὐδέτερα διὰ τὸ ψῆφος θηλυκὸν διὰ τοῦ η γραφόμενον· τὰ γοῦν παρ' αὐτὰ πάντα τὴν αὐτὴν φυλάττει γραφήν· οἷον, ἄξιφος· πολύξιφος· ἀψήφιστος.

ΦΛ. Τὰ ἀπὸ τῆς κρι συλλαβῆς ἀρχόμενα διὰ τοῦ ι γράφονται· οἷον, κρῖνον τὸ ῥόδον· κριὸς τὸ ζῶον· κριτής· κρίβανος, καὶ τροπῇ τοῦ ρ εἰς λ κλίβανος· καὶ τἄλλα τῶν παραδειγμάτων ἐατέον διὰ τὸ πλῆθος· σεσημείωται διὰ τῆς ει διφθόγγου γραφόμενον, τὸ κρείων ἡ μετοχὴ, καὶ τὸ κρείσσων ὄνομα συγκριτικόν· διὰ δὲ τοῦ η τὸ Κρὴς τὸ ἐθνικὸν, ἀφ' οὗ καὶ τὸ Κρητίζειν τὸ ψεύδεσθαι· οἰκεῖον γὰρ τοῖς Κρησὶ τὸ ψεύδεσθαι, ὡς καὶ ζώῳ παντὶ τὸ κινεῖσθαι· κρημνός· κρηπίς· κρήδεμνον· κρήγυον· κρητήριον ἡ ἐπίχυσις * * * * κρήδεσμον τὸ εὐῶδες· κρητήριον ὁ κρατήρ· κρηστεύω, κρησέριον τὸ κόσκινον· κρησερα ἱμάτια τραχέα· κρήηνον τὸ ἐπιτέλεσον· γέγονεν δὲ παρὰ τὸ κραίνω ὁ ἀόριστος ἔκρανα, ὡς φαίνω, ἔφανα· τὸ προστακτικὸν κρᾶνον, ὡς φᾶνον, καὶ Ἰωνικῶς τροπῇ τοῦ α εἰς η κρῆνον, καὶ ἐν πλεονασμῷ τοῦ η κρήηνον· οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν· τοιαῦτα δὲ καὶ τὰ ἐξ αὐτῶν σύνθετα μετὰ τῆς αὐτῆς γραφῆς.

ΦΛΑ. Γῆρας τὸ γη η, παρὰ γὰρ τὸ γέρας· ἕπεται γὰρ τοῖς γέρουσιν ἡ τιμή· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα διὰ τοῦ η γράφονται· βαθύγηρος· καλόγηρος· ὑπέργηρως.

ΦΛΒ. Τύπος τὸ τυ ψιλὸν, παρὰ γὰρ τὸ τύπτω· τὰ δὲ διὰ τοῦ υπτω διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, κρύπτω· θρύπτω· κύπτω· καλύπτω· οὕτω δὴ καὶ τύπτω ἀφ' οὗ τύπος· ἐν

[f] Sic. Cod. Leg. κάρηνον. [g] Cod. οὐλοκάρηνος.

γὰρ τῷ τύπτειν τύπος ἐπακολουθεῖ· ὅσα δὲ παρ' αὐτὸ διὰ τοῦ υ ψιλοῦ· οἷον, ἀρχαίτυπος· προτύπωσις.

ΦΛΓ. Τὰ παρὰ τὸ ἡγοῦμαι συγκείμενα διὰ τοῦ η γράφονται· στρατηγός· κυνηγός· ὁδηγός· ποδηγός· ἀρχηγός· φορτηγός.

ΦΛΔ. Τὰ παρὰ τὸ ἄγω συγκείμενα, τοῦ γ ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ τὸ ω παραλαμβάνοντα μέσον, διὰ τοῦ ω μεγάλου γράφονται· ἀγωγός· χειραγωγός· παιδαγωγός· δημαγωγός.

ΦΛΕ. Τὰ παρὰ τὸ βόσκω συγκείμενα διὰ τοῦ ο μικροῦ γράφονται· οἷον, χηνοβοσκός· αἰγοβοσκός.

ΦΛϚ. Τὰ παρὰ τὸ φέρβω συγκείμενα διὰ τοῦ ο μικροῦ γραφονται· οἷον, συφορβός· ἱπποφορβός.

ΦΛΖ. Τὰ παρὰ τὸ ποιῶ συγκείμενα διὰ τῆς οι διφθόγγου γράφονται· σιτοποιός· ἀρτοποιός· ὀψοποιός.

ΦΛΗ. Φωνὴ παρὰ τὸ φῶς καὶ νοῦς· ἡ τὰ ἐν τῷ νῷ φωτίζουσα· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα ἢ παραγόμενα διὰ τοῦ ω μεγάλου γράφονται· φωνητικός· ἄφωνος· εὔφωνος· σύμφωνος.

ΦΛΘ. Τὰ παρὰ τὸ βάλλω συγκείμενα διὰ τοῦ ο μικροῦ γράφονται· ἑκηβόλος· ἐλαφηβόλος· πετροβόλος.

ΦΜ. Τὸ πολῶ διφορεῖται κατά τε γραφὴν, καὶ σημασίαν· ἐπὶ μὲν γὰρ τοῦ πιπράσκω διὰ τοῦ ω μεγάλου, ἐπὶ δὲ τοῦ κινοῦμαι ἢ περιπατῶ διὰ τοῦ ο μικροῦ· ἀμφότερα οὖν ἐν τῇ συνθέσει τὴν ἰδίαν φυλάττει γραφὴν, ὅθεν γὰρ τὸ πώλης καὶ οἰνοπώλης καὶ κρεοπώλης· καὶ οἰνοπώλης μὲν διὰ τοῦ ω μεγάλου· οἰωνοπόλος δὲ καὶ ὀνειροπόλος διὰ τοῦ ο μικροῦ· σεσημείωται τὸ ἀπεμπολῶ καὶ πυρπολῶ διὰ τοῦ ο γραφόμενα· τὸ μὲν ἀπὸ τοῦ πωλῶ τοῦ πιπράσκω· τὸ πυρπολῶ δὲ ἀπὸ τοῦ πολῶ τοῦ ἀναστρέφομαι προαχθέν.

ΦΜΑ. Τὰ παρὰ τὸ ἀγορῶ συγκείμενα τὴν μὲν παραλήγουσαν διὰ τοῦ ο μικροῦ, τὴν δὲ τρίτην ἀπὸ τέλους ἔχει διὰ τοῦ η· οἷον, συνήγορος· κατήγορος· θεήγορος· δημήγορος.

ΦΜΒ. Τὰ παρὰ τὸ χ[illegible] συγκείμενα διὰ τοῦ ο μικροῦ γράφονται

κατὰ τὴν πρὸ τέλους· οἰνόχοος· ὑδρόχοος· χρυσόχοος· ἀργυρόχοος.

ΦΜΓ. Τὰ παρὰ τὸ ῥέω συγκείμενα διὰ τοῦ ο μικροῦ γράφει τὴν παραλήγουσαν· ὠκύροος· βαθύροος.

ΦΜΔ. Τὰ παρὰ τὸ πλέω διὰ τοῦ ο μικροῦ γράφει τὴν παραλήγουσαν· οἷον, εὔπλοος· δύσπλοος· κακόπλοος.

ΦΜΕ. Τὰ παρὰ τὸ ἔχω συγκείμενα διὰ τοῦ ο μικροῦ γράφει τὴν παραλήγουσαν· οἷον, ἔξοχος· μέτοχος· κάτοχος· ἡνίοχος· τούτου ἡ ἄρχουσα διὰ τοῦ η δασυνομένου· γέγονε δὲ ἀπὸ τοῦ εἷς ὀνόματος, ὃ δηλοῖ τὸν ἀριθμὸν, οὗ ἡ γενικὴ ἑνὸς, ἀφ' οὗ ἑνία καὶ τροπῇ τοῦ ο εἰς η ἡνία, καὶ ἐν συνθέσει ἡνίοχος· καὶ τοῦ ἀριθμοῦ ἡ δασεῖα πεφύλακται.

ΦΜϚ. Τὰ παρὰ ῥῆμα συγκείμενα τὴν αὐτὴν τῷ ῥήματι ἐν τῇ πρὸ τέλους φυλάττει γραφήν· πείθω, ἀπειθής· λήθω, ἀληθής· εἴκω, ἐπιεικής· φημὶ, εὔφημος· τρέφω, ἀτρεφής· ἥδω, ἀηδής· συλῶ, ἱερόσυλος· πλὴν τοῦ λείπω ἐλλιπής· λήβω, εὐλαβής· φαίνω, ἐμφανής [h].

ΦΜΖ. Πῆρα ὁ θύλακος τὸ πη η· ἀπὸ γὰρ τοῦ φέρω φέρα, καὶ τροπῇ τοῦ φ εἰς π καὶ τοῦ ε εἰς η πῆρα· οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν· τὰ γοῦν παρ' αὐτὸ συγκείμενα διὰ τοῦ η γράφονται· οἷον, κακόπηρος· μονόπηρος.

ΦΜΗ. Τὰ παρὰ τὸ φόνος συγκείμενα διὰ τοῦ ο μικροῦ ἔχει τὴν πρὸ τέλους· οἷον, μιαιφόνος· ἀνδροφόνος.

ΦΜΘ. Τὰ παρὰ τὸ ὀρύσσω ἐν τῇ συνθέσει ἐκτείνει τὸ ο· τυμβωρύχος· φρεωρύχος.

ΦΝ. Τὰ παρὰ τὸ ὀμῶ ἐν τῇ συνθέσει ἐκτείνει τὸ ο τῆς ἀρχούσης, καὶ τὴν πρὸ τέλους ἔχει διὰ τοῦ ο μικροῦ· οἷον, ἀπώμοτον· ἐξώμοτον· ἐπώμοτον.

ΦΝΑ. Ἀπὸ τοῦ σκέπτω ῥήματος γίνεται σκοπός· τὰ γοῦν παρ' αὐτὸ διὰ τοῦ ο μικροῦ γράφονται· οἷον, ἐπίσκοπος· κατάσκοπος.

ΦΝΒ. Καθόλου ὅσα ἀπὸ τροπῆς τοῦ ε εἰς ο ἀπὸ ῥήματος γεγένηται, εἰς σύνθεσιν ἐρχόμενα τὴν αὐτὴν φυλάττει γρα-

[h] Cod. ἐνφανής.

φήν· τρέφω, τροφὸς, ἄτροφος· πολύτροφος· πρόλογος· ἱππόδρομος.

ΦΝΓ. Τὸ ἵππος παρὰ τὸ ἵππω, ῥῆμα ὃ δηλοῖ τὸ πέταμαι· ἵπτος· δοκεῖ γὰρ τὸ ζῶον πτῆσιν ἀπομιμεῖσθαι τῷ τάχει τοῦ δρόμου· τροπῇ οὖν τοῦ τ εἰς π ἵππος· τὰ γοῦν παρ' αὐτὸ κατά τε ἀρχὴν λέξεως, κατά τε τὸ τέλος τὴν αὐτὴν φυλάττει γραφήν· οἷον, φίλιππος· ἱππόδρομος· ἱππαλεκτρυών· τὸ Ἰώσηπος οὐ παρὰ τὸ ἵππος, διὸ οὐδὲ διὰ δύο π· γράφεται καὶ τοῦ η· ἀπὸ γὰρ τοῦ Ἰωσὴφ, Ἰώσηφος, κατὰ παραγωγὴν, καὶ τροπῇ τοῦ φ εἰς π, Ἰώσηπος.

ΦΝΔ. Τὰ διὰ τοῦ ιος ἀπὸ βαρβάρων ὀνομάτων εἰς παραγωγὴν ἐληλυθότα, καὶ τὴν πρωτότυπον πειρᾶται φυλάττειν γραφὴν, καὶ διὰ τοῦ ι ποιεῖσθαι τὴν παραγωγήν· οἷον, Ἀβραὰμ, Ἀβραάμιος· Ἰσαὰκ, Ἰσαάκιος.

ΦΝΕ. Τὸ ἐρὶ ἀρὶ μόρια ἐπιτατικὰ, διὰ τοῦ ι γράφονται· καὶ τὸ νη καὶ αὐτὸ ἐπιτατικὸν διὰ τοῦ η· τὰ ἐξ αὐτῶν συγκείμενα διὰ τῆς αὐτῆς παράγει γραφῆς· ἐριαύχην· ἐρίτιμος· ἀρίδηλος· ἀρίσημος· "νήχυτος ὄρπηξ [h]."

ΦΝϚ. Τὸ νο, καὶ νω, καὶ νε, καὶ νη στερητικὰ ἐπιῤῥήματα, καθ' ἑαυτὰ εἶναι μὴ δυνάμενα, ἐν τῇ συνθέσει τὴν αὐτὴν φυλάττει γραφήν· νοσερός· νωθὴς ὁ στερημένος τοῦ θέειν· νήστης ὁ ἐστερημένος σιτίων· νέπους ὁ ἐστερημένος ποδῶν.

ΦΝΖ. Εἰς νω λήγοντα ῥήματα δισύλλαβα τὸ ι παραληγόμενα οὐχ ὁρῶ πολλά· ἔστι γὰρ τὸ γίνω τὸ κατασκευάζω· κλίνω· κρίνω· τίνω τὸ ἀποδίδωμι, ὃ καὶ τίω λέγεται, ἐξ οὗ παράγωγον τὸ τιννύω· καὶ τὸ φθίνω, ὃ καὶ αὐτὸ φθίω λέγεται· τὰ γοῦν ἐξ αὐτῶν συγκείμενα τὴν αὐτὴν φυλάττει γραφήν· οἷον, ἀκλινής· εὐκρινής· ἄφθιτος· κατάκριτος.

ΦΝΗ. Κοίτη ἀπὸ τοῦ κῶ ῥήματος, ὃ δηλοῖ τὸ ὑπνῶ, τὴν γένεσιν ἔσχεν· ὡς γὰρ παρὰ τὸ θῶ θείω, καὶ σῶ σείω, οὕτω καὶ παρὰ τὸ κῶ κείω· τὸ παθητικὸν κείομαι, καὶ ἐν συγκοπῇ κεῖμαι, ἀφ' οὗ ῥηματικὸν ὄνομα κοίμη· ἐξ οὗ πάλιν ῥῆμα δευτέρας συζυγίας τῶν περισπωμένων, κοιμῶ κοιμᾷς· τὰ γὰρ

[h] Hoc fragm. Philetæ tribuit Etym. M. p. 602, 41.

ἀπὸ τῶν εἰς η θηλυκῶν γινόμενα ῥήματα, δευτέρας γίνεται συζυγίας ὡς ἐπὶ τὸ πολύ· οἷον, βοὴ, βοῶ, βοᾷς· τεχνὴ, τεχνῶ, τεχνᾷς· ἀγάπη, ἀγαπῶ, ἀγαπᾷς· μελέτη, μελετῶ, μελετᾷς· οὕτω δὴ καὶ κοιμῶ, κοιμᾷς, ἀπὸ τοῦ κοίμη· ἀπὸ οὖν τοῦ κεῖμαι τὸ τρίτον τῶν ἑνικῶν κεῖται· ἐξ οὗ τὸ κοίτη ὄνομα ῥηματικὸν διὰ τῆς οι διφθόγγου· διὸ καὶ τὰ παρ' αὐτὸ συγκείμενα τὴν διὰ τῆς οι διφθόγγου φυλάττει γραφήν· ἐξόκοιτος· παράκοιτος· ἀλλόκοιτος· ἄκοιτις.

ΦΝΘ. Τὰ ἀπὸ τῆς τρίτης συζυγίας τῶν εἰς ω περισπωμένων διὰ τοῦ ω μεγάλου· τὰ δὲ ἀπὸ τῶν εἰς μι τῆς αὐτῆς συζυγίας διὰ τοῦ ο μικροῦ ποιεῖται τὴν παραγωγήν· οἷον, χρυσῶ χρύσωμα· χρυσωτής· χρύσωσις· δίδωμι, δότης· δόσις· δοτός· δόμα· σεσημείωται ἀπὸ τῶν εἰς ω τὸ ὀμωτός[i]· ὀνοτὸς ὁ μεμπτέος· ἀροτὸς ὁ ἠροτριασμένος, ἐξ οὗ καὶ τὸ ἀνήροτος[k]· ὅτι διὰ τοῦ ο μικροῦ γράφονται κατὰ τὴν πρὸ τέλους· καὶ τὸ ἁλωτὸς διὰ τοῦ ω μεγάλου ἀπὸ τῶν εἰς μι· παρ' ὃ καὶ αἰχμάλωτος[l], καὶ ἀνάλωτος, καὶ θηριάλωτος.

ΦΞ. Θύω τὸ ὁρμῶ διὰ τοῦ υ ψιλοῦ· τὰ γὰρ διὰ τοῦ υω βαρύτονα διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, λύω· κύω· ἀνύω· μηνύω· πλὴν τοῦ οἴω τὸ δηλοῦν τὸ νομίζω· τοῦτο γὰρ διὰ τῆς οι διφθόγγου γράφεται· εὕρηται καὶ ἐν διαλύσει ὀΐω· πρόσκειται βαρύτονα, διὰ τοῦ ποιῶ καὶ ἀλοιῶ περισπώμενα· καὶ τὰ ὅμοια αὐτοῖς διὰ τῆς οι διφθόγγου γραφόμενα· ἀπὸ οὖν τοῦ θύω, θυμὸς, διὰ τοῦ υ ψιλοῦ· ὁμοίως καὶ εἴτι παρ' αὐτό· οἷον, ῥάθυμος· ἄθυμος· θυμώδης.

ΦΞΑ. Τὰ παρὰ δοτικὴν ἑνικὴν τὴν εἰς ι ἐκφωνούμενον λήγουσαν συντεθημένα φυλάττει τὸ ι τῆς δοτικῆς ἀμετάθετον· οἷον, πυριλαμπής· πυρίκαυστος· πυρίμορφος· νυκτίλοχος· νυκτικόραξ· θηριάλωτος· μαστιγιφόρος· αἰγίλιψ· αἰγίβοτον· γαστρίδουλος· γαστρίμαργος· Ἀλκίνοος· ἀλίπαστος· λαμπαδιφόρος· γραμματιφόρος· ἐλπιδιφόρος.

ΦΞΒ. Τὰ παρὰ δοτικὴν ἑνικὴν τὴν ἀπὸ τῶν εἰς ος οὐδετέρων συντεθημένα, πλὴν τῶν παρὰ τὸ κάλλος, καὶ τῶν παρὰ τὸ

i Leg. ὁμοτός. k Cod. ἀνήρωτος. l Cod. αἰχάλωτος.

ὕψος, καὶ τῶν ἐχόντων ἐπαγόμενον ἓν τῶν διπλῶν, ἢ δύο σύμφωνα, εἰ τὴν ἑξῆς εὕροι ἀπὸ ἑνὸς ἁπλοῦ συμφώνου ἀρχομένην, ἢ ἀπὸ φωνήεντος· οἷον, ὀρείαυλος· Ὀρειβάσιος· ὀρειγένης ὁ ἐν ὄρει γεννηθείς· τὸ γὰρ κύριον ὄνομα διὰ τοῦ ω μεγάλου, καὶ διὰ τοῦ ι γράφεται· στεφειφόρος· θερείαυλος· βελειώδυνος· πρόσκειται πλὴν τῶν παρὰ τὸ κάλλος, ἐπεὶ ταῦτα διὰ τοῦ ί γράφονται· οἷον, καλλίτεκνος· καλλιπάρθενος· πρόσκειται πλὴν τῶν παρὰ τὸ ὕψος· καὶ ταῦτα γὰρ διὰ τοῦ ι γράφονται· οἷον, ὑψιμέδων· ὑψίλοφος· πρόσκειται πλὴν τῶν ἐχόντων τὴν ἑξῆς ἀπὸ ἑνὸς ἀρχομένην τῶν διπλῶν, καὶ ἀπὸ δύο συμφώνων διὰ τὸ ὑψίζυγος· ὑψιβρεμέτης· ὑψίθρονος· διὰ τοῦ ι γραφόμενα· πρόσκειται ἓν ἁπλοῦν σύμφωνον, ἐὰν γὰρ εὑρεθῶσιν δύο, καὶ οὕτως διὰ τοῦ ι γράφονται, ὡς ἔχει τὸ ἀγχίκτυπος· σεσημείωται τὸ ὀρίγανον ἡ βοτάνη διὰ τοῦ ι γραφόμενον.

ΦΞΓ. Τὰ παρὰ δοτικὴν πληθυντικὴν συγκείμενα διὰ τοῦ ι γράφει τὴν τρίτην ἀπὸ τέλους· οἷον, ναυσιπόρος· ἐγχεσίμαχος· τειχεσιπλήτης· πασιμέλλουσα· σαρξιφάγος· ὀρεσίτροφος· ἁρμασίπουδος· Προτεσίλαος· ναυσίθεος· Ἀναξίμανδρος.

ΦΞΔ. Τὰ παρὰ τὸ πήσσω συγκείμενα διὰ τοῦ η γράφονται· οἷον, ναυπηγός· κλινοπηγός.

ΦΞΕ. Τὰ εἰς ις ἀρσενικά τε καὶ θηλυκὰ ἐν τῇ συνθέσει ἀποβάλλει τὸ σ τῆς ληγούσης, καὶ φυλάττει τὸ ι· οἷον, ὄφις, ὀφιοῦχος· ἔχις, ἐχίδηκτος· πόσις, ποσίφιλος· πόλις, πολιοῦχος· Ἶσις, Ἰσίδωρος· φύσις, φυσίζωος· πατρὶς, πατριάρχης· τάξις, ταξίαρχος.

ΦΞϚ. Τὰ εἰς η λήγοντα θηλυκὰ, ἐν τῇ συνθέσει μη τρέποντα τὸ η εἰς ο, ὡς ἐπὶ τοῦ σκηνὴ, σκηνοποιός· κλινὴ, κλινόπους· εἰρήνη, εἰρηνόδωρος· περὶ ὧν ἤδη διείληπται, φυλάττει τὸ η· οἷον, μύλη, μυλήφατος· κοτύλη, κοτυλήρυτος· βοὴ, βοηθός· ζωὴ, ζωηφόρος· νίκη, νικηφόρος· στρωμνὴ, στρωμνηφόρος.

ΦΞΖ. Τὰ ἀπὸ τῶν εἰς ος εις σύνθεσιν ἐλθόντων, καὶ τῇ ἀποβολῇ τοῦ σ τὴν σύνθεσιν ποιοῦντα διὰ τοῦ ο, καὶ ἢ διὰ μετρικὴν χρεῖαν, ἢ δι' εὐφωνίαν τοῦτο μετατιθέντων, εἰς η αὐτὸ μεθί-

στησιν· οἷον, νεογεννὴς, νεηγενής· ἐλαφοβόλος, ἐλαφηβόλος· ἀθλοφόρος, ἀθληφόρος.

ΦΞΗ. Τὰ εἰς ως θηλυκὰ ἐν τῇ συνθέσει φυλάττει τὸ ω· ἑωσφόρος, ἠωσφόρος· οἷς, ἀκόλουθον καὶ τὸ φωσφόρος, εἰ καὶ οὐδέτερον.

ΦΞΘ. Τὰ παρὰ βαρύτονον μέλλοντα συγκείμενα διὰ τοῦ ι γράφονται, ἢ διὰ τοῦ ο μικροῦ, ἐνίοτε δὲ καὶ διὰ τοῦ ε ψιλοῦ· οἷον, στήσω, Στησίχορος· πράξω, Πραξιφάνης· λύσω, Λυσίμαχος· μίξω, μιξόθηρ· μιξοπόλιος· μιξοβάρβαρος· ὄρσω, ὀρσόθριξ· ὀρσοθώραξ· δρύψω, δρυψόπαις· πέρσω, περσεπόλις· Περσεφώνη· κέρσω, κερσεκόμης· καὶ ἀπὸ τοῦ οἰδήσω οἰδησίπους, καὶ κατὰ συγκοπὴν τοῦ ης Οἰδίπους.

ΦΟ. Τὰ παρὰ ἐνεστῶτα τῆς πρώτης συζυγίας τῶν περισπωμένων ἐν συνθέσει γινόμενα, διὰ τοῦ ο, ἢ διὰ τοῦ ι, ἢ διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, ἀλιτόμηνος· ἁμαρτῶ, ἁμαρτοέπης· δάω, δαΐφρων· εἵλω, εἱλιπόδης· εἱλίπους· ἁμαρτῶ, ἁμαρτίνοος· ἡγῶ, ἡγεμών.

ΦΟΑ. Οὐδὲν τῶν εἰς υς ληγόντων ἀρσενικῶν ἢ θηλυκῶν ὀνομάτων ἐπ' εὐθείας ἑνικῆς εὕρηται διὰ τῆς οι διφθόγγου, ὅτι μὴ τὸ οἷς μόνον, ὃ καὶ γέγονεν κατὰ συναίρεσιν ἐκ τοῦ ὄϊς, δηλοῖ δὲ τὸ πρόβατον· ταχύς· βραδύς· ὀξύς· ἰσχύς· ὀσφύς.

ΦΟΒ. Τὰ εἰς ως, εἴτε ὀνόματα, εἴτε μετοχαὶ, εἴτε ὀξύτονα, εἴτε βαρύτονα, εἴτε περισπώμενα, κατὰ ἀποβολὴν τοῦ σ ποιοῦντα τὴν γενικὴν, ἢ διὰ καθαροῦ τοῦ ος, ἢ διὰ τοῦ τος, τὴν εὐθεῖαν ἔχει διὰ τοῦ ω μεγάλου ἐπὶ παντὸς γένους· οἷον, ὀρφὼς, ὀρφῶ· ταὼς, ταῶ· Τρὼς, Τρωός· δμὼς, δμωός· χρὼς, χρωτός· γέλως, γέλωτος· ἔρως, ἔρωτος· Μίνως, Μίνωος· ἥρως, ἥρωος· Τυνδάρεως, Τυνδάρεω· ἵλεως, ἵλεω.

ΦΟΓ. Τὰ εἰς εψ λήγοντα ἁπλᾶ οὐκ ἔστιν εὑρεῖν πλὴν τοῦ φλὲψ μονοσύλλαβον· τὸ γὰρ ἐφευροκλέψ· νακοκλέψ· κατώβλεψ εἶδος θηρίου, σύνθετά ἐστιν.

ΦΟΔ. Εἰς ηψ διὰ τοῦ η γραφόμενον οὐκ ἔστιν εὑρεῖν ὅτι μὴ μόνον τὸ κώληψ βαρύτονον· τά δ' ἄλλα πάντα διὰ τοῦ ι·

θρίψ· κνίψ· τοῦτο δὲ καὶ σὺν τῷ σ σκνίψ· Κεντόριψ· παιδότριψ· χοιρότριψ· ἀμφίτριψ.

ΦΟΕ. Τὰ εἰς υψ σπάνια, καὶ διὰ τοῦ υ ψιλοῦ γράφονται· Κίνυψ ὁ λιμήν· Χάλυψ· ἄρυψ οἱ ἀπὸ δύσεως μέχρι Ἰσθμοῦ Ἀχαιοί· τοῦτο δὲ καὶ μονοσυλλάβως λέγεται παρὰ τοῖς Ἕλλησιν· ῥὺψ γὰρ παρ' αὐτοῖς εἴρηται.

ΦΟϚ. Τὰ διὰ τοῦ οψ μικροῦ τε καὶ μεγάλου γραφόμενα ἀδιώριστα καθέστηκεν ὁμοίως ἐπὶ κυρίων καὶ προσηγορικῶν, διὸ στοιχητέον τῇ ἱστορίᾳ.

ΦΟΖ. Τὰ εἰς ων ὀνόματα προηγούμενα λέξεως ἐν τῇ συνθέσει τρέπει τὸ ω εἰς ο· σπάνια δὲ τὰ παραδείγματα· οἷον, λέων, λεόπαρδος· γέρων, γεροκόμος· Ἀπόλλων, Ἀπολλογενής· Ἀπολλοφάνης.

ΦΟΗ. Πᾶσα γενικὴ εἰς ος λήγουσα, κατ' ἀρχὴν ἑτέρας λέξεως συντιθεμένη, φυλάττει τὸ ο μικρὸν ἐν τῇ συνξέσει· οἷον, λέοντος, λεοντοκόμος· δράκοντος, δρακοντόπους· ἰχθύος, ἰχθυοφάγος· παιδὸς, παιδοτρίβης· χειρὸς, χειρόγραφον.

ΦΟΘ. Τὰ εἰς ις ὀξύτονα θηλυκὰ διὰ τοῦ δος κλινόμενα, καὶ ἔχοντα καθαρὸν τὸ ις, τὸ η παραλήγεται, ἢ ἐκ πλεονασμοῦ, ὡς Ἑκτορηΐς· Πελοπηΐς· ἢ ἐκ παραγωγῆς· οἷον, Νηλεὺς, Νηλέως, Νηλεῒς καὶ Νηληῒς, τροπῇ τοῦ ε εἰς η· ὁμοίως Βρισέως, Βρισεῒς καὶ Βρισηΐς· τὰ πλείω γὰρ αὐτῶν πατρωνυμικὰ ὁρᾶται.

ΦΠ. Τὰ διὰ τοῦ τρια προπαροξύτονα ἀναμφιβόλως ἅπαντα διὰ τοῦ ι γράφονται· οἷον, ψάλτρια· μαθήτρια· μονάστρια· λεκάστρια ἡ πόρνη· αὐλήτρια· τὸ λατρεία διὰ τῆς ει διφθόγγου γραφόμενον οὐκ ἀντίκειται, οὐ γὰρ προπαροξύνεται.

ΦΠΑ. Καθόλου τὰ διὰ τοῦ εια προπαροξύτονα, εἴτε ἐπὶ πόλεων, εἴτε ἐπ' ἄλλης τινὸς οἱασοῦν σημασίας, πλὴν τῶν διὰ τοῦ τρια, διὰ τῆς ει διφθόγγου γράφονται· σεσημειωμένων τοῦ πότνια· Ὄμπνια· Λάμια· Πολύμνια· τὸ γὰρ θάλια ἐπὶ διαφόρου σημασίας διάφορον ἀπενέγκατο τὴν γραφήν· τὸ μὲν γὰρ ἐπίθετον τῆς εὐωχείας, καὶ ἡ Μοῦσα διὰ τῆς ει

διφθόγγου· οἷον, "δαῖτα θάλειαν," καὶ "Μοῦσα Θάλεια·" αὐτὴ δὲ ἡ εὐωχεῖα, καὶ ἡ Χάρις, καὶ ἡ Νηρηῒς διὰ τοῦ ι·

Ὅς μοι τηλύγετος τρέφεται θαλίῃ ἐνὶ πολλῇ· (Il. I. 143.)

οὕτως εὗρον[1] παρακείμενον σχόλιον εἰς τὰ Ἔργα Ἡσιόδου. Ἰστέον δὲ εἰς τὰ παραδείγματα τοῦ κανόνος· οἷον, ἀλήθεια· εὐλάβεια· Ἀλεξάνδρεια· Ἀπάμεια· Μήδεια· βοήθεια· ὠφέλεια· χαλκοβάρεια· Πηνελόπεια· πρόσκειται πλὴν τῶν διὰ τοῦ τρια, ἐπειδὴ ταῦτα διὰ τοῦ ι γράφονται, ἐφυλάξατο ὁ κανών.

ΦΠΒ. Τὰ ἀπὸ τῶν εἰς υς διὰ τοῦ εια διὰ βραχὺ τοῦ α καὶ διὰ τῆς ει διφθόγγου γράφεται, διὸ καὶ πάντα προπερισπᾶται· οἷον, ταχὺς, ταχεῖα· ὀξὺς, ὀξεῖα· βαρὺς, βαρεῖα· τὸ λιγὺς καὶ ἐλαχὺς ὀξύτονα, καὶ ἡμίσυς καὶ θῆλυς βαρύτονα σεσημειοῦνται ποιοῦντα τὸ λίγεια· ἐλάχεια· θήλεια· ἡμίσεια, διὰ τῆς ει διφθόγγου παράγοντα τὰ θηλυκὰ καὶ προπαροξύτονα.

ΦΠΓ. Τὰ διὰ τοῦ αινα παροξύτονα διὰ τῆς αι διφθόγγου γράφονται· θέαινα· Λάκαινα· δράκαινα· θεράπαινα, καὶ τὰ ὅμοια· τὸ χλαῖνα μόνον δισύλλαβον ὂν, τὴν αι δίφθογγον ἐφύλαξεν· ὡς καὶ τὸ δέσποινα μονῆρες ὂν, τὴν οι δίφθογγον· πρόσκειται προπαροξύτονα, ἐπεὶ τὸ Ἑλένα διὰ τοῦ ε ψιλοῦ γράφεται, ἀπὸ γὰρ τοῦ Ἑλένη γέγονεν κατὰ τροπὴν τοῦ η εἰς α μακρόν.

ΦΠΔ. Τὰ διὰ τοῦ εσσα οὐκ οἶδε τὴν διὰ τῆς οι διφθόγγου γραφήν· ἐρόεσσα· τιμήεσσα· χαρίεσσα· μόνον τὸ Θραῖσσα δισύλλαβον καὶ διὰ τῆς αι διφθόγγου, ἀπὸ τοῦ Θραΐσσα συναιρεθέντος, καὶ τοῦ αισσα, ὅ ἐστιν παράγωγον ἀπὸ τοῦ δαίω τὸ μερίζω.

ΦΠΕ. Τὰ εἰς ρα προπαροξύτονα δίφθογγον ἔχει πρὸ τοῦ ρ· οἷον, σώτειρα· εὐπάτειρα· δότειρα· Κάειρα· μάκαιρα· ἀντιάνειρα· κυδιάνειρα· κτεάνειρα.

ΦΠϚ. Τὰ διὰ τοῦ ισσα δισύλλαβα, καὶ ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ι γράφονται· οἷον, βίσσα· κίσσα· πίσσα· Φοινίκισσα· βασίλισσα· Κιλίκισσα· μέλισσα.

[1] Cod. εὗροι.

ΦΠΖ. Τὰ διὰ τοῦ υσσα ὑπὲρ δύο συλλαβὰς οὐκ οἶδε τὴν διὰ τῆς οι διφθόγγου γραφήν· οἷον, Βέβρυσσα· Λίβυσσα· Βλέμμυσσα.

ΦΠΗ. Τὰ διὰ τοῦ υσσα δισύλλαβα φεύγει τὴν διὰ τῆς οι διφθόγγου γραφήν· οἷον, λύσσα· Νύσσα.

Τὰ εἰς ης διὰ τοῦ τος καθαροῦ κλινόμενα, ἡνίκα ποιεῖ θηλυκὸν εἰς α, τὸ η φυλάττει· οἷον, πένης, πένητος, πένησα· θὴς, θητὸς, θῆσα· Κρῆς, Κρητὸς, Κρῆσα.

ΦΠΘ. Τὰ εἰς α λήγοντα θηλυκὰ τὸ ε παραληγόμενα δύο ὁρῶ· ἁπλοῦν μὲν τὸ πέζα, ὃ δηλοῖ τὸν πόδα, καὶ τὰ ἐξ αὐτοῦ συντεθέντα, ἀργυρόπεζα· τετράπεζα· τράπεζα.

ΦϚ. Τὰ εἰς α λήγοντα δισύλλαβα μονογενῆ, ἔχοντα πρὸ τοῦ α διπλοῦν, διὰ τοῦ ι γράφονται· ῥίζα· σχίζα· σπῖζα εἶδος ὀρνέου· δίψα· φρίξα.

ΦϚΑ. Τὰ εἰς α λήγοντα ὑπὲρ δύο συλλαβὰς, ἔχοντα πρὸ τοῦ α διπλοῦν, οὐκ οἶδεν, οὔτε τὴν διὰ τῆς οι διφθόγγου γραφὴν, οὔτε τὴν διὰ τοῦ η, οὔτε τὴν διὰ τοῦ ω μεγάλου, ἀλλ' ἢ τὴν διὰ τοῦ ι, ἢ τὴν διὰ τοῦ υ ψιλοῦ γραφήν· οἷον, Δούριζα, λίμνης ὄνομα· Τυρόδιζα, ὄνομα πόλεως.

ΦϚΒ. Τὰ διὰ τοῦ ελλα δισύλλαβα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, βέλλα· κέλλα· σέλλα.

ΦϚΓ. Τὰ διὰ τοῦ ελλα ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ε ψιλοῦ γράφονται· θύελλα· ἄελλα· δίκελλα· πάτελλα.

ΦϚΔ. Τὰ διὰ τοῦ υλλα δισύλλαβά τε καὶ ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, ψύλλα· Σκύλλα· Ἀγύλλα· Ἐρετύλλα· δίφυλλα· Σίβυλλα.

ΦϚΕ. Τὰ διὰ τοῦ ιλλα δισύλλαβά τε καὶ ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ ι γράφονται· οἷον, σκίλλα, ἡ βοτάνη· Κίλλα ἡ πόλις· Μύριλλα· Πρίσκιλλα· Πράξιλλα· Τελέσιλλα· Κύδιλλα.

ΦϚϚ. Τὰ διὰ τοῦ ινα προπαροξύτονα δι' ἑνὸς ν γραφόμενα, ἢ καὶ διὰ δισσοῦ, διὰ τοῦ ι γράφονται· οἷον, Ἅρπινα· Βέλβινα, ὄνομα τόπου· Καμάρινα· Αἴγινα· Μυκέρινα, ὄνομα πόλεως· Φίλιννα· Ἵριννα· Βίτιννα· Κόριννα· Σάλπινα, ὄνομα

κύριον· Μύρινα· οἷς ὅμοιον καὶ τὸ πῖνα ἐπὶ τοῦ ὀστρέου δι' ἑνὸς ν γραφόμενον.

ΦϚΖ. *Τὰ διὰ τοῦ ινα Ἰταλικὰ προπερισπώμενα διὰ τοῦ ι γράφονται· Ἡμῖνα· Φαυστῖνα· Κωνσταντῖνα· Πλωτῖνα.*

ΦϚΗ. *Τὰ διὰ τοῦ υνα προπαροξύτονα διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, χέλυνα· ἄμυνα· εὔθυνα· ἔρυνα· Δίκτυννα· σίγυννα· κίκυνα.*

ΦϚΘ. *Τὰ διὰ τοῦ αιρα δισύλλαβα βαρύτονα βραχυκατάληκτα τῇ αι διφθόγγῳ παραλήγεται· οἷον, σφαῖρα· αἶρα· δαῖρα.*

Χ. *Τὰ εἰς ρα δισύλλαβα μακροκατάληκτα διὰ τοῦ ε γράφονται· οἷον, ἔρα· Πέρα, ὄνομα τόπου· Μέρα, ὄνομα πόλεως· περα· τοῦτο παρὰ τῷ ποιητῇ διὰ τῆς ει διφθόγγου γράφεται, καὶ ὀξύνεται· οἷς ὅμοιον καὶ τὸ Φερὰ ὀξυνόμενον.*

ΧΒ. *Τὰ διὰ τοῦ ερα ὑπὲρ δύο συλλαβὰς πρὸ τέλους ἔχοντα τὸν τόνον διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, [μάχαιρα· χίμαιρα·] διφθέρα· χολέρα· τρομέρα· ἑσπέρα.*

ΧΓ. *Τὰ διὰ τοῦ αιρα ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, μάχαιρα· χίμαιρα· Ἄπαιρα, ὄνομα τόπου.*

ΧΔ. *Τὰ διὰ τοῦ ειρα δισύλλαβα βραχυκατάληκτα διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, στεῖρα ἡ μὴ τίκτουσα, καὶ τὸ μέρος τῆς γεώς· πεῖρα· σπεῖρα· ζεῖρα εἶδος χιτῶνος, οἱ δὲ ζώνης.*

ΧΕ. *Τὰ διὰ τοῦ ειρα δισύλλαβα ὀξύτονα μονογενῆ διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, εἰρά· σειρά· δειρά· σχειρά.*

ΧϚ. *Τὰ διὰ τοῦ ειρα ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, σώτειρα· πρέσβειρα· ὀλέτειρα· σάπφειρα· μενέτειρα· Θυάτειρα.*

ΧΖ. *Τὰ διὰ τοῦ υρα δισύλλαβα διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, θύρα· λύρα· Μύρα ἡ πόλις, ἐπὶ γὰρ τοῦ μέρους διὰ τῆς οι διφθόγγου· παρὰ γὰρ τὸ μείρω· Κύρα ἡ κρήνη· οἷς ὅμοιον κατὰ τὴν γραφὴν τὸ πυρὰ ὀξυνόμενον.*

ΧΖ. *Τὰ διὰ τοῦ υρα ὑπὲρ δύο συλλαβὰς προπαροξύτονά τε καὶ παροξύτονα διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, γέφυρα· ὄλυρα· Ἔφυρα· Κόρκυρα· σίσυρα· πόρφυρα· κολύρα.*

ΧΘ. Τὰ διὰ τοῦ αισα σπάνια, καὶ διὰ τῆς αι διφθόγγου γράφονται δισύλλαβα· οἷον, αἶσα ἡ μοῖρα· Φαῖσα· συναπηνέχθη δὲ αὐτοῖς τὸ δεῖσα ἡ ὑγρασία· καὶ τὸ πεῖσα ἡ πεισμονὴ, διὰ τῆς ει διφθόγγου.

ΧΙ. Τὰ διὰ τοῦ ισα δισύλλαβα δι' ἑνὸς σ γραφόμενα, διὰ τοῦ ι γράφονται· Πῖσα ἡ πόλις· Νίσα ἡ πόλις· Κρίσα πόλις.

ΧΙΑ. Τὰ διὰ τοῦ υσα δισύλλαβα δι' ἑνὸς σ γραφόμενα, διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, Νῦσα· Φῦσα· τὸ νύσσα ὁ καμπτὴρ, καὶ λύσσα διὰ δύο σσ γράφονται.

ΧΙΒ. Τὰ διὰ τοῦ ησσα δισύλλαβα, δισσοῦ ὄντος τοῦ σ, διὰ τοῦ η γραφόμενα σπάνια· οἷον, βῆσσα· ῥῆσσα· πονῆσσα· τὸ κίσσα· πίσσα τὸ δάκρυον τῆς πεύκης, διὰ τοῦ ι σεσημείωνται.

ΧΙΓ. Τὰ διὰ τοῦ οσσα δισύλλαβα διὰ τοῦ ο μικροῦ γράφονται· οἷον, ὄσσα· φόσσα· ῥόσσα ἡ κίχλη· κρόσσα· σεσημείωται τὸ γλῶσσα.

ΧΙΔ. Τὰ διὰ τοῦ αια δισύλλαβα ἀπαρασχημάτιστα διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, γαῖα· χραῖα· μαῖα· φαῖα· Ζαῖα ἡ πόλις· αἶα, ὅπερ ἀπὸ τοῦ γαῖα γέγονεν κατὰ ἀφαίρεσιν τοῦ γ· σεσημείωται τὸ ῥέα· Βρέα· θέα τὸ βαρύτονον, ὅπερ Συρακόσσιοι θάα λέγουσιν· τὸ γὰρ γέα γῆ διὰ τοῦ ε ψιλοῦ γραφόμενον, καὶ εἰς η συναιρούμενον, δῆλον ἐστὶν ὡς ἑτέρῳ κανόνι ὑπείκει· τὸ νέα οὐκ ἀντίκειται, ἀπὸ γὰρ τοῦ νεός.

ΧΙΕ. Τὰ διὰ τοῦ υια βαρύτονα ἀπαρασχημάτιστα, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς, διὰ τῆς υι διφθόγγου γράφονται· οἷον, μυῖα· θυῖα· υἷα· ἐθυῖα· ἁρπυῖα· ὄργυια· ἄγυια· Εἰλήθυια.

ΧΙϚ. Τὰ διὰ τοῦ εα τρισύλλαβα ὀξύτονα μονογενῆ διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, γενεά· δωρεά· ὀχεά.

ΧΙΖ. Τὰ διὰ τοῦ αια ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα, ἐπὶ πόλεων ἢ τόπων τιθέμενα, διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, Νίκαια· Ποτίδαια[m]· Κάρθαια· Λίλαια· Δίκαια ἡ πόλις·

[m] Cod. πιτίδαια.

Βάρκαια· Ἵσταια· Ὄσταια· Ἄφαια· Πλάταια· ταῦτα δὲ, εἰ μεταλάττει τὸν ἀριθμὸν, μεταλάττει καὶ τὸν τόνον εἰς τὴν ἐσχάτην[n], καὶ ὀξύνεται.

XIH. Τὰ παρὰ τὸ οὖς, ἢ πλοῦς, ἢ χροῦς, ἢ ῥοῦς, ἢ νοῦς, ἢ πλέω συγκείμενα διὰ τοῦ οια, διὰ τῆς οι διφθόγγου γράφονται· οἷον, εὔνοια· ἄνοια· εὔπλοια· δύσπλοια· εὔχροια· δύσχροια· παλίῤῥοια· ἀπόῤῥοια· ὀρθόπνοια· δύσπνοια.

XIΘ. Τὰ διὰ τοῦ οια προπαροξύτονα, ἔχοντα ἐν τῇ πρωτοτύπῳ φωνῇ τὸ ο, διὰ τῆς οι διφθόγγου γράφονται· οἷον, Εὐβοεὺς, Εὔβοια· Μελίβοια· Περίβοια· Ἐρίβοια· Σθενέβοια· οἷς ἀκόλουθον τὸ ἔσσοια· τρίττοια ἡ θυσία, ἥτις ἐκ τριῶν ζώων ἐθύετο· ἢ ὅτι τριετῆ ἦν τὰ θυόμενα· καὶ τὸ νεοία δὲ παροξυνόμενον τὴν διὰ τῆς οι διφθόγγου γραφὴν ἐφύλαξεν.

XK. Τὰ διὰ τοῦ οια παρώνυμα διὰ τῆς αι διφθόγγου γράφονται· σεληναῖα· ἁμαξαῖα· θυραῖα ἐπὶ τῆς διεξόδου, οὐκ ἐπὶ τοῦ κατακλείοντος· εὐναῖα· γαληναῖα· σφενδοναῖα· δραχμαῖα· ὀπαῖα κεραμὶς τὴν ὀπὴν ἐπικλείουσα.

XKA. Τὰ διὰ τοῦ εα ὑπὲρ δύο συλλαβὰς ἔχοντα τὸ α μακρὸν παροξύτονα, ἢ καὶ συναιρέσει ὑποπίπτοντα τοῦ ε καὶ α εἰς η, διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, Μαντινέα· Ὠκαλέα· Ὠκαλὴ γάρ· συκέα συκή· ἀμυγδαλέα ἀμυγδαλή· ἰτέα· σηπέα· πτελέα· μηλέα· λεοντέα· γαλέα· Νεμέα· Μενέα ἡ πόλις.

XKB. Τὰ διὰ τοῦ εια δισύλλαβα μονογενῆ ἔχοντα τὸ α μακρὸν, ὀξύτονα ἐπὶ οὐσίας τιθέμενα, διὰ τῆς ει διφθόγγου γράφονται· ζειά· χειά· Φειά· οἷς ὅμοια κατὰ τὴν γραφὴν, εἰ καὶ μὴ κατὰ τόνον, τὸ χρεῖα· μνεῖα, διὰ βραχέος τοῦ α ἐκφερόμενα· τὸ θεῖα, εἰ καὶ βαρύτονον καὶ μακροκατάληκτον, κατὰ τόνον ἀντίκειται, οὐ κατὰ τὴν γραφὴν, τριγενὲς γάρ· σεσημείωται τὸ φλία· στία· Θρία διὰ τοῦ ι γραφόμενα, καὶ τὸ Φθία μακρὸν ἔχον τὸ α καὶ βαρυνόμενον· καὶ τὸ σκιὰ ἀπὸ τοῦ κίω γεγονός· κιὰ καὶ πλεονασμῷ τοῦ σ σκιά.

XKΓ. Τὰ διὰ τοῦ ια ἐπὶ χωρῶν διὰ τοῦ υ γράφεται, καὶ ἐκτείνει

[n] Cod. αἰσχατην.

τὸ α, καὶ πάντα παροξύνεται· οἷον, Παφλαγονία· Ἰτουρία· Ἰταλία· Σικελία· Καππαδοκία· Ἀρμενία.

ΧΚΔ. Τὰ διὰ τοῦ εια ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων, μὴ ὄντων ἀπὸ τῶν εἰς ος συνθέτων, μήτε ἀπὸ τῶν εἰς μων ὀξυτόνων, ἀλλ' ἐξ ἑτέρας οἱασδήποτ' οὖν καταλήξεως, διὰ τῆς ει διφθόγγου γράφονται· οὐ γὰρ ἀπὸ τῶν εἰς ος συνθέτων ἡ παραγωγή· δοῦλος, δουλεύω, δουλεῖα· ῥητὼρ, ῥητορεύω, ῥητορεῖα· κόλαξ, κολακεύω, κολακεῖα· σεσημείωται τὸ πονηρία καὶ ὀρφανία, ὅτι ἀπὸ τῶν εἰς ος ἁπλῶν ὄντα, καὶ ἔχοντα ἀντιπαρακείμενον ῥῆμα διὰ τοῦ ευω, οὐκ ἐγράφει διὰ τῆς ει διφθόγγου· πρόσκειται μὴ ὄντα ἀπὸ τῶν εἰς ος συνθέτων, διὰ τὸ πρόεδρος, προεδρεύω, προεδρία· φιλάνθρωπος, φιλανθρωπεύω, φιλανθρωπία· ταῦτα γὰρ καὶ τὰ ὅμοια διὰ τοῦ ι γράφονται· πρόσκειται μὴ ὄντα ἀπὸ τῶν εἰς μων ὀξυτονων, διὰ τὸ κηδεμὼν, κηδεμονεύω, κηδεμονία· καὶ γὰρ καὶ τὰ τούτοις ὅμοια διὰ τοῦ ι γράφονται.

ΧΚΕ. Τὰ διὰ τοῦ εια ἀπὸ τῶν εἰς ος συνθέτων διὰ τοῦ ι γράφεται, εἰ καὶ ἔχοι ἀντιπαρακείμενον ῥῆμα διὰ τοῦ ευω· οἷον, σύνεδρος, συνεδρεύω, συνεδρία· οὐ γὰρ συνδρεύω νῦν χῶραν ἔχει εἰς τὴν διὰ τῆς αι διφθόγγου γραφήν· ὁμοίως φιλόπτωχος, φιλοπτωχία· εὐχάριστος, εὐχαριστία.

ΧΚϚ. Τὰ ἀπὸ των εἰς μων ὀξυτόνων παραγόμενα, ἐχόντων ἀντιπαρακείμενον ῥῆμα διὰ τοῦ ευω, διὰ τοῦ ι γράφεται· σπάνια δὲ τὰ παραδείγματα· παράγωνται δὲ ἀπὸ τῶν γενικῶν τῶν εἰς μων, διὸ καὶ τὴν τρίτην ἀπὸ τέλους ἔχει διὰ τοῦ ο μικροῦ· οἷον, ἡγεμὼν, ἡγεμόνος, ἡγεμονεύω, ἡγεμονία· κηδεμὼν, κηδεμόνος, κηδεμονεύω, κηδεμονία.

ΧΚΖ. Τὰ ἀπὸ τῶν εἰς ος ἁπλῶν, μὴ ἐχόντων ἀντιπαρακείμενον ῥῆμα διὰ τοῦ ευω, διὰ τοῦ ια γινόμενα, διὰ τοῦ ι γράφονται· οἷον, κακὸς, κακία· φίλος, φιλία· σοφὸς, σοφία· πρόσκειται μὴ ἔχοντα ἀντιπαρακείμενον ῥῆμα διὰ τοῦ ευω, διὰ τὸ δοῦλος, δουλεύω, δουλεῖα· μοιχὸς, μοιχεύω, μοιχεῖα· ταῦτα γὰρ καὶ τὰ ὅμοια αὐτοῖς διὰ τῆς ει διφθόγγου γράφονται.

ΧΚΗ. Τὰ ἀπὸ τῶν εἰς ης, εἰς ους ἐχόντων τὴν γενικὴν, διὰ τοῦ ια γινόμενα, πρὸ τέλους ἔχοντα τὸν τόνον, διὰ τοῦ ι γράφονται· οἷον, εὐώδης, εὐώδους, εὐωδία· δυσώδης, δυσώδους, δυσωδία· εὐφυὴς, εὐφυοῦς, εὐφυΐα· εὐτυχὴς, εὐτυχοῦς, εὐτυχία· τριετὴς, τριετοῦς, τριετία· πρὸ τέλους ἔχοντα τὸν τόνον πρόσκειται, ἐπεὶ τὰ προπαροξυνόμενα διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, εὐλαβὴς, εὐλάβεια, καὶ εἴτι ὅμοιον.

ΧΚΘ. Τὰ ἀπὸ τῶν εἰς ις διὰ τοῦ ια γινόμενα καὶ παροξύνεται, καὶ διὰ τοῦ ι γράφεται· Κύπρις, Κυπρία· κόνις, κονία· ῥῆσις, ῥησία, καὶ παῤῥησία· κλῆσις, κλησία, καὶ ἐκκλησία· κλίσις, κλισία ἡ σκηνὴ, ἐκ τοῦ κλίνω· δόσις, δοσία, καὶ προδοσία· θέσις, θεσία, καὶ ἀσυνθεσία· μῆνις, μηνία, καὶ θεομηνία· τάξις, ταξία, καὶ ἀταξία· οὕτω καὶ ἶς ὄνομα, ἡ δύναμις, καὶ ἶν, ὡς δικατάληκτον, ἴα, καὶ πλεονασμῷ τοῦ μ μία· οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου.

ΧΛ. Τὰ παρὰ μέλλοντα διὰ τοῦ ια, διὰ τοῦ ι γράφονται· οἷον, θύσω, θυσία· ἄξω, ἀξία· λούσω, λουσία, καὶ ἀλουσία· ὀρέξω, ὀρεξία· ἔχω, ἕξω, ἕξια, καὶ εὐεξία· πέψω, πεψία, καὶ ἀπεψία.

ΧΛΑ. Τὰ διὰ τοῦ σια ὑπὲρ δύο συλλαβὰς, μὴ ἔχοντα ἀντιπαρακείμενον ῥῆμα διὰ τοῦ ευω, διὰ τοῦ ι γράφονται· οἷον, ἱκεσία· τὸ δὲ ἱκετεῖα διὰ τῆς ι διφθόγγου· ἱκετεύω γάρ· μετουσία· ἀφασία· πρόσκειται μὴ ἔχοντα ἀντιπαρακείμενον ῥῆμα διὰ τοῦ ευω, διὰ τὸ περισσεύω, περίσσεια διὰ τῆς ει διφθόγγου.

ΧΛΒ. Τὰ διὰ τοῦ ια ὑπὲρ δύο συλλαβὰς ὀξύτονα διὰ τοῦ ι γράφονται· οἷον, λαλιά· καλιά· δεξιά· σποδιά· ῥοδονιά· ἱμονιὰ τὸ ἀντλητήριον· ὁρμιά· σεσημείωται διὰ τῆς ει διφθόγγου γραφόμενα· τὸ παρειά· φορβειά· στηλειά· ἀρειά.

ΧΛΓ. Τὰ διὰ τοῦ ια ὑπὲρ δύο συλλαβὰς, πρὸ τέλους ἔχοντα τὸν τόνον, μὴ ὄντα ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων, μονογενῆ διὰ τοῦ ι γράφονται· οἷον, γωνία· πενία· ταινία· Ἰωνία· μανία· κεωρία· καρδία· ἁρμονία· Παιωνία· πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ μνεῖα· χρεῖα· δισύλλαβα, καὶ διὰ τῆς ει διφθόγγου γραφόμενα· πρόσκειται μονογενῆ, διὰ τὸ Ὀδύσ-

σειος οἶκος· Ὀδυσσεῖα σκηνή· Χαρίκλειος δοῦλος· Χαρικλεῖα δούλη, διὰ τῆς ει διφθόγγου γραφόμενα· πρόσκειται μὴ ὄντα ἀπὸ τῶν διὰ τοῦ ευω, διὰ τὸ δουλεύω, δουλεῖα· λατρεύω, λατρεῖα.

ΧΛΔ. *Εἰς α λήγοντα καθαρὸν τὸ ο παραληγόμενα σπανία καὶ σχεδὸν ἀπὸ πάθους γεγόνασιν· ἔστιν γὰρ τὸ Ὄα, ὅπερ ἀπὸ τοῦ Ὤια διὰ τῆς ωι διφθόγγου· δηλοῖ δὲ δῆμον Ἀττικὸν, καὶ τοῦ χιτῶνος τὸ ἄκρον· ἔστιν δὲ καὶ τὸ χρόα ἀπὸ τοῦ χροιὰ γεγονὸς κατ' ἔλλειψιν*[o] *τοῦ ι· ὁμοίως καὶ τὸ στοὰ ἀπὸ τοῦ στοιά· ἴσως δὲ καὶ τὸ πόα ἡ βοτάνη ἀπὸ τοῦ ποῖα γέγονεν ἀποβολῇ τοῦ ι.*

ΧΛΕ. *Τὰ διὰ τοῦ οια δισύλλαβα βαρύτονά τε καὶ ὀξύτονα διὰ τῆς οι διφθόγγου γράφονται· οἷον, πτοῖα· Τροῖα· κοῖα· οἶα ἡ κομη· χροιά· τοιά· σεσημείωται τὸ ψύα διὰ τοῦ υ ψιλοῦ γραφόμενον, μήποτε καὶ αὐτὸ ἀπὸ τοῦ ψύη Δωρικῶς*[p] *εἰς α τέτραπται.*

ΧΛϚ. *Τὰ διὰ τοῦ υα ὑπὲρ δύο συλλαβὰς παροξύτονα διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, ὀξύα εἶδος ξύλου· τὰ γοῦν ἐξ αὐτοῦ κατασκευασθέντα διὰ τοῦ η, ὀξύη· οἰσύα· κωδύα τῆς μήκωνος ἡ κεφαλή· καρύα· ἰξύα· σιπύα· σικύα· μελανδρύα· Δατύα ἡ πόλις· ἰγνύα· ὀρύα Ἀρίσταρχος συστέλλει τὸ α, καὶ ἐκτείνει τὸ υ, καὶ προπαροξύνη*[q]*, ἐναλαγὴν τόνου πεποιηκὼς, ὡς φησὶν Ἡρωδιανός.*

ΧΛΖ. *Τὰ διὰ τοῦ ωα δισύλλαβα καὶ ὑπὲρ δύο συλλαβὰς διὰ τῆς ωι διφθόγγου γράφονται· οἷον, ᾧα ἡ μηλωτή· ἠῷα· προθυρῷα· ὑπερῷα· ταῦτα δὲ οὐ παρὰ πᾶσιν ἔχει τὸ ι· Κριῶα, ὄνομα δήμου Ἀττικοῦ· ψοθῷα ἡ ψῶρα.*

ΧΛΗ. *Τὰ διὰ τοῦ ερα τρισύλλαβα μονογενῆ μακροκατάληκτα, πρὸ τέλους ἔχοντα τὸν τόνον, διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, ἡμέρα· ἑσπέρα· διφθέρα· χολέρα· ὑπέρα· τρομέρα· ἀλέρα· κυδέρα· Θεσκέρα ἡ τιθηνὸς Διονύσου· τὸ γλυκερά· φοβερά· πενθερά· οὐ μονογενῆ, ὅμως καὶ οὕτως περὶ τόνον οὐ*

[o] Cod. ἔλληψιν. [p] MS. δωδικῶς. [q] Sic Cod.

περὶ τὴν γραφὴν διαφορά· πρόσκειται πρὸ τέλους ἔχοντα τὸν τόνον, διὰ τὸ χίμαιρα· μάχαιρα· ταῦτα γὰρ προπαροξύνεται, καὶ διὰ τῆς αι διφθόγγου γράφεται.

ΧΛΘ. Τὰ διὰ τοῦ ηρα δισύλλαβα βαρύτονα μακροκατάληκτα διὰ τοῦ η γράφονται· οἷον, θήρα· Ἥρα· σπηρα· πήρα ὁ θύλακος· τὸ σειρά· δειρὰ τὸ ἄκρον, ὀξύνονται, καὶ διὰ διφθόγγου γράφονται, ἀλλ' οὐκ ἀντίκεινται, ἐφυλάξατο γὰρ αὐτὰ ὁ κανών· τὸ Φηρὰ τὴν γραφὴν φυλάξαν τὸν τόνον ἤμειψεν.

ΧΜ. Τὰ διὰ τοῦ ια τρισύλλαβα μονογενῆ, μὴ ὄντα ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων, παραληγόμενα τῇ λι συλλαβῇ, διὰ τοῦ ι γράφονται· οἷον, φυλία· Μαλία, ὄνομα ὄρους· τηλία· ἁλία· πρόσκειται τρισύλλαβα διὰ τὸ ὠφέλεια· πρὸ τέλους ἔχοντα τὸν τόνον, διὰ τὸ θάλεια ἡ εὐωχία διὰ τῆς ει διφθόγγου γραφόμενον, καὶ προπαροξυνόμενον· πρόσκειται μὴ ὄντα ἀπὸ τῶν διὰ τοῦ ευω, διὰ τὸ δουλεύω, δουλεία, ἀλλὰ τὸ ἔχον ἀντιπαρακείμενον ῥῆμα οὐκ ἀντίκειται.

ΧΜΑ. Τὰ διὰ τοῦ ηρα μονογενῆ μακροκατάληκτα ὑπὲρ δύο συλλαβὰς, πρὸ τέλους ἔχοντα τὸν τόνον, διὰ τοῦ η γράφονται· οἷον, μερμήρα· ὀτρήρα· δασλῆρα· μενδῆρα.

ΧΜΒ. Τὰ εἰς ρα ὀξύτονα δισύλλαβα ὀξύτονα μονογενῆ ἀπὸ ῥημάτων γενόμενα, διὰ τοῦ ο μικροῦ γράφει τὴν παραλήγουσαν· οἷον, σπείρω, σπορά· φθείρω, φθορά· δείρω, δορά· θέρω, Θορὰ δῆμος Ἀττικός· φέρω, φόρα.

ΧΜΓ. Τὰ εἰς ρα δισύλλαβα μονογενῆ, οὐκ ἀπὸ ῥημάτων γενόμενα, βαρύτονα, διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, [ὀπῶρα· Φαλῶρα, ὄνομα πόλεως· πληθῶρα· ληθῶρα· αἰῶρα· νοβῶρα· τὸ θαλπωρά· ἐλπωρὰ, τὸν τόνον ἀμείψαντα τὴν γραφὴν ἐφύλαξεν· χῶρα·] ψῶρα· ὥρα, τό τε ψιλούμενον καὶ τὸ δασυνόμενον· φῶρα· πρῶρα· τοῦτο οἱ πλείους σὺν τῷ ι.

ΧΜΔ. Τὰ διὰ τοῦ ωρα ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ μονογενῆ μακροκατάληκτα, πρὸ τέλους ἔχοντα τὸν τόνον, διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, ὀπώρα· Φαλῶρα, ὄνομα πόλεως· πληθώρα· ληθώρα· αἰώρα· νοβώρα· τὸ θαλπωρά· ἐλπωρὰ, τὸν τόνον ἀμείψαντα τὴν γραφὴν ἐφύλαξαν.

ΧΜΕ. Τὰ εἰς ρα ῥηματικὰ μετ' ἐπιπλοκῆς συμφώνου, εἴωθεν τοῦ πρωτοτύπου λειψανόν τι τηρεῖν· οἷον, ὕω τὸ βρέχω· ὑγρά· ὕδρά· χέω, χύτρα· αἴθω, αἴθρα· μήσω, μήτρα· ξύω, ξύστρα· μύω, μύστρα· φαίνω, Φαῖδρα.

ΧΜϚ. Τὰ διὰ τοῦ οη θηλυκὰ καθαρὰ δισύλλαβα, προσηγορικά τε καὶ κύρια, ὀξύτονα καὶ βαρύτονα, διὰ τοῦ ο μικροῦ γράφει τὴν παραλήγουσαν· οἷον, φθόη· χλόη· χνόη ἡ χνυικὶς τοῦ ἅρματος· πνοή· ῥοή, λέγεται γὰρ καὶ διὰ τοῦ ο μικροῦ· χοή· βοή, τὸ ὀξύτονον· τὸ γὰρ περισπώμενον συνήρηται ἀπὸ τοῦ βοέα βοῆ, ὡς κυνέα κυνῆ· τραγέα τραγῆ· θόη τὸ βαρύτονον, οὕτω δὴ καὶ τὸ ὀξύτονον· νοῆ· Ὀὴ δῆμος Ἀττικός· σεσημείωται διὰ τοῦ ω μεγάλου, τὸ ζωή· θωὴ, ἡ ζημία· τοῦτο δὲ καὶ σὺν τῷ ι, ἐξ οὗ καὶ τὸ ἀθῷος.

ΧΜΗ. Τὰ διὰ τοῦ οη καθαρὰ ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ ο μικροῦ γράφει τὴν παραλήγουσαν· οἷον, ἀλόη· Μερόη· Φολόη, ὄνομα ὄρους· Χωλόη τὸ ὄρος τῆς Ἰταλίας ἐν ᾧ φασὶν γεννηθῆναι τὸν Ἥφαιστον χωλόν· οἰονόη· Κολόη· οἷς ὅμοιον καὶ τὸ ἀκοὴ κατὰ τὴν γραφὴν οὐ κατὰ τὸν τόνον· σεσημείωνται διὰ τοῦ ω μεγάλου γραφόμενα· τὸ ἐρωή· ἰωή· ἀλῴη, τοῦτο δὲ ἀπὸ τοῦ ἀλλοιῶ ῥήματος γεγονὸς σὺν τῷ ι γράφεται.

ΧΜΘ. Τὰ διὰ τοῦ οιβη δισύλλαβα, εἴτε κύρια, εἴτε προσηγορικὰ, διὰ τῆς οι διφθόγγου γράφονται, κἂν βαρύτονα εἴη, κἂν ὀξύτονα· οἷον, Φοίβη· Βοίβη· λοιβή· στοιβή· οἷς ὅμοιον καὶ τὸ ἀμοιβὴ τρισύλλαβον.

ΧΝ. Τὰ διὰ τοῦ ηβη δισύλλαβα βαρύτονα διὰ τοῦ η γράφει τὴν πρὸ τέλους· οἷον, Ἥβη· Θήβη· σεσημείωται τὸ στίβη διὰ μακροῦ τοῦ ι, καὶ τὸ λώβη διὰ τοῦ ω μεγάλου.

ΧΝΑ. Τὰ διὰ τοῦ υβη ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ υ ψιλοῦ γραφόμενα σπάνια· οἷον, καλύβη· Ἀλύβη· τὸ ἀμοιβὴ μόνον διὰ τῆς οι διφθόγγου, καὶ ὀξύνεται.

ΧΝΒ. Καθόλου τὰ διὰ τοῦ υγη, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς, τὸ υ ψιλὸν παραλήγεται, εἴτε βαρύτονα, εἴτε ὀξύτονα· οἷον, τρύγη· Ὕγη ἡ πόλις· πυγή· ἠλύγη· μαρμαρυγή· κορκορυγή· βορβορυγή· ὀλολυγή· ὠρυγὴ ἡ κραυγή.

ΧΝΓ. Τὰ διὰ τοῦ ωγη ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, ἀρωγή· οἰμωγή· ἀνωγή· ὑπιωγή· τὸ ἁρμογὴ μόνον διὰ τοῦ ο.

ΧΝΔ. Τὰ διὰ τοῦ εδη δισύλλαβα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, πέδη· Νέδη.

ΧΝΕ. Τὰ διὰ τοῦ ιδη δισύλλαβα διὰ τοῦ ι γράφονται· οἷον, κνίδη· Σίδη· χλίδη· Ἴδη τὸ ὄρος· τὸ Λήδη· Μήδη, σεσημείωται τὸ η παραληγόμενα.

ΧΝϚ. Τὰ διὰ τοῦ υδη δισύλλαβα διὰ τοῦ υ ψιλοῦ γράφονται, οἷον, ὕδη· πύδη.

ΧΝΖ. Τὰ εἰς θη δισύλλαβα βραχεῖα φύσει παραληγόμενα σπάνια· οἷον, μέθη· πόθη· τὸ Αἴθη διὰ τῆς αι διφθόγγου γράφεται, ἔστι δὲ ὄνομα κύριον.

ΧΝΗ. Τὰ εἰς θη δισύλλαβα τὸ η παραληγόμενα σπάνια, κἂν τε βαρύνοιντο, κἂν τε ὀξύνοιντο· οἷον, λήθη· ἐπί τε τοῦ προσηγορικοῦ καὶ τῆς πολέως· σήθη· πλήθη.

ΧΝΘ. Τὰ εἰς θη λήγοντα δισύλλαβα τὸ ι παραληγόμενα σπάνιά εἰσιν· οἷον, Σίθη, ὄνομα κύριον βαρύτονον, καὶ τὸ κριθὴ ὀξύτονον.

ΧΞ. Τὰ εἰς θη λήγοντα ὑπὲρ δύο συλλαβὰς σπάνια πάνυ, καὶ πρὸς κανονικὴν συναρμογὴν ἀκατάλληλα· ἔστι γὰρ τὸ Ληκύθη ἡ πόλις, τὴν ἄρχουσαν ἔχον διὰ τοῦ η, καὶ τὴν μετ' αὐτὴν διὰ τοῦ υ ψιλοῦ, καὶ τὸ Λυκέθη, ὄνομα κύριον· τὴν μὲν ἄρχουσαν ἔχον διὰ τοῦ υ ψιλοῦ· ἔστιν δὲ καὶ τὸ κακιθὴ ὀξύτονον τὸ ι παραληγόμενον· ὅθεν ταύτῃ ἱστορία φέρειν παραχωροῦμεν.

ΧΞΑ. Τὰ διὰ τοῦ ικη δισύλλαβα μονογενῆ διὰ τοῦ ι γράφονται· οἷον, νίκη· δίκη· φρίκη· σεσημείωται τὸ βήκη διὰ τοῦ η γραφόμενον, καὶ ἴσως παρὰ τὸν βήσω μέλλοντα, ὡς καὶ παρὰ τὸν θήσω θήκη, καὶ τὸ φώκη διὰ τοῦ ω μεγάλου.

ΧΞΒ. Τὰ διὰ τοῦ ικη ὑπὲρ δύο συλλαβὰς μονογενῆ διὰ τοῦ ι γράφονται· οἷον, Ἑλίκη· Φοινίκη· μυρίκη· Κυζίκη· μόνον τὸ ἐρείκη διὰ τῆς ει διφθόγγου· ἔστιν δὲ εἶδος φυτοῦ· τὸ ἀϊκὴ ἐν τόνῳ διαλλάξαν τὴν γραφὴν ἔσχεν ἀπαράλλακτον, ὀξύνε-

ται γάρ· τὸ γραμματική· μουσικὴ, καὶ εἴτι ὅμοιον ὡς κτητικὰ ὀξύνεται, καὶ τὸ ι παραλήγεται.

ΧΞΓ. Τὰ διὰ τοῦ ιση ἀπὸ ἀρσενικῶν γεγενημένα, διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν· οἷον, παιδίσκη· λεκανίσκη· στεφανίσκη.

ΧΞΔ. Τὰ εἰς κη κτητικὰ ἀπὸ τῶν εἰς κος κτητικῶν παρηγμένα, τὴν αὐτὴν τῷ ἀρσενικῷ φυλάττει γραφὴν τὸ θηλυκὸν κατὰ τὴν παραλήγουσαν· οἷον, μυστικὸς, μυστική· βοεικὸς, βοεική.

ΧΞΕ. Τὰ διὰ τοῦ υκη ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ υ ψιλοῦ γράφει τὴν πρὸ τέλους· καλύκη· ζαμβύκη· ἰαμβύκη· σαμβύκη· Ἰτύκη· Ἐρύκη ἡ πόλις· καρύκκη ἡ διὰ δισσοῦ τοῦ κ· ἔστιν δὲ εἶδος βρώματος ἐκ πολλῶν ἐδεσμάτων συνεστός.

ΧΞϚ. Τὰ διὰ τοῦ ωκη ὑπὲρ δύο συλλαβὰς τὸ ω παραληγόμενα σπάνια· ὀξύτονα μὲν γάρ εἰσι δύο· ἀκωκὴ καὶ ἰωκὴ, καὶ τὸ Ἐώκη βαρύτονον· ἔστιν δὲ ὄνομα πόλεως.

ΧΞΖ. Τὰ διὰ τοῦ ελη δισύλλαβα διὰ τοῦ ε ψιλοῦ· οἷον, ἕλη· Πέλη, πόλις Θετταλίας[r]· Ζέλη· κελή· τοῦτο τὴν γραφὴν φυλάξαν τὸν τόνον ἤμειψεν· ὀξύνεται γάρ.

ΧΞΗ. Τὰ διὰ τοῦ ηλη δισύλλαβα τὸ η παραλήγεται· μήλη· στήλη· πήλη· κήλη· οἷς ὅμοια κατὰ γραφὴν οὐ κατὰ τόνον, τὸ Χηλή· θηλὴ ὀξύτονα.

ΧΞΘ. Τὰ διὰ τοῦ ολη, ἀπὸ τροπῆς τοῦ ε ἢ τοῦ α εἰς ο γινόμενα, διὰ τοῦ ο μικροῦ γράφονται· οἷον, στέλλω, στολή· τέλλω, τολὴ, καὶ ἐντολή· βάλλω, βολὴ, καὶ ἐμβολή· χέω, χολή· κωλῆ οὐχ οὕτως ἔχον, διὰ τοῦ ω μεγάλου γράφεται, καὶ περισπᾶται, ὡς καὶ τὸ Νῶλα εἰς λ λῆγον προπερισπᾶται.

ΧΟ. Τὰ διὰ τοῦ υλη δισύλλαβα μονογενῆ διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, ὕλη· πύλη· μύλη· τύλη· φύλη· πρόσκειται μονογενῆ, διὰ τὸ κοῖλος κοίλη, διὰ τῆς οι διφθόγγου γραφόμενα.

ΧΟΑ. Τὰ διὰ τοῦ ειλη δισύλλαβα τῇ ει διφθόγγῳ παραληγόμενα σπάνια· τὸ εἵλη γὰρ καὶ δείλη βαρύτονα μονογενῆ, καὶ τὸ σμιλὴ ὀξύτονον διὰ τοῦ ι.

[r] Cod. θεταλίας.

ΧΟΒ. Τὰ διὰ τοῦ ελη ὑπὲρ δύο συλλαβὰς μονογενῆ διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, Σεμέλη· Θυμέλη· ἀγέλη· Κυβέλη· ὑβέλη· νεφέλη· μακέλη· κυψέλη· πιμέλη διὰ μακροῦ τοῦ ι.

ΧΟΓ. Τὰ διὰ τοῦ ηλη ὑπὲρ τρεῖς συλλαβὰς βαρύτονα διὰ τοῦ η γράφονται· οἷον, Καθήλη ἡ πόλις· Γαβήλη, πόλις Φοινίκης· καπήλη· νοθήλη· ὀπήλη· κωβήλη ἡ συνουσία· ξυήλη· στυμφήλη· βαρβήλη· κιχήλη· τὸ γαμφηλὴ, καὶ θυηλὴ ἡ ἐκ θυμάτων μαντεῖα σεσημείωνται ὀξυνόμενα· σεσημείωται καὶ τὸ σπατίλη τὸ ἀπόξυσμα τῶν δερμάτων, καὶ τῆς γαστρὸς ἡ ὑδατώδης φορά· μαρίλη ἡ θερμὴ σποδός· μυστίλη ὁ κοῖλος ἄρτος· πραδίλη· βασίλη ἡ βασιλὶς, διὰ τοῦ ι γραφόμενα· καὶ τὸ ὠτειλὴ ὀξυνόμενον, καὶ διὰ τῆς ει διφθόγγου γραφόμενον, γεγονὸς ἀπὸ τοῦ οὐτήσω, οὐτηλὴ, τροπῇ τῆς ου[8] διφθόγγου εἰς ω, καὶ τοῦ η εἰς τὴν ει δίφθογγον Βοιωτιακῶς, ὡς πένης, πένεις· καὶ διὰ τὸ παρ' Αἰωλεῦσιν ὠτέλλη λέγεσθαι.

ΧΟΔ. Τὰ διὰ τοῦ ολη ὑπὲρ δύο συλλαβὰς βαρύτονα διὰ τοῦ ο μικροῦ γράφονται· οἷον, Ὁμόλη τὸ ὄρος· Ἰόλη· ἀβόλη· τριβόλη· θερσόλη· ἀπαιόλη ἡ ἀπάτη· σεσημείωται τὸ ἐριώλη διὰ τοῦ ω μεγάλου γραφόμενον.

ΧΟΕ. Τὰ διὰ τοῦ υλη ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, κρωδύλη· κορδύλη· κοτύλη· ἀρβύλη· σταφύλη· γογγύλη· ἡδύλη· κροκύλη· ἀγρύλη· ἀγκύλη.

ΧΟϚ. Τὰ διὰ τοῦ ωλη ὀξύτονα ὑπὲρ δύο συλλαβὰς ἀπὸ ῥημάτων γινόμενα διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, παυσωλή· τερπωλή· θερμωλή· γαμψωλή· εὐχωλή· χαριτωλή· μεμφωλή· θεραπωλή· ἀδμωλή· τὸ ἐριώλη βαρυνόμενον τὴν γραφὴν φυλάξαν τὸν τόνον ἤμειψεν.

ΧΟΖ. Τὰ εἰς μη δισύλλαβα, ἔχοντα ἐν τῇ πρώτῃ συλλαβῇ τὸ υ, μεθ' οὗ ἐστὶ δύο σύμφωνα, ἀπὸ ῥημάτων γενόμενα, διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷαν, νυγμή· ξυσμή· πυγμή· δυσθμή.

ΧΟΗ. Τὰ εἰς μη ἔχοντα πρὸ τοῦ μ σύμφωνον κατὰ σύλληψιν,

[8] Cod. ο.

ἢ κατὰ διάστασιν, ἢ βραχεῖ, ἢ βραχυνομένῳ φωνήεντι παραλήγεται· σεσημειωμένον ἡ αἰχμὴ διὰ τῆς αι διφθόγγου γραφόμενον· ἔστι γὰρ σύνθετον παρὰ τὸ αἷμα χεῖν· οἷον, λίχμη· δεσμή· ἐφετμή· αὐτμή· Μεδμή· ἰθμή· δυθμή· λόχμη· δόχμη· Θέρμη· λόγχη· τόλμη· σπέρμη· σέλμη.

ΧΟΘ. Τὰ εἰς μη δισύλλαβα ἀπὸ ῥημάτων γινόμενα διὰ τοῦ ο γράφει τὴν πρὸ τέλους· νέμω, νομή· τέμνω, τομή· δέμω, δομή, καὶ οἰκοδομή· τὸ κώμη παρώνυμον, παρὰ γὰρ τὸ κόσμος κόσμη, καὶ ἀποβολῇ τοῦ σ κόμη· κόσμος γὰρ τῆς κεφαλῆς ἡ κόμη.

ΧΠ. Τὰ εἰς μη δισύλλαβα βαρύτονα διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, λύμη· ῥύμη· Κύμη ἡ πόλις· Δύμη· Στρύμη· τρύμη ἡ ταλαιπωρία· ζύμη· τὸ κοίμη ἐπὶ τοῦ ὕπνου, ἐξ οὗ καὶ τὸ κοιμῶ κοιμαῖς διὰ τῆς οι διφθόγγου· ἀπὸ γὰρ τοῦ κείομαι κεῖμαι κοίμη, ὡς καὶ ἀπὸ τοῦ οἶμος οἴμη.

ΧΠΑ. Τὰ διὰ τοῦ ημη δισύλλαβα βαρύτονα τὸ η παραλήγεται· οἷον, μνήμη· φήμη· κνήμη· χήμη· τούτοις ἀκόλουθον καὶ τὸ τιμὴ ὀξυνόμενον τὸ προσηγορικόν· τὸ γὰρ κύριον βαρύνεται· ἀμφότερα δὲ διὰ τοῦ ι γράφεται.

ΧΠΒ. Τὰ εἰς μη ὑπὲρ δύο συλλαβὰς μονογενῆ τὸ η παραλήγεται· οἷον, νοσίμη· θελήμη· φιλήμη, οὕτως ἡ φιλία.

ΧΠΓ. Τὰ διὰ τοῦ ωμη δισύλλαβα βαρύτονα, διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, ῥώμη· γνώμη· κώμη, ἡ πόλις· Ἰθώμη τρισύλλαβον· βρώμη.

ΧΠΔ. Τὰ εἰς νη δισύλλαβα, ἔχοντα τὴν πρὸ τοῦ ν εἰς τὴν ερ συλλαβὴν καταλήγουσαν, διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, Λέρνη ἡ κρήνη· Κέρνη ὁ λιμήν· πτέρνη· Πέρνη ἡ πολις· οἷς ὅμοιον καὶ τὸ φερνὴ ὀξύτονον.

ΧΠΕ. Τὰ διὰ τοῦ ενη δισύλλαβα μονογενῆ τὸ ε παραληγόμενα δύο ἐστίν· θένη, καὶ ἔνη, καὶ ἐν πλεονασμῷ τοῦ υ εὔνη· γέγονεν γὰρ ἀπὸ τοῦ εἷς ἑνὸς, ὃ δηλοῖ τὸν ἀριθμὸν, ὡς εἶπον, ἕνη καὶ εὔνη, ψιλουμένης τῆς ευ διφθόγγου· ἐπεὶ τὸ ευ πλεονάζον ψιλοῖ τὰ πρὸ ἑαυτοῦ φωνήεντα· ἔκηλος εὔκηλος· ἔαδε εὔαδε, καὶ τὰ ἑξῆς.

ΧΠϚ. Τὰ διὰ τοῦ ενη ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ ε τὸ λ ἢ τὸ μ διὰ τοῦ ε ψιλοῦ γράφονται· ὠλένη· Ἑλένη· καυμένη· φυμένη· Κτημένη· δυναμένη· ἐλπομένη.

ΧΠΖ. Τὰ διὰ τοῦ ηνη μονογενῆ δισύλλαβα βαρύτονα τὸ η παραλήγεται· Ῥήνη, ὄνομα κύριον· Σήνη ἡ πόλις· Οὐχηουήνη· φήνη εἶδος ὀρνέου· μήνη ἡ σελήνη· χήνη, ἔνθεν καὶ καταχήνη τὸ γέλασμα· κρήνη· γλήνη· λήνη· τὸ σκηνὴ μόνον τὸν τόνον ἤμειψεν καὶ τὴν γραφὴν ἐφύλαξεν· τὸ ῥινὴ τὸ ἐργαλίον διὰ τοῦ ι γραφόμενον καὶ ὀξυνόμενον, μόνον καὶ τόνῳ καὶ γραφῇ διήλλαξεν.

ΧΠΗ. Τὰ διὰ τοῦ ηνη τρισύλλαβα μονογενῆ βαρύτονα τὸ η παραλήγεται· οἷον, εἰρήνη· σαγήνη· Ἀρήνη· ἀθήνη εἶδος μελίσσης· Μεσσήνη· Πελλήνη· πυλήνη· γαλήνη· Μυκήνη· Λευκήνη· Πριήνη· Κυλλήνη· τιθήνη· Πειρήνη ἡ πόλις· Κισθήνη ἡ πόλις· Σιδήνη· Ἰσμήνη ἡ ἡρωῒς, ἔστιν δὲ καὶ πόλις Βοιωτίας· συβήνη· ἀπήνη· Κυρήνη· Χαλδήνη, ὄνομα κύριον· Καβήνη ἡ κρήνη Λυκίας· Σεδήνη ἡ Ἀμαζών· τὸ Γερμηνὴ τὴν αὐτὴν γραφὴν φυλάττον ὀξύνεται.

ΧΠΘ. Τὰ διὰ τοῦ ηνη ὑπὲρ τρεῖς συλλαβὰς ὀξύτονα διὰ τοῦ η γράφει τὴν παραλήγουσαν· οἷον, Ἀτραμυτηνή· Καμασσηνή· Κομμαγηνή· Κοδρομηνή· Παραστακηνή· Μελητηνὴ, ὄνομα πόλεως· Σιπυληνὴ ἡ Δημήτηρ· τὸ Μιτυλήνη βαρυτονηθὲν τὴν αὐτὴν φυλάττει γραφήν· λέγεται δὲ καὶ Μιτυλήνη· Πακτυήνη· Δινδυμήνη.

ΧϘ. Τὰ διὰ τοῦ ινη δισύλλαβα διὰ τοῦ ι γραφόμενα τὴν παραλήγουσαν ὀλίγιστά εἰσιν· ἔστιν γὰρ τὰ δίνη ἡ συστροφή· κλίνη· ῥίνη ὁ ἰχθύς· Βίνη ἡ πόλις· ῥινὴ τὸ ἐργαλεῖον τοῦ χαλκέως· σεσημείωται τὸ πείνη ὁ λιμὸς διὰ τῆς ει διφθόγγου γραφόμενον· λέγεται δὲ καὶ πεῖνα διὰ τοῦ α.

ΧϘΑ. Τὰ διὰ τοῦ ινη μονογενῆ ὑπὲρ δύο συλλαβὰς βαρύτονα τὸ ι παραλήγεται· οἷον, Ἀσίνη ἡ Ἑρμιόνη· σατίνη· εἰλαπίνη· μυρσίνη· Μολυβδίνη ἡ πόλις· Ματίνη· κηρυκίνη· θριδακίνη· φίνη· ἀριγίνη· ἐριγίνη· ἡρωΐνη· δωτίνη· Αἰητίνη·

Ἀδρηστίνη[t] Εὐηνίνη· Μενεκίνη ἡ πόλις· μελίνη κέγχρος· χοιρίνη ἡ δικαστικὴ ψῆφος[u]· Καρίνη ἡ πόλις· Ὑρμίνη· ὑσμίνη· Εὐκολίνη· Λογίνη· τὸ ἐχινῆ ἀπὸ τοῦ ἐχινέα συναιρεθὲν περισπᾶται.

ΧϞΒ. Τὰ εἰς νη δισύλλαβα μονογενῆ βαρύτονα ἔχοντα τὴν οι δίφθογγον πρὸ τοῦ ν ὀλίγιστά ἐστιν· οἴνη ἡ ἄμπελος καὶ ὁ ἐν τοῖς βόλοις κενός· θοίνη ἡ τροφή· οἷς ὅμοιον καὶ τὸ ποινὴ, οὐ κατὰ τόνον ἀλλὰ κατὰ γραφὴν, ὀξύνεται γάρ· γέγονεν δὲ παρὰ τὸ φόνος φονὴ, καὶ πλεονασμῷ τοῦ ι, καὶ τροπῇ τοῦ φ εἰς π ποινή· ἢ παρὰ τὸ πόνος, πονὴ, καὶ ποινή.

ΧϞΓ. Τὰ διὰ τοῦ οινη ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ ν τὴν οι δίφθογγον, οὐκ εἰσὶν γνήσια· τὸ μὲν γὰρ ἀγκοίνη βαρυνόμενον παρὰ τὴν ἀγκῶνος γενικὴν πεποιημένον, τροπὴν ἔσχεν τοῦ ω εἰς τὴν οι δίφθογγον· τὸ δὲ οἰνὴ[x] ὀξυνόμενον καὶ αὐτὸ τροπὴν ἔσχεν τοῦ ω εἰς τὴν οι δίφθογγον· ὤφειλεν γὰρ εἶναι μενωνή· τὰ γὰρ εἰς η λήγοντα θηλυκὰ ἀπὸ ῥημάτων γινόμενα, ἔχοντα ἐν τῇ τελευταίᾳ καὶ τῇ πρὸ αὐτῆς τὸ αὐτὸ σύμφωνον ἢ ἀντίστοιχον, τὸ ω μεγάλῳ παραλήγεται· ὁ δὲ λόγος ἐπὶ τρισυλλάβου· οἷον, ἀγωγὴ ἔδει εἶναι, καὶ γέγονεν ἀγωγή· ὁμοίως, ἔδω, ἐδωδή· ὄζω, ὀδωδή· ὄπτω, ὠπὴ, ὀπωπή· ἔχω, ὀχὴ, ὀκωχή· ἥκω, ἀκὴ, ἀκωκή· οὕτω μένω τὸ προθυμοῦμαι, μενὴ μενωνὴ, εἰ καὶ μὴ τὸ αὐτὸ σύμφωνον ἢ καὶ ἀντίστοιχον ἔχει ἐν τῇ τελευταίᾳ, καὶ τῇ πρὸ αὐτῆς συλλαβῇ· καὶ ἴσως ὡς κατὰ τοῦτο γέγονεν τροπῇ τοῦ ω εἰς τὴν οι δίφθογγον μενοινή· παρατηρήσεις γὰρ τοῦτο ὅτι τὰ οὕτω διπλασιασθέντα ἀπὸ φωνήεντος ἤρχετο· οἷον, ἀγωγή· ἀκωκή· ἐδωδή· τὸ δὲ μενοινὴ μόνον ἀπὸ συμφώνου· καὶ ἐπεὶ παρήλλαξεν κατὰ τὴν ἄρχουσαν πρὸς τὰ προκείμενα, παρήλλαξεν καὶ περὶ τὴν παραλήγουσαν· οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου.

ΧϞΔ. Τὰ διὰ τοῦ ονη δισύλλαβα ἁπλᾶ ἀπὸ ῥημάτων γινόμενα διὰ τοῦ ο μικροῦ γράφει τὴν παραλήγουσαν· οἷον, μένω,

t Cod. ἀδριστίνη. u Cod. ψῖφος. x Leg. μενοινή.

μονή· φένω, φονή· ἐξ οὗ τὸ φονῶ, φονᾶς· γείνω, γονή· πρόσκειται ἁπλᾶ, τὸ γὰρ φωνὴ σύνθετον ὂν διὰ τοῦ ω γράφεται· παρὰ γὰρ τὸ φῶς φωνὴ, ἡ ἐν τῷ νῷ φωτίζουσα κατὰ ἀποβολὴν τοῦ σ.

ΧϘΕ. Τὰ διὰ τοῦ ονη ὑπὲρ δύο συλλαβὰς, εἴτε βαρύτονα, εἴτε ὀξύτονα διὰ τοῦ ο μικροῦ γράφονται· οἷον, Ἀντιγόνη· Καλλιγόνη· Ἑρμιόνη· Ἀλκυόνη· Πληϊόνη· Ἠριγόνη· αὐόνη· πλησμόνη· καλλόνη· ἡδόνη· χαρμόνη· οὕτω δὴ καὶ στρομόνη καὶ κατὰ συγκοπὴν στρομνή.

ΧϘϚ. Τὰ διὰ τοῦ υνη δισύλλαβα βαρύτονα διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, βύνη· μύνη· Φρύνη· ταῦτα διὰ τοῦ υ μακροῦ· τὸ γυνὴ τὴν γραφὴν φυλάξαν τὸν τόνον καὶ τὸν χρόνον ἤμειψεν· σεσημείωται τὸ ποινὴ διὰ τῆς οι διφθόγγου γραφόμενον.

ΧϘΖ. Τὰ διὰ τοῦ υνη ὑπὲρ δύο συλλαβὰς βαρύτονα διὰ τοῦ υ βραχέος γράφεται· οἷον, δελφύνη· αἰσχύνη· χελύνη· τορύνη· ὀδύνη· Ταμύνη· σιγύνη· κορύνη.

ΧϘΗ. Τὰ διὰ τοῦ οσυνη καθόλου διὰ τοῦ υ ψιλοῦ γράφεται, καὶ τὴν τρίτην ἀπὸ τέλους ἔχει, εἰ μὲν ἡ πρὸ αὐτῆς ἐστὶν βραχεῖα, διὰ τοῦ ω μεγάλου· οἷον, ἁγιωσύνη· μεγαλωσύνη· εἰ δὲ μακρὰ, διὰ τοῦ ο μικροῦ· οἷον, χαρμοσύνη· δικαιοσύνη· εὐφροσύνη.

ΧϘΘ. Τὰ διὰ τοῦ ωνη δισύλλαβα μονογενῆ, μὴ ἀπὸ ῥημάτων γενόμενα, διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, φωνή· ὠνή· χώνη· ζώνη· γρώνη· μνώνη· πρόσκειται μὴ ἀπὸ ῥημάτων γινόμενα διὰ τὸ μένω μονή· σεσημείωται τὸ σμώνη ἡ τοῦ ἀνέμου πλήγη, ἀπὸ τοῦ σμω ῥήματος γενόμενον, καὶ διὰ τοῦ ω μεγάλου γραφόμενον· τοῦ δὲ σμῶ ὁ μέλλων σμώσω, καὶ ἐν παραγωγῇ σμώζω, ἐξ οὗ σμῶδιξ ἡ ὕφαιμος πληγή.

Ψ. Τὰ διὰ τοῦ ωνη ὑπὲρ δύο συλλαβὰς βαρύτονα διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, Δωδώνη· Μεθώνη· Μοθώνη· μελεδώνη· Ἰτώνη· ἐντεριώνη· χελώνη τό τε ζῶον καὶ ὁ στέφανος· ἀτρυτώνη· Ἀκρισιώνη· Ἠλεκτρυώνη· Ἠϊώνη, πόλις Βοιωτίας· Ἀμυμώνη· Ἠριώνη· Διώνη· Μηκώνη· Ἀργειώνη, οὕτως ἡ Ἑλένη· ῥαστώνη· διώνη· χιτώνη· ἠλώνη· μηθώνη·

κολώνη· γρουθώνη· Γυρτώνη· Ἰζώνη ἡ πόλις· χρυσώνη ἡ πληγή· τὸ Ἀξωνὴ[y] τὴν γραφὴν φυλάξαν τὸν τόνον ἤμειψεν, ὀξύνεται γάρ.

ΨΑ. Εἰς ξη λήγοντα θηλυκὰ οὐκ ἔστιν εὑρεῖν, εἰ μὴ μόνον τὸ αὐξὴ, καὶ αὐτὸν ἀμφίβολον περὶ τόνον· οἱ μὲν γὰρ βαρυτονοῦσιν, λέγοντες αὐτὸ ἀπὸ τοῦ αὔξησις ἀποκεκόφθαι· Ἡρωδιανὸς δὲ συνηγορεῖ τοῖς ὀξύνουσιν, κἂν ἡμεῖς τὰ τῆς συνηγορίας ἐκκλίνομεν διὰ τὸ σύντομον, οὐδὲ γὰρ περὶ τόνων γράφειν ὡρμήμεθα.

ΨΒ. Τὰ διὰ τοῦ οπη δισύλλαβα ἀπὸ ῥημάτων γενόμενα ὀξύτονα διὰ τοῦ ο μικροῦ γράφονται· οἷον, τρέπω, τροπή· ῥέπω, ῥοπή· ἔπω τὸ φαίνω, ὀπὴ, διὸ καὶ ψιλοῦται· ἐπὶ γὰρ τὸ ἀκολουθῶ δασύνεται· κλέπτω, κλοπή.

ΨΓ. Τὰ διὰ τοῦ οπη ὑπὲρ δύο συλλαβὰς κύρια βαρύτονα διὰ τοῦ ο μικροῦ γράφονται· οἷον, Καλλιόπη· Ἀντιόπη· Μερόπη· Στερόπη· ἐνοπὴ τὴν γραφὴν φύλαξαν τὸν τόνον ἤμειψεν· τὸ Σινώπη· Εὐρώπη· Κερκώπη· Μετώπη ὁ ποταμός· Κασσιώπη· κύρια, σεσημείωται διὰ τοῦ ω μεγάλου γραφόμενα· ὁμοίως καὶ τὰ Κασώπη ἡ πόλις· τὸ σιωπή· ἐνωπή· ἐσωπή· περιωπὴ, οὐ κύρια καὶ ὀξύτονα, καὶ σεσημείωται διὰ τοῦ ω μεγάλου γραφόμενα.

ΨΔ. Τὰ διὰ τοῦ υπη, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς, εἴτε ὀξύτονα, εἴτε βαρύτονα μονογενῆ, διὰ τοῦ υ ψιλοῦ γράφεται· οἷον, λύπη· γύπη· κύπη εἶδος πλοίου· τυπὴ ὀξυτόνως· Ἀρυπὴ ἡ πόλις· λατυπὴ ὀξυτόνως· χαμαιτυπή· τὸ λύπη βαρυτόνως· πρόσκειται μονογενῆ, διὰ τὸ λοιπὴ ὀξυνόμενον, καὶ διὰ τῆς οι διφθόγγου γραφόμενον, τριγενὲς γάρ.

ΨΕ. Εἰς πη λήγοντα δισύλλαβα βαρύτονα ἑνὶ τῶν φύσει μακρῶν παραληγόμενα ὀλίγιστά ἐστιν, καὶ σημειώδη, καὶ οὐ κανονικῆς τεχνολογίας ἐχόμενα· ἔστιν γὰρ τὸ σήπη διὰ τοῦ η· καὶ τὸ κώπη· λώπη· διὰ τοῦ ω· ἔστιν δὲ καὶ τὸ σκέπη μονῆρες διὰ τοῦ ε· καὶ τὸ ῥιπη διὰ τοῦ ι· τοῦτο δὲ τὸ Ῥίπη ἐπὶ μὲν τῆς πόλεως βαρύνεται, ἐπὶ δ' ἄλλης σημα-

[y] Leg. Αἰξωνή.

σίας ὀξύνεται· ῥιπὴ γὰρ ὀξυτόνως, ὅθεν δοκεῖ ὁ ἥλιος ἀνατέλλειν καὶ δύνειν.

ΨϚ. Εἰς ρη λήγοντα κυρίως, μὴ ἀπὸ Ἰωνικῆς διαλέκτου κατὰ τροπὴν τοῦ α εἰς η γενόμενα, ἄγαν ὀλίγιστά ἐστιν· διὰ γὰρ ἑνὸς τῶν φύσει βραχέων παραληγόμενα δύο ἐστίν· τὸ κόρη· δέρη· δισύλλαβα· καὶ τῷ υ ψιλῷ παραληγόμενα δύο· δισύλλαβον μὲν τὸ Κύρη ἐπὶ τῆς κρήνης· τρισύλλαβον δὲ τὸ Ἐφύρη ἐπὶ τῆς πόλεως.

ΨΖ. Εἰς ση ληγόντα καθαρὸν οὐκ ἔστιν εὑρεῖν, εἰ μὴ τὸ Χρύση ἡ πόλις διὰ τοῦ υ ψιλοῦ· καὶ τὸ λίση, καὶ βισσὴ ὀξύτονον ἐν δισυλλάβοις· ὑπὲρ δὲ δύο συλλαβὰς τὸ ε παραληγόμενα, τὸ Γενέση ἐπὶ τῆς πόλεως, καὶ Τεμέση.

ΨΗ. Τὰ διὰ τοῦ ητη θηλυκὰ μονογενῆ βαρύτονα, δισύλλαβά, τε καὶ ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ η γράφει τὴν παραλήγουσαν· οἷον, ἥτη· Ἀρήτη· Λήτη ἡ πόλις· ἀήτη· τὸ λιτὴ οὐ μάχεται ὀξύτονον διὰ τοῦ ι γραφόμενον αὐτὸ ὁ κανών· τὸ Ἀφροδίτη οὐ μονογενὲς, διὸ καὶ αὐτὸ παραφυλακτεόν.

ΨΘ. Τὰ διὰ τοῦ ετη ἅπαντα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, τηλυγέτη· δρεμέτη· ὠκυπέτη· Δαμαρέτη· τελετή· οἷς ἀκόλουθον καὶ τὸ βιοτὴ διὰ τοῦ ο μικροῦ γραφόμενον· τὸ χαίτη· βαίτη ἡ διφθέρα[y]· δαίτη· σεσημείωται διὰ τῆς αι διφθόγγου γραφόμενα.

ΨΙ. Τὰ διὰ τοῦ ιτη ὑπὲρ δύο συλλαβὰς κύρια βαρύτονα διὰ τοῦ ι γράφονται· οἷον, Μελίτη· Ἀφροδίτη.

ΨΙΑ. Τὰ διὰ τοῦ υτη ὑπὲρ δύο συλλαβὰς σπάνια, ἀλλ' οὖν διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, ἀϋτὴ ἡ βοή[z]· πινυτή.

ΨΙΒ. Τὰ διὰ τοῦ οιτη δισύλλαβα βαρύτονα διὰ τῆς οι διφθόγγου γράφονται· Λοίτη· Προίτη ἡ πόλις· Οἴτη· κοίτη· δροίτη ἡ πύελος· τὸ λυτὴ διὰ τοῦ υ ψιλοῦ γραφόμενον οὐκ ἀντίκειται ὀξύτονον ὄν.

ΨΙΓ. Τὰ διὰ τοῦ ωτη ὑπὲρ δύο συλλαβὰς, κύριά τε καὶ προσηγορικὰ, βαρύτονά τε καὶ ὀξύτονα, ἁπλᾶ μονογενῆ διὰ τοῦ ω μεγάλου γράφονται· Κριθωτὴ ἡ πόλις· Περκωτὴ ἡ πόλις·

y Cod. διφθαίρα. z Cod. βαή.

Γεφυρωτὴ ἡ πόλις· Γιγγλυμωτὴ ἡ πόλις· μηλωτή· κηρωτή· πρόσκειται ἁπλᾶ μονογενῆ, διὰ τὸ Θεόδοτος, Θεοδότη διὰ τοῦ ο γραφόμενον, σύνθετον ὂν καὶ τριγενές.

ΨΙΔ. Τὰ διὰ τοῦ υφη μονογενῆ διὰ τοῦ υ βραχέος γράφει τὴν παραλήγουσαν, ποσότητος συλλαβῶν μὴ τηρουμένης· οἷον, δρυφή· γλυφή· κορυφή· σεσημείωται τὸ ἀλοιφή.

ΨΙΕ. Τὰ διὰ τοῦ ιφη μονογενῆ βαρύτονα διὰ τοῦ ι γράφονται· οἷον, Σίφη ἡ πόλις· ἀγρίφη ἡ σκάφη· τὸ κνήφη· ἀκαλήφη ἡ κνίδη, σεσημείωνται διὰ τοῦ η γραφόμενα.

ΨϚΙ. Τὰ διὰ τοῦ υχη δισύλλαβα μονογενῆ διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, ψυχή· βρυχή· πτυχή· οἷς ὅμοιον κατὰ τὴν γραφὴν οὐ κατὰ τὸν τόνον τὸ τύχη.

ΨΙΖ. Τὰ διὰ τοῦ ιχη ὑπὲρ δύο συλλαβὰς μονογενῆ, ἢ καὶ τριγενῆ, διὰ τοῦ ι γράφονται· [καὶ τὴν παραλήγουσαν αὐτὴν ἔχει τῷ πρωτοτύπῳ, καὶ πάντα ἔστιν ὑποκοριστικά· οἷον, λήθη, ληθὼ, καὶ Λητώ·] Πυῤῥίχη· Δολίχη· μαστίχη· μυστίχη· σαμαρίχη, τὸ τῆς γυναικὸς αἰδοῖον.

ΨΙΗ. Τὰ εἰς ω λήγοντα θηλυκὰ, καὶ ὀξύνεται, καὶ πάντα διὰ τοῦ ω μεγάλου γράφεται, καὶ τὴν παραλήγουσαν τὴν αὐτὴν ἔχει τῷ πρωτοτύπῳ, καὶ πάντα ἐστὶν ὑποκοριστικά· οἷον, λήθη, ληθὼ καὶ Λητώ· πείθω τὸ ῥῆμα, πειθώ· φείδω τὸ ῥῆμα, φειδώ· ἐρατὸς, Ἐρατώ· χρεῖα, χρειώ· βασιλεὺς, βασιλώ.

ΨΙΘ. Πᾶν εἰς ες λῆγον οὐδέτερον, πλὴν τοῦ Κυνόσαργες, τὴν μονογενείαν οὐ προσίεται, ἀκολουθεῖ γὰρ τὰ πάντα καὶ κατὰ τόνον καὶ κατὰ γραφὴν τῇ κλητικῇ τοῦ ἀρσενικοῦ· οἷον, ὦ εὔμηκες, τὸ εὔμηκες· ὦ εὔηθες, τὸ εὔηθες· ὦ ἀσθενὲς, τὸ ἀσθενές.

ΨΚ. Πᾶν οὐδέτερον εἰς ον λῆγον, ἀπὸ ἀρσενικοῦ ἰσοσυλλάβως κλινομένου γεγενημένον, ταυτόν ἐστιν κατὰ τὴν γραφὴν τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ· οἷον, τὸν καλόν, τὸ καλόν· τὸν σοφὸν, τὸ σοφόν· ἄπειρον δὲ τὸ πλῆθος τῶν παραδειγμάτων, διὸ σεσημείωται τὸ αὐτό· ἄλλο· τοῦτο· ἐκεῖνο· ὅτι τῶν ἀρσενικῶν εἰς ν ἐχόντων τὴν αἰτιατικὴν, ταῦτα χωρὶς τοῦ ν εἰσὶν ἐν τῷ οὐδετέρῳ.

ΨΚΑ. Τὰ εἰς ον οὐδέτερα συγκριτικὰ καὶ τόνον καὶ γραφὴν

φυλάττει τὴν αὐτὴν τῇ κλητικῇ τοῦ ἀρσενικοῦ· οἷον, ὦ ἄμεινον, τὸ ἄμεινον· πάντων γὰρ τῶν εἰς ων ἀρσενικῶν συγκριτικῶν ἡ κλητικὴ εἰς ον μικρὸν λήγει, καὶ ἀναβιβάζει τὸν τόνον, εἰ μὴ δισυλλαβεία κωλύσῃ· ὦ βελτίον, τὸ βελτίον· ὦ ἄρειον, τὸ ἄρειον.

ΨΚΒ. Εἰς ων μέγα λῆγον ὄνομα οὐδέτερον μονογενὲς οὐκ ἔστιν εὑρεῖν· εἰ δέ τι καὶ εὑρεθείη, τοῦτο μετοχῆς δευτέρας συζυγίας τῶν περισπωμένων ἐστίν· οἷον, τὸ βοῶν, τὸ γελῶν, τὸ ὁρῶν, τὸ ἀγαπῶν, τὸ μελετῶν.

ΨΚΓ. Τὰ εἰς εν λήγοντα οὐδέτερα ἀπὸ ἀρσενικοῦ γεγενημένα, εἴτε ὀνόματα, εἴτε μετοχαὶ, διὰ τοῦ ε ψιλοῦ γράφονται, καὶ ὁμοτονεῖ τῇ κλητικῇ τοῦ ἀρσενικοῦ· τὸ χαρίεν, ὦ χαρίεν· τὸ γὰρ προπαροξύτονον ἐπίῤῥημά ἐστιν· τὸ αὐδῆεν, ὦ αὐδῆεν· τὸ τυφθὲν, ὦ τυφθέν.

ΨΚΔ. Τὰ κατὰ ἀποβολὴν τοῦ σ ἀρσενικὰ ποιοῦντα οὐδέτερα, τὴν αὐτὴν τῷ ἀρσενικῷ φυλαττει γραφὴν τὸ οὐδέτερον· οἷον, ὁ ταχὺς, τὸ ταχύ· ὁ ὀξὺς, τὸ ὀξύ· ὁ λειπόπατρις, τὸ λειπόπατρι· ὁ ἄπολις, τὸ ἄπολι· ὁ αὐτὸς, τὸ αὐτό· ὁ ἐκεῖνος, τὸ ἐκεῖνο.

ΨΚΕ. Τὰ εἰς ον οὐδέτερα μονογενῆ διὰ τοῦ ο μικροῦ γράφονται· οἷον, νίτρον· κίτρον ξύλον.

ΨΚϚ. Εἰς ως μέγα λῆγον οὐδέτερον, οὔτε ὄνομα, οὔτε μετοχὴν ἐστὶν εὑρεῖν, μὴ ἐκ πάθους γεγένηται, πλὴν τοῦ φῶς, καὶ τοῦ ὧς· καὶ τὸ μὲν φῶς γέγονεν ἀπὸ τοῦ φῶ ῥήματος, ὃ δηλοῖ τὸ λάμπω, ἀφ' οὗ παράγωγον τὸ φαίνω, ἀφ' οὗ φάος, καὶ κατὰ κρᾶσιν τοῦ αο εἰς ω φῶς· καὶ τὸ ὧς, ὃ δηλοῖ τὸ ὠτίον, γέγονεν ἀπὸ τοῦ αὔω ῥήματος, τοῦ δηλοῦντος τὸ ἀκούω· αὖος, καὶ ἐν συστολῇ ἄος, καὶ κατὰ κρᾶσιν τοῦ αο εἰς ω ὧς, καὶ Δωρικῶς, οὖς, καὶ ὡς μονῆρες μένει ἄκλιτον· ἀπὸ οὖν τοῦ ἄος μετὰ τοῦ στερητικοῦ α, καὶ πλεονασμῷ τοῦ ν ἄναος, καὶ Ἀττικῶς ἄνεως ὁ ἄφωνος· πρόσκειται ὀνόματα, ἐπεὶ πολλάκις αἱ εἰς ως μετοχαὶ ἀπὸ περισπωμένων κατὰ πάθος γενόμεναι, καὶ φυλάττουσαι τὸ ω ἐπὶ τῆς γενικῆς τοῦ ἀρσενικοῦ, ἔχουσαι[a] τὸ οὐδέτερον, εἰς ως ἔχει· τὸ βεβῶς, βε-

[a] Sic scr. pr. man. sed corr. quis ἔχουσι.

βῶτος, καὶ τὸ βεβῶς· ὁ γεγῶς, τοῦ γεγῶτος, καὶ τὸ γεγῶς· ὁ ἑστῶς, τοῦ ἑστῶτος, τὸ ἑστῶς· ὁ τεθνῶς, τοῦ τεθνῶτος, καὶ τὸ τεθνῶς.

ΨΚΖ. *Τὰ εἰς ος οὐδέτερα διὰ τοῦ ο μικροῦ γράφονται· οἷον, βέλος· δάνος· γένος· εἶδος.*

ΨΚΗ. *Τὰ εἰς ος οὐδέτερα ὀνόματα διὰ τοῦ ε ψιλοῦ γράφει τὴν παραλήγουσαν, εἴτε δισύλλαβα εἴη, εἴτε ὑπὲρ δύο συλλαβάς, εἴτε καθαρὰ, εἴτε μὴ καθαρά· ἄφθονα δὲ τὰ παραδείγματα· οἷον, βρέφος· βέλος· γένος· δέλος· δεός· ἕλος· ἔπος· ἔτος· θέρος· μέγεθος· στέλεχος· σεσημείωται τὸ λαῖφος, ὃ δηλοῖ τὸ ἱμάτιον· καὶ τὸ αἶσχος διὰ τῆς αι διφθόγγου γραφόμενον.*

ΨΚΘ. *Τὰ εἰς α λήγοντα οὐδέτερα μονογενῆ βαρύνεται, καὶ συστέλλει τὸ α καὶ τὸ μ παραλήγεται, καὶ ὡς ἀπὸ ῥημάτων γενόμενα, τῇ κινήσει τῶν ῥημάτων κατὰ τὴν παραλήγουσαν ἀκολουθεῖ· πρόσκειται μονογενῆ, διὰ τὸ μέγα· τοῦτο γὰρ λήγει εἰς α, καὶ πρὸ τοῦ α οὐκ ἔχει τὸ μ, διὰ τὸ μὴ εἶναι μονογενὲς, ἀπὸ γὰρ τοῦ μέγας· τὸ γὰρ* Πάσχα *βάρβαρον, διὸ καὶ ἄκλιτον· τὸ φάβα καὶ αὐτὸ βάρβαρον, εἰ καὶ κλίνοιτο· παράγεται δὲ ἀπὸ τοῦ πρώτου προσώπου τοῦ παθητικοῦ παρακειμένου, οὗ καὶ τὴν παραλήγουσαν ἔχει· τὰ δὲ παραδείγματα ὀλίγα ἐκ πολλῶν ἀρκέσει· τέθεμαι, θέμα· δέδεμαι, δέμα· κέχρημαι, χρῆμα· ἔῤῥημαι, ῥῆμα· πεποίημαι ποίημα· εἰς α δὲ μακρὸν, ἢ εἰς η, ἐπὶ ἑνικῆς εὐθείας ὀνόματος οὐδετέρου οὐκ ἔστιν εὑρεῖν· τὸ γὰρ κάρα ἀπὸ τοῦ κάρανον, καὶ τὸ κάρη ἀπὸ τοῦ κάρηνον ἀποκέκοπται.*

ΨΛ. *Τὰ εἰς ι λήγοντα οὐδέτερα μονογενῆ διὰ τοῦ ι γράφονται· οἷον, μέλι· κῆκι εἶδος ἐλαίου· στάχι· κόρι τὸ κορίαννον· κόμι· κιννάβαρι,* Ἀττικοὶ *δὲ τιγγάβαρυ· τάγυρι· χνάσμι· κάρι· σέσελι.*

ΨΛΑ. *Τὰ εἰς υ λήγοντα μονογενῆ ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ υ ψιλοῦ γράφονται, διὰ τὸ μηδέποτε εὐθείαν ἑνικὴν εἰς οι δίφθογγον λήγειν· οἷον, δόρυ· γόνυ· κόνδυ· μέθυ· πῶϋ· ἄστυ· νάπυ· δάκρυ· κάχρυ· φίτυ τὸ φύτευμα· μῶλυ· τρῆνυ.*

ΨΛΒ. Τὰ εἰς ον καθαρὸν οὐδέτερα ὑπὲρ δύο συλλαβὰς παραληγόμενα τῇ λε συλλαβῇ ὀξύτονα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, Χαλεὸν ἡ πόλις· στελεὸν, ὃ καὶ στελειὸν λέγεται ποιητικῶς, καὶ στελεός· κολεὸν ἢ κουλεόν· ἐλεόν· ἔστιν δὲ καὶ ἕτερον τὸ δηλοῦν τὸ ἐλεητικὸν, ἀπὸ ἀρσενικοῦ γεγενημένον.

ΨΛΓ. Τὰ διὰ τοῦ εον ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα, μὴ ὄντα ὑποκοριστικὰ, διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, ὄρνεον· ὄστρεον, ὃ καὶ ὄστρειον λέγεται· τὸ ὀστέον μόνον ἐν τόνῳ διήλλαξεν· γέγονεν δὲ παρὰ τὸ στῶ στέον, καὶ ὀστέον, τὸ τῆς στάσεως αἴτιον· ὤεον· τοῦτο ἐν πλεονασμῷ τοῦ ε ἀπὸ τοῦ ὠόν.

ΨΛΔ. Τὰ διὰ τοῦ ιον οὐδέτερα δισύλλαβα μονογενῆ βαρύτονα διὰ τοῦ ι γράφονται· οἷον, μνίον· ῥίον· σίον ἡ βοτάνη· ἴον τὸ ἄνθος· δρίον· τοῦτο τινὲς καὶ δρίος γράφουσι· Δῖον ἡ πόλις, διὰ μακροῦ τοῦ ι· σεσημείωται τὸ κρεῖον, τὸ δεκτικὸν τῶν κρεῶν ἀγγεῖον· εἶον, ὃ καὶ ἤϊον ἐν διαλύσει λέγεται, ἀπὸ τοῦ εἴω ῥήματος γεγονός· δηλοῖ δὲ τὰ εἰς τὸ ἰέναι ἐπιτήδεια· ἔτι δὲ καὶ τὸ νεῖον, δηλοῖ δὲ τῆς νηὸς τὸ πυθμενοειδὲς ξύλον· διὰ τῆς ει διφθόγγου γραφόμενα.

ΨΛΕ. Τὰ διὰ τοῦ διον ὑποκοριστικὰ, εἴτε παροξύτονα, εἴτε προπαροξύτονα, διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν· τὴν δὲ τρίτην ἀπὸ τέλους, εἰ μὲν ἀπὸ πρωτοτύπου φωνῆς ἔχει τὸ ε, διὰ τῆς ει διφθόγγου· οἷον, φύσεως, φυσίδειον· λέξεως, λεξίδειον· εἰ δὲ μὴ διὰ τοῦ ι· βοῦς, βοὸς, βοΐδιον· μυς, μυὸς, μυΐδιον, καὶ ἐν συγκοπῇ τοῦ ι μύδιον· τοῦ γὰρ υ καὶ ι εἰς τὴν υι δίφθογγον συναιρεθῆναι[a] μὴ δυναμένοις, διὰ τὸ μηδέποτε τὴν οι δίφθογγον ἐπὶ τέλους λέξεως, μήτε μετὰ συμφώνου εὑρίσκεσθαι, ὡς εἴρηται, ἐξέπεσεν τὸ ι, καὶ ἔμεινεν μόνον τὸ υ· ὄϊς τὸ πρόβατον, ὀΐδιον, καὶ ἐν συναιρέσει οἴδιον· σεσημείωται τὸ κλεὶς, κλειδίον, καὶ παῖς, παιδιόν· ἔτι καὶ σεσημείωται τὸ πεδίον, τότε προπαροξυνόμενον καὶ τὸ παροξυνόμενον· διὰ τοῦ ε ψιλοῦ γράφει τὴν τρίτην ἀπὸ τέλους· ὡς καὶ τὸ ζῴδιον διὰ τῆς ωι διφθόγγου.

[a] Cod. συναιρεθεῖναι.

ΨΛϚ. Τὰ διὰ τοῦ διον ὑποκοριστικὰ, ἔχοντα ἀπὸ πρωτοτύπου φωνῆς τὸ η, διὰ τοῦ η γράφει τὴν τρίτην ἀπὸ τέλους· οἷον, γῆ, γήδιον· κλίνη, κλινήδιον· πόρνη, πορνήδιον.

ΨΛΖ. Τὰ διὰ τοῦ ιον τρισύλλαβα προπαροξύτονα ἀπὸ βραχείας ἀρχόμενα διὰ τοῦ ι γράφονται· οἷον, κτένιον· πέδιον ὁ δεσμός· ἐπὶ γὰρ τῆς γῆς παροξύνεται· πτύχιον· τρύβλιον· σχόλιον· χόλιον· ῥάχιον· πτέριον· ζύγιον· σπόδιον· φλέβιον· τρίχιον.

ΨΛΗ. Τὰ διὰ τοῦ ιον μονογενῆ παροξύτονα, ἀπὸ φύσει ἢ θέσει μακρᾶς ἀρχόμενα, διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν· οἷον, μηρίον· θηρίον· κηρίον· ξηρίον· σφηρίον· χαρτίον· φορτίον· σταυρίον· σχοινίον· σπερτίον· τιτθίον· στρουθίον· σαρκίον· βιβλίον· χρυσίον· καρφίον· χωρίον· κρουνίον· σιτίον· ψωμίον· τὸ ἄρκιον ἐπὶ τῆς μικρᾶς ἄρκου, καὶ τὸ ὤνιον ἐπὶ τοῦ ἀγορασθῆναι δυναμένου, τοὺς τόνους ἀλλάξαντα τὴν γραφὴν ἐφύλαξαν· τὸ Ῥήγίον· βίβλίον· κρώσίον, ἐπὶ δυσὶ τόνοις δύο σημασίας ἐπήνεγκαν· τὸ κερδίον εἰ ἦν ἀπὸ τοῦ κέρδους ὑποκοριστικὸν κἂν παροξύνετο ἀπὸ μακρᾶς ἀρχόμενον· ἔστιν δὲ συγκριτικὸν ἀπὸ τοῦ ὁ κερδίων, ὡς καὶ βελτίων· ὧν τὰ οὐδέτερα βελτίον· κέρδιον.

ΨΛΘ. Τὰ διὰ τοῦ ιον οὐδέτερα μονογενῆ προπαροξύτονα ὑποκοριστικὰ, ἀπὸ φύσει μακρᾶς ἀρχόμενα, διὰ τοῦ ι γράφονται· οἷον, φρούριον· ὤνιον· ἴκριον· ῥάκτριον· λείριον τὸ ἄνθος· ὄσπριον· ὄβριον τὸ τῶν λεόντων ἢ τῶν λύκων σκυλάκιον· κούριον· Χώριον ἡ πόλις, ἐπὶ γὰρ ὑποκοριστικοῦ παροξύνεται· Δαύνιον ἡ πόλις.

ΨΜ. Τὰ διὰ τοῦ ιον κύρια τρισύλλαβα προπαροξύτονα, εἴτε ἀπὸ μακρᾶς ἄρχηται, εἴτε ἀπὸ βραχείας, διὰ τοῦ ι γράφεται· οἷον, Ἴλιον· Σπήλιον· Ὄβριον τὸ ὄρος· Κούριον· Χώριον· Οἴνιον· Σέστριον· Θρόνιον ἡ πόλις· Αἴγιον ἡ πόλις· Σούνιον· Ῥήγιον· Δώριον· Πύθιον· Ἄκτιον.

ΨΜΑ. Τὰ διὰ τοῦ ατιον ὑποκοριστικὰ μονογενῆ προπαροξύτονα διὰ τοῦ ι γράφονται· ἁλάτιον· ἀκάτιον· γονάτιον· δωμάτιον· κεράτιον· παλάτιον.

ΨΜΒ. Τὰ διὰ τοῦ οντιον ὑποκοριστικὰ μονογενῆ διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν, καὶ τὴν τρίτην ἀπὸ τέλους ἔχει διὰ τοῦ ο μικροῦ· οἷον, λεόντιον ὁ μικρὸς λέων· δρακόντιον ὁ μικρὸς δράκων· ἀκόντιον· ὀδόντιον ἡ βοτάνη, καὶ τὸ τοῦ στόματος· Μεταπόντιον· γερόντιον· Ἱερόντιον ἡ πόλις· τὸ δὲ δρακόντειον αἷμα, καὶ λεόντειον δέρμα μετουσιαστικά.

ΨΜΓ. Τὰ διὰ τοῦ νιον τρισύλλαβα μονογενῆ προπαροξύτονα, ἔχοντα τὴν τρίτην ἀπὸ τέλους διὰ δύο συμφώνων διειργομένην, κατὰ σύλληψιν ἢ κατὰ διάστασιν ὄντων, διὰ τοῦ ι γράφεται· οἷον, δέμνιον· παίγνιον· ἴχνιον· φέρνιον ἡ σπυρίς· σάννιον τὸ αἰδοῖον· κέρνιον.

ΨΜΔ. Τὰ διὰ τοῦ ιον τρισύλλαβα, ἀπὸ διφθόγγου ἀρχόμενα προπαροξύτονα, διὰ τοῦ ι γράφεται· οἷον, φρούριον· Σούνιον· ποίμνιον· παίγνιον· αἴγιον· πλαίσιον, δηλοῖ δὲ τὴν τετραγωνοειδῆ τῶν στρατιωτῶν σύνταξιν· γέγονεν δὲ παρὰ τὸ πέλας πελάσιος, καὶ πλεονασμῷ τοῦ ι πλαίσιος· οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου.

ΨΜΕ. Τὰ διὰ τοῦ νιον οὐδέτερα μονογενῆ τρισύλλαβα, ἀπὸ φύσει μακρᾶς ἀρχόμενα, πρὸ μιᾶς τοῦ τέλους ἔχοντα τὸν τόνον, διὰ τοῦ ι γράφονται· οἷον, ἡνίον· σπλήνιον· σχοίνιον· κρούνιον.

ΨΜϚ. Τὰ διὰ τοῦ ιον μονογενῆ ἀπὸ ῥημάτων γενόμενα προπαροξύτονα διὰ τοῦ ι γράφονται· οἷον, παίζω, παίγνιον· δαίμνω, δαίμνιον· ὤνω, ὤνιον.

ΨΜΖ. Τὰ διὰ τοῦ ιον οὐδέτερα μονογενῆ προσηγορικά, ἔχοντα μετὰ τὴν πρώτην δύο σύμφωνα κατὰ σύλληψιν, ἢ κατὰ διάστασιν, πρὸ τέλους ἔχοντα τὸν τόνον, μὴ ὄντα ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων, διὰ τοῦ ι γράφεται· οἷον, ὀγκίον· ἀντίον, τὸ τοῦ ἱστοῦ· κυμβίον· ἰσχίον· πρόσκειται μὴ ἔχοντα ῥῆμα διὰ τοῦ ευω, διὰ τὸ πορνεύω, πορνεῖον.

ΨΜΗ. Τὰ διὰ τοῦ ηϊον προπαροξύτονα Ἰωνικὰ τὴν πρὸ τέλους ἔχει διὰ τοῦ ι, καὶ τὴν πρὸ αὐτῆς διὰ τοῦ η· διαλύουσι γὰρ τὴν ει δίφθογγον εἰς ε καὶ ι, καὶ τρέπουσι τὸ ε εἰς η· οἷον, μνημεῖον παρ' ἡμῖν· μνημήϊον παρὰ τοῖς Ἴωσιν· σημεῖον, σημήϊον· βασιλεῖον, βασιλήϊον.

ΨΜΘ. Τὰ διὰ τοῦ ωιδιον οὐδέτερα μονογενῆ προπαροξύτονα διὰ τοῦ ι γράφει τὴν πρὸ τέλους, καὶ τὴν πρὸ αὐτῆς εἰς τὴν ωι δίφθογγον· οἷον, ζῴδιον· κῴδιον· καλῴδιον· στῴδιον.

ΨΝ. Τὰ διὰ τοῦ ηριον οὐδέτερα μονογενῆ προπαροξύτονα τὴν τρίτην ἀπὸ τέλους ἔχει διὰ τοῦ η, καὶ τὴν μετ' αὐτὴν διὰ τοῦ ι· οἷον, θυτήριον· μοναστήριον· ἱλαστήριον.

ΨΝΑ. Τὰ διὰ τοῦ αντιον οὐδέτερα μονογενῆ διὰ τοῦ ι γράφεται· οἷον, Αἰάντιον ἡ πόλις· Περγάντιον ἡ πόλις· βαλλάντιον τὸ ἀκόντιον· πρόσκειται μονογενῆ, ἐπεὶ τὰ τριγενῆ διὰ τῆς ει διφθόγγου γράφεται· Αἰάντειος οἶκος· Αἰαντία ἑστία· Αἰάντειον βούλημα.

ΨΝΒ. Τὰ διὰ τοῦ ωνιον ὑπὲρ τρεῖς συλλαβὰς οὐδέτερα μονογενῆ προπαροξύτονα διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν, καὶ τὴν πρὸ αὐτῆς διὰ τοῦ ω μεγάλου· οἷον, Ἱππώνιον ἡ πόλις· παιώνιον· Πλατώνιον· ταγώνιον· κωδώνιον· χελώνιον, τὸ ἐπὶ ταῖς κλεισὶ λεγόμενον, σπανίως δὲ παρὰ τοῖς παλαιοῖς εἰρήμενον· ὀψώνιον· χιτώνιον· τριβώνιον· πετώνιον· τὸ ὀθόνιον· Ἰκόνιον· εἰκόνιον· ἀκόνιον, διὰ τοῦ ο μικροῦ γράφοντα τὴν τρίτην ἀπὸ τέλους σεσημείωνται.

ΨΝΓ. Ὅσα ἀπὸ πρωτοτύπου φωνῆς τρέπει τὸ ω εἰς ο ἐπὶ γενικῆς, καὶ διὰ τοῦ ονιον ποιεῖ τὸ παράγωγον, τὴν τρίτην ἀπὸ τέλους ἔχει διὰ τοῦ ο μικροῦ· οἷον, δαίμων, δαίμονος, δαιμόνιον· εἰκὼν, εἰκόνος, εἰκόνιον· χελιδὼν, χελιδόνος, χελιδόνιον.

ΨΝΔ. Τὰ διὰ τοῦ ενιον μονογενῆ οὐδέτερα διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν, καὶ τὴν τρίτην ἀπὸ τέλους διὰ τοῦ ε ψιλοῦ· οἷον, ἑλένιον ἡ βοτάνη· Ὁρμένιον· Παρθένιον, ὄνομα ὄρους· αὐχένιον· τοῦτο διφορεῖται κατὰ τὴν παραλήγουσαν, ὡς καὶ διὰ τῆς ει διφθόγγου γράφεται· σεσημείωται τὸ γένειον διὰ τῆς ει διφθόγγου γραφόμενον.

ΨΝΕ. Τὰ διὰ τοῦ αριον καὶ ανιον οὐδέτερα οὐκ ἔχεται ζητήσεως, ἀδιαστόλως γὰρ διὰ τοῦ ι γράφονται· οἷον, ὀψάριον· οἰνάριον· Μελάνιον ἡ πόλις· βοτάνιον· λεκάνιον.

ΨΝϚ. Τὰ διὰ τοῦ σιον οὐδέτερα μονογενῆ καὶ προπαροξύνεται, καὶ διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν, καὶ τὴν τρίτην ἀπὸ

τέλους ἔχει τὴν αὐτὴν τῷ πρωτοτύπῳ· οἷον, Ἀφροδίτη, Ἀφροδίσιον· γενέτης, γενέσιον· Διόνυσος, Διονύσιον· ἄντικρυς, ἀντικρύσιον· Ἄρτεμις, Ἀρτεμίσιον· ζευγίσω, ζευγίσιον· κυνηγέτης, κυνηγέσιον· πόσις, πόσιον, καὶ συμπόσιον· βόσις ἡ τροφὴ, ἱπποβόσιον διὰ μακροῦ τοῦ ι.

ΨΝΖ. Τὰ ἀπὸ τῶν εἰς υς μονογενῆ διὰ τοῦ υδιον γενόμενα, τὴν πρὸ τέλους ἔχει διὰ τοῦ ι, καὶ τὴν πρὸ αὐτῆς διὰ τοῦ υ ψιλοῦ· οἷον, βότρυς, βοτρύδιον· ἰχθὺς, ἰχθύδιον· σικὺς, σικύδιον· ὀφρὺς, ὀφρύδιον· πίτυς, πιτύδιον· κρόκυς, κροκύδιον· ὀσφὺς, ὀσφύδιον.

ΨΝΗ. Τὰ διὰ τοῦ τιον οὐδέτερα μονογενῆ ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν· οἷον, Σέστιον ἡ πόλις· Ἀργήτιον· Κορυφήτιον τὸ ὄρος Ἀζανίας· Μέντιον τὸ ὄρος· Λαφύστιον.

ΨΝΘ. Τὰ διὰ τοῦ χιον οὐδέτερα μονογενῆ ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα διὰ τοῦ ι γράφονται· οἷον, λείχιον· σελάχιον ὁ ἰχθύς· μαστίχιον· δολίχιον.

ΨΞ. Τὰ διὰ τοῦ νιον ὑπὲρ δύο συλλαβὰς μονογενῆ οὐδέτερα προπαροξύτονα διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν, καὶ τὴν πρὸ αὐτῆς τὴν αὐτὴν τῷ πρωτοτύπῳ· οἷον, Ἐλευσὶν, Ἐλευσίνιον· σκηνὴ, προσκήνιον, περισκήνιον· θὶν, θινὸς, θίνιον, καὶ ἀκροθίνιον· οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου.

ΨΞΑ. Τὰ διὰ τοῦ εριον οὐδέτερα μονογενῆ διὰ τοῦ ι γράφεται κατὰ τὴν παραλήγουσαν, καὶ τὴν πρὸ αὐτῆς ἔχει διὰ τοῦ ε ψιλοῦ· οἷον, ἀστέριον· περιστέριον· διφθέριον.

ΨΞΒ. Τὰ διὰ τοῦ ασιον οὐδέτερα μονογενῆ διὰ τοῦ ι γράφονται· οἷον, Βουπράσιον· γυμνάσιον· ἱππάσιον· κοράσιον· τοῦτο οὐ δόκιμον τοῖς παλαιοῖς Ἕλλησι, κόριον γὰρ λέγουσιν.

ΨΞΓ. Τὰ διὰ τοῦ λιον ὑπὲρ δύο συλλαβὰς οὐδέτερα μονογενῆ προπαροξύτονα διὰ τοῦ ι γράφεται κατὰ τὴν πρὸ τέλους· Ὁμόλιον ἡ πόλις· πιδάλιον· κειμήλιον· κανθήλιον, τὸ ἐπὶ τῇ πρυμνῃ ἐπικαμπὲς ξύλον· ἑδώλιον τὸ βάθρον τῆς νεὼς, ἐφ᾽ ὃ καθέζονται οἱ ἐρέσσοντες· τραγάλιον· οἰνοπώλιον· ἀρτοπώλιον.

ΨΞΔ. Τὰ διὰ τοῦ γιον οὐδέτερα μονογενῆ ὑπὲρ δύο συλλαβὰς

προπαροξύτονα διὰ τοῦ ι γράφονται· οἷον, Φρύγιον· κυνήγιον· ὀροπύγιον· σιράγγιον· φαλάγγιον.

ΨΞΕ. Τὰ διὰ τοῦ ριον οὐδέτερα μονογενῆ προπαροξύτονα διὰ τοῦ ι γράφονται· οἷον, σχοφόριον· ἀνεμοδούριον· προσφόριον· νεώριον· θεσμοφόριον· ὠμοφόριον· ἐμπόριον ἐπὶ τόπου· οὐ γὰρ παρὰ τὸ ἐμπορεύομαι· παλινδόριον τὸ εἰργασμένον δέρμα· σισύμβριον ἡ βοτάνη· κιχόριον καὶ αὐτὸ εἶδος βοτάνης.

ΨΞϚ. Τὰ παρὰ τὸ φέρβω συγκείμενα διὰ τοῦ ι γράφονται· οἷον, ἱπποφόρβιον· συφόρβιον.

ΨΞΖ. Τὰ παρὰ τὴν ὦπα διὰ τοῦ ιον οὐδέτερα μονογενῆ διὰ τοῦ ι γράφονται τὴν δευτέραν ἀπὸ τέλους, καὶ τὴν πρὸ αὐτῆς διὰ τοῦ ω μεγάλου· οἷον, ἐνώπιον τὸ ἔνδον τῶν θυρῶν· προνώπιον, τὸ ἔμπροσθεν τῶν θυρῶν ἔνθα αἱ εἰκόνες τίθενται· παρώπιον τὸ ἐπιτιθέμενον τοῖς ἵπποις δέρμα ἀνὰ τὰς ὄψεις· ἀνθρώπιον· ἰσώπιον· σημειωτέον τὸ ἐρίπιον κατὰ τὴν τρίτην ἀπὸ τέλους· καὶ δῆλον ὅτι οὐ παρὰ τὴν ὦπα ἡ σύνθεσις.

ΨΞΗ. Τὰ διὰ τοῦ ακιον οὐδέτερα μονογενῆ διὰ τοῦ ι γράφονται· οἷον, πινάκιον· πιττάκιον· θρινάκιον· δελφάκιον· σκυλάκιον.

ΨΞΘ. Τὰ διὰ τοῦ ιον ὑπὲρ τρεῖς συλλαβὰς οὐδέτερα μονογενῆ προπαροξύτονα διὰ τοῦ ι γράφονται, καὶ τὴν τρίτην ἀπὸ τέλους τὴν αὐτὴν ἔχει τῷ πρωτοτύπῳ· οἷον, σελήνιον· κωδώνιον· τριβώνιον· δορκάδιον· ὀνύχιον· περδίκιον.

ΨΟ. Τὰ διὰ τοῦ υλλιον οὐδέτερα μονογενῆ ὑποκοριστικὰ διὰ τοῦ ι γράφει τὴν δευτέραν ἀπὸ τέλους, καὶ τὴν τρίτην διὰ τοῦ υ· παιδαρύλλιον· κρεΰλλιον· μειρακύλλιον.

ΨΟΑ. Τὰ διὰ τοῦ υδριον τὴν δευτέραν ἀπὸ τέλους ἔχει διὰ τοῦ ι, καὶ τὴν πρὸ αὐτῆς διὰ τοῦ υ· οἷον, τρωγλύδριον· πριαμιλλύδριον· νεανισκύδριον.

ΨΟΒ. Τὰ διὰ τοῦ υφιον οὐδέτερα μονογενῆ προπαροξύτονα διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν, καὶ τὴν πρὸ αὐτῆς διὰ τοῦ υ ψιλοῦ· οἷον, ζωΰφιον· δενδρύφιον· ὀρνύφιον· ᾠΰφιον· τὰ γοῦν διὰ τοῦ φιον οὐδέτερα μονογενῆ πάντα παράγωγά ἐστιν, ἐὰν ἔχῃ τὸ πρωτότυπον τὸ υ, τὸ οὐδέτερον διὰ τοῦ αφιον γίνεται· οἷον, χρυσὸς, χρυσάφιον· ἀργυράφιον· ὁμοίως κἂν ἀπὸ

τῶν εἰς α, ὡς ἔχει τὸ μοιράφιον· εἰ δὲ μὴ παραλήγοιτο τὸ υ ἢ τὸ α, διὰ τοῦ υ τὸ οὐδέτερον· δενδρύφιον· ᾠύφιον.

ΨΟΓ. Τὰ διὰ τοῦ αιον οὐδέτερα μονογενῆ προπαροξύτονα διὰ τῆς αι διφθόγγου γράφονται· σεσημειωμένου τοῦ χαιον δισυλλάβου μόνου, καὶ διὰ τῆς αι διφθόγγου γράφονται· ὁ γὰρ κανὼν περὶ τρισυλλάβων γίνεται· οἷον, κώπαιον· Ἥραιον τὸ τέμενος· νόμαιον τὸ μονογενές· ἔλαιον· οὔραιον· σκύλλαιον· πρέμναιον· Κίρκαιον τὸ ὄρος· Δίρκαιον· εὔαιον· Κότταιον τὸ ὄρος· Ἕρμαιον· Φοίβαιον· Κύταιον ἡ πόλις· γύναιον· Λύκαιον τὸ ὄρος· δέραιον· σεσημείωται τὸ ὄρνεον· ὄστρεον διὰ τοῦ ε ψιλοῦ γραφόμενα· λέγεται δὲ καὶ ὄστρειον διὰ τῆς ει διφθόγγου κατὰ πλεονασμὸν τοῦ ι· οὕτω δὲ κάνεον διὰ τοῦ ε ψιλοῦ, καὶ κατὰ συναίρεσιν γίνεται κανοῦν· τὸ ᾠεον διὰ τοῦ ε ψιλοῦ γραφόμενον οὐ μάχεται, διότι ἐκ πλεονασμοῦ ἔχει τὸ ε· τὸ χρύσεον· ἀργύρεον· χάλκεον· καὶ εἴτι ὅμοιον οὐ μονογενές· ἀπὸ γὰρ τοῦ χρύσειος· ἀργύρειος· χάλκειος Ἰωνικῶς ἐγένοντο χρύσεος καὶ ἀργύρεος, καὶ τὸ οὐδέτερον ἔχουσιν χρύσεον καὶ ἀργύρεον, καὶ χάλκεον· τὸ δένδρεον καὶ αὐτὸ οὐκ ἀντίκειται, ἐκ πλεονασμοῦ γὰρ τὸ ε.

ΨΟΔ. Τὰ διὰ τοῦ αιον ὑπὲρ τρεῖς συλλαβὰς, εἴτε προπαροξύνουντο, εἴτε προπερισπῶντο, διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, Χαλαστραῖον τὸ νίτρον· Στεφαναῖον, ὄνομα τόπου· Ἠλακαταῖον, τόπος Λακωνικοῦ· Καναστραῖον· ἀμυχναῖον· Ἀραχναῖον.

ΨΟΕ. Τὰ διὰ τοῦ ειον τρισύλλαβα κύρια, ἢ καὶ ἰδιάζοντα κατὰ πόλεων, προπαροξύτονα, διὰ τῆς ει διφθόγγου γράφονται· εἶπον δὲ ἰδιάζοντα, διὰ τὸ Λάγειον παρὰ Ἀλεξανδρεῦσιν ἐν αὐτῇ τῇ πόλει μόνον λεγόμενον, καὶ τὸ Λύκειον Ἀθήνησι· τὸ γὰρ χαλκεῖον προπερισπώμενον κοινὸν κατὰ πᾶσαν πόλιν, ἐπὶ τόπου λαμβανομένον· ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· Χλούνειον, ὄνομα τόπου· Γύθειον· Σέῤῥειον ἡ πόλις· Λαύρειον, ὄνομα τόπου· ἰδιάζει τοῦτο Ἀθήνησι· Φίκειον, ὄνομα τόπου· τοῦτο εὕρηται καὶ διὰ βράχεως τοῦ ι κατὰ τὴν παραλήγουσαν· ἴσως δὲ συνεξέδραμεν τὸ Ῥύτιον· Αἴγιον· Σού-

νιον, περὶ ὧν ἤδη προείρηται· Βούδειον· Σίγειον· Λέπρειον, Καυκώνων πόλις· Ῥοίτειον πόλις· Φίττειον· Κράνειον γυμνάσιον ἐν Κορίνθῳ.

ΨΟϚ. Τὰ διὰ ειον τρισύλλαβα καθαρεύοντα τοῦ ν προπαροξύτονα μονογενῆ, ἀπὸ ἑνὸς φωνήεντος ἀρχόμενα, διὰ τῆς ει διφθόγγου γράφονται· ὄνειον· φάνειον· κράνειον· κώνειον· δάνειον· γένειον, κάνειον ὃ καὶ κάνεον· ξάνειον· κτένειον, ὃ φοροῦσιν γυναῖκες ἐπὶ τοῦ ἀναδήματος.

ΨΟΖ. Τὰ διὰ τοῦ ειον μονογενῆ τρισύλλαβα προπαροξύτονα, ἀπὸ ἑνὸς συμφώνου ἀρχόμενα, ἔχοντα τὸ η ἢ τὸ ω, μὴ ἔχοντα τὸ μ πρὸ τῆς ει διφθόγγου, διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, θώρειον· ζώτειον, ὁ μύλος ὅπου αἱ ζειαὶ ἐκόπτοντο· ἢ τόπου ὄνομα ὅπου οἱ δοῦλοι ἐκολάζοντο· βήτειον· χείλιον, ὃ καὶ χέλειον· γήρειον· βήχειον ἡ βοτάνη· κήτειον ἡ βοτάνη τῇ ἀνθέρικι παραπλήσιον εἰς ἔμετον ἐπιτήδειος.

ΨΟΗ. Τὰ διὰ τοῦ ειον μονογενῆ τρισύλλαβα περισπώμενα διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, μνημεῖον· σημεῖον· πρωτεῖον· σφηκεῖον, ἠχεῖον· ἠλεῖον· κυνειον· πορνεῖον· λυχνεῖον· ἀρχεῖον· φυλλεῖον· τῶν λαχάνων τὸ ἔωλον καὶ φαῦλον· στοιχεῖον· ἀγγεῖον· χοιτρεῖον· χυῤῥεῖον τὸ ξύλινον δεσμωτήριον· τὸ πεῖον τὸ σχοινίον τῆς νεώς· σκαφεῖον τὸ γεωργικὸν ἐργαλεῖον· κουρεῖον τὸ κοινῶς λεγόμενον· τὸ δὲ ἰδίως παρ' Ἀθηναίοις προπαροξύνεται, καὶ διὰ τοῦ ι γράφεται· γραφεῖον· πρεσβεῖον· χαλκεῖον, τόπος, καὶ ἑορτή· βαλανεῖον· λοφεῖον ἡ θήκη τῆς περικεφαλαίας· πορθμεῖον· μουσεῖον· βραβεῖον· φορεῖον· πορεῖον ἀντὶ τοῦ ὀχήματος· ποδεῖον εἴλημα τῶν ποδῶν· Πομπεῖον ὁ τόπος· ὀχεῖον ἡ ἀγκύρα· σεσημείωται τὸ βαΐον ἐπὶ τοῦ φοίνικος διὰ τοῦ ι γραφόμενον.

ΨΟΘ. Τὰ διὰ τοῦ ειον ὑπὲρ τρεῖς συλλαβὰς προπερισπώμενα διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, βαλανεῖον· ἐπισκοπεῖον· πανδοχεῖον· θωρακεῖον· τεκτονεῖον· ἰαμβεῖον· κηρυκεῖον τὸ μονογενὲς καὶ προσηγορικὸν, ὅπερ ἐπίσταται καὶ ἡ συνήθεια, τὸ γὰρ ἐπιθετικὸν προπαροξύνεται· ἀσωτεῖον· δοκιμεῖον· ἐκλογεῖον· διδασκαλεῖον· ἑστιατορεῖον· προσωπεῖον·

μορμολυκεῖον· ἱερεῖον· πρυτανεῖον· μεγαλλεῖον, ὄνομα μύρου ἀπὸ Μεγάλου Σικελιώτου εὑρόντος αὐτό· σκευοφορεῖον, τὸ ἐπὶ τῶν ὤμων ἀμφίκοιλον ξύλον ἀφ' οὗ ἀπαρτῶσι φορτία· ὠκυτοκεῖον· τοῦτο διφορεῖται κατὰ τόνον οὐ κατὰ γραφήν.

ΨΠ. Τὰ διὰ τοῦ ειον ὑπὲρ τρεῖς συλλαβὰς κύρια μονογενῆ προπαροξύτονα διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, Ἀτραμύττειον, ὄνομα τόπου· Προκοίλειον· Ὑπάτειον, ὄνομα ὄρους Καρίας· Ἐφιάλτειον, ὄνομα ὄρους· Κηρύκειον, ὄνομα λόφου οὗ φασὶν τὸν Ἑρμῆν ἀναβάντα, τὴν γένεσιν τῆς Ἀρτέμιδος τοῖς θεοῖς ἀνακηρύξαι, τοῦ Διὸς τοῦτο προστάξαντος· Ταντάλειον, ὄνομα ὄρους· Δασκάλειον, ἡ πόλις· Φορβάντειον, ὄνομα ὄρους· Νάξειον, τὸ ὄρος· Κυκλώπειον, τὸ ὄρος· Μυρμήκειον, πόλις· τὸ γὰρ ἕτερον προπερισπᾶται· Κλεάδειον, τὸ ὄρος· Γορδίειον, ὄνομα πόλεως.

ΨΠΑ. Τὰ ἐπὶ τεμένων διὰ τοῦ ειον οὐδέτερα μονογενῆ ὑπὲρ τρεῖς συλλαβὰς, προπαροξύτονά τε καὶ προπερισπώμενα, διὰ τῆς ει διφθόγγου γράφονται· τούτων δὲ αὐτῶν ὅσα ἀπὸ τῶν εἰς ις παράγονται, τῆς γενικῆς καθαρᾶς οὔσης, μὴ φυλαττούσης τὸ σύμφωνον τῆς γενικῆς· τὰ γοῦν προπερισπώμενα εἰσὶν τοιαῦτα· οἷον, Πρυτανεῖον· Νεμεσεῖον· Σεραπεῖον· οὐ γὰρ ἐφύλαξεν τὸ δ τῆς γενικῆς τοῦ Σεράπιδος· τοιοῦτο καὶ τὸ Ὀσίρειον· Ἀνούβειον· Τεχόσειον· Μενδίδειον δὲ προπαροξύτονον· ἐφύλαξεν γὰρ τὸ δ τῆς Μενδίδος γενικῆς· ὁμοίως καὶ τὸ Θετίδειον· προπερισπῶνται δ' ὁμοίως διὰ τῆς ει διφθόγγου γραφόμενα· καὶ ὅσα ἀπὸ τῶν εἰς ος καθαρῶν τὸ ι παραληγομένων κύρια καὶ κτητικά· καὶ ὅσα τῇ αι διφθόγγῳ παραλήγεται· οἷον, Ἀσκληπιεῖον, Ἀσκληπιὸς γάρ· Ὀλύμπιος, Ὀλυμπίειον· Καπιτώλειον· Ἀμμωνίειον, τὸ γὰρ κτητικὸν διὰ τοῦ ι· οὕτω δὴ καὶ τὰ προπαροξύτονα· Πλουτώνειον· Ἡράκλειον· Ποσειδώνειον· Χαρώνειον· Αἰάκειον· Διοσκόρειον· Ἑλένειον· Κλεοπάτρειον· Τιμώνειον· Μαυσώλειον· Καισάρειον· οἷς ὅμοια καὶ ἐπὶ ἑορτῶν· Μουσεῖον· Σεραπεῖον· Ἡρακλεῖον· Ὁμηρεῖον.

ΨΠΒ. Τὰ διὰ τοῦ νον ἅπαντα, δισύλλαβά τε καὶ ὑπὲρ δύο συλ-

λαβὰς, παροξύτονά τε καὶ προπαροξύτονα, διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, θρύον· βρύον· πτύον· θύον, ὃ καὶ θύος λέγεται· πύον τὸ ἕλκος· τοιοῦτο δὲ καὶ τὸ γυῖον, τῇ υι διφθόγγῳ παραληγόμενα, καὶ οὐκ ἔχον ὁμοίου παράθεσιν· οὕτω μὲν δὴ τὰ δισύλλαβα· τὰ δὲ ὑπὲρ δύο συλλαβὰς τοιαῦτα· κάρυον· κρόμμυον· δίκτυον· ἔμβρυον· δάκρυον· κρήγυον· μήνυον εἶδος ἄνθους· γεράνδρυον· μεσόφρυον· ἔνδρυον· γήθυον.

ΨΠΓ. Τὰ διὰ τοῦ οιον ὀξύτονα δισύλλαβα οὐδέτερα μονογενῆ διὰ τῆς οι διφθόγγου γράφεται· οἷον, Κροιὸν, ὄνομα ὄρους· βοιὸν τῶν πεντήκοντα ἐτῶν ἀριθμός· μοιὸν τὸ αἰδοῖον· γλοιὸν τὸ τοῖς πώγωσιν τῶν τράγων ἐπισυναγόμενον ἀπὸ τῆς ὕλης· τοιοῦτο κατὰ τὴν γραφὴν οὐ κατὰ τὸν τόνον, τὸ πλοῖον· οὕτω δὴ καὶ εἴτι ἐξ αὐτῶν σύγκειται· οἷον, εἰκοσάβοιον· πεντηκοντάβοιον· ἐννεάβοιον.

ΨΠΔ. Τὰ διὰ τοῦ ωον δισύλλαβα σπάνια, διὰ τῆς ωι διφθόγγου γραφόμενα, ἅπερ εἴωθε πολλάκις[b] καὶ διαίρεσιν πάσχειν τοῦ ι· οἷον, ζῷον, ζώϊον· Πτῷον, Πτώϊον, τὸ ὄρος· τὸ Κῶον· λῶον οὐ μονογενῆ· τὸ ᾠὸν περὶ τόνον διαλλάξαν τὴν γραφὴν ἐφύλαξεν· λέγεται δὲ καὶ ἐν διαλύσει ὤϊον καὶ ὤεον ἐν πλεονασμῷ τοῦ ε.

ΨΠΕ. Τὰ διὰ τοῦ ωον ὑπὲρ δύο συλλαβὰς μονογενῆ τῇ ωι διφθόγγῳ παραλήγεται· ἐνίοτε δὲ καὶ αὐτὰ διὰ ποιητικὴν χρεῖαν ἀναλύονται· ὑπερῷον, ὑπερώϊον· περιστῷον, περιστώϊον· μηνῷον, μηνώϊον.

ΨΠϚ. Τὰ διὰ τοῦ υλον δισύλλαβα οὐδέτερα μονογενῆ διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, κῦλον διὰ μακροῦ τοῦ υ· τὸ κοῖλον διὰ τῆς οι διφθόγγου γραφόμενον οὐκ ἀντίκειται, οὐ γὰρ μονογενές.

ΨΠΖ. Τὰ διὰ τοῦ υρον δισύλλαβα οὐδέτερα ὀξύτονα μονογενῆ διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, ξυρόν· πυρόν· στυρόν· τὸ μύρον τὸν τόνον ἀμείψαν τὴν γραφὴν ἐφύλαξεν.

ΨΠΗ. Τὰ διὰ τοῦ ερον οὐδέτερα, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ ε ψιλοῦ γράφονται· πτερόν· ξερόν· νε-

b Cod. πολλάκης.

ρόν· μέρμερον· ἔντερον· ἔλλερον τὸ κακόν· κόλερον τὸ ἀκούρευτον πρόβατον, οἱ δὲ τραχὺ ἔριον· τὸ γέῤῥον διὰ δύο ρρ γραφόμενον σεσημείωται.

ΨΠΘ. Τὰ εἰς ρον οὐδέτερα ὑπὲρ δύο συλλαβὰς, τὸ ο ἢ τὸ ι παραληγόμενα, σπάνια, καὶ σημειώσεως ἐχόμενα· ἁπλοῦν γὰρ ἐν αὐτοῖς μόνον τὸ ἀνάκτορον, καὶ τὸ σκίρον· τὰ γὰρ σύνθετα παρὰ τὸ φέρω ῥῆμα, διὸ καὶ διὰ τοῦ ο μικροῦ γράφεται· οἷον, ἔκφορον· ἀνώφορον· πρόσφορον.

ΨϞ. Τὰ διὰ τοῦ ηρον οὐδέτερα μονογενῆ διὰ τοῦ η γραφόμενα· εὔληρον· Ἄμηρον, ὄνομα ὄρους· Κύθηρον· ἄνδηρον τὸ χεῖλος τοῦ ποταμοῦ· ἄβληρον ἡ ἡνία· σεσημείωται τὸ ὄνειρον· κύπειρον, διὰ τῆς ει διφθόγγου γραφόμενον· λέγεται δὲ καὶ κύπειρον Δωρικῶς, τραπείσης τῆς ει διφθόγγου εἰς τὴν αι, ὡς ἀνώγειον ἀνώγαιον.

ΨϞΑ. Τὰ διὰ τοῦ ωρον οὐδέτερα μονογενῆ, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ ω μεγάλου γράφει τὴν παραλήγουσαν· οἷον, πέλωρον· Κύτωρον[c] οἱ δὲ ἡ Κύτωρος φασίν· κνέωρον ἀκανθῶδες φύτον· μετόπωρον· φθινόπωρον· δῶρον· Κῶρον ἡ πόλις τὸ τῆς Καππαδοκίας· μῶρον ὁ καρπὸς τῆς βάτου.

ΨϞΒ. Τὰ διὰ τοῦ υρον ὑπὲρ δύο συλλαβὰς οὐδέτερα μονογενῆ διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, πίτυρον· ἄχυρον· λέπυρον· ἄτυρον· ἐνέχυρον· κίχυρον· πάλμυρον· ἔνυρον· Ἀτάβυρον, ὄνομα ὄρους· Ἄγγυρον, ὄνομα ὄρους.

ΨϞΓ. Τὰ εἰς ες οὐδέτερα, ἀπὸ ἀρσενικοῦ τὴν γένεσιν ἔχοντα, περιεργάζεσθαι οὐ χρεών· τὴν αὐτὴν γὰρ τάσιν καὶ γραφὴν ἔχουσιν ἐν ταῖς κλητικαῖς τῶν ἀρσενικῶν· τὰ γοῦν μονογενῆ σπάνια, καὶ διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, τὸ Κυνόσαργες προπαροξύτονον, καὶ τὸ πάγηες· ὅμαργες· πεύκαες· ῥώπαες· δονάκαες.

ΨϞΔ. Τὰ εἰς ων μονοσύλλαβα ἐπὶ ἀρσενικοῦ ἢ θηλυκοῦ γένους διὰ τοῦ ω μεγάλου γράφει τὴν παραλήγουσαν τῆς γενικῆς· οἷον, κλὼν, κλωνός· πρὼν, πρωνός· Χὼν, Χωνὸς, ὄνομα ποτα-

[c] Cod. κύπωρον.

μοῦ, ἐξ οὗ καὶ ἡ Ἤπειρος Χωνία παρὰ Ἡροδότῳ· Θὼν ἀφ' οὗ καὶ ἡ γενικὴ Θωνός· σεσημείωται τὸ χθὼν χθονὸς διὰ τοῦ ο μικροῦ γραφόμενον ἐπὶ γενικῆς, ὡς μόνον θηλυκὸν ἐκ τῶν εἰς ων μονοσυλλάβων, ὡς δὲ καὶ τὸ θῶν ἐκ πάντων τῶν μονοσυλλάβων περισπώμενον, καὶ διὰ τοῦ ντ κλινόμενον, μιμησάμενον[c] *τὴν σμῶντος· κλῶντος· δρῶντος, μετοχήν.*

ΨϚΕ. *Εἰς ων μονοσύλλαβον οὐκ ἔστιν εὑρεῖν· πάντα γὰρ ὑπὲρ μίαν συλλαβήν ἐστιν· διὸ τὴν κυνὸς γενικὴν ἀπὸ τῆς κύονος συγκεκόφθαι φαμέν· ὡς καὶ ἡ κλητικὴ μαρτυρεῖ, ὦ κύων.*

ΨϚϚ. *Εἰς εξ, ἢ εἰς οξ λῆγον ὄνομα μονοσύλλαβον διὰ τοῦ ε ψιλοῦ, ἢ τοῦ ο μικροῦ, σπάνιά ἐστιν, καὶ ἱστορίας ἐχόμενα· ὁποῖον ἐστὶν τὸ κρέξ· λέξ· πρόξ· κρόξ· φλόξ· ξόρξ· δόρξ.*

ΨϚΖ. *Εἰς ηξ μονοσύλλαβον διὰ τοῦ η γραφόμενα τρία ἐστίν· σφήξ· κήξ· ῥήξ· τὰ δὲ λοιπὰ πάντα διὰ τοῦ ι· φίξ· σφίγξ· ψίξ· θρίξ· Βρὶξ, ὄνομα ἔθνους· τρίγξ εἶδος ὀρνέου, ὅπερ τινὲς καὶ διὰ τοῦ λ γράφουσιν· στίξ· ἴξ, θηρίδιόν τι ἐσθίον τὰς ἀμπέλους· πνίξ· πλίξ.*

ΨϚΗ. *Εἰς οιξ διὰ τῆς οι διφθόγγου γραφόμενον μονοσύλλαβον οὐκ ἴσμεν, ἢ μόνον τὸ προὶξ, ὃ καὶ αὐτὸ παρὰ τὸ οἶκος καὶ τὴν πρὸ πρόθεσιν σύγκειται, πρόοιξ καὶ κατὰ συγκοπὴν προίξ· τὰ δ' ἄλλα πάντα διὰ τοῦ υ ψιλοῦ· οἷον, νύξ· Στύξ· Φρύξ· Βρύξ· σφύξ· στρύξ· τρύξ· πτύξ· λύγξ· λύξ.*

ΨϚΘ. *Ἐς ωξ μονοσύλλαβον διὰ τοῦ ω μεγάλου γραφόμενα ὀλίγα ἐστὶν, καὶ σχεδὸν ἐν καταλήψει· πτώξ· πρώξ· ὦλξ· βῶξ, ὃ καὶ μόνον ἐκ πάντων περισπᾶται, παρὰ γὰρ τὸ βόαξ.*

Ω. *Τὰ εἰς αιξ μονοσύλλαβα διὰ τῆς αι διφθόγγου γραφόμενα σπάνιά ἐστιν, ἃ καὶ ὀξύνονται· ἔστιν γὰρ τὸ αἴξ ἐπὶ τοῦ ζώου· Γραίξ· ῥαίξ· καὶ τὸ Θραῖξ περισπώμενον, ὅπερ οὐδὲ ἐκφωνῇ τὸ ι· ὃ καὶ Θρήϊξ δισυλλάβως λέγεται· μόνον δὲ εἰς αιξ δισύλλαβον τὸ γύναιξ.*

ΩΑ. *Τὰ εἰς ην μονοσύλλαβα ἀρσενικὰ πάντα ὀξύνεται, καὶ διὰ τοῦ η γράφεται, εἰ μὴ δικατάληκτα εἴη καὶ, προσθέσει τοῦ*

c Cod. *μιμισάμενον.*

ος τὴν γενικὴν ποιεῖ· οἷον, σπλὴν, σπληνός· χὴν, χηνός· μὴν, μηνός· σφὴν, σφηνός· Ζὴν, Ζηνὸς, ὁ Ζεύς· ῥὴν, ῥηνὸς, τὸ πρόβατον· τὸ φρὴν μόνον θηλυκὸν, διὸ καὶ τὴν κλίσιν παρήλλαξεν, φρενὸς γάρ· καὶ ἐν τῇ συνθέσει τῶν εἰς ην πάντων τὴν αὐτὴν κατάληξιν τηρούντων· οἷον, αὐχὴν, ἀριαύχην· ποιμὴν, ἀρχιποίμην· τὸ φρὴν ἤμειψεν τὴν κατάληξιν εἰς ων· οἷον, ἄφρον, καὶ ἐν τοῖς ὁμοίοις· πρόσκειται μὴ ὄντα δικατάληκτα, διὰ τὸ ῥὶν ῥινὸς, ὃ καὶ ῥὶς λέγεται, δικατάληκτον γάρ· καὶ τὸ θὶν θινὸς, ὃ καὶ θὶς λέγεται, ὁμοίως καὶ ἶς ἰνὸς, ἡ δύναμις, ὃ καὶ ἶς λέγεται· ταῦτα γὰρ καὶ ὀξύνεται, καὶ προσθέσει τοῦ ος κλίνεται· ἀλλὰ διὰ τοῦ ι γράφονται ὡς δικατάληκτα.

ΩΒ. *Τὰ εἰς ρ μονοσύλλαβα ἐξ ἴσου τὴν διὰ τοῦ ι, καὶ τὴν διὰ τῆς ει διφθόγγου γραφὴν καθ' ἕκαστον γένος ἐκτίθεται· σεσημείωται διὰ τῆς ει διφθόγγου τὸ χεὶρ ἐπὶ τοῦ σωματικοῦ, ὅπερ ἀπὸ τοῦ ἔχω γέγονεν, ἐχεῖρ καὶ ἀποβολῇ τοῦ ε χείρ· οὕτως Ἡρωδιανὸς ἐν Ἐπιμερισμοῖς· ἔτι δὲ καὶ ἀπὸ τοῦ φθείρω, φθεῖρ· εἴρω, Εἶρ ἐπὶ τοῦ ποταμοῦ, διὰ τῆς ει διφθόγγου γραφόμενα, καὶ τοῦ Φθεὶρ ὀνόματος κυρίου διὰ τοῦ ι γραφομένου· τὰ δ' ἄλλα πάντα διὰ τοῦ η γράφονται· κὴρ τὸ θηλυκὸν, τὸ γὰρ οὐδέτερον περισπᾶται· θήρ· Σὴρ ἔθνος Μηδικόν· Τρὴρ ἔθνος Θραικικόν· ἦρ ἐπὶ τῆς ἐπικουρίας.*

ΩΓ. *Τὰ εἰς ωρ μονοσύλλαβα ἐπὶ παντὸς γένους διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, φὼρ ὁ κλέπτης· Νὼρ, ὄνομα ἔθνους· σώρ· σκὼρ τὸ οὐδέτερον, δηλοῖ δὲ τὴν κόπρον· καὶ οὐδὲν εἰς ωρ λῆγον ἐπ' εὐθείας πτώσεως διὰ τοῦ ο μικροῦ γράφεται, εἰ μὴ τὸ ἄορ καὶ ἦτορ.*

ΩΔ. *Εἰς υρ μονοσύλλαβα δύο ἐστίν· σῦρ τὸ φόρτιον, καὶ πῦρ τὸ στοιχεῖον· ἀμφότερα δὲ κλίνεται διὰ τοῦ ρος.*

ΩΕ. *Εἰς αις λήγοντα μονοσύλλαβα διὰ τῆς αι διφθόγγου γραφόμενα σπάνια κατὰ τὴν κοινὴν διάλεκτον· ἔστι γὰρ τὸ παῖς κοινὸν κατὰ γένος, ὁ παῖς γὰρ καὶ ἡ παῖς· ὃ καὶ περισπᾶται· καὶ γὰρ ἀπὸ τοῦ πάϊς ἐστίν· ἔστιν δὲ καὶ τὸ*

δαὶς ὀξύτονον μόνως θηλυκὸν, καὶ τὸ σταῖς περισπώμενον μόνως οὐδέτερον· δηλοῖ δὲ τὴν ζύμην.

ΩϚ. *Τὰ εἰς εις μονοσύλλαβα διὰ τῆς ει διφθόγγου γραφόμενα σπάνιά ἐστιν· ἔστιν γὰρ τὸ δεὶς ὀξύτονον, ὅπερ ἀεὶ μετὰ τῆς οὐ ἀποφάσεως, ἢ τῆς μὴ ἀπαγορεύσεως σύνεστιν, οὐδεὶς καὶ μηδείς· ἔστιν δὲ καὶ τὸ κλεὶς θηλυκὸν, καὶ τὸ εἷς ἀρσενικὸν ἐπὶ τοῦ ἀριθμοῦ περισπώμενον ὑγιῶς· αἱ γὰρ εἰς εις λέξεις ὀξυνόμεναι, καὶ ἔχουσαι εἰς εν οὐδέτερον μετοχαί εἰσιν· οἷον, τιθεὶς, τιθέν· νυγεὶς, νυγέν· βαρυνόμεναι δὲ ὀνόματά εἰσιν· οἷον, τιμήεις· ἐρόεις· ἐπεὶ οὖν τὸ εἷς εἶχεν οὐδέτερον τὸ ἓν, ἐχρὴν βαρύνεσθαι· οὐκ ἦν δὲ τοῦτο πῶς διὰ τὴν μονοσυλλαβίαν· ἀναγκαίως περισπᾶται, ἵνα δυνάμει βαρύνηται· ἀμέλει εἰς δισυλλαβίαν μετελθὸν βαρύνεται ἐν τῷ*

ὀφθαλμὸς ἕεις ἐπέκειτο μετώπῳ d. (Hesiod. Theog. 145.)

ἵνα τὴν ὀνοματικὴν σημασίαν ἀποφήνοι· οὕτως Ἡρωδιανὸς περὶ μονοσυλλαβῶν.

ΩΖ. *Εἰς οις λῆγον ἐπ' εὐθείας πτώσεως καὶ ἑνικοῦ ἀριθμοῦ δύο μόνα ἐστὶν φθοῖς καὶ τὸ οἶς, ἃ καὶ περισπᾶται, ὡς ἐκ δισυλλάβων συναιρεθέντα, τὸ φθόϊς καὶ ὄϊς.*

ΩΗ. *Εἰς ης μονοσύλλαβα, ὀξύτονα δὴ λέγω, καὶ περισπώμενα, ἰσοσυλλάβως καὶ περιττοσυλλάβως κλινόμενα, σπάνιά ἐστιν· τὸ βλὴς καὶ θὴς, ὁ διὰ τροφὴν δουλεύων ἐλεύθερος· παρὰ δὲ Ἀττικοῖς ὁ ἄτιμος, καὶ μηδὲν ἔχων· Κλὴς ἐπὶ τοῦ ποταμοῦ· Κρὴς δ' ἐπὶ τοῦ ἔθνους· τὸ γὰρ οὐδέτερον ἐκ συναιρέσεως ὂν περισπᾶται· Γνὴς, ὄνομα ἔθνους· γλής· φρής· σὴς ὁ σκώληξ, καὶ τὸ ποταμοῦ ὄνομα· περισπᾶται δὲ τὸ δρῆς καὶ τρῆς, ὡς δὲ τινὲς βούλονται καὶ τὸ ζῆς.*

ΩΘ. *Τὰ εἰς ης μονοσύλλαβα ἀπὸ τροπῆς τινὸς γεγενημένα, διὰ τοῦ η γράφονται, καὶ τὸν αὐτὸν τόνον φυλάττει τοῖς ἀφ' ὧν τέτραπται· τὸ γὰρ μὴν ὀξύτονον ποιεῖ τὸ μὴς καὶ αὐτὸ ὀξυνόμενον· τὸ παῖς περισπᾶται, ἀλλὰ καὶ τὸ πῆς· τὸ δαὶς*

d Cod. *μετόπῳ.*

ὀξύνεται, ἀλλὰ καὶ τὸ δής· εἷς ἐπὶ τοῦ ἀριθμοῦ περισπᾶται, ἀλλὰ καὶ τὸ ἧς· κρῆς τὸ οὐδέτερον περισπᾶται, ἀπὸ γὰρ τοῦ κρέας.

ΩΙ. Τὰ *εἰς ις μονοσύλλαβα, μὴ ὄντα δικατάληκτα διὰ τοῦ ι γραφόμενα, οὐκ ἔστι πολλά· ἔστιν γὰρ τὸ τίς ἐρωτηματικόν· κὶς ὁ σκώληξ· λὶς ὁ λέων·* Ἶς *ὁ ποταμὸς, ἐπὶ γὰρ τῆς ἰσχύος δικατάληκτον· ὅμως δὲ καὶ αὐτὸ διὰ τοῦ ι γράφεται·* Δὶς *ὁ* Ζεύς· *τὸ γοῦν θίς· ῥίς· κἂν γὰρ διὰ τοῦ ι γράφηται, ἀλλ' οὖν δικατάληκτά ἐστιν· θὶς γὰρ καὶ ῥίς.*

ΩΙΑ. Τὰ *εἰς υς μονοσύλλαβα καὶ περισπᾶται, καὶ διὰ τοῦ υ ψιλοῦ γράφεται· οἷον, μῦς· δρῦς· σῦς· ὗς· πλὴν τοῦ οἶς, ὃ δηλοῖ τὸ πρόβατον.*

ΩΙΒ. Εἰς *ος ὄνομα μονοσύλλαβον διὰ τοῦ ο μικροῦ γραφόμενον οὐκ ἔστιν εὑρεῖν· τοῦτο γὰρ ἐπὶ ἄρθρων καὶ κτητικῶν ἀντωνυμιῶν τηρεῖν ἡμᾶς ἡ τέχνη παρέδωκεν· τοίνυν τὸ ὅστις ἀόριστον ὄνομα ἀπὸ ἄρθρου ἀφελόμενος ὁ* Διονύσιος, *τῇ ἀναλογίᾳ καὶ αὐτὸς δουλεύων, διὰ τοῦ τις μορίου τὴν ἐπέκτασιν τῆς λέξεως προηνέγκατο ἐν τῷ ὅστις· ὁποῖος· καὶ τοῖς λοιποῖς· τὰ γοῦν εἰς ως μονοσύλλαβα ὀνόματα διὰ τοῦ ω μεγάλου γράφονται·* Τρώς· *δμώς· φὼς ἀρσενικῶς καὶ ὀξυτόνως· χρώς· πλὼς ὁ ἰχθύς· θώς·* Μὼς *τὸ ἔθνος· ζώς· σώς·* Κῶς *ἀρσενικὸν περισπώμενον, ἀφ' οὗ καὶ ἡ πόλις· κρώς· χώς· φὼς τὸ ἀρσενικὸν καὶ ὀξύνεται.*

ΩΙΓ. Εἰς *εψ μονοσύλλαβον διὰ τοῦ ε γράφεται· σπάνια δὲ τὰ παραδείγματα· ἔστι γὰρ τὸ κλὲψ, ὃ δηλοῖ τὸν κλέπτην· καὶ τὸ φλὲψ, καὶ τὸ σκέψ.*

ΩΙΔ. Τῶν *εἰς ηψ μονοσυλλάβων διὰ τοῦ η γραφόμενα δύο μόνα ἐστίν· θὴψ καὶ σὴψ, εἶδος ὄφεως σῆψιν ἐμποιοῦν· τὰ δὲ λοιπὰ πάντα διὰ τοῦ ι· ἶψ ὁ σκώληξ ὁ φυόμενος ἐν τοῖς κέρασιν·* Λὶψ *ὁ ἄνεμος· νίψ· σκνὶψ, ὁ μὲν* Ἀριστοτέλης *μετὰ τοῦ σ· οἱ δὲ λοιποὶ χωρὶς τοῦ σ· θρίψ· ῥὶψ πλέγμα ψιαθῶδες.*

ΩΙΕ. Τὰ *εἰς υψ μονοσύλλαβα διὰ τοῦ υ ψίλου γράφονται· οἷον, στύψ· γύψ· ῥύψ· γρύψ.*

ΩΙϚ. Τὰ εἰς ωψ μονοσύλλαβα διὰ τοῦ ω μεγάλου γράφονται· Ὦψ ὄνομα κύριον· ῥὼψ τὰ νεοθαλῆ τῶν δρυῶν· θὼψ ὁ πλᾶνος· κνὼψ εἶδος θηρίου· κλὼψ ὁ κλέπτης· σκὼψ ὁ σκώπτης· Ἀριστοτέλης δὲ χωρὶς τοῦ σ.

ΩΙΖ. Τὰ εἰς ω μακρὸν λήγοντα θηλυκὰ, κατ' ἀρχὴν λέξεως συντιθέμενα, ποτὲ μὲν φυλάττει τὸ α, ὡς ἔχει τὸ ἀγορανόμος· σκιαμαχῶ· σκιαγραφῶ· θηρανόμος, ποτὲ δὲ τρέπει εἰς ο, ὡς ἐν τῷ ἡμερόβιος· ἡμερόδοτος· ὀπωροφυλάκιον· διὸ καὶ ἀπὸ τοῦ γέα, γεομέτρης· γεολόφος· γεόμορος· ἥδονται δὲ Ἀττικοὶ τρέπειν τὸ ο εἰς ω, τοῦ ε προηγουμένου· ἐκ τούτου, γεωμέτρης· γεωλόφος· γεώμορος, διὰ τοῦ ω μεγάλου· σημειωτέον οὖν τὸ γέα διφορούμενον καὶ κατὰ τὴν γραφὴν καὶ κατὰ χρόνον· εἰ γὰρ μακρὰ παραλήγοιτο, συστέλλει τὴν λήγουσαν, γαῖα· εἰ δὲ βραχεῖα παραλήγοιτο, ἐκτείνει τὴν λήγουσαν, γέα.

ΩΙΗ. Τὰ εἰς α μακρὸν λήγοντα θηλυκὰ, ἐπὶ τέλος λέξεως συντιθέμενα, ποιεῖ τὸ τέλος εἰς ος· οἷον, σκιὰ, σκιὸς, σύσκιος· ὥρα, ἄορος· γέα, εὔγεος, καὶ εὔγεως Ἀττικῶς.

ΩΙΘ. Καθόλου πᾶν ῥῆμα ἐν κινήσει τινὶ, τῇ κατὰ τὸν ἐνεστῶτα ἢ μέλλοντα, γεννῶντα τὸ ο, ἢ μόνον, ἢ σὺν τῷ ι, διὰ τοῦ ε ψιλοῦ, ἢ διὰ τῆς ει διφθόγγου γράφει τὸ ῥῆμα, ἀφ' οὗ κεκίνηται· λόγος, λέγω· τρόπος, τρέπω· λείβω, λοιβή· στείβω, στοιβή· μείρω, μοῖρα· φέρω, φορά· σπείρω, σπορά· φθείρω[e], φθορά· σεσημείωται τὸ λήγχω ἐπὶ τοῦ λαγχάνω, διὰ τοῦ η γραφόμενον, καὶ τρέπον τὸ η εἰς ο μετὰ πλεονασμὸν τοῦ γ ἐν τῷ λέλογχα, καὶ τὸ πλήθω, ὃ δηλοῖ τὸ πάσχω, μετὰ καὶ πλεονασμοῦ τοῦ ν ἐν τῷ πέπονθα.

ΩΚ. Πᾶν ῥῆμα πλὴν τῆς πέμπτης[f] συζυγίας καὶ ἕκτης τῶν βαρυτόνων, τὴν παραλήγουσαν τοῦ δευτέρου ἀορίστου ἔχον εἰς α παραγομένην, ἔχει τὴν παραλήγουσαν τοῦ ἐνεστῶτος διὰ τοῦ η ἐκφερομένην· οἷον, ἔλαβον, λήβω· ἔτακον, τήκω· ἔπαθον, πήθω· ἔλαθον, λήθω· ἔπλαγον, πλήσσω· ἔπαγον, πήσσω· ἔδακον, δήκω· ἔπραθον, πρήθω· ἔῤῥαγον, ῥήσσω· τὸ ἔτραγον

[e] Cod. φθέρω.

[f] Cod. πέντης.

σεσημείωται διὰ τοῦ ω ἔχον τὸν ἐνεστῶτα, καὶ τρέπον αὐτὸ εἰς α εἰς τὸν δεύτερον ἀόριστον, διὰ τὸ δεύτερον ἀόριστον ἀεὶ διχρόνῳ παραλήγεσθαι· πρόσκειται πλὴν τῆς ε' καὶ ἕκτης συζυγίας τῶν βαρυτόνων, ὅτι ἐπὶ αὐτῶν ὁ δεύτερος ἀόριστος διὰ τοῦ α ἐκφερόμενος, τὸν ἐνεστῶτα ἔχει οὐ[g] διὰ τοῦ η, ἀλλὰ διὰ τῆς ει διφθόγγου, ἢ διὰ τῆς αι διφθόγγου ἐκφερόμενος κατὰ τὴν πρὸ τέλους· οἷον, κείρω, ἔκαρον· φαίνω, ἔφανον· δαίω, ἔδαον.

ΩΚΑ. Ὅσα τῶν ῥημάτων εἶχεν ἐν τῇ παραληγούσῃ τοῦ ἐνεστῶτος τὴν ευ δίφθογγον, εἶχεν τὴν παραλήγουσαν τοῦ δευτέρου ἀορίστου διὰ τοῦ υ ψιλοῦ βραχέως ἐκφερομένην· οἷον, φεύγω, ἔφυγον· ζεύγω, ἔζυγον· πεύθω, ἔπυθον· κεύθω, ἔκυθον· ἐλεύθω, ἤλυθον, καὶ ἐν συγκοπῇ ἦλθον· τεύχω, ἔτυχον.

ΩΚΒ. Ὅσα ῥήματα ἐν τῷ ἐνεστῶτι εἶχεν τὴν ει δίφθογγον κατὰ τὴν παραλήγουσαν, ταῦτα διὰ τοῦ ι εἶχεν τοῦ δευτέρου ἀορίστου τὴν παραλήγουσαν· οἷον, λείβω, ἔλιβον· ἀμείβω, ἤμειβον· πείθω, ἔπιθον· λείπω, ἔλιπον[h].

ΩΚΓ. Τὰ διὰ τοῦ εβω ῥήματα δισύλλαβα βαρύτονα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, σέβω· φέβω τὸ φοβοῦμαι.

ΩΚΔ. Τὰ διὰ τοῦ επω ῥήματα δισύλλαβα βαρύτονα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, βλέπω· δρέπω· ἕπω· τρέπω· σκέπω· λέπω· νέπω τὸ ἐννέπω.

ΩΚΕ. Τὰ διὰ τοῦ οπτω ῥήματα δισύλλαβα βαρύτονα διὰ τοῦ ο μικροῦ γράφει τὴν παραλήγουσαν· οἷον, κόπτω τὸ διαιρῶ, ἢ τὸ μαλάσσω· ὄπτω τὸ βλέπω, καὶ τὸ περισπώμενον ὁμοίως· τὸ σκώπτω ἐπὶ τοῦ λοιδορῶ σεσημείωται διὰ τοῦ ω μεγάλου.

ΩΚϚ. Τὰ διὰ τοῦ ιπτω δισύλλαβα διὰ τοῦ ι γράφονται· οἷον, πίπτω· ῥίπτω· ἴπτω· λίπτω· ἴπτω βλάπτω, ὅπερ ψιλοῦται· ἐπὶ γὰρ τοῦ πετῶ δασύνεται, καὶ περισπᾶται· νίπτω· οἷς ἀκόλουθον καὶ τὸ ἐνίπτω· σκηρίπτω· κἂν μὴ δισύλλαβα.

ΩΚΖ. Τὰ διὰ τοῦ υπτω δισύλλαβα διὰ τοῦ υ ψιλοῦ γράφονται·

g Cod. ὁ.

h Cod. ἔλειπον.

οἷον, θρύπτω· θύπτω τὸ τυφλῶ· κύπτω· κρύπτω· ῥύπτω· τύπτω· δύπτω· οἷς ὅμοια κατὰ τὴν γραφὴν οὐ κατὰ συλλαβῶν ποσότητα, τὸ καλύπτω· κορύπτω.

ΩΚΗ. Τὰ διὰ τοῦ επτω βαρύτονα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, κλέπτω· σκέπτω· χαλέπτω.

ΩΚΘ. Τὰ διὰ τοῦ εφω δισύλλαβα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, δέφω· τρέφω· στρέφω· στέφω· ψέφω.

ΩΛ. Τὰ διὰ τοῦ υφω βαρύτονα διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, γλύφω· στύφω· τύφω.

ΩΛΑ. Τὰ διὰ τοῦ ηφω δισύλλαβα σπάνια· δύο γάρ εἰσι τὸν ἀριθμόν· τὸ μὲν διὰ τοῦ η γραφόμενον, τὸ νήφω ἐπὶ τοῦ φρονῶ, ἐξ οὗ καὶ τὸ νεφάλαιος· ἐπὶ δὲ τοῦ χιωνίζω διὰ τῆς ει διφθόγγου· παρ᾽ οὗ καὶ νειφάλιος διὰ διφθόγγου, καὶ νιφὰς καὶ νιφετὸς διὰ τοῦ ι, ἀφ᾽ οὗ καὶ νέφος· ἐξ οὗ καὶ ὁ μέσος παρακείμενος νένοφα δίχα τοῦ ι, ὡς φησὶν Ἡρωδιανὸς ἐν τῷ περὶ συζυγιῶν.

ΩΛΒ. Τὰ διὰ τοῦ ηγω δισύλλαβα τὸ η παραληγόμενα σπάνιά ἐστιν· οἷον, θήγω τὸ ἀκονῶ, πρὸς ἀντιδιαστολὴν τοῦ θίγω τοῦ διὰ τοῦ ι γραφομένου, τοῦ δηλοῦντος τὸ ἐγγίζω· λήγω· τμήγω.

ΩΛΓ. Τὰ εἰς γω λήγοντα ὑπὲρ δύο συλλαβὰς περισπώμενα, τὸ η παραλήγεται, ἔχοντα ὄνομα προκατάρχον σύνθετον εἰς γος τὸ η παραληγόμενον· οἷον, ποδηγὸς, ποδηγῶ· στρατηγὸς, στρατηγῶ· κυνηγὸς, κυνηγῶ· φορτηγὸς, φορτηγῶ· τὸ ἀρήγω οὐχ οὕτως ἔχον, τὴν γραφὴν ἐφύλαξεν, τὸν τόνον δὲ καὶ τὴν κλίσιν ἐνήλλαξεν, ὁμοίως τὸ πεπλήγω· κεκλήγω.

ΩΛΔ. Τὰ διὰ τοῦ εγω δισύλλαβα βαρύτονα διὰ τοῦ ε γράφονται· οἷον, λέγω· φλέγω· στέγω· οἷς ὅμοιον τὸ ἀλέγω· ὀρέγω· κατὰ τὴν γραφὴν καὶ κατὰ τόνον· ἀλλ᾽ οὐ κατὰ ποσότητα συλλαβῶν.

ΩΛΕ. Τὰ εἰς γω λήγοντα δισύλλαβα βαρύτονα τὸ ω παραληγόμενα, σπάνια· οἷον, τμώγω· τρώγω· πλὴν τοῦ μογῶ, τοῦτο γὰρ περισπώμενον· τὸ λωγῶ περισπώμενον, διὰ τοῦ ω μεγάλου γραφόμενον, οὐ γνήσιον εἶχεν τὸ ω ἀλλὰ ποιητικόν.

ΩΛϚ. Τὰ διὰ τοῦ εκω δισύλλαβα βαρύτονα διὰ τοῦ ε ψιλοῦ γράφονται· πλέκω· τέκω· κρέκω· δέκω.

ΩΛΖ. Τὰ διὰ τοῦ ηκω δισύλλαβα τὸ η παραληγόμενα σπάνια, βαρύτονά τε καὶ περισπώμενα· ὡς ἔχει τὸ τήκω· δήκω, ἐξ οὗ τὸ δαγκάνω· ἥκω τὸ παραγίνομαι, ὅπερ ἐν μὲν τοῖς ἐνεργητικοῖς διὰ τοῦ η, ἐν δὲ τοῖς παθητικοῖς διὰ τοῦ ι γράφεται, ὡς ἔχει τὸ ἀφίκομαι καὶ ἀφίγμαι· ληκῶ· μηκῶ· σφηκῶ, περισπώμενα.

ΩΛΗ. Τὰ διὰ τοῦ υκω, μὴ παρὰ τὸ οἶκος γινόμενα, ὁμοίως δὲ καὶ τὰ διὰ τοῦ υσκω, κἂν τε βαρύτονα, κἂν τε περισπώμενα, διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, μυκῶ· κυκῶ· ἐρύκω· ἀλύσκω· μεθύσκω· πινύσκω· διδύσκω· τιτύσκω· τὸ οἰκῶ περισπώμενον, καὶ παροικῶ, διὰ διφθόγγου γράφονται.

ΩΛΘ. Τὰ εἰς σκω βαρύτονα ῥήματα παρὰ μέλλοντα παρηγμένα, τὴν αὐτὴν τῷ μέλλοντι φυλάττει γραφὴν κατὰ τὴν παραλήγουσαν· οἷον, τρώσω, τρώσκω, καὶ τιτρώσκω· γνώσω, γνώσκω, καὶ γιγνώσκω· θνήσω, θνήσκω· μνήσω, μνήσκω· ἀρέσω, ἀρέσκω· φαύσω, φαύσκω, καὶ πιφαύσκω· βρώσω, βρώσκω, καὶ βιβρώσκω· ἀλθήσω, ἀλθήσκω· πιπήσω, πιπίσκω· μαχέσω, μαχέσκω· ἀέσω, ἀέσκω· δείσω, διδείσκω· καὶ ἐπεὶ πρὸ τοῦ σκ ἐν ἁπλῇ καὶ ἀκινητῷ λέξει ἡ ει δίφθογγος οὐκ ἔστιν, ὑπέρθεσις γίνεται τοῦ ε, καὶ γίνεται διδίσκω, τῆς μὲν πρώτης διὰ τῆς ει διφθόγγου· τῆς δὲ μετ' αὐτὴν διὰ τοῦ ι διὰ τὴν σύνταξιν· σεσημείωται τὸ εὑρίσκω· τελίσκω· γαμίσκω· κυΐσκω· ὀφλίσκω, ἀφ' οὗ τὸ ὀφλισκάνω· ἁλίσκω· ἀπαφίσκω· ἀραρίσκω, διὰ τοῦ ι γράφεται· τὸ δίσκω οὐ παρὰ μέλλοντα ἀλλὰ παρ' ὄνομα.

ΩΜ. Τὰ διὰ τοῦ υχω δισύλλαβα βαρύτονα, μὴ ἀπὸ ὀνομάτων γενόμενα, διὰ μακροῦ τοῦ υ γράφεται· οἷον, τρύχω· ψύχω· σμύχω· βρύχω· τὸ στοιχῶ διὰ τῆς οι διφθόγγου, ὡς ἀπὸ τοῦ ὀνόματος γεγονὸς, ὡς καὶ παρὰ τὸ μοιχὸς, μοιχῶ.

ΩΜΑ. Τὰ διὰ τοῦ εχω δισύλλαβα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, βρέχω· δέχω· ἔχω· λέχω· τρέχω.

ΩΜΒ. Τὰ διὰ τοῦ ηχω δισύλλαβα βαρύτονα, εἰ μή τι εὑρεθείη

ἐν κινήσει γεννῶν τὸ ο, διὰ τοῦ η γράφονται· οἷον, νήχω, τὸ κολυμβῶ· σμήχω· τρήχω, ἐξ οὗ τὸ

τετρήχει δ' ἀγορή. (Il. B. 95.)

ψήχω· τὸ βληχῶ· βρηχῶ· ἠχῶ περισπώμενα τὴν γραφὴν φυλάξαντα τὴν αὐτὴν τὸν τόνον ἤμειψεν.

ΩΜΓ. Τὰ ἔχοντα ἐν τῇ πρωτῇ καὶ δευτέρᾳ συλλαβῇ τὸ αὐτὸ σύμφωνον, ἢ καὶ ἀντίστοιχον, περισπώμενα ῥήματα, διὰ συνεσταλμένου τοῦ ι γράφονται· οἷον, λιλῶ· διδῶ· βιβῶ· κιχῶ· τιθῶ· κιχρῶ.

ΩΜΔ. Τὰ εἰς χω λήγοντα δισύλλαβα περισπώμενα διὰ μικροῦ τοῦ ο γράφει τὴν παραλήγουσάν· οἷον, λοχῶ· τροχῶ· βροχῶ· ὀχῶ.

ΩΜΕ. Τὰ εἰς χω λήγοντα δισύλλαβα περισπώμενα διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν, ἢ διὰ τοῦ υ· οἷον, τυχῶ· στιχῶ· τριχῶ· διχῶ· κιχῶ· πλὴν τοῦ στοιχῶ· ἀπὸ γὰρ τοῦ στοῖχος.

ΩΜϚ. Τὰ εἰς ω λήγοντα δισύλλαβα ὁριστικὰ ἐνεστῶτος χρόνου οὐδέποτε βαρύνεται, ἔχοντα πρὸ τέλους τὸ ι συνεσταλμένον, ἑνὸς ἀφώνου ἐπαγομένου· ὅσα δὲ τοιαῦτα εὑρεθῇ ὑποτακτικά ἐστιν· ἐὰν λίπω· ἐὰν θίγω· ἐὰν ἴδω· διὸ καὶ τοῦ θήξω μέλλοντος ὁ ἐνεστῶς θίγω μὴ λεγέσθω διὰ τὸ μαχόμενον τοῦ χαρακτῆρος· πρόσκειται ἓν ἤφωνον, διὰ τὸ ἴπτω· λίπτω· νίπτω· πίπτω.

ΩΜΖ. Τὰ εἰς δω δισύλλαβα βαρύτονα, ἀπὸ συμφώνου ἀρχόμενα, μὴ ἐν κινήσει τινὶ γεννῶντα τὸ ο, διὰ τοῦ η γράφονται· οἷον, κήδω τὸ φροντίζω· μήδω τὸ βουλεύομαι· σεσημείωται τὸ ἥδω, ὃ δηλοῖ τὸ τέρπω, μὴ ἀπὸ συμφώνου ἀρχόμενον, καὶ διὰ τοῦ η γραφόμενον, σεσημείωται τὸ φείδω, διὰ τῆς ει διφθόγγου γραφόμενον· τὸ εἴδω οὐκ ἀντίκειται, ἐποίησεν γὰρ ἐν κινήσει τὸ οἶδα· γνωστέον δὲ ὅτι διφορεῖται περὶ τόνον.

ΩΜΗ. Τὰ διὰ τοῦ εδω δισύλλαβα βαρύτονα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, σκέδω· πέδω· ἔδω τὸ ἐσθίω· μέδω· τὸ αἰδῶ ἐπὶ τοῦ αἰσχύνομαι καὶ περισπᾶται, καὶ διὰ τῆς αι διφθόγ-

γου γράφεται, καὶ διφορεῖται κατὰ τὸν μέλλοντα· αἰδήσω γὰρ καὶ αἰδέσω.

ΩΜΘ. Τὰ εἰς δω περισπώμενα, πρὸ τέλους ἔχοντα τὸ ο, διὰ τοῦ ο μικροῦ γραφόμενα σπάνια· σποδῶ· μοδῶ· τὸ νωδῶ διὰ τοῦ ω μεγάλου· ἔστιν δὲ συνθέτον παρὰ τὸ νω τὸ στερητικὸν ἐπίῤῥημα, καὶ παρὰ τὸ δέον, ὃ δηλοῖ τὸ πρέπον.

ΩΝ. Τὰ παρ' ὄνομα εἰς δω λήγοντα ῥήματα περισπώμενα, ἀπὸ τῶν εἰς δος ὀνομάτων τῇ ωι διφθόγγῳ παραληγομένων γινόμενα, φυλάττει τὴν ωι δίφθογγον ἐν τῇ πρὸ τέλους· οἷον, μελῳδῶ· ὑμνῳδῶ· τραγῳδῶ.

ΩΝΑ. Τὰ διὰ τοῦ ινδῶ ῥήματα περισπώμενα διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν· κυλινδῶ· ἀλινδῶ· καλινδῶ.

ΩΝΒ. Τὰ διὰ τοῦ εθω ῥήματα, δισύλλαβά τε καὶ ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ ε ψιλοῦ γράφεται, καὶ βαρύνεται· οἷον, σπέθω· σχέθω· μέθω· ἔθω· κενέθω· ἀρέθω· κερέθω· φαέθω· τελέθω· ἐγερέθω· νεμέθω· φλεγέθω· τὸ τηλεθῶ περισπώμενον σεσημείωται, τὴν τρίτην ἀπὸ τέλους ἔχον φύσει μακράν· καὶ τὸ αἴθω ἐπὶ τοῦ καίω, διὰ τῆς αι διφθόγγου γραφόμενον.

ΩΝΓ. Τὰ διὰ τοῦ ηθω δισύλλαβα διὰ τοῦ η γράφει τὴν παρατέλευτον· οἷον, γήθω· δήθω, ἐξ οὗ παράγωγον τὸ δηθύνω· κνήθω· λήθω· μήθω· νήθω· πρήθω· πλήθω· τὸ πήθω ἐπὶ τοῦ πάσχω, διὰ τοῦ η· ἐπὶ γὰρ τοῦ συντίθεμαι, διὰ τῆς ει διφθόγγου, ὡς καὶ τὸ πέποιθα μαρτυρεῖ· σεσημείωται τὸ βρίθω διὰ τοῦ ι γραφόμενον.

ΩΝΔ. Τὰ διὰ τοῦ ωθω δισύλλαβα βαρύτονα διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, κλώθω· γνώθω, ἀφ' οὗ τὸ ἐγνώσθη· βρώθω ἀφ' οὗ τὸ βέβρωθα· πρώθω· ὤθω· τοῦτο κλίνεται καὶ ὡς ἀπὸ περισπωμένου· γίνεται δὲ καὶ ὠθίζω· σεσημείωται δὲ ὅτε δηλοῖ τὸ κινοῦμαι διὰ τοῦ ο μικροῦ γραφόμενον, ὡς καὶ ὁ ποιητής,

οὐδ' ὄθομαι κοτέοντος. (Il. A. 181.)

ΩΝΕ. Τὰ διὰ τοῦ υθω ὑπὲρ δύο συλλαβὰς σπάνια, καὶ διὰ τοῦ υ ψιλοῦ γράφεται· μινύθω· φθινύθω· βαρύθω.

ΩΝϚ. Τὰ διὰ τοῦ εζω ῥήματα δισύλλαβα οὐδέποτε τῇ αι διφθόγγῳ παραλήγεται· οἷον, ῥέζω· ἕζω· τὸ παίζω σεσημείωται διὰ τῆς αι διφθόγγου· ἀπὸ γὰρ τοῦ παῖς, παιδίζω, καὶ κατὰ συγκοπὴν παίζω· ὡς καὶ παρὰ τὸ δάνειον, δανειάζω, καὶ ἐν συγκοπῇ δανείζω.

ΩΝΖ. Τὰ διὰ τοῦ ιζω ῥήματα, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ι γράφονται· οἷον, τρίζω· σχίζω· πρίζω· κτίζω· χαρίζω· χωρίζω· βαπτίζω· ὀνειδίζω· αἰκίζω· σεσημείωται τὸ χρῄζω διὰ τοῦ η γραφόμενον καὶ διὰ τοῦ ι ἀνεκφωνήτου· καὶ τὸ δανείζω διὰ τῆς ει διφθόγγου· γέγονεν δὲ ἀπὸ τοῦ δάνειον, δανειάζω, καὶ ἐν συγκοπῇ δανείζω· τὸ δὲ χρῄζω παρὰ τὸ χεὶρ, χειρὸς, χειρίζω, ἀποβολῇ τοῦ ι χερίζω, καὶ τροπῇ τοῦ ε εἰς η, καὶ καθ' ὑπερβιβασμὸν χρηΐζω, καὶ ἐν συναιρέσει χρῄζω, καὶ μένει τὸ ι μὴ ἐκφωνούμενον.

ΩΝΗ. Τὰ εἰς ζω λήγοντα ῥήματα βαρύτονα τὸ ο παραληγόμενα τρία ἐστίν· δύο μὲν ὑπὲρ δύο συλλαβάς· ἁρμόζω· δεσπόζω· καὶ δισύλλαβον ἓν τὸ ὄζω· τοῦτο δὲ ἐνίοτε καὶ περισπώμενον λέγεται· ἐξ οὗ καὶ ὁ μέλλων ὀζέσω, ἀλλὰ καὶ ὀζήσω διὰ τοῦ η, ὡς καὶ Ἀριστοφάνης,

λίθος τὶς ὄζησεν τεθυμιαμένος.

ΩΝΘ. Τὰ εἰς ζω λήγοντα ὑπεσταλμένον, πλὴν τοῦ δεσπόζω· ἁρμόζω· ὄζω, περὶ ὧν διείληπται, διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, κρώζω· οἰμώζω· πατρώζω· μητρώζω· χρώζω· τὸ σῴζω· πλῴζω σὺν τῷ ι, εὕρηνται γὰρ ἐν διαιρέσει· σωΐζω· πλωΐζω, τρισυλλάβως.

ΩΞ. Τὰ διὰ τοῦ υζω ὑπὲρ δύο συλλαβὰς, ἢ καὶ δισύλλαβα, διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, κλύζω· κνύζω· σφύζω· φύζω· γογγύζω· ἑρπύζω· ἑλκύζω· ἀτύζω· λαγαρύζω· ὀτοτύζω· ποππύζω· ὀλοφύζω· ὀλολύζω· κελαρύζω· μασταρύζω· πλὴν τοῦ ἀθροίζω [i]· τοῦτο γὰρ διὰ τῆς οι διφθόγγου γράφεται· γέγονεν γὰρ παρὰ τὸ θροῦς, θροὸς, θροΐζω, καὶ μετὰ τοῦ α τοῦ δηλοῦντος τὸ ὁμοῦ, ἀθροΐζω, καὶ κατὰ συναίρεσιν ἀθροίζω.

[i] Cod. ἀρθροίζω.

ΩΞΑ. Τὰ διὰ τοῦ *ησσω* βαρύτονα, ἐπὶ δευτέρου ἀορίστου τὴν πρὸ τέλους διὰ τοῦ *α* παράγοντα, τὴν τοῦ ἐνεστῶτος παραλήγουσαν διὰ τοῦ *η* προφέρονται· οἷον, πήσσω, ἔπαγον γάρ· ῥήσσω, ἔραγον· πλήσσω, ἔπλαγον· τοῦτο δὲ τὸ ῥῆμα ἐπὶ μὲν τοῦ σωματικοῦ διὰ τοῦ *η* ἡ παραλήγουσα τοῦ δευτέρου ἀορίστου παραλόγως καθὸ ὁ δεύτερος ἀόριστος ἀπὸ βαρυτόνων τε καὶ περισπωμένων εἴωθε διχρόνῳ παραλήγεσθαι· ἐπὶ δὲ τοῦ ψυχικοῦ διὰ τοῦ *α*· ἔπλαγον, ἐπλάγην, καὶ κατεπλάγην.

ΩΞΒ. Τὰ διὰ τοῦ *ισσω* ἀπὸ μέλλοντος ἐν διπλασιασμῷ τοῦ *σ* εἰς ἐνεστῶτα μετηγμένα, διὰ τοῦ *ι* γράφονται· οἷον, ἴω τὸ προτείνω, ἴσω ὁ μέλλων, καὶ ἐν διπλασιασμῷ τοῦ *σ* ἐνεστὼς, ἴσσω· λιτῶ, λίσω, καὶ λίσσω· πτίω, πτίσω, καὶ πτίσσω· οἷς ἀκόλουθον καὶ τὸ φρίσσω.

ΩΞΓ. Τὰ διὰ τοῦ *ισσω* ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ *ι* γράφεται· δεδίσσω· καὶ δειδίσσω· αἰνίσσω· δρομίσσω· ἐνίσσω τὸ ἐκφοβῶ, καὶ

ἐκπάγλως ἐπέεσσιν ἐνισσέμενος. (Il. O. 198.)

ΩΞΔ. Τὰ διὰ τοῦ *εσσω* ῥήματα ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ *ε* ψιλοῦ γράφονται· οἷον, πυρέσσω· ἐρέσσω· ἀηθέσσω· κυνηγέσσω.

ΩΞΕ. Τὰ διὰ τοῦ *υσσω* πάντα διὰ τοῦ *υ* ψιλοῦ γράφονται· οἷον, πτύσσω· μύσσω· νύσσω· ἀφύσσω· ὀρύσσω· κηρύσσω· κορύσσω.

ΩΞϚ. Τὰ διὰ τοῦ *ωσσω* πάντα διὰ τοῦ *ω* μεγάλου γράφονται· οἷον, πτώσσω· ῥώσσω· ὀνειρώσσω· ἀμβλυώσσω· τυφλώσσω, ἀγρώσσω· ὑπνώσσω· λιμώσσω· νεώσσω· καρδιώσσω.

ΩΞΖ. Τὰ διὰ τοῦ *ελω* δισύλλαβα, βαρύτονά τε καὶ περισπώμενα, διὰ τοῦ *ε* ψιλοῦ γράφονται· οἷον, θέλω· πέλω· μέλω· ἕλω, τό τε ψιλὸν καὶ τὸ δασυνόμενον· μελῶ· τελῶ.

ΩΞΗ. Τὰ διὰ τοῦ *εμω* δισύλλαβα βαρύτονα διὰ τοῦ *ε* ψιλοῦ γράφονται· οἷον, βρέμω· τρέμω· νέμω· δέμω· δρέμω· χρέμω τὸ ἠχῶ· τέμω· γέμω· τὸ κρεμῶ· θεμῶ· πολεμῶ, διαφορὰ περὶ τόνον, οὐ περὶ τὴν γραφήν.

ΩΞΘ. Τὰ διὰ τοῦ *ινω* δισύλλαβα ἔχοντα πρὸ τοῦ *ν* ἀμετάβολον,

καὶ περισπώμενα, τὴν ἄρχουσαν ἔχοντα διὰ τοῦ ι, δύο μόνα ἐστὶν, τὸ κιρνῶ καὶ πιλνῶ.

ΩΟ. Τὰ διὰ τοῦ ινω δισύλλαβα, εἴτε μακρὸν ἔχει τὸ ι, εἴτε βραχὺ, μὴ ἔχοντα ἐν τῷ μέλλοντι ἀναφαινόμενον τὸ ε, διὰ μόνου τοῦ ι γράφεται· οἷον, σίνω· πίνω· φθίνω· κλίνω· τίνω τὸ ἀποδίδωμι, οὗ παράγωγον τὸ τιννύω· γίνω τὸ κατασκευάζω, ἐπὶ γὰρ τοῦ γεννῶ διὰ τῆς ει διφθόγγου· κτείνω δὲ καὶ τείνω τὸ ἁπλῶ, διὰ τῆς ει διφθόγγου, τενῶ γὰρ καὶ κτενῶ οἱ μέλλοντες.

ΩΟΑ. Τὰ διὰ τοῦ εινω πάντα ἔχοντα ἐν τῷ μέλλοντι τὸ ε ἀναφαινόμενον, κἄν τε δισύλλαβα, κἄν τε ὑπὲρ δύο συλλαβὰς εἴη, διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, τείνω, τενῶ γὰρ ὁ μέλλων· ὁμοίως μείνω, μενῶ γάρ· κτείνω, κτενῶ· θείνω τὸ τύπτω, θενῶ γάρ.

ΩΟΒ. Τὰ διὰ τοῦ ειρω πάντα, δισύλλαβά τε καὶ ὑπὲρ δύο συλλαβὰς, ἔχοντα τὸ ε ἀναφαινόμενον, διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, κείρω, κερῶ· μείρω, μερῶ· σπείρω, σπερῶ· φθείρω, φθερῶ· δείρω, δερῶ· ἀείρω, ἀερῶ· οἰκτείρω, οἰκτερῶ· ἐγείρω, ἐγερῶ· ἀγείρω, ἀγερῶ.

ΩΟΓ. Τὰ διὰ τοῦ ενω δισύλλαβα βαρύτονα, μὴ ἀπὸ ὀνόματος παρῆγμενα, μὴ ἔχοντα ἐν τῷ μέλλοντι ἀναφαινόμενον τὸ α, διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, στένω· σθένω· μένω τὸ οἰκῶ, ἐπὶ γὰρ τοῦ ὀργίζομαι διὰ τῆς αι διφθόγγου· πένω· ψένω τὸ τύπτω· φένω τὸ φονεύω, ἐπὶ γὰρ τοῦ λάμπω διὰ τῆς αι διφθόγγου.

ΩΟΔ. Τὰ εἰς νω δισύλλαβα περισπώμενα ἀπὸ γενικῆς ὀνόματος παρηγμένα, διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, κτεὶς, κτενὸς, κτενῶ· κενοῦ, κενῶ· φρενὸς, φρενῶ· ἑνὸς, ἑνῶ· ξένου, ξενῶ· στενοῦ, στενῶ τὸ περισπώμενον, οὗ τὸ δεύτερον στενοις· περὶ γὰρ τοῦ στένω βαρυτόνου, καὶ πένω, καὶ μένω προείρηται.

ΩΟΕ. Τὰ διὰ τοῦ εινω παράγωγα διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, φαείνω· ἀλεείνω· ἐλεείνω· τὸ ὀρίνω· ὠδίνω, οὐ παράγωγα, διὸ καὶ διὰ τοῦ ι γράφονται.

ΩΟϚ. Καθόλου τὰ διὰ τοῦ υνω, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, πλύνω· δύνω· μολύνω· κρατύνω· φαιδρύνω· ὀτρύνω.

ΩΟΖ. Τὰ διὰ τοῦ αινω δισύλλαβά τε καὶ ὑπὲρ δύο συλλαβὰς, ἔχοντα κατὰ τὸν μέλλοντα ἀναφαῖνον τὸ α, διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, χαίνω, χανῶ· μαίνω, τὸ ὀργίζομαι, μανῶ· βαίνω, βανῶ· μελαίνω, μελανῶ· ὑφαίνω, ὑφανῶ· μιαινῶ, μιανῶ.

ΩΟΗ. Τὰ διὰ τοῦ αιρω, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς, ἔχοντα ἐν τῷ μέλλοντι ἀναφαῖνον τὸ α, διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, χαίρω, χαρῶ· αἴρω, ἀρῶ· γεραίρω, γεραρῶ· μαρμαίρω, μαρμαρῶ.

ΩΟΘ. Τὰ διὰ τοῦ ερω, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς, ἐν κινήσει τινὶ γεννῶντα τὸ ο, τὸ ε ψιλὸν παραλήγεται· οἷον, δέρω, δορά· φέρω, φορά· ἀγείρω, ἀγερῶ, ἀγορά· καὶ εἴτι ὅμοιον.

ΩΠ. Καθόλου τὰ διὰ τοῦ υρω βαρύτονα, μὴ ἀπὸ ὀνόματος ἔχοντα τὴν οι δίφθογγον παρηγμένα, διὰ τοῦ υ ψιλοῦ γράφονται, κἄν τε δισύλλαβα εἴη, κἄν τε ὑπὲρ δύο συλλαβάς· οἷον, φύρω· σύρω· δύρω· ὀδύρω· ὀλοφύρω· πορφύρω· μορμύρω· πρόσκειται βαρύτονα, μή τε ἀπὸ ὀνόματος ἔχον τὴν οι δίφθογγον παρηγμένα, διὰ τὸ μοῖρα μοιρῶ, καὶ ἄμοιρος ἀμοιρῶ, διὰ τῆς οι διφθόγγου γραφόμενα.

ΩΠΑ. Τὰ διὰ τοῦ αιω δισύλλαβα, ἢ καὶ ὑπὲρ δύο συλλαβὰς, μὴ μελετήσαντα παρασχεῖν συναίρεσιν, ἢ ἐν κινήσει τινὶ γεννᾶν τὸ ο, ἢ τὸ υ προσλαμβάνειν ἐν τῷ μέλλοντι, διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, κλαίω· καίω· παίω· ταῦτα δὲ τὰ τρία οὐ προσέλαβεν τὸ υ ἐν τῷ μέλλοντι, ἀλλὰ τροπὴν ἔπαθεν τοῦ ι εἰς τὸ υ· ἰτέον οὖν αὖθις ἐπὶ τὰ παραδείγματα· ναίω τὸ οἰκῶ· ἐπὶ γὰρ τοῦ κλίνω διὰ τοῦ ε ψιλοῦ· προσλαμβάνει γὰρ τὸ υ ἐν τῷ νεύσω· γαίω τὸ γαυριῶ· ῥαίω· παλαίω· κεραίω· ὠλιλαίω· ἀγαίω· σκαλαίω· χαλαίω· κρεμαίω· διχαίω· πρόσκειται μὴ μελετήσαντα πάσχειν συναίρεσιν, διὰ τὸ ποιέω, ποιῶ· νοέω, νοῶ· καὶ εἴτι

ἄλλο τοιοῦτον διὰ τοῦ ε ψιλοῦ γράφεται· πρόσκειται μὴ ἐν κινήσει τινὶ γεννῶντα τὸ ο, διὰ τὸ ῥέω, ῥοὴ, καὶ πνέω, πνοή· καὶ εἴτι ἄλλο τοιοῦτον· ταῦτα γὰρ καὶ τὸ υ προσλαμβάνει ἐν τῷ ῥεύσω· πνεύσω· μέλλοντι· καὶ ὁμοίως δὲ καὶ ἐν τῷ νεύσω· χεύσω· καὶ τρέπει τὸ ε εἰς ι ἐν τῷ χοὴ καὶ προχοή· σημειωτέον τὸ κέω, ἐξ οὗ τὸ κέομαι καὶ ἐν πλεονασμῷ τοῦ ι, καὶ συγκοπῇ τοῦ ο κεῖμαι· σημειωτέον διὰ τοῦ ε ψιλοῦ γραφόμενον καὶ τὸ ἔω, ὃ δηλοῖ τὸ ὑπάρχω· ἐξ οὗ τὸ εἰμὶ, καὶ τὸ ἔω τὸ πορεύομαι, ἐξ οὗ τὸ εἶμι τὸ προπερισπώμενον, καὶ τὸ ἕω τὸ δασυνόμενον, καὶ βαρυνόμενον· οὗ παράγωγον, τὸ ἑννύω· ἀφ' οὗ καὶ ἐν πλεονασμῷ τοῦ ζ ἕζω· δηλοῖ γὰρ τὸ ἕω τὸ δασυνόμενον πλείονα.

ΩΠΒ. Τὰ παρὰ μέλλοντα ἢ ἐνεστῶτα περισπώμενα, ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ ειω γινόμενα παράγωγα, διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, θῶ, θείω· σῶ, σείω, τοῦτο δὲ καὶ σαίνω γίνεται· κῶ τὸ ὑπνῶ, ἐξ οὗ κῶμα ὁ ὕπνος· κείω, οὗ ὁ μέλλων κείσω, καὶ παθητικὸν κείομαι, καὶ κατὰ συγκοπὴν κεῖμαι.

ΩΠΓ. Τὰ διὰ τοῦ ιω καθαροῦ ὑπὲρ δύο συλλαβὰς περισπώμενα, μὴ ἀπὸ ὀνομάτων ἔχοντα τὴν γένεσιν, τῶν διὰ τῆς ει διφθόγγου γραφομένων, διὰ τοῦ ι γράφονται· οἷον, μηνιῶ· μητιῶ· ἀτιῶ· μειδιῶ· ἀντωνιῶ· ἀκηδιῶ· ἐρυθριῶ· κοπιῶ· ἀγαλλιῶ· ἀξιῶ· μετριῶ· πρόσκειται μὴ ἀπὸ ὀνόματος γεγενημένα ἔχοντα τὴν ει δίφθογγον, διὰ τὸ οἰκεῖος, οἰκειῶ· τέλειος, τελειῶ· ἀνδρεῖος, ἀνδρειῶ· ἀχρεῖος, ἀχρειῶ· ἀπὸ ὀνομάτων γενόμενα, καὶ φυλάττοντα τὴν ει δίφθογγον· τὸ ἐσθίω· ἀτίω· ἀΐω· τὸν τόνον ἀμείψαντα, τὴν διὰ τοῦ ι γραφὴν ἐφύλαξαν· οἷς, ἀκόλουθον καὶ τὸ μαστιῶ, ἐκ τοῦ μαστίζω γενόμενον.

ΩΠΔ. Τὰ διὰ τοῦ ειω δισύλλαβα βαρύτονα, κατὰ πλεονασμὸν τοῦ ι γενόμενα, διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, πνέω, πνείω· χέω, χείω· ζέω, ζείω.

ΩΠΕ. Τὰ διὰ τοῦ ιω δισύλλαβα βαρύτονα, μὴ παρ' ἐνεστῶτα ἢ μέλλοντα παρηγμένα, διὰ τοῦ ι γράφονται· οἷον, ἴω, τοῦτο

καὶ περισπᾶται, ἐξ οὗ καὶ τὸ ἵημι· μνίω τὸ ἐσθίω· τίω διφορεῖται περὶ τόνον οὐ περὶ γραφήν· λίω καὶ αὐτὸ διφορεῖται, γεγονὸς ἀπὸ τοῦ λῶ λιῶ, τοῦ δηλοῦντος τὸ θέλω, ἀφ' οὗ καὶ τὸ λιαρὸν, ὡς καὶ τὸ χαλῶ, χαλερόν· τὰ γὰρ προσηνῆ θελητά· τὸ πίω, ἀφ' οὗ ὁ μέλλων πίσω, ἀφ' οὗ τὸ πιπίσκω· ψίω· σημειωτέον τὸ εἴω τὸ πορεύομαι, διὰ τῆς ει διφθόγγου γραφόμενον, ἀφ' οὗ ὁ μέσος παρακείμενος εἶα, καὶ ἐν διαλύσει ἔϊα, καὶ τροπῇ τοῦ ε εἰς η ἤϊα, ἀφ' οὗ καὶ ὁ μέσος ὑπερσυντελικὸς ἠίειν, ἀφ' οὗ τὸ ἀπηίειν, καὶ ὁ δεύτερος ἀόριστος ἴον, λόγῳ ἀρχούσης διὰ βραχὺ τοῦ υ, καὶ ἡ μετοχὴ ἰὼν ἐν ὀξείᾳ τάσει· ἀφ' οὗ ἀνιών· παριών· κατιών· προϊών.

ΩΠϚ. *Τὰ παρὰ μέλλοντα ἢ ἐνεστῶτα περισπώμενον ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ ειω γινόμενα παράγωγα, διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, ὄψω, ὀψείω· γαμήσω, γαμησείω· τελῶ, τελειῶ· κρατείω, ἀφ' οὗ ἡ μετοχὴ κρατείων, καὶ ἐν συγκοπῇ τοῦ ατ κρείων.*

ΩΠΖ. *Τὰ εἰς ω λήγοντα καθαρὸν περισπώμενα, εἴτε δισύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβὰς, μὴ ἀπὸ ὀνόματος ἔχοντα τὴν γένεσιν, διὰ τοῦ ο μικροῦ γράφει τὴν παραλήγουσαν· οἷον, βοῶ· γοῶ· θροῶ· νοῶ· ποῶ, καὶ ἐν πλεονασμῷ τοῦ ι ποιῶ· πτοῶ· λοῶ· κοῶ· ἀγνοῶ· ἀκροῶ· μακκοῶ· ἀκοῶ· πρόσκειται μὴ ἀπὸ ὀνόματος ἔχοντα τὴν γένεσιν*[k] *γραφόμενον διὰ τοῦ ω, διὰ τὸ ζωὴ, ζωῶ, καὶ ἀλῴη, ἀλῳῶ, διὰ τοῦ ω μεγάλου γραφόμενα· ἀλώην δὲ λέγω τὸν ἀλωητὸν, ὃ καὶ ὀξύνεται· τὸ γὰρ ἕτερον βαρύνεται, καὶ διὰ τοῦ ο μικροῦ γράφεται.*

ΩΠΗ. *Τὰ εἰς ω λήγοντα περισπώμενα, ἔχοντα σύμφωνον πρὸ τοῦ ω, μὴ ἀπὸ ὀνόματος ἔχον τὴν γένεσιν διὰ τοῦ ω μεγάλου, διὰ τοῦ ο μικροῦ γράφεται· οἷον, δολῶ· δονῶ· θολῶ· κροτῶ· κλονῶ· σοβῶ· στορῶ· τορῶ· φρονῶ· χολῶ· φονῶ τὸ φονεύω· κορῶ· φθονῶ· τονῶ· λοχῶ, ἀφ' οὗ τὸ λοχεύω· μοτῶ· κοτῶ· ποτῶ τὸ πέταμαι· πονῶ· τούτου ὁ μέλλων ἐπὶ μὲν τοῦ ψυχικοῦ διὰ τοῦ η, ἐπὶ δὲ τοῦ σωματικοῦ διὰ τοῦ ε ψιλοῦ·*

k In Cod. mendose repetuntur quæ dicta sunt a *διὰ τοῦ ο μικροῦ* usque ad *ἀγνοῶ*.

μολῶ· τούτων δὲ τῶν προγραφέντων εἰ καὶ τὰ πλείω ἀπὸ ὀνομάτων μετήχθη, ἀλλ' οὐκ ἐγράφετο τὰ ὀνόματα διὰ τοῦ ω μεγάλου, διὸ οὐδὲ λυμαίνεται τῷ κανόνι· σεσημείωται τὸ πωρῶ καὶ τὸ πωλῶ ἐπὶ τοῦ πιπράσκω, διὰ τοῦ ω μεγάλου γραφόμενον· πολῶ γὰρ τὸ ἀναστρέφομαι, παρ' ὃ καὶ πόλις, διὰ τοῦ ο μικροῦ· πρόσκειται μὴ ἀπὸ ὀνόματος ἔχοντα τὴν πρὸ τέλους διὰ τοῦ ω γεγενημένα, διὰ τὸ ὠνὴ, ὠνῶ, τὸ ἀγοράζω· δῶρον, δωρῶ, ἐξ οὗ τὸ δωροῦμαι· φωνὴ, φωνῶ· χῶρος, χωρῶ· καὶ εἴτι ὅμοιον, διὰ τοῦ ω μεγάλου γράφεται.

ΩΠΘ. *Τὰ διὰ τοῦ ωω καθαρὰ δισύλλαβα βαρύτονα διὰ τοῦ ω μεγάλου γράφεται· οἷον, ζώω· χώω· γνώω· σώω· πλώω· ῥώω· ἔνθεν τὸ ῥῷον τὸ Τρώων οἶνος· ὅμοιον καὶ τὸ κολωῶ κατὰ τὴν γραφὴν οὐ κατὰ τόνον, οὐ κατὰ ποσότητα συλλαβῶν· τοῦτο δὲ καὶ πρώτης καὶ δευτέρας συζυγίας τῶν περισπωμένων ἐστίν· καὶ παρὰ Φιλοξένῳ σὺν τῷ ι· τὸ ἀλώω· ἡβώω, ἢ ἐπαύξησιν χρόνου ἔσχον, ἢ πλεονασμὸν τοῦ ω.*

ΩϞ. *Τὰ διὰ τοῦ υω καθαρὰ δισύλλαβα βαρύτονα διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, ὕω τὸ βρέχω· βρύω· δύω· θύω· λύω· κύω· μύω· ξύω· πτύω· ῥύω· τὸ οἴω ἐπὶ τοῦ ὑπολαμβάνω, ἢ πείθομαι, σεσημείωται διὰ τῆς οι διφθόγγου.*

ΩϞΑ. *Τὰ διὰ τοῦ υω ὑπὲρ δύο συλλαβὰς βαρύτονα διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, ἀλύω· μηνύω· ἀρύω· ἀρτύω· κωλύω· σβεννύω· ζωννύω· πρόσκειται βαρύτονα, διὰ τὸ ἀλοιῶ· ὁμοιῶ, περισπώμενα διὰ τῆς οι διφθόγγου.*

ΩϞΒ. *Τὰ εἰς ω λήγοντα καθαρὸν δισύλλαβα περισπώμενα διὰ τῆς οι διφθόγγου γράφει τὴν παραλήγουσαν, εἰ μὴ μελετήσοι καὶ κατὰ διάστασιν λέγεσθαι· οἷον, ποιῶ· πτοιῶ· χοιῶ· οἰῶ, ἐξ οὗ τὸ οἰώθη ἢ ὠιώθη· τοῦ οἴσω ὤφειλεν ὁ ἐνεστὼς εἶναι βαρύτονος, ἀλλ' ἐν χρήσει οὐχ εὕρηται· εἰ δὲ τὸ ποίσω παρὰ τοῖς παλαιοῖς καὶ τῇ συνηθείᾳ λέγεται, συγκοπὴν πέπονθεν τοῦ η· οὐ γὰρ βαρύτονον ἔχει τὸν ἐνεστῶτα.*

ΩϞΓ. *Τὰ παρὰ μέλλοντα τῆς τρίτης συζυγίας τῶν περισπωμένων διὰ τοῦ υω παρηγμένα τὴν τρίτην ἀπὸ τέλους ἔχει διὰ*

τοῦ ω μεγάλου γραφομένην· οἷον, χρώσω, χρωννύω· ῥώσω, ῥωννύω· χώσω, χωννύω· στρώσω, στρωννύω.

ΩϚΔ. Τὰ διὰ τοῦ νιω τῇ υι διφθόγγῳ παραληγόμενα σπάνια ὁρῶ βαρύτονά τε καὶ περισπώμενα, ὡς ἔχει τὸ ἀλυίω· ὀπυίω· μεθυίω· καὶ τὸ γυιῶ περισπώμενον.

ΩϚΕ. Τὰ εἰς ω λήγοντα ῥήματα κατ' ἔνδειαν χρόνου ἐκ βαρυτόνων εἰς περισπώμενα μεταγόμενα, διχρόνῳ βραχεῖ παραλήγεται· οἷον, πείθω βαρύτονον διὰ τῆς ει διφθόγγου· πιθῶ δὲ περισπώμενον διὰ βραχὺ τοῦ ι· ὁμοίως στείχω, στιχῶ· φείδω, φιδῶ· δαίω, δαῶ· τεύχω, τυχῶ· σίνω, σινῶ· οἷς ἀκόλουθον καὶ τὸ λούω, λοῶ· πείρω, περῶ· κείρω· κερῶ· εἰ γὰρ καὶ μὴ εἰς δίχρονον, ἀλλ' ὅμως εἰς βραχὺ φωνῆεν γέγονεν ἡ συστολή.

ΩϚϚ. Τὰ εἰς ω λήγοντα ῥήματα δισύλλαβα, κατὰ τροπὴν τοῦ ε εἰς ω ἐκ βαρυτόνων εἰς περισπώμενα μετηγμένα, διὰ τοῦ ω μεγάλου γράφεται κατὰ τὴν παραλήγουσαν· καὶ εἰ μὲν διὰ καθαροῦ τοῦ ω ἐκφέρεται, βαρύνεται· οἷον, χέω, χώω· ζέω, ζώω· τρέω, τρώω· ῥέω, ῥώω· σέω, σώω· πλέω, πλώω· εἰ δὲ μετὰ συμφώνου, περισπᾶται· οἷον, στρέφω, στρωφῶ· γίνεται καὶ ἐν τοῖς τοιούτοις τροπὴ τοῦ ε εἰς ο, καὶ αὖθις ἔκτασις τοῦ ο εἰς ω· νέμω, νωμῶ· λέγω, λωγῶ· τρέχω, τρωχῶ· πέτω, πωτῶ· τὸ σώχω· τρώχω· κλώσω· σκώπτω· οὐ ταύτης τύχοντα τῆς παραγωγῆς, διὰ τοῦ ω γράφεται καὶ βαρύνεται.

ΩϚΖ. Τὰ τῆς πρώτης συζυγίας τῶν περισπωμένων ἐν τῇ ἐντελείᾳ τῷ ε ψιλῷ παραλήγεται· οἷον, νοέω· ποιέω· φορέω· τὰ τῆς δευτέρας τὸ α· οἷον, βοάω· γελάω· περάω· τὰ τῆς τρίτης τὸ ο· οἷον, χρυσόω· γυψόω· στεφανόω.

ΩϚΗ. Τὰ εἰς ναι ἀπαρέμφατα διφθόγγῳ οὐδέποτε παραλήγεται· στῆναι· φθῆναι· τυφθῆναι· τυπῆναι· δοθῆναι· βιῶναι· ἁλῶναι· σεσημείωται τέσσαρα· θεῖναι, ὅπερ ἀπὸ τοῦ τίθημι γέγονεν· δοῦναι, ἀπὸ τοῦ δίδωμι· καὶ εἶναι τὸ δασυνόμενον, ὅπερ ἀπὸ τοῦ ἵημι τοῦ δασυνομένου καὶ αὐτὸ γέγονεν· καὶ

εἶναι τὸ ψιλούμενον, ὅπερ ἀπὸ τοῦ εἰμὶ τοῦ ὑπάρχω παρήχθη.

Τὰ εἰς μεν ἀπερέμφατα καὶ πρὸ τέλους ἔχει τὸν τόνον, καὶ διὰ τοῦ ε ψιλοῦ γράφονται· ἐλθέμεν· εὑρέμεν· ἀκουσέμεν.

ΩϘΘ. Τὰ διὰ τοῦ εμεναι παραγόμενα ἀπαρέμφατα διὰ τῆς αι διφθόγγου γράφουσι τὸ τέλος, καὶ τὴν πρὸ αὐτὴν διὰ τοῦ ε ψιλοῦ· οἷον, ἐλθέμεναι· εὑρέμεναι· στήμεναι· δόμεναι.

Ϡ. Τὰ διὰ τοῦ ειας εὐκτικὰ Αἰολικῶς ἐπεκτεινόμενα διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, γνωσείας· ποιησείας· στρεψείας.

ϠΑ. Τὰ κατὰ τρίτον πρόσωπον τῶν εὐκτικῶν Ἀττικῶς διὰ τοῦ ην ἐπεκτεινόμενα διφθόγγῳ παραλήγεται· οἷον, ἀγαπῷμι, ἀγαπῷς, ἀγαπῷ, καὶ Ἀττικῶς ἀγαπῴην· εὐδοκοῖμι, εὐδοκοῖς, εὐδοκοῖ, εὐδοκοίην, καὶ εἴτι ὅμοιον· τοῦτο δὲ παρατηρήσεις, ὅτι εἰς τὰ ἀπὸ περισπωμένων ἡ τοιαύτη ἐπέκτασις γίνεται, οὐκ ἔτι δὲ καὶ ἀπὸ βαρυτόνων.

ϠΒ. Ὅσα τῶν εὐκτικῶν κατὰ τὸ δεύτερον πρόσωπον τῶν ἑνικῶν προσθέσει τῆς αν συλλαβῆς τὸ τρίτον τῶν πληθυντικῶν Ἀττικῶς ποιεῖ, διὰ τῆς οι διφθογγοῦ, ἢ διὰ τῆς αι, γράφει τὴν παραλήγουσαν· οἷον, φάγοιμι, φάγοις, καὶ φάγοισαν Ἀττικῶς· κόψαιμι, κόψαις, κόψαισαν, καὶ εἴτι ὅμοιον.

ϠΓ. Πᾶς παρακείμενος ἀπὸ τοῦ ε ἀρχόμενος, καὶ ἔχον μετὰ τοῦ ε τὸ ω, τοῦτο τηρεῖ καὶ ἐν τῷ ὑπερσυντελικῷ· ἑώρακα, ἑωράκειν· ἑώρτακα, ἑωρτάκειν· σεσημείωται τὸ ἔολπα διὰ τοῦ εο μικροῦ γραφόμενον, καὶ τὸ ἔοργα καὶ ἔοικα, καὶ τρέπουσιν τὸ ο εἰς ω ἐν τῷ ἐώλπειν· ἐώργειν· ἐώκειν.

ϠΔ. Τὰ διὰ τοῦ ανω ῥήματα πάντα παράγωγά ἐστιν, καὶ συστέλλει τὸ α, καὶ ἕως παρατατικοῦ κλίνεται· οἷον, λανθάνω· μανθάνω· πυνθάνω· τὸ ἱκάνω· κιχάνω· σεσημείωται διὰ μακροῦ τοῦ α ἐκφερόμενα.

ϠΕ. Πᾶσα μετοχὴ εἰς ων λήγουσα, ὀξύτονος, ἢ βαρύτονος, ἢ περισπωμένη, ἀρσενικοῦ γένους, διὰ τοῦ ω μεγάλου γράφεται,

οὐκ ἔτι καὶ ἐπὶ οὐδετέρου· οἷον, ὁ δραμών· ὁ φέρων· ὁ βοῶν· τὸ δραμὸν δὲ, καὶ τὸ φέρον οὐκ ἔτι, ἀλλὰ διὰ μικροῦ του ο· τὸ βοῶν δὲ, καὶ τὸ γελῶν, δευτέρας συζυγίας τῶν περισπωμένων ἐνεστῶτος χρόνου, διὰ τοῦ ω μεγάλου.

ΛϚ. *Πᾶσα μετοχὴ εἰς ων λήγουσα, βαρύτονος ἢ περισπωμένη, ἐνεστῶτος χρόνου ἐστὶν, ἢ μέλλοντος· οἷον, λέγων· γράφων· ποιῶν· βοῶν· γράψων· ποιήσων· κερῶν· σεσημείωται ἡ πέφνων βαρύτονος οὖσα, καὶ δευτέρου ἀορίστου.*

ΛΖ. *Πᾶσα μετοχὴ εἰς ων λήγουσα ὀξύτονος, δευτέρου ἀορίστου ἐστίν· οἷον, λαβών· λαθών· φαγών· πιών· σημειῶδεις ἡ ὢν καὶ ἐὼν ὀξύτονα ἐπὶ ἐνεστῶτος· ὁμοίως δὲ καὶ ἡ ἑκὼν ἀπὸ τοῦ εἴκω ῥήματος, ὃ δηλοῖ τὸ ὑποχωρῶ, ἀποβολῇ τοῦ ι, καὶ τροπῇ τῆς ψιλῆς εἰς δασεῖαν, καὶ τῆς βαρείας εἰς ὀξεῖαν.*

ΛΗ. *Πᾶσα μετοχὴ βαρύτονος ἢ ὀξύτονος εἰς ον μικρὸν λήγουσα, οὐδέτερον ὑπισχνεῖται γένος· οἷον, τὸ λέγον· τὸ φέρον.*

ΛΘ. *Πᾶσα μετοχὴ οὐδετέρου γένους χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ περισπωμένη, καὶ διὰ τοῦ ω μεγάλου γραφομένη, δευτέρας συζυγίας τῶν περισπωμένων ἐστίν· τὸ βοῶν· τὸ γελῶν· τὸ δρῶν.*

ΛΙ. *Αἱ εἰς ων λήγουσαι μετοχαὶ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ἐπὶ παντὸς γένους φυλάττουσιν τὸ ω· οἷον, ἀγαπῶντος, ἀγαπῶσα, τὸ ἀγαπῶν· μελετῶντος, μελετῶσα, τὸ μελετῶν.*

Αἱ εἰς ων λήγουσαι μετοχαὶ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ἐπὶ πάντος γένους φυλάττουσιν τὸ ω.

ΛΙΑ. *Αἱ εἰς ως ἀπαθεῖς μετοχαὶ διὰ τοῦ τος κλίνονται, καὶ τρέπουσι τὸ ω εἰς ο ἐπὶ γενικῆς· οἷον, πεποιηκὼς, πεποιηκότος· δεδρακὼς, δεδρακότος· πρόσκειται ἀπαθεῖς, διὰ τὸ ἑστὼς, ἑστῶτος· βεβὼς, βεβῶτος· γεγὼς, γεγῶτος· τεθνεὼς, τεθνεῶτος· αὗται γὰρ ὡς πεπονθυῖαι φυλάττουσι τὸ ω ἐπὶ τῆς γενικῆς· ἀπὸ γὰρ τοῦ ἕστηκα Ἰωνικῷ ἔθει ἀποβολῇ τοῦ κ, ἕστηα, καὶ τροπῇ τοῦ η εἰς α, ἕσταα, καὶ ἡ μετοχὴ, ἑσταὼς, καὶ κράσει τοῦ αω εἰς ως, ὡς βοάω, βοῶ, ἑστώς·*

ὁμοίως βέβηκα, βέβαα, βεβαὼς, καὶ βεβώς· γέγηκα, γέγαα, γεγαὼς, καὶ γεγώς· τέθνηκα, τέθνεα, τεθναὼς, καὶ τεθνώς· καὶ ἐν πλεονασμῷ τοῦ ε τεθνεώς.

ΛΙΒ. Αἱ εἰς ως ἀπαθεῖς λήγουσαι ἀρσενικαὶ μετοχαὶ διὰ τοῦ ω μεγάλου γράφονται ἐπ' εὐθείας καὶ κλητικῆς πτώσεως· οἷον, τετυφώς· τετυπώς· πεποιηκώς· νενοηκώς.

ΛΙΓ. Αἱ εἰς ως ἀπαθεῖς μετοχαὶ τὸ θηλυκὸν ἔχουσιν εἰς α καθαρὸν λῆγον τῇ υι διφθόγγῳ παραληγόμενον· οἷον, τετυφυῖα· πεποιηκυῖα.

ΛΙΔ. Αἱ εἰς ως πεπονθυῖαι μετοχαὶ εἰς α ποιοῦσι τὸ θηλυκὸν, τὴν πρὸ τέλους ἔχουσαι διὰ τοῦ ω· οἷον, βεβῶσα· γεγῶσα· ἑστῶσα.

ΛΙΕ. Αἱ εἰς ως ἀπαθεῖς μετοχαὶ τὸ οὐδέτερον διὰ τοῦ ο μικροῦ γράφουσιν· οἷον, τετυφός· πεποιηκός[1].

ΛΙϚ. Αἱ εἰς ως πεπονθυῖαι μετοχαὶ τὸ οὐδέτερον ἔχουσι διὰ τοῦ ω μεγάλου γραφόμενον· οἷον, τὸ ἑστώς· τὸ βεβώς· τὸ γεγώς.

ΛΙΖ. Αἱ διὰ τοῦ μενος μετοχαὶ ἐπὶ ἐνεστῶτος χρόνου, ἐπὶ τῶν εἰς ω, τῶν μὲν βαρυτόνων ῥημάτων, ἀεὶ τὴν τρίτην ἀπὸ τέλους ἔχουσιν διὰ τοῦ ο μικροῦ γραφομένην· τῶν δὲ περισπωμένων, ἡ μὲν δευτέρα διὰ τοῦ ω μεγάλου, ἡ πρώτη δὲ καὶ πέμπτη διὰ τῆς ου διφθόγγου.

ΛΙΗ. Αἱ διὰ τοῦ μενος μετοχαὶ διὰ τοῦ ε ψιλοῦ γράφεται· τυπτόμενος· γραφόμενος.

ΛΙΘ. Αἱ ἀπὸ τῶν εἰς μι ἐπὶ ἐνεστῶτος χρόνου μετοχαὶ τὴν τρίτην ἀπὸ τέλους ἔχουσιν οὕτω· ἡ μὲν πρώτη συζυγία διὰ τοῦ ε· ἡ δὲ δευτέρα διὰ τοῦ α· ἡ τρίτη διὰ τοῦ ο· ἡ τετάρτη διχρόνῳ βραχεῖ.

ΛΚ. Αἱ εἰς εις μετοχαὶ ἐπὶ ἐνεστῶτος, ἢ καὶ παρῳχημένου χρόνου, ὀξύνονται, καὶ διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, τιθείς· ἱείς· ληφθείς· τυπείς.

ΛΚΑ. Αἱ θηλυκαὶ τῶν εἰς εις μετοχῶν διὰ τῆς ει διφθόγγου

[1] Cod. πεποιηκώς.

τὴν παραλήγουσαν γράφεται· οἷον, τυφθεῖσα· λυθεῖσα· τιθεῖσα.

ΛΚΒ. Αἱ εἰς εις ἀρσενικαὶ μετοχαὶ τὸ ἴδιον οὐδέτερον εἰς εν παράγουσιν ἐν ὀξείᾳ τάσει· οἷον, ληφθέν· τεθέν.

ΛΚΓ. Τὰ διὰ τοῦ μενος ὀξύτονα διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, Τισαμενός· Σωζομενός· Δεξαμενός· οἷς ἀκόλουθα κατὰ τόνον τε καὶ γραφὴν καὶ τὰ τούτων θηλυκά.

ΛΚΔ. Πᾶν ἄρθρον ὀρθῆς καὶ αἰτιατικῆς πτώσεως ὄν, εἴτε προτακτικὸν, εἴτε ὑποτακτικὸν, ἐπὶ ἑνικοῦ ἀριθμοῦ, ἐπὶ ἀρσενικοῦ καὶ οὐδετέρου γένους, διὰ τοῦ ο μικροῦ γράφεται· οἷον, ὁ ὅς, τὸ ὅ, τὸν ὅν, τὸ ὅ.

ΛΚΕ. Τὰ θηλυκὰ ἄρθρα τά τε προτακτικὰ ἐπὶ ἑνικοῦ ἀριθμοῦ, ἐπὶ πάσης πτώσεως διὰ τοῦ η γράφεται· οἷον, ἡ, τῆς, τῇ, τήν· ἥ, ἧς, ᾗ, ἥν.

ΛΚϚ. Πᾶν ἄρθρον ἀρσενικοῦ ἢ οὐδετέρου γένους, ἐπὶ τῆς δοτικῆς τῶν ἑνικῶν, καὶ τῆς εὐθείας τῶν δυϊκῶν, διὰ τοῦ ω μεγάλου γράφονται, εἴτε ὑποτακτικὸν εἴη, εἴτε προτακτικόν· καὶ ἐπὶ μὲν τῆς δοτικῆς τῶν ἑνικῶν ἔχουσι προγραφόμενον τὸ ι· τοῦτο γὰρ τελικόν ἐστι τῆς δοτικῆς· ἐπὶ δὲ τῶν δυϊκῶν οὐκ ἔτι· διὰ τὸ μὴ εἶναι τῆς εὐθείας τῶν δυϊκῶν τελικὸν τὸ ι· πίστις δὲ τοῦ λόγου· τὸ βασιλεύς· ὅτι ἐπὶ μὲν τῆς εὐθείας τῶν πληθυντικῶν τὰ δύο εε εἰς τὴν ει δίφθογγον κίρναται· τὸ γὰρ ι εὑρίσκεται τελικὸν ἀρσενικῶν ὀνομάτων· οἷον, ὅμηροι· ἄνθρωποι· εἰς δὲ τὴν εὐθεῖαν τῶν δυϊκῶν τὰ δύο εε εἰς η· τὼ Δημοσθένεε τὼ Δημοσθένη· οὐκ εἰς τὴν ει δίφθογγον· ὅτι μὴ τὸ ι τελικὸν τῆς εὐθείας τῶν δυϊκῶν, καθὼς εἴρηται.

ΛΚΖ. Πᾶν ἄρθρον ἐπὶ παντὸς γένους, προτακτικόν τε καὶ ὑποτακτικὸν, κατὰ τὴν γενικὴν τῶν δυϊκῶν δίφθογγον ἔχει· τοῖν, οἷν· ταῖν, αἷν.

ΛΚΗ. Πᾶν ἄρθρον ἀρσενικοῦ καὶ θηλυκοῦ γένους, ἐπὶ πληθυντικοῦ ἀριθμοῦ, δίφθογγον ἔχει ἐν τῇ εὐθείᾳ καὶ δοτικῇ· οἷον, οἱ, αἱ, τοῖ[m]. οἷς, ταῖς, αἷς· πρόσκειται ἀρσενικοῦ καὶ

m Sic.

θηλυκοῦ γένους, διὰ τὰ οὐδέτερα· ἐπὶ γὰρ αὐτῶν μόνη ἡ δοτικὴ τῶν πληθυντικῶν διὰ τῆς οι διφθόγγου· τοῖς, οἷς· οὐκ ἔτι δὲ καὶ ἡ εὐθεῖα.

ΑΚΘ. Πᾶσα κλητικὴ κατὰ τὴν ἐσχατὴν συλλαβὴν, ἢ ἴσον ἔχει χρόνον τῇ εὐθείᾳ, ἢ ἐλάττω, οὐδέποτε δὲ μείζω· καὶ ἴσον μὲν, ὁ λέβης, ὦ λέβης· ὁ Ἀλκμὰν, ὦ Ἀλκμάν· ὁ σπινθὴρ, ὦ σπινθήρ· ἐλάττω δὲ, ὁ Αἴας, ὦ Αἶαν· ὁ γείτων, ὦ γεῖτον· ὁ ῥήτωρ, ὦ ῥῆτορ.

Α. Τὸ ἄρθρον μικρὸν ἐν τῇ εὐθείᾳ· μέγα δὲ ἐν τῇ κλητικῇ, καὶ μεῖζον ὂν τῆς εὐθείας, οὐκ ἄρθρον.

Β. Πᾶν ἄρθρον δασύνεται ἀπὸ φωνήεντος ἀρχόμενος, τὸ δὲ ὦ ψιλοῦται· οὐκ ἄρα ἄρθρον τὸ ω.

Γ. Πᾶν ἄρθρον ἀριθμῷ διαφέρει· τὸ δὲ ω οὐκ οἶδεν ἀριθμὸν, οὐκ ἄρα ἄρθρον τὸ ω.

Δ. Πᾶν ἄρθρον ὑπισχνεῖται γένος· τὸ δὲ ω οὐκ οἶδε γένος· οὐκ ἄρα ἄρθρον τὸ ω· ἀλλ' ἔστιν ἐπίῤῥημα κλίσεως.

ΑΛ. Αἱ διὰ τοῦ τερος ἀντωνυμίαι κτητικαὶ διὰ τοῦ ε ψιλοῦ γράφονται, καὶ τὴν τρίτην ἀπὸ τέλους ἔχουσιν διὰ τοῦ ε ψιλοῦ, ἢ διὰ τοῦ ι ἐκφερομένην, καὶ τὴν ὑπὲρ αὐτὴν φύσει μακράν· οἷον, νωΐτερος· σφωΐτερος· ἡμέτερος· ὑμέτερος· τὸ σφέτερος τὴν τρίτην ἀπὸ τέλους ἔχον διὰ τοῦ ε, τὸ ἑξῆς τοῦ κανόνος ἐξέκλινεν, ὅτι μὴ ὑπὲρ τρεῖς συλλαβὰς ἡ λέξις.

ΑΛΑ. Πᾶσα πρόθεσις ἀνεπέκτατος βραχυκαταληκτεῖ, καὶ βραχυκαταληκτοῦσα, ἢ διὰ βραχὺ φωνήεντος ἐκφέρεται, ἢ διὰ βραχυνομένου· διὸ σημειώδης ἡ ἐξ καὶ ἡ εἰς, ἐν ταῖς μονοσυλλαβοῖς μακροκατάληκτοι οὖσαι, καὶ τὸ ἴδιον τῶν προθέσεων μὴ φυλάττουσαι· οἷον, ἐν· σύν· πρός· πρό· ἀνά· κατά· διά· ἀντί· ἐπί· περί· ἀμφί· ἀπό· ὑπό· ὑπὲρ· ἡ ὑπαὶ καὶ ἡ ὑπεὶρ μακροκατάληκτοι καὶ ἐπεκτεταμέναι.

ΑΛΒ. Τὰ εἰς ην ἐπιῤῥήματα ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ η γράφονται· οἷον, μάτην· χύδην· κρύβδην· φύρδην· φοράδην· σποράδην· πρῴην, ὅπερ ἐκ τῆς προ προθέσεως γέγονεν προΐα, ἐξ οὗ καὶ ἡ αἰτιατικὴ προΐαν, καὶ ἐκτάσει τοῦ ο εἰς ω πρωΐαν, καὶ Ἰωνικῶς πρωΐην, καὶ κατὰ συναίρεσιν τοῦ ω

καὶ ϊ εἰς τὴν ωι δίφθογγον, πρῴην· σεσημείωται τὸ πάλιν διὰ τοῦ ι γραφόμενον· πρόσκειται ὑπὲρ μίαν συλλαβὴν, διὰ τὸ πρὶν μονοσύλλαβον διὰ τοῦ ι γραφόμενον.

ΛΛΓ. Τὰ ἀπὸ τῶν εἰς ως ἐπιῤῥημάτων, ἢ καὶ ἀπὸ δοτικῆς τῆς η ληγούσης προαγόμενα ἐπιῤῥήματα, διὰ τοῦ η γράφονται· οἷον, διχῶς, διχῇ· πάντως, πάντῃ· ἄλλως, ἄλλῃ· σιωπῇ· ἐνωπῇ.

ΛΛΔ. Τὰ εἰς ον ἐπιῤῥήματα διὰ τοῦ ο γράφονται· οἷον, σήμερον· αὔριον· ἀγεληδόν· σωρηδὸν[u], αὐθωρόν· ποταμιδόν· πλὴν τοῦ χρεών.

ΛΛΕ. Τὰ εἰς ες ἐπιῤῥήματα ἀπὸ κλητικῆς εἰς ἐπιῤῥηματικὴν σύνταξιν ἐλθόντα, διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, ἐπίτηδες· ἄληθες· αὐτάρκες· ἀεικές.

ΛΛϚ. Τὰ εἰς ην μονοσύλλαβα ἐπιῤῥήματα διὰ τοῦ η γράφονται· οἷον, δήν· ἦν· πλήν· σεσημείωται τὸ πρὶν διὰ τοῦ ι γραφόμενον.

ΛΛΖ. Τὰ εἰς η λήγοντα ἐπιῤῥήματα μονοσύλλαβα διὰ τοῦ η γράφονται· οἷον, μή· νή· ἧ, ἀντὶ τοῦ ὡς· ὃ καὶ δασύνεται· κὴ ἀντὶ τοῦ ἐκεῖ, τροπῇ τῆς ει διφθόγγου εἰς ην Αἰολικῶς· βλῆ μίμημα φωνῆς ἀλόγου ἰσοδυναμοῦν τὸ βληχᾶσθαι, ὃ καὶ περισπᾶται· πῇ τὸ ἐρωτηματικὸν, καὶ αὐτὸ περισπώμενον, καὶ σὺν τῷ ι· σεσημείωται τὸ εἰ, εὐκτικὸν ὂν, καὶ ὅρκου δηλωτικὸν, διὰ τῆς ει διφθόγγου γραφόμενον· καὶ τὸ φνη παρ' Ἀριστοφάνῃ· ἔστι δὲ καὶ αὐτὸ μίμημα φωνῆς ὀρνέου.

ΛΛΗ. Τὰ εἰς οι λήγοντα ἐπιῤῥήματα μονοσύλλαβα δύο εἰσίν· τὸ ποῖ πευστικὸν, καὶ τὸ οἷ τοπικόν· ἀμφότερα δὲ περισπᾶται.

ΛΛΘ. Τὰ εἰς υ μονοσύλλαβα διὰ τοῦ υ ψιλοῦ γράφονται, καὶ περισπᾶται· οἷον, νῦ· γρῦ· μῦ.

ΛΜ. Τὰ εἰς αι λήγοντα ἐπιῤῥήματα μονοσύλλαβα, τρία ἐστίν· αἳ τὸ δασυνόμενον, ὡς ὅταν λέγομεν, αἳ τάλας· καὶ αἴ τὸ εὐκτικὸν, ὅπερ ἀπὸ τοῦ ει γέγονεν Δωρικῇ τροπῇ τοῦ ε εἰς α, ὡς κύπειρον· καὶ τὸ ναὶ συγκαταθέσεως.

[u] Cod. σωρηδών.

͵ΑΜΑ. Τὰ εἰς κα λήγοντα ἐπιῤῥήματα ὑπὲρ δύο συλλαβὰς τὸ ι παραλήγεται· οἷον, ἡνίκα· πηνίκα· ὁπηνίκα· αὐτίκα· παραυτίκα.

͵ΑΜΒ. Τὰ εἰς τε λήγοντα ἐπιῤῥήματα διὰ τοῦ ε ψιλοῦ γράφεται, καὶ τὸ ο παραλήγεται· οἷον, ἄλλοτε· πάντοτε· ἐνίοτε· ἑκάστοτε· ἔκτοτε· τότε· πότε· ὅτε.

͵ΑΜΓ. Οὐδὲν τῶν εἰς ε ληγόντων ἐπιῤῥημάτων ὑπὲρ μίαν συλλαβὴν, πρὸ τέλους ἐχόντων τὸν τόνον, διὰ τῆς αι διφθόγγου γράφεται· οἷον, τῆλε· αἶθε· ἄγε· φέρε· δεῦτε· κεῖσε· τῇδε· πόσε· ὧδε· ἀβάλε· τὸ οὐαί· παπαί· βαβαὶ, οὐχ οὕτως ἔχοντα, διὰ τῆς αι διφθόγγου γράφεται.

͵ΑΜΔ. Τὰ εἰς δε ἐπιῤῥήματα διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, οἴκαδε· ἄγραδε· ἔνθαδε· τηνικάδε.

͵ΑΜΕ. Τὰ εἰς ζε ἐπιῤῥήματα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, θυράζε· Ἀθηνάζε· ἐράζε· φοιβάζε.

͵ΑΜϚ. Τὰ εἰς σε ἐπιῤῥήματα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, ἑτέρωσε· ἐκεῖσε· ὁμωσε· ἀμφοτέρωσε· ἑκατέρωσε· ἀλοσε· ἔκτοσε.

͵ΑΜΖ. Τὰ εἰς θεν ἐπιῤῥήματα διὰ τοῦ ε ψιλοῦ γράφει τὴν παραλήγουσαν· οἷον, πόθεν· ὅθεν· ἄνωθεν· κάτωθεν.

͵ΑΜΗ. Τὰ εἰς θεν ἐπιῤῥήματα τὸ η παραληγόμενα δύο μόνα ἐστίν· δῆθεν καὶ γῆθεν· τὸ γὰρ κεῖθεν ἐκ τρισυλλάβου ἐκεῖθεν γεγονὸς ἀφαιρέσει τοῦ ε, διὰ τῆς ει διφθόγγου.

͵ΑΜΘ. Τὰ εἰς ω λήγοντα ἐπιῤῥήματα, προσλάβοντα τὴν θεν συλλαβὴν, διὰ τοῦ ω μεγάλου γράφει τὴν παραλήγουσαν· οἷον, ἄνω, ἄνωθεν· κάτω, κάτωθεν· ἔξω, ἔξωθεν· πόῤῥω, πόῤῥωθεν· σεσημείωται τὸ κύκλῳ, κυκλόθεν, διὰ τοῦ ο μικροῦ γραφόμενον, καὶ τούτου ὁ τόνος αἴτιος· τῶν γὰρ λοιπῶν προπαροξυνομένων τῶν ἀπὸ τῶν εἰς ω, τοῦτο μόνον παροξύνεται· διὸ παραλλάξαν περὶ τὸν τόνον, παρήλλαξεν καὶ περὶ τὴν γραφήν.

͵ΑΝ. Τὰ ἀπὸ τῶν εἰς ως ὀνομάτων, ἢ ἐπιῤῥημάτων εἰς θεν, παραγόμενα, διὰ τοῦ ω μεγάλου γράφεται· οἷον, ἕως, ἕωθεν· ἠὼς, ἠῶθεν· ἐσχάρως, ἐσχάρωθεν· Θρῖος, ὄνομα δήμου Ἀττικοῦ, Θριῶθεν· προτέρωθεν· ἑκατέρωθεν· ὁποτέρωθεν.

ΛΝΑ. Τὰ ἀπὸ τῶν διὰ τοῦ τερως ἐπιῤῥημάτων εἰς θεν παραχθέντα ἐπιῤῥήματα διὰ τοῦ ω μεγάλου γράφεται· οἷον, ἑτέρως, ἑτέρωθεν· ἀμφοτέρως, ἀμφοτέρωθεν· ἑκατέρως, ἑκατέρωθεν.

ΛΝΒ. Τὰ εἰς θεν ἐπιῤῥήματα, μὴ ὄντα ἀπὸ τῶν εἰς ω ληγόντων, μήτε ἀπὸ τῶν διὰ τοῦ τερως, ἢ ἀπὸ τῶν εἰς ως ὀνομάτων, περὶ ὧν ἤδη διείληπται, διὰ τοῦ ο μικροῦ γράφεται κατὰ τὴν παραλήγουσαν· οἷον, οὐρανόθεν· Ἀβυδόθεν· Ἰλιόθεν· ἄλλοθεν· πάντοθεν· προπάροθεν, καὶ ἐν πλεονασμῷ τοῦ ι προπάροιθεν· τὸ τηλῶθεν διὰ τοῦ ω γραφὲν ποιητικῶς ἐκπέτατε[o]· τὸ δὲ Κριῶθεν ἀπὸ τοῦ Κριώαθεν γέγονεν, συγκοπέντος τοῦ α· ἔστιν δὲ ὄνομα δήμου Ἀττικοῦ· τοιούτῳ δὲ καὶ τὸ τήνωθεν παρὰ Θεοκρίτῳ.

ΛΝΓ. Τὰ εἰς θεν ἐπιῤῥήματα ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ η γράφεται κατὰ τὴν παραλήγουσαν· ἐξ ἴσου γὰρ ὁ κανὼν παρῃτήσατο τὴν διὰ τοῦ ι τὲ, καὶ τῆς ει διφθόγγου γραφήν· οἷον, Πιερίηθεν· Αἰγίνηθεν· κλισίηθεν· Μυκήνηθεν· Ἴδηθεν· σεσημείωται τὸ ἐκεῖθεν διὰ τῆς ει διφθόγγου· καὶ τὸ πρωΐθεν διὰ τοῦ ι γραφόμενον.

ΛΝΔ. Τὰ εἰς θι ἐπιῤῥήματα διὰ τοῦ ι γράφεται, καὶ τὴν εἰς τόπον σχέσιν δηλοῖ· οἷον, οὐρανόθι· ὑψόθι· αὐτόθι.

ΛΝΕ. Τὰ εἰς σι λήγοντα ἐπιῤῥήματα διὰ τοῦ ι γράφεται, καὶ τὴν εἰς τόπον σχέσιν δηλοῖ· οἷον, Ἐρχίασι· Πλατύασιν· Ἀθήνησιν· Ὀλυμπιᾶσι.

ΛΝϚ. Τὰ εἰς σι ἐπιῤῥήματα, εἴτε προπαροξύνοιτο, εἴτε προπερισπῷτο, ἔχει τὴν πρὸ τέλους, ἢ διὰ μακροῦ τοῦ α, ἢ διὰ τοῦ η· σπανίως δὲ καὶ διὰ τοῦ ω· ὡς ἔχει τὸ Θρίωσιν· οἷον, Ἀθήνησι· Θρίασι· θύρασι· Θήβησι.

ΛΝΖ. Τὰ εἰς οι λήγοντα ἐπιῤῥήματα τοπικῆς ἐχόμενα σχέσεως διὰ τῆς οι διφθόγγου γράφεται, καὶ περισπᾶται· οἷον, Μεγαροῖ· Φρεαροῖ· Πειραιοῖ· Παιανοῖ· πανταχοῖ· μηδαμοῖ· ἑκασταχοῖ· σεσημείωται τὸ ἀντικρὺ διὰ τοῦ υ ψιλοῦ γραφόμενον· τὸ γὰρ εὐθὺ οὐ τοπικὸν, διὸ καὶ διὰ τοῦ υ ψιλοῦ γράφεται.

[o] Sic.

ΛΝΗ. Τὰ εἰς οι σχετλιαστικὰ δικατάληκτα διὰ τῆς οι διφθόγγου γράφεται· εἶπον δὲ δικατάληκτα, ἐπεὶ ταῦτα καὶ διὰ τῆς οι, καὶ διὰ τῆς αι διφθόγγου γράφεται· ὀτοτοὶ καὶ ὀτοταὶ· οἰοὶ, οἰαί· αἶβοι, αἶβαι· οἴμοι καὶ ὤμοι, οὐ περὶ τὴν λήγουσαν, ἀλλὰ περὶ τὴν ἄρχουσαν το διττομηστο[p]· ὢ πόποι δυσὶ τόνοις χρησάμενον ἔμφασιν ἐδίδου, ὡς ἄρα δύο μέρη λόγου εἰσίν· Ἀρίσταρχος δέ φησιν, ἀπίθανον εἶναι τὸ τὸν Δία ὢ πόποι λέγειν· ἀλλ' ἐπειδὴ τὸ πόποι σχετλιαστικὸν ὑπάρχων, καὶ ἀνεὺ τοῦ ω λέγεται, ἐπεὶ παράκειται αὐτῷ τὸ παπαὶ, ὥς τε εἰ μὴ ὀνοματικόν ἐστιν, ὀφείλει περισπᾶσθαι· ὡς εἶναι δύο περισπωμένας ὢ πῶποι· λέγομεν δὲ βαρύνεσθαι αὐτὸ, ὡς τὸ ὢ φίλοι, ἐκ τοῦ ὑπολαβεῖν ὄνομα εἶναι τὸ πόποι· Σκύθαι γὰρ τὰ παρ' αὐτοῖς ἀγαλμάτια πόπους καλοῦσιν, καθὼς Ἡρωδιανὸς ἐν τῇ καθόλου· καὶ αὖθις ὁ αὐτὸς περὶ τῶν αὐτῶν φησὶν, ὡς οὐ δεῖ τὰ σχετλιαστικὰ τῶν ἐπιῤῥημάτων εὐκτικὰ, οἱονεὶ βακχικὰ ὄντα, ὑπὸ τὴν ἔντεχνον ἀκολουθείαν ἄγειν, εἴγε οὐδὲ μέρη λόγου τινὲς εἶναι ταῦτα ἐνόμισαν· πασχούσης γὰρ ψυχῆς, ἢ διακόρου ὑπὸ οἴνου οὔσης, ἄλογοι δῆλον ὅτι καὶ αἱ ἐκφωνήσεις αὐτῆς· διὸ καὶ ἐπ' αὐτῶν ἔσθοτε τὸ δασὺ πνεῦμα ἀλόγως ἐν τῇ ληγούσῃ συλλαβῇ ὁρᾶται, ὡς ἔχει τὸ εὐοἵ· εὐἅν· εὐἕν· τὸ γὰρ λέγειν, ὅτι εὖ σοι ἦν κατ' ἔλλειψιν τοῦ σ γέγονεν εὐ οἷ κατὰ συγκοπὴν, ἀμφίβολον, εἰ μὴ ἄρα παρὰ τὸ εὐοὶ ὁ Εὔϊος πάρηκται.

ΛΝΘ. Τὰ εἰς αι λήγοντα ἐπιῤῥήματα ὑπὲρ μίαν συλλαβὴν ὧν καὶ τὰ σχετλιαστικὰ τὰ πλείω ἐστι, διὰ τῆς αι διφθόγγου γράφεται· οἷον, αἰαί· ἀτταταί· παπαί· ὁ δὲ περὶ ταῦτα τόνος ἀμφίβολος· οἱ μὲν γὰρ ὀξύνουσιν αὐτὰ, οἱ δὲ περισπῶσιν· ἄλογοι γὰρ αὐτῶν λυπουμένων ἢ μεθυόντων φωναὶ, καθὼς εἴρηται· χαμαί· τοῦτο ὀξύνεται, ὡς καὶ τὸ νυμαί· ὑμαί· τὸ μεντοὶ πάλαι χρονικὸν βαρύνεται, καὶ ἐν τῇ συνθέσει προπαροξύνεται· ἔκπαλαι· πρόπαλαι· ὁμοίως καὶ τὸ ὕπαι βαρύνεται· λέγεται δὲ καὶ ὕπαιθα κατ' ἐπέκτασιν τῆς

p Sic.

θα συλλαβῆς· σημειωτέον δὲ ὅτι τὰ μὲν χρονικὰ βαρύνεται ὡς τοπάλαι· ὕπαι· τὰ δὲ σχετλιαστικὰ περισπᾶται· τὰ δὲ λοιπὰ ὀξύνεται.

ΛΞ. Τὰ εἰς ει δισύλλαβα, εἴτε βαρύτονα, εἴτε περισπώμενα, διὰ τῆς ει διφθόγγου γράφεται· σπάνια δὲ τὰ παραδείγματα, ὡς ἔχει τὸ ἄγρει παρακελευσματικὸν ἐπίῤῥημα, καὶ τὸ οἴκει ἀπὸ τὸ οἴκοι γεγονὸς κατὰ τροπὴν τοῦ ο εἰς ε· τὰ γὰρ Δωρικῶς παρηγμένα καὶ περισπᾶται, καὶ διὰ τῆς ει διφθόγγου γράφεται· τουτεῖ· τινεῖ· αὐτεῖ· ἐκεῖ.

ΛΞΑ. Τὰ κατὰ ἀποκοπὴν εἰς ει λήγοντα ἐπιῤῥήματα, διὰ τῆς ει διφθόγγου γράφομενα, δύο ἐστίν· τὸ ἐπεὶ χρονικὸν, καὶ τὸ ἀεί· τοῦτο δὲ ποικίλην ἔχει τὴν γραφὴν, καθὼς μοι ἐν τοῖς κατόπιν ἱστόρηται.

ΛΞΒ. Τὰ δεικτικῶς ἐπεκτεινόμενα διὰ τοῦ ι γράφεται· οἷον, ὡδί· ὁδί· δευρί· νυνί· οὑτωσί· ἐκεινοσί· σεσημείωται τὸ οἱονεί· ὡσεί· κἀνεί· ὡσπερεί· ὡσπερανεί· διὰ τῆς ει διφθόγγου· καὶ τὸ πρινὴ διὰ τοῦ η.

ΛΞΓ. Τὰ παρ' ὄνομα παρηγμένα ἐπιῤῥήματα ἐς τι, διὰ μακροῦ τοῦ ι γράφεται, καὶ ὀξύνονται· οἷον, αἱμωτί· ἀκλαυστί· ἀνιδρωτί· ἀγελαστί· ἀπηρωτί· ἀπνευστί· αὐτονυχί· ἀπαυστί.

ΛΞΔ. Τὰ εἰς ι λήγοντα δισύλλαβα βαρύτονα ἐπιῤῥήματα διὰ βραχὺ τοῦ ι γράφονται· οἷον, ἶφι· νόσφι· αὖθι· ἄγχι· μέχρι· ἄχρι· κεῖθι· πόθι· ἄρτι· ἔτι· ἦρι· ὕψι· ναίχι· ἦχι· οἷς ὅμοιον κατὰ γραφὴν οὐ[o] κατὰ τόνον τὸ οὐχὶ, ἢ οὐκί· λέγεται γὰρ ἀμφότερα· διὸ καὶ τὸ χωρὶς μετὰ μὲν τοῦ σ γραφόμενον ὀξύνεται· ἀποβαλὸν δὲ τὸ σ βαρύνεται· σεσημείωται τὸ πρωῒ ὀξυνόμενον· τὸ γιγγρι ἐπιφώνημά τι ὂν ἐν καταμωκήσει λεγόμενον, εἰ ὀξύνετο, οὐκ ἄτοπον, ἀπαρασχημάτιστον[p] γάρ ἐστιν.

ΛΞΕ. Τὰ εἰς τι ἐθνικὰ ὀξύνεται, καὶ διὰ τοῦ ι γράφεται τὴν λήγουσαν καὶ τὴν παραλήγουσαν· οἷον, Δωριστί· Ἰωνιστί· Βουλγαριστί· Σαρακηνιστί.

ΛΞϚ. Τὰ εἰς ως ἐπιῤῥήματα εἰς τι γενόμενα ὀξύνεται, καὶ διὰ

[o] Cod. ὁ.

[p] Cod. απαρασχιμάτιστον.

τοῦ ι γράφεται, καὶ τὴν πρὸ τέλους ἔχει διὰ τοῦ ω· οἷον, μεγάλως, μεγαλωστί· νέως, νεωστί· ἴρως ἰρωστί· δηλοῖ δὲ τὸ ταχέως τι ποιῆσαι· δημίως, δημιωστί.

ΛΞΖ. Τὰ διὰ τοῦ ακις ἢ ακι βαρύτονα ἐπιῤῥήματα διὰ τοῦ ι γράφονται· οἷον, δυάκις καὶ δυάκι· τριάκις καὶ τριάκι· ἑξάκις καὶ ἑξάκι.

ΛΞΗ. Τὰ Αἰολικῶς διὰ καθαροῦ τοῦ ι ἐκφερόμενα βαρύνεται, καὶ διὰ τοῦ ι γράφει τὴν λήγουσαν, καὶ τὴν παραλήγουσαν διὰ τοῦ υ ψιλοῦ, καὶ τοπικὴν σχέσιν δηλοῖ· οἷον, πηλύϊ· ἀλύει· ἀτερύει· τὸ τυϊ· τοῦτο παρὰ τὸ ὅτοι παροξυνόμενον ἀπολογίαν ἔχει, ὡς οὐκ ἔστιν τοπικὸν, οὔτε Αἰολικὸν, σχεσλιαστικὸν δέ· τὰ δὲ σχετλιαστικὰ οὐ πεφρόντικε τῆς ἀκριβοῦς[q] ἐξετάσεως, ὡς πολλάκις διείληπται.

ΛΞΘ. Ἡ κατὰ πτῶσιν γινομένη εἰς φι ἐπέκτασις διὰ τοῦ ι γράφεται· οἷον, ἑτέρηφι· τοῦτο ἀπὸ εὐθείας ἀντὶ τοῦ ἑτέρα· ἀπὸ γενικῆς χαλκόφι· ἐπὶ δοτικῆς φαινομένῃφι·

ὡς φρήτρῃ φρήτρῃφιν ἀρήγει, φῦλα δὲ φύλοις· (Il. B. 363.)

ἐπὶ αἰτιατικῆς δεξιόνφιν· ἀριστερόφι· ἀγέληφι· ναῦφι· εἰ δὲ ἔχει πρὸ τοῦ φ τὸ σ τρίτην ἀπὸ τέλους, ἐν τοῖς τοιούτοις καὶ τὴν ὀξεῖαν· κράτεσφι· ὑπόχεσφι· ἐρέβεσβι· κατόρεσφι· τινὰ δὲ τῶν εἰς φι εἴωθεν μετὰ τοῦ ν γράφεσθαι.

ΛΟ. Τὰ εἰς η λήγοντα δισύλλαβα ἐπιῤῥήματα ἀπρόσληπτα τοῦ ι, καὶ ἔχοντα σύμφωνον πρὸ τοῦ η, σπάνια καὶ εὐαρίθμητα· ἔστι γὰρ τὸ ἤδη, ὃ τοὺς τρεῖς χρόνους ὑπισχνεῖται· ἐνεστῶτα· παρῳχημένον, καὶ μέλλοντα· νῦν· δή· ὃ δηλοῖ τὸ πρὸ ὀλίγου καὶ τὸ ἄρτι.

ΛΟΑ. Τὰ εἰς η λήγοντα ἐπιῤῥήματα δύο μόνα ἐστίν· ἴη· ὤη.

ΛΟΒ. Τὰ εἰς χῃ λήγοντα ἐπιῤῥήματα διὰ τοῦ η γράφεται, προσκειμένου καὶ τοῦ ι, καὶ περισπᾶται· οἷον, διχῇ· τριχῇ· τετραχῇ· ἀλλαχῇ· μοναχῇ· ἡσυχῇ.

ΛΟΓ. Τὰ εἰς ο λήγοντα ἐπιῤῥήματα ὑπὲρ μίαν συλλαβὴν οὐκ ἔστιν, ὅτι μὴ τὸ δεύτερον βαρύτονον· τὰ γὰρ εἴσο δύο μέρη λόγου εἰσὶν, ὡς καὶ ἐκ τῶν προσῳδιῶν ἐστιν ἰδεῖν· τὸ γὰρ ἀπὸ

[q] Cod. ἀκρβοὺς.

πρόθεσίς ἐστιν ἰσοδυναμοῦσα τὸ ἄποθεν ἐπιῤῥήματι· τὸ γοῦν δεῦρο παρακελευσματικὸν ὂν ἔχει τὸ δεῦτε πληθυντικὸν, ἐπεὶ καὶ τοπικῶς λαμβάνεται ἀντὶ τοῦ ἐνταῦθα· γίνεται δὲ καὶ δευρί· ποιητικῶς δὲ πολλάκις καὶ διὰ μετρικὴν χρεῖαν καὶ διὰ τοῦ ω· ἐνίοτε δὲ καὶ δεῦρυ διὰ τοῦ υ ψιλοῦ.

ΛΟΔ. Τὰ *εἰς υ λήγοντα ἐπιῤῥήματα, μὴ τοπικῶς λαμβανόμενα, διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον· πάγχυ· πρόχνυ· δεῦρυ· πλὴν ἄρρυ ἐπίφθεγμα τῶν ἐρέτων, ὡς ἐπὶ κυνηγετῶν τὸ σιζε· κόκκυ τὸ ἐλάχιστον· ἐμβραχυ· ἰυ τὸ θαυμαστικὸν, ὃ λέγεται καὶ ἰηῢ, ἀπὸ τοῦ ἠύς· ἐῢ ἀπὸ τοῦ εὖ κατὰ διάλυσιν τῆς ευ διφθόγγου εἰς ε καὶ υ· εὐθύ· μεσσηγύ· μεταξύ· ἀντικρύ· τοῦτο ἀπὸ τοῦ ἄντικρυς προπαροξυτόνου γεγενημένου, ἅμα τῇ ἀποβολῇ τοῦ σ ἐξέτεινεν τὸ υ, καὶ τὴν ὀξεῖαν τάσιν ἐφύλαξεν.*

ΛΟΕ. Τὰ *εἰς ω λήγοντα ἐπιῤῥήματα καὶ βαρύνεται, καὶ διὰ τοῦ ω μεγάλου γράφεται· οἷον, ἄνω· κάτω· ἔξω· εἴσω· πόρσω· καὶ τροπῇ Ἀττικῇ τοῦ σ εἰς ρ, ὡς ἄρσην ἄῤῥην, πόῤῥω· ἐγγυτέρω· ἀνωτάτω· ἐγγυτάτω· ἀπωτέρω· περαιτέρω.*

ΛΟϛ. Τὰ *εἰς δην ἐπιῤῥήματα διὰ τοῦ η γράφονται· οἷον, χύδην· φύρδην· ἀλλάγδην· παμπήδην· σποράδην· κρύβδην· μίγδην· διαῤῥήδην.*

ΛΟΖ. Τὰ *εἰς ην ἐπιῤῥήματα, μὴ προηγουμένου τοῦ δ, διὰ τοῦ η γράφεται· πρώην· μάτην· βύζην· ἄντην· ἔμπλην· ἄκμην· ἄκην· ἐθελόντην· ἑκόντην ἡμῖν τὸ ὅρκιον· τὸ ἐχρῆν περισπώμενον οὐκ ἐπίῤῥημα ἀλλὰ ῥῆμα, καθὰ φησὶν ὁ τεχνικὸς ἐν τῇ καθόλου· σεσημείωται τὸ πάλιν διὰ τοῦ ι γραφόμενον καὶ τὰ ἐκ τούτου συγκείμενα, ἔμπαλιν· ἀνάπαλιν.*

ΛΟΗ. Σπάνια *τὰ εἰς εν λήγοντα ἐπιῤῥήματα, τὰ μὴ ἔχοντα πρὸ τοῦ ε τὸ θ, καὶ εὐαρίθμητα· ἔστι γὰρ τὸ ἔπειτεν ἀπὸ τοῦ ἔπειτα γεγονὸς, καὶ τὸ εἰὲν, ὅ τινες ὀξύνουσιν· καὶ τὸ αἰὲν ὁμότονον καὶ ὁμόσημον τὸ αἰεί.*

ΛΟΘ. Τὰ *εἰς ιν ἐπιῤῥήματα ἐκ πλεονασμοῦ ἔχοντα τὸ ν διὰ τοῦ υ γράφονται· οἷον, αὖθι, αὖθιν· οὕτω γάρ φησιν λέγεται παρὰ Ῥηγίνοις· πάλι, πάλιν· πέρυσι, πέρυσιν, ὃ καὶ πέρυτις*

λέγεται Δωρικῶς· αἰὶν ὅπερ ἀπὸ τοῦ αἰεὶ γέγονεν· νυνίν· οὑτωσίν.

ΛΠ. Τὰ εἰς δον ἐπιῤῥήματα διὰ τοῦ ο μικροῦ γράφεται καὶ ὀξύνονται· παραλήγεται δὲ ἢ τὸ η, ὡς ἀγεληδόν· σωρηδόν· κιονηδόν· ταυρηδόν· κρουνηδόν· βομβηδόν· ἢ τὸ ε, ὡς τὸ σχεδὸν, ἢ τὸ υ, ὡς τὸ βοτρυδόν· ἢ τὸ α, ὡς τὸ εἰλαδόν· ἐνωπαδόν· ὁμαδόν· ἢ τὸ αν ὡς τὸ στοχανδόν· φανδόν· ἀναφανδόν· σεσημείωται τὸ ἔνδον συγκείμενον ἐκ προθέσεως, καὶ βαρυνόμενον, καὶ δηλοῦν τοπικὴν σχέσιν· λήγει δὲ καὶ εἰς δος, ἔνδος γὰρ λέγεται πολλάκις καὶ ἔνδοι· τέσσαρσιν οὖν διαφοραῖς διαλάξαν, οὐδὲν θαυμαστὸν εἰ καὶ κατὰ τόνον διήλλαξεν· εἰδέναι δὲ δεῖ ὡς τὰ εἰς δον σπανίως κατ' ἀρχὴν λέξεως συντίθενται, ὡς ἔχει τὸ ἐνδόμοιχος[p]· ἐνδόπυρος· ἔνδορχις.

ΛΠΑ. Τὰ εἰς ον ἐπιῤῥήματα μὴ ἔχοντα πρὸ τοῦ ο τὸ δ, ἀλλ' ἢ ἕτερον σύμφωνον, ἢ τὸ ι, διὰ τοῦ ο μικροῦ γράφεται· οἷον, σήμερον· αὐθήμερον· αὔθωρον· μᾶλλον· ἧττον· ἆσσον· αὔριον· ἔγγιον· τὸ ἐξὸν μετοχικὸν, ἐκ τῆς ἐξ προθέσεως καὶ τοῦ ὂν οὐδετέρου.

ΛΠΒ. Εἰς υν λῆγον ἐπίῤῥημα οὐδέν ἐστιν, εἰ μὴ τὸ βίσχυν βαρύτονον μόνον ὄν.

ΛΠΓ. Εἰς ων μέγα λῆγον ἐπίῤῥημα οὐκ ἔστιν, τὸ γὰρ χρεὼν καὶ ἀκεὼν ὀξύτονα μετοχικά ἐστιν.

ΛΠΔ. Τὰ εἰς ρ λήγοντα ἐπιῤῥήματα ἁπλᾶ ὀξύτονα οὐκ ἔστιν, τὰ γὰρ βαρύτονα σπάνια καὶ μονήρη, ὡς ἔχει τὸ νύκτωρ διὰ τοῦ ω μεγάλου, καὶ τὸ ἄτερ διὰ τοῦ ε· περὶ γὰρ τοῦ αὐτῆμαρ· ποσσῆμαρ· ἐννῆμαρ, οὐδεῖς λόγος· σύνθετα γὰρ παρώνυμά εἰσιν.

ΛΠΕ. Τὰ εἰς ας ἐπιῤῥήματα ἔχοντα πρὸ τοῦ η ἀμετάβολον, εἰ καὶ σπάνια, διὰ τοῦ ε ψιλοῦ γράφει τὴν παραλήγουσαν· οἷον, πέλας· ἠρέμας· λέγεται δὲ καὶ ἄνευ τοῦ σ ἠρέμα· ἀτρέμας, ἀτρέμα.

ΛΠϚ. Τὰ εἰς ες λήγοντα ἐπιῤῥήματα ἁπλᾶ φυσικῶς οὐκ ἔστιν· εἰ μὴ τὸ ἐχθὲς δισύλλαβον, καὶ χθὲς μονοσύλλαβον· καὶ ἐνδελιστὲς ὀξύτονον παρὰ Συρακοσσίοις, ὃ καὶ ἐλλιστὲς λέ-

[k] Leg. ἐνδόμυχος.

γεται· τὸ γὰρ ἀὲς ἀπὸ τοῦ ἀεί· τὸ δὲ ἄληθες· ἐπίτητες ὀνοματικὰ καὶ βαρύτονα.

ΛΠΖ. Τὰ εἰς ης ἐπιῤῥήματα διὰ τοῦ η γραφόμενα σπάνια, καὶ ἱστορούμενα· ἔστιν γὰρ τὸ ἔμπης, καὶ αἴφνης, καὶ ἐξαπίνης καὶ ἐξείης, ἀφ' οὗ τὸ ἑξῆς περισπώμενον· τὸ ἀκαρὴς ὄνομα ὅμοιον τὸ εὐρυπύλης.

ΛΠΗ. Τὰ εἰς ις ἐπιῤῥήματα δισύλλαβα βαρύτονα διὰ τοῦ ι γράφεται· οἷον, μόλις· μόγις· ἅλις· ἄνις ἀντὶ τοῦ χωρίς· μέχρις· ἄχρις· λέγεται δὲ καὶ μέχρι καὶ ἄχρι ἄνευ τοῦ σ· αὖθις καὶ αὖθι, καὶ αὖθιν, ὅτε φωνῆεν ἐπιφέρηται διὰ τοῦ ν· ὅτε δὲ σύμφωνον ἄνευ τοῦ ν· οἷς ὅμοιον κατὰ γραφὴν, εἰ καὶ μὴ κατὰ τόνον, τὸ χωρὶς καὶ ἀμφίς.

ΛΠΘ. Τὰ εἰς ις ὑπὲρ δύο συλλαβὰς ὑπεσταλμένων τῶν διὰ τοῦ δις ἢ ακις, εἴτε ὀξύτονα, εἴτε βαρύτονα, διὰ τοῦ ι γράφεται· ἐγκοιτὶς ὀξύτονος· σολικρίς· λικριφίς· ἀμφικελεμνίς· παμπηδονίς· λέγεται δὲ καὶ πάμπαν, καὶ παμπήδην, καὶ παμπηδόν· αὐτονυχίς· λέγεται δὲ καὶ αὐτονυχίδης, καὶ αὐτονυχί· κραταιΐς· τὸ μέντοι πέρυτις προπαροξυνόμενον Δώριόν ἐστιν, ἐκ τοῦ πέρυσι μεταποιηθὲν[1], καὶ οὐ μάχεται.

ΛϞ. Τὰ διὰ τοῦ αδις ἐπιῤῥήματα τρισύλλαβα διὰ τοῦ ι γράφεται, καὶ παροξύνεται· οἷον, χαμάδις· ὀκλάδις· φυγάδις· ἐσχάδις· πτακάδις· μιγάδις· κρυφάδις· ἀμάδις· τὸ οἰκάδις σεσημείωται προπαροξυνόμενον, καὶ τὸ ὠμαδὶς ὀξυνόμενον.

ΛϞΑ. Τὰ εἰς δις ὑπὲρ τρεῖς συλλαβὰς φύσει μακρᾷ παραληγόμενα, καὶ ὀξύνεται, καὶ διὰ τοῦ ι γράφεται· οἷον, λαθρηδίς· κλωπηδίς· αἰφνηδίς· ἀντηδίς· στοιχηδίς· ἀμοιβαδίς· λέγεται δὲ καὶ ἀμοιβηδόν· ἀμφιουδίς· ἐπιουδίς· ἀκροπουδίς.

ΛϞΒ. Τὰ εἰς δις ἐπιῤῥήματα ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα τὸ υ παραληγόμενα διὰ τοῦ ι γράφεται· οἷον, ἄλλυδις· ἄμυδις, Αἰολικὸν ἔχον τὸ πνεῦμα.

ΛϞΓ. Τὰ εἰς δις ἐπιῤῥήματα ἔχοντα πρὸ τοῦ δ τὴν αν συλλαβὴν, διὰ τοῦ ι γράφονται, καὶ Δώριά ἐστιν· οἷον, χαμάνδις· ἀγράνδις· Ὀλυμπιάνδις.

[1] Cod. μεταπυηθέν.

Λϙ Δ. Τὰ εἰς ος ἐπιῤῥήματα ἀπὸ προθέσεως παρηγμένα διὰ τοῦ ο μικροῦ γράφονται, καὶ ὀξύνονται, καὶ σχέσιν τοπικὴν δηλοῖ μετὰ τῆς εἰς σο καταλήξεως· οἷον, ἐντός· ἐκτός· ὅσα δὲ τοπικῆς ἀπήλλακται σχέσεως, καὶ χρόνου, ἢ ἄλλο τι δηλοῖ μετὰ τῆς εἰς ος καταλήξεως, τὴν βαρύτονον τάσιν ἐπιζητεῖ· οἷον, πάρος ἐπὶ χρόνου· ἦμος ὁμοίως· τῆμος· ὁπῆμος· κῆχος· τὸ ἔναγχος προπαροξύνεται· τὸ εἰκὸς ὀξυνόμενον οὐδέτερον ἦν μετοχὴ οὐδετέρου γένους εἰς σύνταξιν ἐπιῤῥηματικὴν ἐλθοῦσα· τὸ γοῦν ἔνδος· ἔξος, βαρύτονα Δώρια.

Λϙ Ε. Τὰ εἰς υς ἐπιῤῥήματα ὀξύτονα διὰ βραχὺ τοῦ υ γράφεται ἁπλᾶ ὄντα[q]· τὰ γὰρ παρὰ πρόθεσιν συγκείμενα προπαροξύνονται· οἷον, ἐγγύς· εὐθύς· ἰθύς· μεσσηγύς· τὸ ἄντικρυς· σύνεγγυς, παρὰ πρόθεσιν συγκείμενα προπαροξύνονται· τὸ ἀντικρὺς ὀξυνόμενον ἐκτείνει τὸ υ· τὸ ἀλλῦς μακρὸν ἔχον τὸ υ περισπᾶται.

Λϙ Ϛ. Καθόλου τὰ εἰς ως ἐπιῤῥήματα τῶν γενικῶν πληθυντικῶν ἔχουσι τὴν γραφὴν καὶ τὸν τόνον· οἷον, καλῶν, καλῶς· σοφῶν, σοφῶς· Δωριεῖς δὲ τὰ ἀπὸ τῶν εἰς ως ὀξυτόνων ἐπιῤῥήματα ὀξύνουσιν· οἷον, σοφὸς, σοφώς· καλὸς, καλῶς.

Λϙ Ζ. Τὰ εἰς χως παράγωγα ἐπιῤῥήματα ἐπὶ ποσότητος ταττόμενα διὰ τοῦ ω μεγάλου γράφονται, καὶ περισπῶνται· οἷον, διχῶς· τριχῶς· ἑξαχῶς· ἑπταχῶς· ποσαχῶς· τὸ ἐξόχως· ἡσύχως, τὴν γραφὴν φυλάξαν, τὴν σημασίαν[r] καὶ τὸν τόνον ἤμειψεν.

Λϙ Η. Τὰ διὰ τοῦ δεια ἐπιῤῥήματα προπαροξύτονα διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, διχάδεια· τυπάδεια· τροπάδεια· κρυφάδεια· ἐγκρικάδεια· τελλοφάδεια, καὶ εἴτι ὅμοιον.

Λϙ Θ. Τὰ διὰ τοῦ ινδα ἐπιῤῥήματα παροξύνονται, καὶ διὰ τοῦ ι γράφονται, καὶ ἐπὶ παιδίων λαμβάνονται, καὶ πρὸς αἰτιατικὴν[s] συντάσσεται· οἷον, βασιλίνδα παιδίαν· χυτρίνδα· δραπετίνδα· ποσίνδα· ἐπαιτίνδα· ξιφίνδα· δαληκίνδα· μυΐνδα, ἀπὸ τοῦ μύειν τοὺς ὀφθαλμοὺς, καὶ ἐρωτώμενον λέγειν τινὰ

q Cod. ὄτα. r Cod. σημασιν. s Cod. αἰτικήν.

τάδε καὶ πόσα τάδε, ἐάν τις ἐπιτύχῃ· φυγίνδα· χυτρίνδα· ὀστρακίνδα, καὶ εἴτι ἕτερον.

ϑυ. Τὰ κατὰ τὸ τέλος καθαρεύοντα ἐπιῤῥήματα διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, ἀθεεί· ἀεί· αὐτοβοεί· χωρὶς τοῦ πρωΐ· τοῦτο γὰρ διὰ τοῦ ι γράφεται.

ϑυα. Τὰ εἰς θει ἐπιῤῥήματα διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, ἀμοθεί· ἀμοχθεί· τὸ ἀμισθὶ σεσημείωται μόνον διὰ τοῦ ι.

ϑυβ. Τὰ εἰς λει ἐπιῤῥήματα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀσυλεί· πανομιλεί· ἀναυλεί· οἷς ἀκόλουθον κατὰ τὴν γραφὴν, οὐ κατὰ τόνον, τὸ ἀμέλει.

ϑυγ. Τὰ διὰ τοῦ μει ἐπιῤῥήματα διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, πανδημεί· ἀτρεμεί· ἠρεμεί.

ΤΩΙ ΣΥΝΤΕΛΕΣΤΗΙ ΤΩΝ ΚΑΛΩΝ ΘΕΩΙ ΧΑΡΙΣ.

ὡς τερπνὸν ἄνθος ἐν θεωρίᾳ πέλει,
κρῖνον δὲ πανθαύμαστον εἰς εὐοσμίαν,
οὕτως χαρᾶς πρόσληψις ἔσχατος στίχος.

ΧΟΙΡΟΒΟΣΚΟΥ ΟΡΘΟΓΡΑΦΙΑ.

ἈΡΧῊ ΣῪΝ ΘΕῶι ΤΟΥ͂ ΠΟΣΟΥ͂ ΤΗ͂Σ ὈΡΘΟΓΡΑΦΊΑΣ ΚΑΤᾺ ΣΤΟΙΧΕΙ͂Α ἈΠῸ ΦΩΝΗ͂Σ ΓΕΩΡΓΊΟΥ ΤΟΥ͂ ΧΟΙΡΟΒΟΣΚΟΥ͂ ΒΥΖΑΝΤΊΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ͂ ΚΑῚ ΟἸΚΟΥΜΕΝΙΚΟΥ͂ ΔΙΔΑΣΚΆΛΟΥ· ἘΝ ΣΥΝΤΟΜΊΑι ΤΜΗΘῈΝ ἘΚ ΤΗ͂Σ ΚΑΘΌΛΟΥ ΚΑῚ ΚΑΤᾺ ΠΛΆΤΟΣ ΑΥ̓ΤΟΥ͂ ὈΡΘΟΓΡΑΦΊΑΣ· ΔΙᾺ ΤῸ ἘΝ ΣΥΝΤΌΜῼ ΕΥ̓ΣΎΝΟΠΤΟΝ ΕἾΝΑΙ ΤῸ ΖΗΤΟΎΜΕΝΟΝ, ΣῪΝ ΚΑῚ ΤΑΙ͂Σ ΑἸΤΊΑΙΣ ἙΚΆΣΤΟΥ.

Τέχνη πρόσελθε τοῖς κανόσιν ὡπλισμένη,
βάλλουσα πάντας τοὺς βεβαρβαρωμένους
τοὺς νοῦν ἔχοντας ἐστερημένους λόγου·
ἔχεις τὸ θαῤῥεῖν καὶ τὸ νικᾶν εἰκότως,
νίκην ἔχουσα τοὺς Γεωργίου λόγους·
πρόσελθε λοιπὸν τοῖς λόγοις κοσμουμένη,
καὶ δεῖξον ἡμῖν τοὺς κανόνας ἐῤῥωμένους.

ἈΚΤΊΣ: *Διὰ τοῦ ι μακροῦ ὡς δικατάληκτον· ἡ ἀκτὶς γὰρ καὶ ἡ ἀκτίν· πάντα γὰρ τὰ δικατάληκτα διὰ τοῦ ι μακροῦ γράφεται· οἷον, δελφὶς, δελφίν· Ἐλευσὶς, Ἐλευσίν· γλωχὶς, γλωχίν· Τελχὶς, Τελχίν· ῥὶς, ῥίν· θὶς, θίν· ἄλλωστε τὰ εἰς ις λήγοντα, εἴτε ἀρσενικὰ, εἴτε θηλυκὰ, εἴτε δικατάληκτα, εἴτε ἁπλᾶ, εἴτε μὴ ἁπλᾶ, εἴτε μακροκατάληκτα, εἴτε μὴ μακροκατάληκτα, εἴτε βαρύτονα, εἴτε μὴ βαρύτονα, κοινολεκτούμενα ἀποστρέφονται τὴν διὰ τῆς ει διφθόγγου γραφήν· οἷον, πόλις· Θέτις· χάρις· λέξις· πέψις· κνημίς· ἀσπίς· ῥανίς· βολίς· καὶ κρηπίς· καὶ ἄλλως· τὰ εἰς ις ὀξύτονα θηλυκὰ ὑπὲρ μίαν συλλαβὴν κοινολεκτούμενα ἀποστρέφονται τὴν ει δίφθογγον· ἀσπίς· ῥανίς· βολὶς, καὶ τὰ ὅμοια· καὶ ἄλλως τὰ εἰς ν λή-*

γοντα, εἴτε[a] ἀρσενικὰ, εἴτε θηλυκὰ, οὐκ ἔχουσι πρὸ τοῦ ν δίφθογγον· οἷον, Ἕλλην· αὐχήν· Τιτάν· γέγονεν δὲ ἀκτὶς ἀπὸ ἐτυμολογίας ἀπὸ τοῦ ἄγω, ἄξω, ἦχα, ἦγμαι, ἦξαι, ἦκται, ἀκτὶς· οἱονεὶ ἡ πανταχοῦ φερομένη· ἡ γὰρ ἀκτὶς τοῦ ἡλίου πανταχοῦ φέρεται· ἢ ἐκ τοῦ ἦκται ἐκτὸς, ἐκ τούτου ἀκτίς.

Ἀμφίων: Διὰ τοῦ ι· ἔστι γὰρ ὄνομα κύριον ἀπὸ τῆς ἀμφὶ προθέσεως καὶ τῆς ἴων μετοχῆς, ἀμφιΐων, βαρύτονον· καὶ ἀμφίων, κατὰ κρᾶσιν τοῦ ϊ εἰς ἓν ι μακρόν· τὰ γὰρ διὰ τοῦ ϊων βαρύτονα τρέποντα τὸ ω εἰς ο ἐν τῇ γενικῇ, εἴτε κύρια, εἴτε μὴ κύρια βαρύτονα· οἷον, Ἠμαθίων, Ἠμαθίωνος· καὶ τὰ ὀξύτονα τὰ κοινὰ τῷ γένει· οἷον, ὁ περικτιὼν καὶ ἡ περικτιών· ἀποστρέφεται τὴν ει δίφθογγον κατὰ τὴν παραλήγουσαν· χωρὶς τοῦ πλείων· χερείων· μείων, καὶ ἀρείων τοῦ συγκριτικοῦ.

Ἄμφιος: Διὰ τοῦ ι κατὰ τὴν παράδοσιν· γέγονεν δὲ ἀπὸ τοῦ Ἀμφίων Ἄμφιος ὥσπερ ἀπὸ τοῦ Ἀκταίων, Ἀκταῖος· ἐκ τῆς ἀμφὶ προθέσεως οὖν γέγονεν Ἄμφιος διὰ τοῦ ι μακροῦ· καὶ διὰ τὸ εἶναι προπαροξύτονον, καὶ διὰ τὸ μὴ εἶναι διὰ τοῦ ευω ῥημάτων.

Ἀλφειός: Τὸ φει δίφθογγον κατὰ τὴν παράδοσιν· ποταμὸς δέ ἐστιν, καὶ λέγεταί περ Ἀλφειὸς παρὰ τὸ θεραπεύειν τοὺς ἀλφοὺς ἤγουν τοὺς λεπρούς.

Ἀρνειός: Τὸ νει δίφθογγον· γέγονεν δὲ οὕτως· ἔστιν ἀρὰ ἡ εὐχὴ, ἐκ τούτου γίνεται ἀρὴν ἀρῆνος, τουτέστιν τὸ ἐπὶ εὐχῆς παραβαλλόμενον· κατὰ συγκοπὴν ἀρνός· καὶ μετάγεται αὕτη ἡ γενικὴ εἰς εὐθεῖαν· οἷον, ἀρνός· κατὰ πλεονασμὸν τῆς ει γίνεται ἀρνειὸς, ὥσπερ ἀδελφὸς, ἀδελφειός.

Ἀφνειός: Τὸ φνει δίφθογγον· γέγονεν οὕτως· ἐστὶν ἔνος ὁ ἐνιαυτός· καὶ ἐκ τούτου γίνεται ἄφενος, τουτέστιν ὁ ἐκ τῶν καρπῶν τοῦ ἐνιαυτοῦ συναγόμενος πλοῦτος· ἐκ δὲ τοῦ ἄφενος γίνεται ἀφενειὸς, καὶ κατὰ συγκοπὴν ἀφνειός.

Ἀγινεῖν: Τὸ γι ι· τὸ νειν δίφθογγον, ὡς ἀπαρέμφατον· ὡς καὶ τὸ ἄγειν· γέγονεν δὲ ἀπὸ ῥήματος· ἀπὸ τοῦ ἄγω ἀγνῶ, καὶ κατὰ πλεονασμὸν τοῦ ι μακροῦ γίνεται ἀγινῶ.

a Cod. εἶται.

Ἀνία: Διὰ τοῦ ι· ἀπὸ τοῦ αἴνω, τὸ σημαῖνον τὸ θεραπεύω· ἡ γὰρ ἀνία ἐστέρηται τῆς θεραπείας· καὶ παρὰ τὸ ἰέναι τὸ σημαῖνον τὸ θεραπεύεσθαι· ἡ γὰρ ἀνία ἐμποδιστική ἐστιν τοῦ προκόπτειν· καὶ παρὰ τὸ ἄνω, ἀνύω γέγονεν ἀνία, διανυστικὴ καὶ πρακτικὴ καὶ διὰ τὸ μὴ ἔχειν ἀντιπαρακείμενον ῥῆμα διὰ τοῦ ευω διὰ τοῦ ι γράφεται, ὡς καὶ τὸ μανία· πενία· γωνία.

Ἀσκαλωνίτης: Διὰ τοῦ ι τὸ νι· τὰ γὰρ εἰς της λήγοντα ὑπὲρ δύο συλλαβὰς βαρύτονα, εἴτε ἁπλᾶ, εἴτε σύνθετα, μὴ ἔχοντα ἀντιπαρακείμενον τὸ ο, μήτε ἀπὸ πρωτοτύπου τὸ ε, μήτε ἀπὸ πλεονασμοῦ τὸ ι, ἐνὶ φωνήεντι παραλήγεται· οἷον, Ἀσκαλωνίτης· μνηματίτης· σημαίνει δὲ τὸν ἐπιτάφιον λόγον· πολίτης· μυθίτης, σημαίνει δὲ τὸν στασιαστήν· τεμενίτης· Σικελιώτης· στρατιώτης.

Ἀλείτης: Τὸ λει δίφθογγον· σημαίνει καὶ τὸν ἁμαρτωλόν· τὸ λει δίφθογγον γράφεται· ἢ παρὰ τὸ ἀλοίτης τροπῇ τῆς οι εἰς ει· διὰ δὲ τὸ ἀντιπαρακεῖσθαι τὸ ο, κατὰ τοῦτο γράφεται διὰ διφθόγγου· ἀλείτης, ἀλοίτης· ὥσπερ σπείρω σπορὰ, καὶ φθείρω, φθορά· ἔχει γὰρ τὸ ε ἐγκείμενον, ὡς εἴρηται· ὥσπερ σπείρω, σπορὰ, καὶ φθείρω, φθορὰ, οὕτως οὖν καὶ ἀλείτης διὰ διφθόγγου, διὰ τὸ ἐν τῷ ἀλοίτης ἔχειν τὸ ο.

Ἀλιτήριος: Ὅ ἐστιν ἀπὸ τοῦ ἀλιτρός· σημαίνει δὲ τὸν ἁμαρτωλόν· διὰ τοῦ ι τὸ λι· τὸ τη η· ἀλιτρός ἐστιν παρὰ τὸ στέρησιν ἔχειν τῆς λιτῆς· τὸ λιτὴ δὲ διὰ τοῦ ι γράφεται· τὰ γὰρ ἔχοντα τὸ τη οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, Ἀφροδίτη· ἀμφίτη· πλὴν τοῦ εἱρκτὴ, τοῦτο γὰρ διὰ τῆς ει διφθόγγου γράφεται· ἔστιν δὲ τοῦτο παρὰ τὸ ἀλιτεῖν ῥῆμα.

Ἀκαλλερείτης: Τὸ ρει δίφθογγον· δεῖ γὰρ γινώσκειν, ὅτι πάντα τὰ παρὰ τὸ ῥέειν διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, εὐρείτης· βαθυρείτης· οὕτως οὖν καὶ ἀκαλλαρείτης· σημαίνει τὸ ἡσύχως ῥέειν· ἀκαλλαρείτης γέγονεν ἐκ τοῦ ἀκαλὰ, ὅ ἐστιν τὸ ἡσύχως ῥέον.

Ἀρτεμίσιον: Ἀφροδίσιον· ι ἀμφότεραι αἱ συλλαβαί· ἡ παράδοσις.

Ἀγχίσης: Διὰ τοῦ ι τὸ χι· ἔστιν γὰρ παρὰ τὸ ἄγχι, καὶ ἴσι, καὶ ἀμφὶ τὰς προθέσεις· τὰ γὰρ διὰ τοῦ ισης πάντα διὰ τοῦ ι γράφεται.

Ἀδήριτος: Διὰ τοῦ ι· ἔστιν δῆρις, δηρίω, ὥσπερ κόνις, κονίω, καὶ μῆτις, μητίω· τούτου τοῦ δηρίω ὁ παθητικὸς παρακείμενος δεδήριμαι, δεδήρισαι, δεδήριται, διὰ τοῦ ι· καὶ λοιπὸν ἐκεῖθεν ἀδήριτος διὰ τοῦ ι· καὶ ἄλλως δὲ τὰ διὰ τοῦ ιτος ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, ἄτιτος ὁ ἀτιμώρητος· ἀκόνιτος· Ἐπαφρόδιτος· Θεοδώριτος· καὶ τὰ ὅμοια.

Ἄϊκες: Ἔστιν αἱ ὁρμαὶ, καὶ διὰ τοῦ ι γράφεται· ἀποβάλλων γὰρ ὁ μέλλων τὸ ω, ἀποτελεῖ ὄνομα· οἷον, τρώσω, τρώς· θήσω, θής· οὕτω καὶ ἀΐσσω, ἀΐξω διὰ τοῦ ι, καὶ κατὰ ἀποβολὴν τοῦ ω γίνεται ἄϊξ, καὶ λοιπὸν ἐκεῖθεν ἄϊκες· καὶ πάλιν τὰ εἰς ξ λήγοντα ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, πέρδιξ· μάστιξ· θρίξ· οὕτως οὖν καὶ ἄϊξ.

Ἀφροδίτη: Διὰ τοῦ ι τὸ δι· ὥσπερ ἀπὸ τοῦ φυτὸν γίνεται φυτρὸς, καὶ φιτρὸς, κατὰ τροπὴν τοῦ υ εἰς ι, ὅ ἐστιν κορμός· καὶ ἀπὸ τοῦ δύο φέρειν γίνεται δύφρος, καὶ τροπῇ τοῦ υ εἰς ι δίφρος, ὅ ἐστιν ἅρμα ἀπὸ τοῦ δύο φέρειν· τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ ἀναδύσα καὶ τοῦ ἀφροῦ ἀνέρχεσθαι, γίνεται ἀφροδύτη, καὶ κατὰ τροπὴν τοῦ υ εἰς ι Ἀφροδίτη· εἰ δὲ καὶ, ὡς προείρηται, τὰ εἰς τη λήγοντα ὑπὲρ δύο συλλαβὰς βαρύτονα ἐνὶ φωνήεντι παραλήγεται· γέγονε δὲ παρὰ τοῦ ἀφρὸν Ἀφροδίτη· λέγεται δὲ Ἀφροδίτη παρὰ τὴν ἀφροσύνην· ἐναντία γάρ ἐστιν αὕτη τῇ φρονήσει.

Ἀκραγαντῖνος: Διὰ τοῦ ι μακροῦ· τὰ γὰρ διὰ τοῦ ινος ὀνόματα πρὸ τέλους ἔχοντα τὸν τόνον, μὴ ἔχοντα ἀπὸ πλεονασμοῦ τὸ ι, ἀποστρέφονται τὴν ει δίφθογγον, καὶ πάντα ἐκτείνουσι τὸ ι, καὶ προπερισπῶσιν· οἷον, ἀγαθῖνος καὶ τὰ ὅμοια· πλὴν τοῦ ἐχίνος· τοῦτο γὰρ βραχὺ ἔχει τὸ ι, καὶ παροξύνεται· τὰ δὲ διὰ τοῦ ινος προπαροξύτονα συστέλλουσι τὸ ι· οἷον, φήγινος· λίθινος· δρύϊνος· χωρὶς τοῦ κάμινος.

Ἀδρηστίνη· Αἰητίνη: Διὰ τοῦ η τὸ δρη· τὸ τι ι· τὰ γὰρ διὰ τοῦ ινη μονογενῆ, μὴ γενόμενα ἀπὸ ἐπιθέτων κύρια, ἀποστρέ-

φονται τὴν διὰ τῆς ει διφθόγγου γραφήν· οἷον, Ὠκεανίνη[b]· Εὐηνίνη· ἰατρίνη, καὶ τὰ ὅμοια.

Ἀργυροδίνης: Σημαίνει δὲ τὴν συστροφήν· διὰ τοῦ ι γράφεται, διὰ τὸν χαρακτῆρα τῶν διὰ τοῦ ινη· καὶ πάλιν οἱ Αἰολεῖς δίννας λέγουσι, καὶ οὐχὶ δέννας· ἐὰν γὰρ δέννας, διὰ τῆς ει διφθόγγου εἶχεν γράφεσθαι· ἀλλὰ δίννας λέγουσιν, ἤγουν διὰ τοῦ ι· τὰ γὰρ διὰ τοῦ ινης ἀποστρέφονται τὴν ει δίφθογγον.

Αἴγινα: Ὄνομα πόλεως, διὰ τοῦ ι γράφεται· τὰ γὰρ διὰ τοῦ ινα ἀποστρέφονται τὴν ει δίφθογγον, χωρὶς τοῦ πεῖνα· ἔστιν δὲ ταῦτα· Μαρίνα· Ἀρπίνα· Ἰουστῖνα· Φαυστῖνα· Ἀντωνῖνα· Κωνσταντῖνα.

Ἀεργία: Διὰ τοῦ ι γράφεται· τὰ γὰρ ἀπὸ τῶν εἰς ος συνθέτων, καὶ τῶν ἀπὸ τῶν εἰς ος ἁπλῶν, μὴ ἐχόντων ἀντιπαρακείμενα ῥήματα διὰ τοῦ ευω, διὰ τοῦ ια γινόμενα θηλυκὰ, πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ τοῦ ι γράφεται· οἷον, κακὸς, κακία· σοφὸς, σοφία· ὑπερήφανος, ὑπερηφανία· εὔκαιρος εὐκαιρία οὕτως καὶ ἀεργὸς, ἀεργία· πλὴν τοῦ βοηθὸς, βοήθεια, καὶ εὔερος, εὐέρεια· καὶ τῶν διὰ τοῦ ευω, μοιχεύω, μοιχεῖα, καὶ τὰ ὅμοια.

Ἄϊος: Σημαίνει δὲ τὸν ἀκούοντα· καὶ διὰ τοῦ ι γράφεται· γέγονεν δὲ ἀπὸ τοῦ ἀΐων, ἄϊος· σημαίνει τὸ ἄϊρος· ἔστιν δὲ τὸ ἐπικληθέν.

Ἀλγίων· Αἰσχίων: Διὰ τοῦ ι γράφεται· τὰ γὰρ εἰς ων καθαρὰ συγκριτικὰ οὐ παραλήγονται τὴν ει δίφθογγον, ἀλλὰ τὸ ι· αἰσχίων· βραδίων· ταχίων· ἰδίων· γλυκίων· καὶ τὰ ὅμοια· πλὴν τοῦ χερείων· ἀργείων· πλείων· μείων.

Ἀρίων: Τὸ κύριον ὄνομα διὰ τοῦ ι γράφεται, κατὰ διαστολὴν τῶν συγκριτικῶν· τὸ δὲ ἄρειος ἀπὸ τοῦ ἄρεως γεγονὸς, ἤγουν τοῦ σημαίνοντος τὸν ἀνδρεῖον, διὰ τῆς ει διφθόγγου γράφεται.

Ἀκριβής: Διὰ τοῦ ι γράφεται· ὥσπερ ἀπὸ τοῦ ἀφροδύτη γίνεται Ἀφροδίτη, τροπῇ τοῦ υ εἰς ι· τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ ἀκρυβὴς γίνεται ἀκριβὴς διὰ τοῦ ι· καὶ γὰρ τὸν ἀκριβῆ οὐδεὶς δύναται κρυβεῖν ἢ λαθεῖν.

[b] Cod. ὠκαιανίνη.

Ἀρτεμίσιος: Διὰ τοῦ ι· τὸ μι βραχὺ, τὸ δὲ σι διὰ τοῦ ι μακροῦ· τὰ γὰρ διὰ τοῦ ισιος οὐδέτερα, καὶ διὰ τοῦ ισια, καὶ διὰ τοῦ ισιον οὐδέτερα, ἀποστρέφονται τὴν ει δίφθογγον· τουτέστιν ἀφροδίσιος, ἀφροδισία, καὶ ἀφροδίσιον.

Ἀψίς: Διὰ τοῦ ι· τὰ εἰς ις ἀπὸ μελλόντων γινόμενα, βαρύνεται καὶ συστέλλει τὸ ι· ὡς τὸ πράξω, πράξις· λέξω, λέξις· ἅψω, ἀψίς· ἡ γὰρ ἀψὶς συνημμένη ἐστίν· καὶ διὰ τοῦ ι ἐκτείνειν καὶ ὀξύνεται· τὰ γὰρ εἰς ις ἁπλᾶ ἐκτείνοντα τὸ ι ἐπὶ τέλους ἔχουσι τὸν τόνον· οἷον, κνημίς· κρηπίς· ψηφίς· οὕτως καὶ ἀψίς· τὰ γὰρ εἰς ις ὀξύτονα ὑπὲρ μίαν συλλαβὴν ἀποστρέφονται τὴν ει δίφθογγον, χωρὶς τοῦ κλεὶς καὶ ἀντηρείς.

Ἀμνισός: Ὁ ποταμός· διὰ τοῦ ι γράφεται· τὰ γὰρ εἰς ος τρισύλλαβα πλὴν ὀνομάτων ποταμῶν διὰ τοῦ ι γράφεται· οἷον, Ἀμνισός· Κιφισός· Ἰλισός· ἐπὶ δὲ ποταμῶν διὰ τῆς ει διφθόγγου· οἷον, Ἀλφειός· Πηνειός· Σπερχειός· Ὀλμειός.

Ἀκιδαλίνη: Ἔστιν δὲ ὄνομα κρήνης· παρὰ τὸ Ἀκὶς, Ἀκίδος.

Ἀκονιτί· Ἀμοϊτί· Ἀμισθί: Καὶ τὰ τούτων ὅμοια διὰ τοῦ ι γράφεται ὡς ἐπιῤῥήματα· ἀνωϊτί· ἀκλαυστί· ἀνηθελητί· καὶ ἀπορὶ, καὶ τὰ τούτοις ὅμοια πάντα διὰ τοῦ ι γράφεται· πλὴν τῶν διὰ τοῦ θ· λ· μ· ξ· ρ· φ· χ· ταῦτα γὰρ διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, διὰ τοῦ θ· ἀμυθεὶ, ἀθεεί· τὸ λ· ἀσυλεί· τὸ μ· πανδημεί· τὸ ξ· αὐτολεξεί· τὸ ρ· ἀμετρεί· τὸ αὐτοχειρὶ δὲ διὰ τοῦ ι· τὸ φ· παμψηφεί· τὸ χ· τριστοιχεί· καὶ τὰ σύνθετα δὲ ὁμοίως διὰ τῆς ει διφθόγγου, ἔχοντα τὸ τ· ἀμηνυτεί· ἀνιδρωτεί· ἀναιμοτεί· ἀκηρυκτεί· ἀνωμοτεί· φιετεί· ἀνοτητεί[d]· ἀκληρωτεί· ἀνιδιτεί· ἀκλαυστεί· ἀμαρτεί· ἀνθεωρητεί· ἀνηθελητεί· ἐγρηγορητεί· ἐθελοτεί· ἄνευ δὲ τούτων, διὰ τοῦ ι γράφονται τὰ λοιπὰ, καὶ τὰ τούτοις ὅμοια· Τὰ ἀπὸ τῶν εἰς ος μικρὸν εἰς ως μέγα μεταποιούμενα· οἷον, μεγάλως· σοφῶς· καλῶς· καὶ τὰ ὅμοια· καὶ τὸ οἱονεὶ καὶ τὰ καθαρεύοντα δὲ διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀθεεί· αὐτοβοεί[e].

[d] ἀνουτητεί fors. leg. [e] ἀεὶ add. man. rec.

Ἀΐτης: Διὰ τοῦ ι γράφεται· πάντα γὰρ τὰ διὰ τοῦ ιτης διὰ τοῦ ι γράφεται κατὰ τὸν κανόνα τοῦ Ἀσκαλωνίτης· ἀΐτης δέ ἐστι ὁ ἐρώμενος· οἱονεὶ ὁμοΐτης τις ὤν.

Ἀϊτίας: Σημαίνει δὲ τὰς ἐρωτικάς· διὰ τοῦ ι· ὥσπερ ἀπὸ τοῦ ὁ δεσπότης ἀρσενικοῦ γίνεται ἡ δεσπότις διὰ τοῦ ι, οὕτως καὶ ἀπὸ τοῦ ἀΐτης, ἡ ἀΐτις, ἀΐτιδος, καὶ ἐκεῖθεν ἀϊτίας.

Ἄφιξις: Διὰ τοῦ ι γράφεται· γέγονε δὲ ἀπὸ τῶν παθητικῶν ῥημάτων ἐκ τοῦ ἀφίγμαι, ἀφίξαι, ἀφίκται· καὶ τὸ ἱκανὸς παρὰ τὸ ἱκέσθαι, εἰς πάντα γὰρ δύναται παραγένεσθαι ὁ ἱκανός· οὕτως καὶ ἄφιξις διὰ τοῦ ι· καὶ ἄλλως· τὰ ἀμφιβαλλόμενα κατὰ τὴν γραφὴν, καὶ ἔχοντα ἢ τὸ ι, ἢ τὸ ν ἐπιφερόμενα, διὰ μόνου τοῦ ι γράφεται· οἷον, Ἶρις· Ἴλιον· δριμύς· βριθύς· Τιφύς· ῥιπίς· οὕτως οὖν καὶ ἄφιξις διὰ τοῦ ι.

Ἀργυρίδιον: Διὰ τοῦ ι τὸ ρι· ἐκ τοῦ ἀργυρὸς, ἀργύριον, ἀργυρίδιον, τροπῇ τοῦ ο εἰς ι, καὶ μακρὸν αὐτὸ ἔχει.

Ἀμφιτρίτη: Διὰ τοῦ ι γράφεται κατὰ τὴν παράδοσιν· Ἀμφιτρίτη δέ ἐστιν ἡ θάλασσα· γράφεται δὲ διὰ τοῦ ι, ὅτι τὰ εἰς τη λήγοντα θηλυκὰ βαρύτονα ὑπὲρ δύο συλλαβὰς ἑνὶ φωνήεντι παραλήγονται· οἷον, Θεοδότη· μελέτη· Ἀφροδίτη· οὕτως οὖν καὶ Ἀμφιτρίτη.

Ἀντηρείδης: Διὰ τῆς ει διφθόγγου· εἰς ὃ ἐπερείδεταί τις· τοῦτο δὲ καὶ κατὰ τὴν παράδοσιν διὰ τῆς ει διφθόγγου γράφεται· ἀπὸ τοῦ Ἀτρεὺς γὰρ καὶ Αἰγεὺς ὄντα, διὰ τῆς ει θέλουσι γράφεσθαι· τὸ δὲ Ἀλκείδης ἐκ τοῦ ἀλκαῖος τροπῇ τῆς αι διφθόγγου εἰς τὴν ει.

Ἀργεῖος: Διὰ τῆς ει διφθόγγου· οἱ γὰρ Αἰολεῖς Ἀργεΐος λέγουσιν διϊστῶντες τὸ ι· καὶ κατὰ κρᾶσιν ἡμεῖς τοῦ ε καὶ ι λέγομεν Ἀργεῖος· καὶ ἄλλως· τὰ γὰρ τοιαῦτα πρὸ μιᾶς τὸν τόνον ἔχοντα, καὶ ἐν τῇ πρώτῃ συλλαβῇ τὸ α, μεθ' οὗ ἐστι δύο σύμφωνα ἢ καὶ πλείονα, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀστεῖος· Καδμεῖος· ἀνδρεῖος· Ἀργεῖος· Βακχεῖος· πλὴν τοῦ ναντίος· καὶ ἄλλως δὲ κατὰ ιω τὸν χαρακτῆρα λέγοντα, ὅτι τὸ Ἀργεῖος διὰ τῆς ει διφθόγγου γράφεται· ἐπειδὴ τὰ κτητικὰ τὰ ὑπὲρ δύο συλλαβὰς ἔχοντα μακρὰν τὴν παραλήγουσαν, οὐ-

δέποτε διὰ τοῦ ι γράφεται, ἀλλὰ διὰ διφθόγγου· οἷον, Αἰαντεῖος· κυνεῖος· αἰγεῖος· ἀνθρωπεῖος· οὕτως οὖν καὶ Ἀργεῖος.

Ἀργύρειος: Τὸ μετουσιαστικὸν, διὰ τῆς ει διφθόγγου τὸ ρει· παρὰ γὰρ τὸ ἀργύρεος ἐστὶν προσθήκῃ τοῦ ι ἀργύρειος, ὁμοίως ἀχρεῖος· παρὰ γὰρ τὸ χρέα, χρεῖα· ἀνδρεῖος, καὶ ἀνδρεῖα, καὶ ἀνδρεῖον.

Ἀνδρεῖα: Διὰ τῆς ει διφθόγγου· ὁ γὰρ Ὧρος εἶπεν, ὅτι εὕρηται κατὰ διάστασιν ἀνδρεΐα, καὶ κατὰ κρᾶσιν ἀνδρεῖα, ἀνδρεῖος, καὶ ἡ παράδοσις δὲ οὕτως αὐτὸ γράφει.

Ἀστερόεις: Αἱματόεις· διὰ τῆς ει διφθόγγου· τὰ γὰρ εἰς εις, εἰς εν ἔχοντα τὸ οὐδέτερον, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, χαρίεις, χαρίεν· τιμήεις, τιμῆεν· καὶ τὰ ὅμοια· ἄλλως δὲ τὰ διὰ τοῦ εντος κλινόμενα διὰ τῆς ει διφθόγγου γράφεται· δαφνήεις, δαφνήεντος· οὕτως οὖν καὶ ἀστερόεις, ἀστερόεντος· καὶ αἱματόεις, αἱματόεντος· καὶ ἄλλως· ὅτι οἱ Δωριεῖς ἄνευ τοῦ ι προφέρονται αὐτό· οἷον, ἀστερόες· αἱματόες· καὶ ἡμεῖς λοιπὸν προσθέσει τοῦ ι γράφομεν.

Ἀρνειός: Ὀξύτονον διὰ τῆς ει διφθόγγου· διὰ τὸ ἀρνεός· καὶ ἄλλως, ὥσπερ ἀπὸ τοῦ ἀδελφὸς γίνεται ἀδελφειὸς, κατὰ πλεονασμὸν τῆς ει διφθόγγου· οὕτως καὶ ἀρνὸς, ἀρνειός· καὶ διὰ τοῦτο ὀξύνεται.

Ἀρνεῖος: Ὁ μὴν προπερισπωμένον· τὰ γὰρ διὰ τοῦ ειος τρισύλλαβα πρὸ μιᾶς ἔχοντα τὸν τόνον, ἔχοντα ἐν τῇ πρώτῃ συλλαβῇ τὸ α, μεθ' οὗ ἐστὶ δύο σύμφωνα ἢ καὶ πλείονα, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀνδρεῖος· ἀστεῖος, καὶ τὰ ὅμοια· πλὴν τοῦ ναντίος.

Ἄρνειος: Ὁ ποὺς προπαροξύτονον, καὶ διὰ τῆς ει διφθόγγου γράφεται· τὰ γὰρ διὰ τοῦ ειος σημαίνοντα μέρος σωματικὸν διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀνθρώπειος χείρ· ἄρνειος πούς.

Ἀδελφειός: Διὰ τῆς ει διφθόγγου· παρὰ τὸ ἀδελφεὸς, ἀδελφὸς καὶ ἀδελφειὸς, κατὰ πλεονασμὸν τῆς ει, ὡς εἴρηται ἐν τῷ περὶ τοῦ ἀρνειός.

Ἀφνειός: Ὀξυτόνως σημαίνει τὸν πλούσιον, διὰ τῆς ει

διφθόγγου· διὰ τὸ καὶ χωρὶς αὐτὸ τοῦ ι εὑρεθῆναι, ἀφνεὸς, καὶ κατὰ πλεονασμὸν τοῦ ι ἀφνειός.

Ἀΐδιος: Διὰ τοῦ ι· καὶ πάντα τὰ τοιαῦτα, ἀρσενικὰ, θηλυκὰ, οὐδέτερα, οὕτως γράφονται.

Ἀγρεῖος: Ὃ ἐστιν ἀγροῖκος, διὰ τῆς ει διφθόγγου τῶν κατὰ τοῦ ἀρνεῖος· Ἄγριος δὲ ὁ ἀνήμερος διὰ τοῦ ι, καὶ προπαροξύνεται κατὰ τὴν παράδοσιν τοῦ ποιητοῦ· ἠγριωμένος γάρ.

Ἀλείφω: Τὸ λει δίφθογγος· τὰ γὰρ ἔχοντα τὸ ο ἀντιπαραχείμενον ἔχουσι τὸ ε ἐγκείμενον· οἷον, λέγω, λόγος· δέρω, δορά· οὕτως καὶ ἀλείφω, ἀλοιφὴ, ὅ ἐστι τὸ ἄλειμμα, διὰ τῆς ει διφθόγγου τροπῇ τοῦ ο εἰς ε· τὰ δὲ ὀνόματα τὰ ἐκ τοῦ ἀλείφω γινόμενα, εἰ μὲν διὰ τοῦ πτ ἐκφέρονται, φυλάττει τὴν ει δίφθογγον· οἷον, ἀλειπτὸν, ἀνήλειπτον· εἰ δὲ διὰ τοῦ φ ἐκφέρονται σύνθετα ὄντα, διὰ τοῦ ι γράφονται· οἷον, ἐπηλιφής· πισσηλιφής.

Ἄλειφα καὶ Ἄλειφαρ: Σημαίνει δὲ τὸ ἄλειμμα· διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ ἀλείφω γέγονεν, φυλαχθείσης τῆς λει συλλαβῆς διφθόγγου.

Ἀφιείμενοι καὶ Εἵμενος: Ὁμοίως ει· ἀμφιεμμένοι γὰρ συναλειφή.

Ἀγείρω: Διὰ τῆς ει διφθόγγου· οἱ γὰρ Αἰολεῖς ἀγέρρω λέγουσιν, καὶ παρὰ τὸ ἀγερῶ, ἀγείρω· καὶ παρὰ τὸ ἔχειν ἀντιπαρακείμενον τὸ ο· οἷον, ἀγορὰ, ὡς ἀλείφω, ἀλοιφή· γράφεται διὰ τῆς ει διφθόγγου.

Ἀείρω: Τὸ οἰκτείρω· διὰ τῆς ει διφθόγγου· οἱ γὰρ Αἰολεῖς ἀέρρω λέγουσιν· ἡμεῖς δὲ τὸν μέλλοντα λέγομεν ἀερῶ· καὶ πλεονασμῷ τοῦ ι ἀείρω· καὶ διὰ τὸ ἔχειν τὸ ἄειρον ἀντιπαρακείμενον τὸ ο ἐν τῷ ἀορτήρ.

Ἀμείβω: Διὰ τῆς ει διφθόγγου, διὰ τὸ ἔχειν ἀντιπαρακείμενον τὸ ο ἐν τῷ ἀμοιβὴ, ὥσπερ λείβω, λοιβή· ἀλείφω, ἀλοιφή· οὕτως καὶ ἀμείβω, ἀμοιβή.

Ἀπείλω καὶ Ἀπειλή: Διὰ τῆς ει διφθόγγου· οἱ γὰρ Αἰολεῖς διὰ τοῦ ε ἐκφέρουσιν αὐτά· οἷον, ἀπέλλω, ἀπελλή· ὥσπερ κείρω, κερῶ.

Ἀνηρείψαντο: Δίφθογγος τὸ ρει· ἀνερέψαντο γάρ.

Ἀμείψας: Διὰ τῆς ει διφθόγγου τὸ μει, κατὰ τὸν κανόνα τοῦ ἀμείβω· ἀμείβω γὰρ καὶ ἀμείψας.

Αἰνείας: Διὰ τῆς ει διφθόγγου τὸ νει· εὕρηται γὰρ καὶ Αἰνέας λεγόμενον· καὶ προσθέσει τοῦ ἰῶτα Αἰνείας.

Ἀμείνω: Διὰ τῆς ει διφθόγγου· παρὰ τὸ μείων, καὶ πλεονασμῷ τοῦ ν ἀμείνων· καὶ πάλιν καὶ παρὰ τὸ μείω γέγονεν ἀμέων, καὶ πλεονασμῷ τοῦ ι ἀμείων, τουτέστιν, ὁ μὴ μένων, ἀλλ' ὑπὸ πάντων περιάρπαστος γενόμενος δι' ἐξοχήν.

Αὐγείας: δίφθογγος τὸ γει· ἀπὸ γὰρ τοῦ αὐγὴ αὐγέας, καὶ κατὰ πλεονασμὸν τοῦ ι Αὐγείας.

Ἀπόδειξις: Τὸ δει δίφθογγος· Ἡρόδοτος[f] γὰρ ἀπόδεξις ἔγραψεν ἐν ὑπομνήματι αὐτοῦ, καὶ προσθήκῃ τοῦ ι ἀπόδειξις.

Ἀλεείνω: Τὸ ει δίφθογγον· τὰ γὰρ διὰ τοῦ εινω ὑπὲρ δύο συλλαβὰς βαρύτονα τῇ ει διφθόγγῳ παραλήγει· οἷον, φαείνω· ἀλεείνω· χωρὶς τοῦ ὀρίνω· ὠδίνω, ὅ ἐστι τὸ τίκτω· ταῦτα γὰρ διὰ τοῦ ι γράφεται· γέγονεν δὲ τὸ ἀλεείνω οὕτως· ἔστιν ἀλέα ἡ θερμασία, καὶ ἐκ τούτου γίνεται ἀλεείνω· οἱονεὶ εἰς τὴν θερμασίαν ἐκ τοῦ ψύχους ἀποφεύγω.

Ἀνθρωπίσκος: Διὰ τοῦ ι· καὶ πάντα τὰ εἰς κος ὑποκοριστικά· ἃ ὡς ὑποκοριστικὰ καὶ παροξύνεται, καί ἐστιν πάντα ὑπὲρ δύο συλλαβὰς, καὶ διᾶ τοῦ ι γράφεται· οἷον, Ἀπολλωνίσκος· μειρακίσκος· ἀστερίσκος, καὶ ὅσα ὅμοια.

Ἀφιείμενοι: Σημαίνει τὸ ἐνδεδυμένοι· διὰ τῆς ει διφθόγγου· εὕρηται γὰρ παρὰ τοῖς Αἰολεῦσιν καὶ χωρὶς τοῦ ι· οἷον, ἀφιεμένοι· καὶ παρὰ τὸ ἕω δὲ, ὃ σημαίνει τὸ ἐνδύομαι· τοῦ ὁ μέλλων ἕσω, καὶ πάλιν ὁ ἐνεργητικὸς παρακείμενος εἷα, καὶ ὁ παθητικὸς εἷμαι, ἡ μετοχὴ εἵμενος, καὶ ἐν συνθέσει ἀφιείμενος.

Ἀτρείων: Διὰ τῆς ει διφθόγγου· ἐκ τοῦ Ἀτρεὸς Ἀτρειών.

Ἀγγείλας: Διὰ διφθόγγου· ἐκ τοῦ ἀγγέλω γάρ· καὶ ὥσπερ ἀποστέλλω, ἀποστείλας· καὶ ἐκ τοῦ ἀγγέλλω, ἀγγείλας, καὶ τὰ ὅμοια.

Ἀεί: Διὰ τῆς ει διφθόγγου· εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι·

f Cod. Ἡρώδοτος.

οἷον, αἰὲν καὶ αἰὲς, καὶ κατὰ ἀφαίρεσιν τοῦ ι ἐκ τοῦ α, καὶ προσθήκῃ εἰς τὸ ε ἀεί· καὶ τὸ ἄϊδι ἐκ τούτου γέγονεν ἀπὸ τοῦ ε· οἷον, ἀεῖον.

Ἀρειή: Σημαίνει τὴν ἐν πολέμῳ ἀπειλήν· τὸ ρει δίφθογγον· παρὰ γὰρ τὴν Ἄρεως γενικὴν γέγονεν ἀρέα, καὶ κατὰ πλεονασμὸν τοῦ ι ἀρεῖα, καὶ τροπῇ Ἰωνικῇ τοῦ α εἰς η ἀρειή· ὥσπερ πεῖνα, πείνη.

Ἀείδηλον: Σημαίνει δὲ τὸ λίαν ὁρατόν· διὰ τῆς ει γράφεται· γέγονεν δὲ ἀπὸ τοῦ εἴδω, εἴδελος, καὶ ἐν συνθέσει ἀείδελος· τουτέστιν ὁ μὴ θεωρούμενος· καὶ ἀπὸ τοῦ ἀεὶ δὲ γέγονεν ἀείδελον.

Ἀείκελλος: Τὸ ει δίφθογγον· ἀπὸ τοῦ εἴκω, τοῦ σημαίνοντος τὸ ὁμοιῶ, γέγονεν εἴκελλος, καὶ ἐκεῖθεν ἀείκελλος, τοῦτ' ἔστιν ὁ ἀνόμοιος.

Ἄρειος: Καὶ τὸ κύριον οὕτως ἐγράφει.

Ἀεικής: Ἔστιν δὲ ὁ ἀναιδὴς καὶ σκληρὸς, παρὰ τὸ μὴ εἴκειν καὶ ὑποχωρεῖν· διὰ τῆς ει διφθόγγου· τὸ ει γὰρ ἐκ τοῦ εἴκω γέγονεν τοῦ σημαίνοντος τὸ ὑποχωρῶ, ἐξ οὗ καὶ τὸ οἶκος· οἱονεὶ εἰς ὃν ὑποχωροῦμεν· γίνεται ἀεικής.

Ἀτειρής: Ὁ ἀκαταπόνητος· τὸ τει δίφθογγον· τὰ γὰρ διὰ τοῦ ειρω ἀποστρέφονται τὴν διὰ τοῦ ι μόνου γραφήν· οἷον, κείρω· σπείρω· φθείρω· εἴρω τὸ συμπλέκω· ἀείρω τὸ οἰκτείρω· οὕτως καὶ τείρω ἀτειρής· καὶ ἄλλως· ἐκ τοῦ ἀτερὴς γέγονεν πλεονασμῷ τοῦ ι ἀτειρής· οἱονεὶ μὴ ὢν ἁπαλός.

Ἀλφειός: Διὰ τῆς ει διφθόγγου· εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι Ἀλφεὸς, καὶ κατὰ πλεονασμὸν τοῦ ι Ἀλφειός· λέγεται δὲ Ἀλφειὸς παρὰ τὸ θεραπεύειν τοὺς ἀλφοὺς, ὅ ἐστιν εἶδος λέπρας· ἐκ τούτου οὕτως ὀνομάσθη.

Αἴγειρος: Διὰ διφθόγγου τὰ δύο· εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι· οἷον, αἴγερον, καὶ κατὰ πλεονασμὸν τοῦ ι αἴγειρος· τὰ γὰρ εἰς ρος ῥηματικὰ τῇ ει διφθόγγῳ θέλουσι παραλήγεσθαι· οἷον, ἀείσσω αἴγειρος· μάσσω, μάγειρος· ὀνῶ, ὄνειρος· τὸ δὲ αι τῆς πρώτης συλλαβῆς γέγονεν ἀπὸ τοῦ ἀΐσσω αἴγειρος, κατὰ κρᾶσιν.

γοντα, εἴτε[a] ἀρσενικὰ, εἴτε θηλυκὰ, οὐκ ἔχουσι πρὸ τοῦ ν δίφθογγον· οἷον, Ἕλλην· αὐχήν· Τιτάν· γέγονεν δὲ ἀκτὶς ἀπὸ ἐτυμολογίας ἀπὸ τοῦ ἄγω, ἄξω, ἧχα, ἧγμαι, ἧξαι, ἧκται, ἀκτίς· οἱονεὶ ἡ πανταχοῦ φερομένη· ἡ γὰρ ἀκτὶς τοῦ ἡλίου πανταχοῦ φέρεται· ἢ ἐκ τοῦ ἧκται ἐκτὸς, ἐκ τούτου ἀκτίς.

Ἀμφίων: Διὰ τοῦ ι· ἔστι γὰρ ὄνομα κύριον ἀπὸ τῆς ἀμφὶ προθέσεως καὶ τῆς ἴων μετοχῆς, ἀμφιΐων, βαρύτονον· καὶ ἀμφίων, κατὰ κρᾶσιν τοῦ ϊ εἰς ἓν ι μακρόν· τὰ γὰρ διὰ τοῦ ϊων βαρύτονα τρέποντα τὸ ω εἰς ο ἐν τῇ γενικῇ, εἴτε κύρια, εἴτε μὴ κύρια βαρύτονα· οἷον, Ἡμαθίων, Ἡμαθίωνος· καὶ τὰ ὀξύτονα τὰ κοινὰ τῷ γένει· οἷον, ὁ περικτιὼν καὶ ἡ περικτιών· ἀποστρέφεται τὴν ει δίφθογγον κατὰ τὴν παραλήγουσαν· χωρὶς τοῦ πλείων· χερείων· μείων, καὶ ἀρείων τοῦ συγκριτικοῦ.

Ἄμφιος: Διὰ τοῦ ι κατὰ τὴν παράδοσιν· γέγονεν δὲ ἀπὸ τοῦ Ἀμφίων Ἄμφιος ὥσπερ ἀπὸ τοῦ Ἀκταίων, Ἀκταῖος· ἐκ τῆς ἀμφὶ προθέσεως οὖν γέγονεν Ἄμφιος διὰ τοῦ ι μακροῦ· καὶ διὰ τὸ εἶναι προπαροξύτονον, καὶ διὰ τὸ μὴ εἶναι διὰ τοῦ ευω ῥημάτων.

Ἀλφειός: Τὸ φει δίφθογγον κατὰ τὴν παράδοσιν· ποταμὸς δέ ἐστιν, καὶ λέγεταί περ Ἀλφειὸς παρὰ τὸ θεραπεύειν τοὺς ἀλφοὺς ἤγουν τοὺς λεπρούς.

Ἀρνειός: Τὸ νει δίφθογγον· γέγονεν δὲ οὕτως· ἔστιν ἀρὰ ἡ εὐχὴ, ἐκ τούτου γίνεται ἀρὴν ἀρῆνος, τουτέστιν τὸ ἐπὶ εὐχῆς παραβαλλόμενον· κατὰ συγκοπὴν ἀρνός· καὶ μετάγεται αὕτη ἡ γενικὴ εἰς εὐθεῖαν· οἷον, ἀρνός· κατὰ πλεονασμὸν τῆς ει γίνεται ἀρνειὸς, ὥσπερ ἀδελφὸς, ἀδελφειός.

Ἀφνειός: Τὸ φνει δίφθογγον· γέγονεν οὕτως· ἐστὶν ἔνος ὁ ἐνιαυτός· καὶ ἐκ τούτου γίνεται ἄφενος, τουτέστιν ὁ ἐκ τῶν καρπῶν τοῦ ἐνιαυτοῦ συναγόμενος πλοῦτος· ἐκ δὲ τοῦ ἄφενος γίνεται ἀφενειὸς, καὶ κατὰ συγκοπὴν ἀφνειός.

Ἀγινεῖν: Τὸ γι ι· τὸ νειν δίφθογγον, ὡς ἀπαρέμφατον· ὡς καὶ τὸ ἄγειν· γέγονεν δὲ ἀπὸ ῥήματος· ἀπὸ τοῦ ἄγω ἀγνῶ, καὶ κατὰ πλεονασμὸν τοῦ ι μακροῦ γίνεται ἀγινῶ.

[a] Cod. εἶται.

Ἀνία: Διὰ τοῦ ι· ἀπὸ τοῦ αἴνω, τὸ σημαῖνον τὸ θεραπεύω· ἡ γὰρ ἀνία ἐστέρηται τῆς θεραπείας· καὶ παρὰ τὸ ἰέναι τὸ σημαῖνον τὸ θεραπεύεσθαι· ἡ γὰρ ἀνία ἐμποδιστική ἐστιν τοῦ προκόπτειν· καὶ παρὰ τὸ ἄνω, ἀνύω γέγονεν ἀνία, διανυστικὴ καὶ πρακτικὴ καὶ διὰ τὸ μὴ ἔχειν ἀντιπαρακείμενον ῥῆμα διὰ τοῦ ευω διὰ τοῦ ι γράφεται, ὡς καὶ τὸ μανία· πενία· γωνία.

Ἀσκαλωνίτης: Διὰ τοῦ ι τὸ νι· τὰ γὰρ εἰς της λήγοντα ὑπὲρ δύο συλλαβὰς βαρύτονα, εἴτε ἁπλᾶ, εἴτε σύνθετα, μὴ ἔχοντα ἀντιπαρακείμενον τὸ ο, μήτε ἀπὸ πρωτοτύπου τὸ ε, μήτε ἀπὸ πλεονασμοῦ τὸ ι, ἑνὶ φωνήεντι παραλήγεται· οἷον, Ἀσκαλωνίτης· μνηματίτης· σημαίνει δὲ τὸν ἐπιτάφιον λόγον· πολίτης· μυθίτης, σημαίνει δὲ τὸν στασιαστήν· τεμενίτης· Σικελιώτης· στρατιώτης.

Ἀλείτης: Τὸ λει δίφθογγον· σημαίνει καὶ τὸν ἁμαρτωλόν· τὸ λει δίφθογγον γράφεται· ἢ παρὰ τὸ ἀλοίτης τροπῇ τῆς οι εἰς ει· διὰ δὲ τὸ ἀντιπαρακεῖσθαι τὸ ο, κατὰ τοῦτο γράφεται διὰ διφθόγγου· ἀλείτης, ἀλοίτης· ὥσπερ σπείρω σπορὰ, καὶ φθείρω, φθορά· ἔχει γὰρ τὸ ε ἐγκείμενον, ὡς εἴρηται· ὥσπερ σπείρω, σπορὰ, καὶ φθείρω, φθορὰ, οὕτως οὖν καὶ ἀλείτης διὰ διφθόγγου, διὰ τὸ ἐν τῷ ἀλοίτης ἔχειν τὸ ο.

Ἀλιτήριος: Ὅ ἐστιν ἀπὸ τοῦ ἀλιτρός· σημαίνει δὲ τὸν ἁμαρτωλόν· διὰ τοῦ ι τὸ λι· τὸ τη η· ἀλιτρός ἐστιν παρὰ τὸ στέρησιν ἔχειν τῆς λιτῆς· τὸ λιτὴ δὲ διὰ τοῦ ι γράφεται· τὰ γὰρ ἔχοντα τὸ τη οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, Ἀφροδίτη· ἀμφίτη· πλὴν τοῦ εἱρκτὴ, τοῦτο γὰρ διὰ τῆς ει διφθόγγου γράφεται· ἔστιν δὲ τοῦτο παρὰ τὸ ἀλιτεῖν ῥῆμα.

Ἀκαλλερείτης: Τὸ ρει δίφθογγον· δεῖ γὰρ γινώσκειν, ὅτι πάντα τὰ παρὰ τὸ ῥέειν διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, εὐρείτης· βαθυρείτης· οὕτως οὖν καὶ ἀκαλλαρείτης· σημαίνει τὸ ἡσύχως ῥέειν· ἀκαλλαρείτης γέγονεν ἐκ τοῦ ἀκαλὰ, ὅ ἐστιν τὸ ἡσύχως ῥέον.

Ἀρτεμίσιον: Ἀφροδίσιον· ι ἀμφότεραι αἱ συλλαβαί· ἡ παράδοσις.

Ἀγχίσης: Διὰ τοῦ ι τὸ χι· ἔστιν γὰρ παρὰ τὸ ἄγχι, καὶ ἀντὶ, καὶ ἀμφὶ τὰς προθέσεις· τὰ γὰρ διὰ τοῦ ισης πάντα διὰ τοῦ ι γράφεται.

Ἀδήριτος: Διὰ τοῦ ι· ἔστιν δῆρις, δηρίω, ὥσπερ κόνις, κονίω, καὶ μῆτις, μητίω· τούτου τοῦ δηρίω ὁ παθητικὸς παρακείμενος δεδήριμαι, δεδήρισαι, δεδήριται, διὰ τοῦ ι· καὶ λοιπὸν ἐκεῖθεν ἀδήριτος διὰ τοῦ ι· καὶ ἄλλως δὲ τὰ διὰ τοῦ ιτος ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, ἄτιτος ὁ ἀτιμώρητος· ἀκόνιτος· Ἐπαφρόδιτος· Θεοδώριτος· καὶ τὰ ὅμοια.

Ἄϊκες: Ἔστιν αἱ ὁρμαὶ, καὶ διὰ τοῦ ι γράφεται· ἀποβάλλων γὰρ ὁ μέλλων τὸ ω, ἀποτελεῖ ὄνομα· οἷον, τρώσω, τρώς· θήσω, θής· οὕτω καὶ ἀΐσσω, ἀΐξω διὰ τοῦ ι, καὶ κατὰ ἀποβολὴν τοῦ ω γίνεται ἄϊξ, καὶ λοιπὸν ἐκεῖθεν ἄϊκες· καὶ πάλιν τὰ εἰς ξ λήγοντα ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, πέρδιξ· μάστιξ· θρίξ· οὕτως οὖν καὶ ἄϊξ.

Ἀφροδίτη: Διὰ τοῦ ι τὸ δι· ὥσπερ ἀπὸ τοῦ φυτὸν γίνεται φυτρὸς, καὶ φιτρὸς, κατὰ τροπὴν τοῦ υ εἰς ι, ὅ ἐστιν κορμός· καὶ ἀπὸ τοῦ δύο φέρειν γίνεται δύφρος, καὶ τροπῇ τοῦ υ εἰς ι δίφρος, ὅ ἐστιν ἅρμα ἀπὸ τοῦ δύο φέρειν· τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ ἀναδύσα καὶ τοῦ ἀφροῦ ἀνέρχεσθαι, γίνεται ἀφροδύτη, καὶ κατὰ τροπὴν τοῦ υ εἰς ι Ἀφροδίτη· εἰ δὲ καὶ, ὡς προείρηται, τὰ εἰς τη λήγοντα ὑπὲρ δύο συλλαβὰς βαρύτονα ἐνὶ φωνήεντι παραλήγεται· γέγονε δὲ παρὰ τοῦ ἀφρὸν Ἀφροδίτη· λέγεται δὲ Ἀφροδίτη παρὰ τὴν ἀφροσύνην· ἐναντία γάρ ἐστιν αὕτη τῇ φρονήσει.

Ἀκραγαντῖνος: Διὰ τοῦ ι μακροῦ· τὰ γὰρ διὰ τοῦ ινος ὀνόματα πρὸ τέλους ἔχοντα τὸν τόνον, μὴ ἔχοντα ἀπὸ πλεονασμοῦ τὸ ι, ἀποστρέφονται τὴν ει δίφθογγον, καὶ πάντα ἐκτείνουσι τὸ ι, καὶ προπερισπῶσιν· οἷον, ἀγαθῖνος καὶ τὰ ὅμοια· πλὴν τοῦ ἐχίνος· τοῦτο γὰρ βραχὺ ἔχει τὸ ι, καὶ παροξύνεται· τὰ δὲ διὰ τοῦ ινος προπαροξύτονα συστέλλουσι τὸ ι· οἷον, φήγινος· λίθινος· δρύϊνος· χωρὶς τοῦ κάμινος.

Ἀδρηστίνη· Αἰητίνη: Διὰ τοῦ η τὸ δρη· τὸ τι ι· τὰ γὰρ διὰ τοῦ ινη μονογενῆ, μὴ γενόμενα ἀπὸ ἐπιθέτων κύρια, ἀποστρέ-

φονται τὴν διὰ τῆς ει διφθόγγου γραφήν· οἷον, Ὠκεανίνη[b]· Εὐηνίνη· ἰατρίνη, καὶ τὰ ὅμοια.

Ἀργτροδίνης: Σημαίνει δὲ τὴν συστροφήν· διὰ τοῦ ι γράφεται, διὰ τὸν χαρακτῆρα τῶν διὰ τοῦ ινη· καὶ πάλιν οἱ Αἰολεῖς δίννας λέγουσι, καὶ οὐχὶ δέννας· ἐὰν γὰρ δέννας, διὰ τῆς ει διφθόγγου εἶχεν γράφεσθαι· ἀλλὰ δίννας λέγουσιν, ἤγουν διὰ τοῦ ι· τὰ γὰρ διὰ τοῦ ινης ἀποστρέφονται τὴν ει δίφθογγον.

Αἴγινα: Ὄνομα πόλεως, διὰ τοῦ ι γράφεται· τὰ γὰρ διὰ τοῦ ινα ἀποστρέφονται τὴν ει δίφθογγον, χωρὶς τοῦ πεῖνα· ἔστιν δὲ ταῦτα· Μαρίνα· Ἀρπίνα· Ἰουστῖνα· Φαυστῖνα· Ἀντωνῖνα· Κωνσταντῖνα.

Ἀεργία: Διὰ τοῦ ι γράφεται· τὰ γὰρ ἀπὸ τῶν εἰς ος συνθέτων, καὶ τῶν ἀπὸ τῶν εἰς ος ἁπλῶν, μὴ ἐχόντων ἀντιπαρακείμενα ῥήματα διὰ τοῦ ευω, διὰ τοῦ ια γινόμενα θηλυκὰ, πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ τοῦ ι γράφεται· οἷον, κακὸς, κακία· σοφὸς, σοφία· ὑπερήφανος, ὑπερηφανία· εὔκαιρος εὐκαιρία οὕτως καὶ ἀεργὸς, ἀεργία· πλὴν τοῦ βοηθὸς, βοήθεια, καὶ εὔερος, εὐέρεια· καὶ τῶν διὰ τοῦ ευω, μοιχεύω, μοιχεῖα, καὶ τὰ ὅμοια.

Ἄϊος: Σημαίνει δὲ τὸν ἀκούοντα· καὶ διὰ τοῦ ι γράφεται· γέγονεν δὲ ἀπὸ τοῦ ἀΐων, ἄϊος· σημαίνει τὸ ἄϊρος· ἔστιν δὲ τὸ ἐπικληθέν.

Ἀλγίων· Αἰσχίων: Διὰ τοῦ ι γράφεται· τὰ γὰρ εἰς ων καθαρὰ συγκριτικὰ οὐ παραλήγονται τὴν ει δίφθογγον, ἀλλὰ τὸ ι· αἰσχίων· βραδίων· ταχίων· ἰδίων· γλυκίων· καὶ τὰ ὅμοια· πλὴν τοῦ χερείων· ἀργείων· πλείων· μείων.

Ἀρίων: Τὸ κύριον ὄνομα διὰ τοῦ ι γράφεται, κατὰ διαστολὴν τῶν συγκριτικῶν· τὸ δὲ ἄρειος ἀπὸ τοῦ ἄρεως γεγονὸς, ἤγουν τοῦ σημαίνοντος τὸν ἀνδρεῖον, διὰ τῆς ει διφθόγγου γράφεται.

Ἀκριβής: Διὰ τοῦ ι γράφεται· ὥσπερ ἀπὸ τοῦ ἀφροδύτη γίνεται Ἀφροδίτη, τροπῇ τοῦ υ εἰς ι· τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ ἀκρυβὴς γίνεται ἀκριβὴς διὰ τοῦ ι· καὶ γὰρ τὸν ἀκριβῆ οὐδεὶς δύναται κρυβεῖν ἢ λαθεῖν.

[b] Cod. ὠκαιανίνη.

Ἀρτεμίσιος: Διὰ τοῦ ι· τὸ μι βραχὺ, τὸ δὲ σι διὰ τοῦ ι μακροῦ· τὰ γὰρ διὰ τοῦ ισιος οὐδέτερα, καὶ διὰ τοῦ ισια, καὶ διὰ τοῦ ισιον οὐδέτερα, ἀποστρέφονται τὴν ει δίφθογγον· τουτέστιν ἀφροδίσιος, ἀφροδισία, καὶ ἀφροδίσιον.

Ἀψίς: Διὰ τοῦ ι· τὰ εἰς ις ἀπὸ μελλόντων γινόμενα, βαρύνεται καὶ συστέλλει τὸ ι· ὡς τὸ πράξω, πράξις· λέξω, λέξις· ἅψω, ἀψίς· ἡ γὰρ ἀψὶς συνημμένη ἐστίν· καὶ διὰ τοῦ ι ἐκτείνειν καὶ ὀξύνεται· τὰ γὰρ εἰς ις ἁπλᾶ ἐκτείνοντα τὸ ι ἐπὶ τέλους ἔχουσι τὸν τόνον· οἷον, κνημίς· κρηπίς· ψηφίς· οὕτως καὶ ἀψίς· τὰ γὰρ εἰς ις ὀξύτονα ὑπὲρ μίαν συλλαβὴν ἀποστρέφονται τὴν ει δίφθογγον, χωρὶς τοῦ κλεὶς καὶ ἀντηρείς.

Ἀμνισός: Ὁ ποταμός· διὰ τοῦ ι γράφεται· τὰ γὰρ εἰς ος τρισύλλαβα πλὴν ὀνομάτων ποταμῶν διὰ τοῦ ι γράφεται· οἷον, Ἀμνισός· Κιφισός· Ἰλισός· ἐπὶ δὲ ποταμῶν διὰ τῆς ει διφθόγγου· οἷον, Ἀλφειός· Πηνειός· Σπερχειός· Ὀλμειός.

Ἀκιδαλίνη: Ἔστιν δὲ ὄνομα κρήνης· παρὰ τὸ Ἀκὶς, Ἀκίδος.

Ἀκονιτί· Ἀμοϊτί· Ἀμισθί: Καὶ τὰ τούτων ὅμοια διὰ τοῦ ι γράφεται ὡς ἐπιῤῥήματα· ἀνωϊτί· ἀκλαυστί· ἀνηθελητί· καὶ ἀπορὶ, καὶ τὰ τούτοις ὅμοια πάντα διὰ τοῦ ι γράφεται· πλὴν τῶν διὰ τοῦ θ· λ· μ· ξ· ρ· φ· χ· ταῦτα γὰρ διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, διὰ τοῦ θ· ἀμυθεὶ, ἀθεεί· τὸ λ· ἀσυλεί· τὸ μ· πανδημεί· τὸ ξ· αὐτολεξεί· τὸ ρ· ἀμετρεί· τὸ αὐτοχειρὶ δὲ διὰ τοῦ ι· τὸ φ· παμψηφεί· τὸ χ· τριστοιχεί· καὶ τὰ σύνθετα δὲ ὁμοίως διὰ τῆς ει διφθόγγου, ἔχοντα τὸ τ· ἀμηνυτεί· ἀνιδρωτεί· ἀναιμοτεί· ἀκηρυκτεί· ἀνωμοτεί· φιετεί· ἀνοτητεί[d]· ἀκληρωτεί· ἀνιδιτεί· ἀκλαυστεί· ἀμαρτεί· ἀνθεωρητεί· ἀνηθελητεί· ἐγρηγορητεί· ἐθελοτεί· ἄνευ δὲ τούτων, διὰ τοῦ ι γράφονται τὰ λοιπὰ, καὶ τὰ τούτοις ὅμοια· Τὰ ἀπὸ τῶν εἰς ος μικρὸν εἰς ως μέγα μεταποιούμενα· οἷον, μεγάλως· σοφῶς· καλῶς· καὶ τὰ ὅμοια· καὶ τὸ οἱονεὶ καὶ τὰ καθαρεύοντα δὲ διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀθεεί· αὐτοβοεί[e].

d ἀνουτητεί fors. leg. e ἀεὶ add. man. rec.

Ἀίτης: Διὰ τοῦ ι γράφεται· πάντα γὰρ τὰ διὰ τοῦ ιτης διὰ τοῦ ι γράφεται κατὰ τὸν κανόνα τοῦ Ἀσκαλωνίτης· ἀίτης δέ ἐστι ὁ ἐρώμενος· οἱονεὶ ὁμοίτης τις ὤν.

Ἀϊτίας: Σημαίνει δὲ τὰς ἐρωτικάς· διὰ τοῦ ι· ὥσπερ ἀπὸ τοῦ ὁ δεσπότης ἀρσενικοῦ γίνεται ἡ δεσπότις διὰ τοῦ ι, οὕτως καὶ ἀπὸ τοῦ ἀίτης, ἡ ἀίτις, ἀίτιδος, καὶ ἐκεῖθεν ἀϊτίας.

Ἄφιξις: Διὰ τοῦ ι γράφεται· γέγονε δὲ ἀπὸ τῶν παθητικῶν ῥημάτων ἐκ τοῦ ἀφίγμαι, ἀφίξαι, ἀφίκται· καὶ τὸ ἱκανὸς παρὰ τὸ ἱκέσθαι, εἰς πάντα γὰρ δύναται παραγένεσθαι ὁ ἱκανός· οὕτως καὶ ἄφιξις διὰ τοῦ ι· καὶ ἄλλως· τὰ ἀμφιβαλλόμενα κατὰ τὴν γραφὴν, καὶ ἔχοντα ἢ τὸ ι, ἢ τὸ ν ἐπιφερόμενα, διὰ μόνου τοῦ ι γράφεται· οἷον, Ἶρις· Ἴλιον· δριμύς· βριθύς· Τιφύς· ῥιπίς· οὕτως οὖν καὶ ἄφιξις διὰ τοῦ ι.

Ἀργυρίδιον: Διὰ τοῦ ι τὸ ρι· ἐκ τοῦ ἀργυρὸς, ἀργύριον, ἀργυρίδιον, τροπῇ τοῦ ο εἰς ι, καὶ μακρὸν αὐτὸ ἔχει.

Ἀμφιτρίτη: Διὰ τοῦ ι γράφεται κατὰ τὴν παράδοσιν· Ἀμφιτρίτη δέ ἐστιν ἡ θάλασσα· γράφεται δὲ διὰ τοῦ ι, ὅτι τὰ εἰς τη λήγοντα θηλυκὰ βαρύτονα ὑπὲρ δύο συλλαβὰς ἑνὶ φωνήεντι παραλήγονται· οἷον, Θεοδότη· μελέτη· Ἀφροδίτη· οὕτως οὖν καὶ Ἀμφιτρίτη.

Ἀντηρείδης: Διὰ τῆς ει διφθόγγου· εἰς ὃ ἐπερείδεταί τις· τοῦτο δὲ καὶ κατὰ τὴν παράδοσιν διὰ τῆς ει διφθόγγου γράφεται· ἀπὸ τοῦ Ἀτρεὺς γὰρ καὶ Αἰγεὺς ὄντα, διὰ τῆς ει θέλουσι γράφεσθαι· τὸ δὲ Ἀλκείδης ἐκ τοῦ ἀλκαῖος τροπῇ τῆς αι διφθόγγου εἰς τὴν ει.

Ἀργεῖος: Διὰ τῆς ει διφθόγγου· οἱ γὰρ Αἰολεῖς Ἀργεΐος λέγουσιν διϊστῶντες τὸ ι· καὶ κατὰ κρᾶσιν ἡμεῖς τοῦ ε καὶ ι λέγομεν Ἀργεῖος· καὶ ἄλλως· τὰ γὰρ τοιαῦτα πρὸ μιᾶς τὸν τόνον ἔχοντα, καὶ ἐν τῇ πρώτῃ συλλαβῇ τὸ α, μεθ' οὗ ἐστι δύο σύμφωνα ἢ καὶ πλείονα, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀστεῖος· Καδμεῖος· ἀνδρεῖος· Ἀργεῖος· Βακχεῖος· πλὴν τοῦ ναντίος· καὶ ἄλλως δὲ κατὰ ιω τὸν χαρακτῆρα λέγοντα, ὅτι τὸ Ἀργεῖος διὰ τῆς ει διφθόγγου γράφεται· ἐπειδὴ τὰ κτητικὰ τὰ ὑπὲρ δύο συλλαβὰς ἔχοντα μακρὰν τὴν παραλήγουσαν, ου-

δέποτε διὰ τοῦ ι γράφεται, ἀλλὰ διὰ διφθόγγου· οἷον, Αἰαντεῖος· κυνεῖος· αἰγεῖος· ἀνθρωπεῖος· οὕτως οὖν καὶ Ἀργεῖος.

Ἀργύρειος: Τὸ μετουσιαστικὸν, διὰ τῆς ει διφθόγγου τὸ ρει· παρὰ γὰρ τὸ ἀργύρεος ἐστὶν προσθήκῃ τοῦ ι ἀργύρειος, ὁμοίως ἀχρεῖος· παρὰ γὰρ τὸ χρέα, χρεῖα· ἀνδρεῖος, καὶ ἀνδρεῖα, καὶ ἀνδρεῖον.

Ἀνδρεῖα: Διὰ τῆς ει διφθόγγου· ὁ γὰρ Ὧρος εἶπεν, ὅτι εὕρηται κατὰ διάστασιν ἀνδρεΐα, καὶ κατὰ κρᾶσιν ἀνδρεῖα, ἀνδρεῖος, καὶ ἡ παράδοσις δὲ οὕτως αὐτὸ γράφει.

Ἀστερόεις: Αἱματόεις· διὰ τῆς ει διφθόγγου· τὰ γὰρ εἰς εις, εἰς εν ἔχοντα τὸ οὐδέτερον, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, χαρίεις, χαρίεν· τιμήεις, τιμῆεν· καὶ τὰ ὅμοια· ἄλλως δὲ τὰ διὰ τοῦ εντος κλινόμενα διὰ τῆς ει διφθόγγου γράφεται· δαφνήεις, δαφνήεντος· οὕτως οὖν καὶ ἀστερόεις, ἀστερόεντος· καὶ αἱματόεις, αἱματόεντος· καὶ ἄλλως· ὅτι οἱ Δωριεῖς ἄνευ τοῦ ι προφέρονται αὐτό· οἷον, ἀστερόες· αἱματόες· καὶ ἡμεῖς λοιπὸν προσθέσει τοῦ ι γράφομεν.

Ἀρνειός: Ὀξύτονον διὰ τῆς ει διφθόγγου· διὰ τὸ ἀρνεός· καὶ ἄλλως, ὥσπερ ἀπὸ τοῦ ἀδελφὸς γίνεται ἀδελφειὸς, κατὰ πλεονασμὸν τῆς ει διφθόγγου· οὕτως καὶ ἀρνὸς, ἀρνειός· καὶ διὰ τοῦτο ὀξύνεται.

Ἀρνεῖος: Ὁ μὴν προπερισπωμένον· τὰ γὰρ διὰ τοῦ ειος τρισύλλαβα πρὸ μιᾶς ἔχοντα τὸν τόνον, ἔχοντα ἐν τῇ πρώτῃ συλλαβῇ τὸ α, μεθ' οὗ ἐστὶ δύο σύμφωνα ἢ καὶ πλείονα, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀνδρεῖος· ἀστεῖος, καὶ τὰ ὅμοια· πλὴν τοῦ ναυτίος.

Ἄρνειος: Ὁ ποὺς προπαροξύτονον, καὶ διὰ τῆς ει διφθόγγου γράφεται· τὰ γὰρ διὰ τοῦ ειος σημαίνοντα μέρος σωματικὸν διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀνθρώπειος χείρ· ἄρνειος πούς.

Ἀδελφειός: Διὰ τῆς ει διφθόγγου· παρὰ τὸ ἀδελφεὸς, ἀδελφὸς καὶ ἀδελφειὸς, κατὰ πλεονασμὸν τῆς ει, ὡς εἴρηται ἐν τῷ περὶ τοῦ ἀρνειός.

Ἀφνειός: Ὀξυτόνως σημαίνει τὸν πλούσιον, διὰ τῆς ει

διφθόγγου· διὰ τὸ καὶ χωρὶς αὐτὸ τοῦ ι εὑρεθῆναι, ἀφνεὸς, καὶ κατὰ πλεονασμὸν τοῦ ι ἀφνειός.

Ἀΐδιος: Διὰ τοῦ ι· καὶ πάντα τὰ τοιαῦτα, ἀρσενικὰ, θηλυκὰ, οὐδέτερα, οὕτως γράφονται.

Ἀγρεῖος: Ὅ ἐστιν ἀγροῖκος, διὰ τῆς ει διφθόγγου τῶν κατὰ τοῦ ἀρνεῖος· Ἄγριος δὲ ὁ ἀνήμερος διὰ τοῦ ι, καὶ προπαροξύνεται κατὰ τὴν παράδοσιν τοῦ ποιητοῦ· ἠγριωμένος γάρ.

Ἀλείφω: Τὸ λει δίφθογγος· τὰ γὰρ ἔχοντα τὸ ο ἀντιπαραχείμενον ἔχουσι τὸ ε ἐγκείμενον· οἷον, λέγω, λόγος· δέρω, δορά· οὕτως καὶ ἀλείφω, ἀλοιφὴ, ὅ ἐστι τὸ ἄλειμμα, διὰ τῆς ει διφθόγγου τροπῇ τοῦ ο εἰς ε· τὰ δὲ ὀνόματα τὰ ἐκ τοῦ ἀλείφω γινόμενα, εἰ μὲν διὰ τοῦ πτ ἐκφέρονται, φυλάττει τὴν ει δίφθογγον· οἷον, ἀλειπτὸν, ἀνήλειπτον· εἰ δὲ διὰ τοῦ φ ἐκφέρονται σύνθετα ὄντα, διὰ τοῦ ι γράφονται· οἷον, ἐπηλιφής· πισσηλιφής.

Ἄλειφα καὶ Ἄλειφαρ: Σημαίνει δὲ τὸ ἄλειμμα· διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ ἀλείφω γέγονεν, φυλαχθείσης τῆς λει συλλαβῆς διφθόγγου.

Ἀφιείμενοι καὶ Εἵμενος: Ὁμοίως ει· ἀμφιεμμένοι γὰρ συναλειφή.

Ἀγείρω: Διὰ τῆς ει διφθόγγου· οἱ γὰρ Αἰολεῖς ἀγέρρω λέγουσιν, καὶ παρὰ τὸ ἀγερῶ, ἀγείρω· καὶ παρὰ τὸ ἔχειν ἀντιπαρακείμενον τὸ ο· οἷον, ἀγορὰ, ὡς ἀλείφω, ἀλοιφή· γράφεται διὰ τῆς ει διφθόγγου.

Ἀείρω: Τὸ οἰκτείρω· διὰ τῆς ει διφθόγγου· οἱ γὰρ Αἰολεῖς ἀέρρω λέγουσιν· ἡμεῖς δὲ τὸν μέλλοντα λέγομεν ἀερῶ· καὶ πλεονασμῷ τοῦ ι ἀείρω· καὶ διὰ τὸ ἔχειν τὸ ἄειρον ἀντιπαρακείμενον τὸ ο ἐν τῷ ἀορτήρ.

Ἀμείβω: Διὰ τῆς ει διφθόγγου, διὰ τὸ ἔχειν ἀντιπαρακείμενον τὸ ο ἐν τῷ ἀμοιβὴ, ὥσπερ λείβω, λοιβή· ἀλείφω, ἀλοιφή· οὕτως καὶ ἀμείβω, ἀμοιβή.

Ἀπείλω καὶ Ἀπειλή: Διὰ τῆς ει διφθόγγου· οἱ γὰρ Αἰολεῖς διὰ τοῦ ε ἐκφέρουσιν αὐτά· οἷον, ἀπέλλω, ἀπελλή· ὥσπερ κείρω, κερῶ.

Ἀνηρείψαντο: *Δίφθογγος τὸ ρει· ἀνερέψαντο γάρ.*

Ἀμείψας: *Διὰ τῆς ει διφθόγγου τὸ μει, κατὰ τὸν κανόνα τοῦ ἀμείβω· ἀμείβω γὰρ καὶ ἀμείψας.*

Αἰνείας: *Διὰ τῆς ει διφθόγγου τὸ νει· εὕρηται γὰρ καὶ Αἰνέας λεγόμενον· καὶ προσθέσει τοῦ ἰῶτα Αἰνείας.*

Ἀμείνω: *Διὰ τῆς ει διφθόγγου· παρὰ τὸ μείων, καὶ πλεονασμῷ τοῦ ν ἀμείνων· καὶ πάλιν καὶ παρὰ τὸ μείω γέγονεν ἀμέων, καὶ πλεονασμῷ τοῦ ι ἀμείων, τουτέστιν, ὁ μὴ μένων, ἀλλ' ὑπὸ πάντων περιάρπαστος γενόμενος δι' ἐξοχήν.*

Αὐγείας: *δίφθογγος τὸ γει· ἀπὸ γὰρ τοῦ αὐγὴ αὐγέας, καὶ κατὰ πλεονασμὸν τοῦ ι Αὐγείας.*

Ἀπόδειξις: *Τὸ δει δίφθογγος· Ἡρόδοτος*[f] *γὰρ ἀπόδεξις ἔγραψεν ἐν ὑπομνήματι αὐτοῦ, καὶ προσθήκῃ τοῦ ι ἀπόδειξις.*

Ἀλεείνω: *Τὸ ει δίφθογγον· τὰ γὰρ διὰ τοῦ εινω ὑπὲρ δύο συλλαβὰς βαρύτονα τῇ ει διφθόγγῳ παραλήγει· οἷον, φαείνω· ἀλεείνω· χωρὶς τοῦ ὀρίνω· ὠδίνω, ὅ ἐστι τὸ τίκτω· ταῦτα γὰρ διὰ τοῦ ι γράφεται· γέγονεν δὲ τὸ ἀλεείνω οὕτως· ἔστιν ἀλέα ἡ θερμασία, καὶ ἐκ τούτου γίνεται ἀλεείνω· οἱονεὶ εἰς τὴν θερμασίαν ἐκ τοῦ ψύχους ἀποφεύγω.*

Ἀνθρωπίσκος: *Διὰ τοῦ ι· καὶ πάντα τὰ εἰς κος ὑποκοριστικά· ἃ ὡς ὑποκοριστικὰ καὶ παροξύνεται, καί ἐστιν πάντα ὑπὲρ δύο συλλαβὰς, καὶ διᾶ τοῦ ι γράφεται· οἷον, Ἀπολλωνίσκος· μειρακίσκος· ἀστερίσκος, καὶ ὅσα ὅμοια.*

Ἀφιείμενοι: *Σημαίνει τὸ ἐνδεδυμένοι· διὰ τῆς ει διφθόγγου· εὕρηται γὰρ παρὰ τοῖς Αἰολεῦσιν καὶ χωρὶς τοῦ ι· οἷον, ἀφιεμένοι· καὶ παρὰ τὸ ἕω δὲ, ὃ σημαίνει τὸ ἐνδύομαι· τοῦ ὁ μέλλων ἕσω, καὶ πάλιν ὁ ἐνεργητικὸς παρακείμενος εἷα, καὶ ὁ παθητικὸς εἷμαι, ἡ μετοχὴ εἵμενος, καὶ ἐν συνθέσει ἀφιείμενος.*

Ἀτρείων: *Διὰ τῆς ει διφθόγγου· ἐκ τοῦ Ἀτρεὸς Ἀτρειών.*

Ἀγγείλας: *Διὰ διφθόγγου· ἐκ τοῦ ἀγγέλω γάρ· καὶ ὥσπερ ἀποστέλλω, ἀποστείλας· καὶ ἐκ τοῦ ἀγγέλλω, ἀγγείλας, καὶ τὰ ὅμοια.*

Ἀεί: *Διὰ τῆς ει διφθόγγου· εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι·*

[f] Cod. Ἡρώδοτος.

οἷον, αἰὲν καὶ αἰὲς, καὶ κατὰ ἀφαίρεσιν τοῦ ι ἐκ τοῦ α, καὶ προσθήκῃ εἰς τὸ ε ἀεί· καὶ τὸ ἄϊδι ἐκ τούτου γέγονεν ἀπὸ τοῦ ε· οἷον, ἀεῖον.

Ἀρειή: Σημαίνει τὴν ἐν πολέμῳ ἀπειλήν· τὸ ρει δίφθογγον· παρὰ γὰρ τὴν Ἄρεως γενικὴν γέγονεν ἀρέα, καὶ κατὰ πλεονασμὸν τοῦ ι ἀρεῖα, καὶ τροπῇ Ἰωνικῇ τοῦ α εἰς η ἀρειή· ὥσπερ πεῖνα, πείνη.

Ἀείδηλον: Σημαίνει δὲ τὸ λίαν ὁρατόν· διὰ τῆς ει γράφεται· γέγονεν δὲ ἀπὸ τοῦ εἴδω, εἴδελος, καὶ ἐν συνθέσει ἀείδελος· τουτέστιν ὁ μὴ θεωρούμενος· καὶ ἀπὸ τοῦ ἀεὶ δὲ γέγονεν ἀείδελον.

Ἀείκελλος: Τὸ ει δίφθογγον· ἀπὸ τοῦ εἴκω, τοῦ σημαίνοντος τὸ ὁμοιῶ, γέγονεν εἴκελλος, καὶ ἐκεῖθεν ἀείκελλος, τοῦτ' ἔστιν ὁ ἀνόμοιος.

Ἄρειος: Καὶ τὸ κύριον οὕτως ἐγράφει.

Ἀεικής: Ἔστιν δὲ ὁ ἀναιδὴς καὶ σκληρὸς, παρὰ τὸ μὴ εἴκειν καὶ ὑποχωρεῖν· διὰ τῆς ει διφθόγγου· τὸ ει γὰρ ἐκ τοῦ εἴκω γέγονεν τοῦ σημαίνοντος τὸ ὑποχωρῶ, ἐξ οὗ καὶ τὸ οἶκος· οἱονεὶ εἰς ὃν ὑποχωροῦμεν· γίνεται ἀεικής.

Ἀτειρής: Ὁ ἀκαταπόνητος· τὸ τει δίφθογγον· τὰ γὰρ διὰ τοῦ ειρω ἀποστρέφονται τὴν διὰ τοῦ ι μόνου γραφήν· οἷον, κείρω· σπείρω· φθείρω· εἴρω τὸ συμπλέκω· ἀείρω τὸ οἰκτείρω· οὕτως καὶ τείρω ἀτειρής· καὶ ἄλλως· ἐκ τοῦ ἀτερὴς γέγονεν πλεονασμῷ τοῦ ι ἀτειρής· οἱονεὶ μὴ ὢν ἀπαλός.

Ἀλφειός: Διὰ τῆς ει διφθόγγου· εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι Ἀλφεὸς, καὶ κατὰ πλεονασμὸν τοῦ ι Ἀλφειός· λέγεται δὲ Ἀλφειὸς παρὰ τὸ θεραπεύειν τοὺς ἀλφοὺς, ὅ ἐστιν εἶδος λέπρας· ἐκ τούτου οὕτως ὀνομάσθη.

Αἴγειρος: Διὰ διφθόγγου τὰ δύο· εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι· οἷον, αἴγερον, καὶ κατὰ πλεονασμὸν τοῦ ι αἴγειρος· τὰ γὰρ εἰς ρος ῥηματικὰ τῇ ει διφθόγγῳ θέλουσι παραλήγεσθαι· οἷον, ἀείσσω αἴγειρος· μάσσω, μάγειρος· ὀνῶ, ὄνειρος· τὸ δὲ αι τῆς πρώτης συλλαβῆς γέγονεν ἀπὸ τοῦ ἀΐσσω αἴγειρος, κατὰ κρᾶσιν.

Ἀχρεῖος: Δίφθογγον· καὶ προπερισπᾶται παρὰ τὸ χρέος.

Ἄπειρος: Εἴτε ἐπὶ τοῦ ἀμαθοῦς, εἴτε ἐπὶ τοῦ μεγάλου, διὰ διφθόγγου γράφεται· ἐπὶ μὲν τοῦ ἀμαθοῦς ἐκ τοῦ πεῖρα γέγονεν ἄπειρος· οἷον, ὁ ἐστερημένος τῆς πείρας· τὸ δὲ πεῖρα διὰ διφθόγγου γράφεται, οἱ γὰρ Αἰολεῖς πέρα λέγουσιν· ἐπὶ δὲ τοῦ μεγάλου καὶ αὐτὸ διὰ τῆς ει διφθόγγου, ὅτι ἀπὸ τοῦ πέρας γέγονεν ἄπερος, καὶ κατὰ πλεονασμὸν τοῦ ι ἄπειρος, οἱονεὶ ὁ μὴ ἔχων πέρας.

Ἀνδρειφόντης: Σημαίνει δὲ τὸν φονεύοντα τοὺς ἄνδρας· διὰ τῆς ει διφθόγγου· γέγονεν δὲ ἀπὸ τοῦ ἀνδρεφόντης κατὰ πλεονασμὸν τοῦ ι ἀνδρειφόντης.

Ἀλεξάνδρεια: Ἀντιόχεια: Διὰ τῆς ει διφθόγγου· τὰ γὰρ διὰ τοῦ εια προπαροξύτονα ἀποστρέφονται τὴν διὰ τοῦ ι γραφήν· οἷον, ἀναίδεια· ἀλήθεια· εὔκλεια· εὐγένεια· ἐπιφάνεια· ἄδεια· ἀπέχθεια· ἀπώλεια· ἄνθεια· θάλεια· ἀδράλεια, ἀσφάλεια· χωρὶς τῶν διὰ τοῦ τρια· οἷον, ἐλέτρια· λεκάστρια· σημαίνει δὲ τὴν πόρνην· ταῦτα γὰρ διὰ τοῦ ι γράφεται.

Αἰλία: Τὸ αι δίφθογγον· τὸ λι ι· κατὰ τὴν παράδοσιν· τὸ δὲ Ἀλεξάνδρεια καὶ Ἀντιόχεια, ἐκ τοῦ Ἀλεξανδρεὺς καὶ Ἀντιοχεὺς, διὰ τῆς ει διφθόγγου γράφεται· ταῦτα μὲν ἐπὶ πόλεως· ἐπὶ δὲ χώρας διὰ τοῦ ι γράφεται καὶ παροξύνονται· οἷον, Συρία· Λευκία· Σικελία· καὶ τὰ ὅμοια.

Ἀναιδής: Τὸ ναι δίφθογγον· καὶ ἀναίδεια, διὰ διφθόγγου τὸ δει.

Ἀκρίβεια: Ἀπέχθεια: Διὰ τῆς ει διφθόγγου· ὁμοίως τοῦ ἀναίδεια καὶ ἐντρέχεια· σημαίνει τὸ μετὰ δρόμου καὶ θερμῶς ἐπιπηδᾶν τοῖς πράγμασιν.

Ἀτρέκεια: Σημαίνει τὴν ἀλήθειαν, παρὰ τὸ ἀτρεκής.

Ἀκρατία καὶ Ἀκρασία: ι ἡ παράδοσις.

Ἀπόλεια: Τὰ παρὰ τὸ ὀλῶ ῥῆμα διὰ τῆς ει διφθόγγου γράφεται, καὶ ἐκτείνει τὸ ο εἰς τὸ ω· ἀπώλεια· ἐξώλεια.

Ἀνώγειος: Πάντα τὰ παρὰ τὸ γέα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, βαθύγειος· ἔγγειος· μεσόγειος· κατώγειος· ὑπέργειος· οὕτως οὖν καὶ ἀνώγειος διὰ διφθόγγου.

Ἄγγελος: Β′ γγ παρὰ τὸ ἄγω ἐγένετο ἄγελος, καὶ κατὰ πλεονασμὸν τοῦ γ ἄγγελος, ὁ τὰς ἀγγελίας ἄγων.

Ἀμέλεια: Δίφθογγον, παρὰ τὸ ἀμελής.

Ἀμαθία: ι ἡ παράδοσις, καὶ βραχύ.

Ἄδεια: Διὰ τῆς ει διφθόγγου· ἔστιν γὰρ δέος ὁ φόβος, ἐκ τούτου γίνεται ἀδεὴς ὁ ἄφοβος, καὶ ἐκεῖθεν ἀδεεῖα, καὶ κατὰ συγκοπὴν ἄδεια.

Ἀδράνεια: Παρὰ τὸ ἀδρανής.

Ἀλήθεια: Τὸ λη η· τὸ θεῖ δίφθογγον· γέγονεν οὕτως· ἔστιν ὄνομα λήθη, ὃ σημαίνει τὴν πλάνην, καὶ διὰ τοῦ α τοῦ στερητικοῦ προελθόντος γέγονεν ἀληθὴς, ὁ μηδένα πλανῶν· τὸ δὲ θει ἐκ τοῦ ἀληθεύω ῥήματος γέγονε· καὶ ἄλλως· ἔστιν κανὼν ὁ λέγων, ὅτι τὰ εἰς ης ἀρσενικὰ, εἰς α θηλυκὸν μεταγόμενα, διὰ τῆς ει διφθόγγου γράφεται· καὶ μάλιστα ὀξύτονα ὄντα· οἷον, ἀληθὴς, ἀλήθεια· πλὴν τοῦ ἀμαθία· ι γὰρ κατὰ τὴν παράδοσιν.

Ἄλεισον: Διὰ διφθόγγου γράφεται· σημαίνει τὸ ποτήριον· γέγονεν παρὰ τὸ λειον ἄλειον, καὶ ἐπενθέσει τοῦ σ ἄλεισον· τοῦ αὐτοῦ ἐπιτατικοῦ ὄντος καὶ στερητικοῦ.

Αἰπεῖα: Δίφθογγον· καὶ πάντα τὰ παρασχηματισμένα τὴν εἰς υς· ταχὺς, ταχεῖα· βραδὺς, βραδεῖα.

Αἰπεινός: Διὰ τῆς ει διφθόγγου· σημαίνει τὸν ὑψηλὸν τόπον· τὰ γὰρ εἰς νος ὀξύτονα παρώνυμα, μὴ ἐπὶ καίρου λαμβανόμενα, ἀποστρέφονται τὴν διὰ τοῦ ι μόνου γραφήν· οἷον, ὄρος, ὀρεινός· φάος, φαεινός· πόθος, ποθεινός· φῶς, φωτὸς, φωτεινός· καὶ τὸ κτητικὸν ὄνομα ὁμοίως φωτεινὸς διὰ διφθόγγου· ἔλεος, ἐλεεινός· βορέας, βορεινός· σκότος, σκοτεινός· καὶ αἰπὸς, αἰπεινός.

Αἶσχος: Διὰ τῆς αι διφθόγγου· παρὰ γὰρ τὸ α στερητικὸν καὶ τὸ ἴσχω, οἱονεὶ ἄϊσχος, καὶ αἶσχος· τὸ γὰρ αἶσχος ἐστέρηται τοῦ παύεσθαι.

Αἰρινός: Διὰ τοῦ ι· ἐπὶ καιροῦ γάρ ἐστιν.

Ἀληθινός: Τὸ λη η· τὸ θι ι· οὐκ ἔστιν γὰρ παρώνυμον, ἀλλ᾽ ἀπὸ τοῦ ἀληθὲς ἐπίρρημα γέγονε, ἢ ἀπὸ τοῦ ἀληθής· τὰ

γὰρ εἰς νος ἀπὸ ἐπιῤῥημάτων γινόμενα διὰ τοῦ ι γράφεται· οἷον, ἀληθὲς, ἀληθινός· καὶ ἄλλως· τὰ εἰς νος ὀξύτονα, μὴ ὄντα παρώνυμα, διὰ τοῦ ι βραχεὸς γράφεται· οἷον, ἀληθινός· ἐαρινός· ταχινός· ἀδινός· πυκινός· ῥαδινός· φυζακινός· ἦν γὰρ φύζα, φυζινός· καὶ λεπτὸς, λεπτινὸς, εἶτα παρεντεθείσης τῆς κι συλλαβῆς, φυζακινός· λεπτακινός· Ἰστέον ὅτι τὸ θαμεινὸς διὰ τῆς ει διφθόγγου γράφεται· οὐκ ἔστιν ἀπὸ ἐπιῤῥήματος, ἀλλὰ παρώνυμόν ἐστιν· ἀπὸ γὰρ τοῦ σημαίνοντος τὸ συνεχὲς, οὗ τὸ θηλυκὸν θαμειὰ, ἀποβολῇ τοῦ ν, καὶ τὸ πληθυντικὸν θαμιαί.

πολλαὶ ἠδὲ πυραὶ νεκύων καίοντο θαμιαί.

Ἀχαιός: Τὸ ἐπὶ ἔθνους· τὸ χαι δίφθογγον.

Ἀΐδης: Αἴδης γὰρ παρὰ τὸ αἶδες, τὸ ἡμῖν μὴ φαινόμενον· παρὰ τὸ αἰδνόν.

Ἀριστοκεῖα: Τὸ κει δίφθογγον· ἐκ τοῦ ἀριστοκεὺς ἀρσενικοῦ.

Ἀδρίας: ι· τὰ διὰ τοῦ ιας ὑπὲρ δύο συλλαβὰς ἀρσενικὰ διὰ τοῦ ι γράφεται· οἷον, Χαβρίας· Ἡλίας· Ἱππίας· φρονιματίας.

Ἀπώλεια καὶ Ἀπώλετο: Τὸ πω διὰ τοῦ ω μεγάλου, ὅτι προπαροξύνεται· ἔχοντα ἀντιπαρενεστῶτα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, θάλλω, θάλλεια· ἀνθῶ, Ἄνθεια· χαίρω, Χαίρεια· κρατῶ, κράτεια· μηδῶ, Μήδεια· ἐνεργῶ, ἐνέργεια· οὕτω οὖν καὶ ἀπόλλω, ἀπώλεια· ἐξέτεινεν δὲ τὸ ο εἰς τὸ ω· οἷον, ἐξώλεια· προώλεια· οὕτω καὶ ἀπώλεια διὰ τοῦ ω καὶ τῆς ει διφθόγγου.

Ἁρμωνία: ι· ἀπὸ γὰρ τοῦ ἅρμων, ἅρμωνος, ἁρμωνία.

Ἀπερίσεια: Τὸ σει δίφθογγον· ἐκ τοῦ ἀπειρέσια, καὶ καθ' ὑπερβιβασμὸν ἀπερίσειος, καὶ ἀπερίσεια.

Ἀγλαΐα: Ἀπὸ τοῦ ἀγλαὸς, ἀγλαΐα.

Ἀγακλειτός: Διὰ τῆς ει διφθόγγου· ἐγκλεῖνον[g] γὰρ τὸ κλεῖτος· γράφεται δὲ διὰ τῆς ει διφθόγγου, ἀπὸ γὰρ τοῦ κλείω γέγονεν, τοῦ σημαίνοντος τὸ δοξάζω· τὸ δὲ κλείω διὰ τῆς ει διφθόγγου γράφεται, ἐπεὶ ἀπὸ τοῦ κλέος γέγονεν κλέω, καὶ κατὰ πλεονασμὸν τοῦ ι κλείω, καὶ ἐν συνθέσει ἀγακλειτός.

[g] Cod. ἐγκλεῖν.

Ἀλαζωνεῖα: Διὰ τῆς ει διφθόγγου· διὰ τὸ ἔχειν ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ ευω· οἷον, ἀλαζονεύω· Ἰστέον δὲ ὅτι τὰ διὰ τοῦ εια θηλυκὰ ἔχοντα ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ ευω, εἰ μὲν ὦσιν ἀπὸ τῶν εἰς μων ὀξυτόνων, διὰ τοῦ ι γράφεται· οἷον, ἡγεμὼν, ἡγεμωνεύω, ἡγεμωνία· κηδεμὼν, κηδεμωνεύω, κηδεμωνία· εἰ δὲ μὴ ὦσιν ἀπὸ τῶν εἰς μων, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀλαζων, ἀλαζωνεύω, ἀλαζωνεῖα· καὶ ἀπὸ ἄλλης δὲ οἵας δήποτε καταλήξεως ἐὰν ὦσιν, διὰ διφθόγγου γράφεται· οἷον, ῥήτωρ, ῥήτορος, ῥητορεύω, ῥητορεῖα· εἴρων, εἰρωνεύω, εἰρωνεῖα· πρᾶγμα, πραγματεύω, ἐξ οὗ τὸ πραγματεύομαι, πραγματεῖα· ὁμοίως κολακεῖα· ἑρμηνεῖα· προφητεῖα· ξενιτεῖα· ἀριστεῖα· ἐκ τοῦ ἀριστεύς· ἀληεῖα· βουλεῖα· σημαίνει δὲ τὴν βούλευσιν· γοητεῖα· δυναστεῖα· ἱκετεῖα· ἱκεσία δὲ διὰ τοῦ ι· λαγνεῖα, λάγνος γὰρ τὸ ἀρσενικόν· καὶ προστασία, προστάτης γὰρ τὸ ἀρσενικόν· νηστεῖα· ληστεῖα· βασιλεῖα· θεραπεῖα· ξυλεῖα· τοξεῖα· ὁπλιτεῖα· στρατοπεδεῖα· πολιτεῖα· τερατεῖα· προστασία δὲ διὰ τοῦ ι· πρεσβεῖα· δεσποτεῖα· ὑδρεῖα τὸ ἐπὶ τῆς ὑδρεύσεως, ἐπὶ δὲ τοῦ ἀγγείου διὰ τοῦ ι, ὑδρία· χωρὶς τῶν ἀπὸ τῶν εἰς ος συνθέτων διὰ τοῦ ια παραγομένων θηλυκῶν, κἂν γὰρ ἔχωσιν ἀντιπαρακείμενον ῥῆμα διὰ τοῦ ευω, διὰ τοῦ ι γράφεται· οἷον, πρόεδρος, προεδρεύω, προεδρία· συνεδρία· φιλανθρωπία· ἀσωτία· ἐμπορία· παρθενία· συνοδία· ἡνιοχεῖα διὰ τῆς ει διφθόγγου, ἐκ τοῦ ἡνιοχεύς· ἑσπερεῖα ἐκ τοῦ ἑσπερεύς· μαστροπεῖα ὁμοίως, σημαίνει δὲ τὸ μαστροπὸς τὴν μαυλίστριαν· ἔστιν δὲ παρὰ τὸ μα, τὸ σημαῖνον τὴν μητέρα, καὶ τὸ τρόπος οἱονεὶ ἡ δοκοῦσα ἔχειν μητρὸς τρόπους· Ἰστέον δὲ ὅτι ἐκ τούτων τὰ διὰ τοῦ τ ἐκφερόμενα διὰ τῆς ει διφθόγγου γράφεται· ὅσα δὲ διὰ τοῦ σ διὰ τοῦ ι γράφεται.

Ἄλειαρ: Διὰ τῆς ει διφθόγγου· σημαίνει τὰ ἄλευρα· τὰ ἀπὸ τούτων ἐκ τοῦ ἄλεαρ γέγονε ἄλειαρ. Ἀλίφατα δὲ τὰ ἄλευρα ἐκ τῆς κριθῆς.

Ἀείδω: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ ἀοιδή· ἀντιπαράκειται γὰρ αὐτὸ τὸ ο, ὡς ἐν τῷ ἀλοιφὴ, ἀλείφω εἴρηται οὕτως, καὶ ἀπὸ τοῦ ἀείδω ἀοιδὴ γέγονεν· Ἰστέον ὅτι τὸ ἀοιδὴ

κατὰ κρᾶσιν τοῦ α καὶ ο εἰς τὸ ω, καὶ κατὰ συναίρεσιν τοῦ ω καὶ ι εἰς τὴν ωϊ δίφθογγον γέγονεν ᾠδὴ, καὶ ἔχει ι προσγεγραμμένον.

Ἀψίς· *Διὰ τοῦ ι ἀψίδος γέγονε διὰ τοῦ δος.*

Ἅγιος: *Διὰ τοῦ ι· ἐκ γὰρ τοῦ ἅγος γέγονεν ἅγιος.*

Ἀγρίων: Τὸ *κύριον ὄνομα διὰ τοῦ ι γράφεται.*

Ἀνώγειον: Τὸ *νω μέγα, παρὰ τὸ ἄνω ἐπίῤῥημα· τὸ γει δίφθογγον, παρὰ τὸ γέα, καὶ κατὰ κρᾶσιν ἀνώγειον.*

Ἄνθιμος: Τὸ *θι ι· παρὰ γὰρ τὸ ἄνθος γέγονεν ἄνθιμος.*

Ἀφτία: *Διὰ τοῦ ι γράφεται· τὰ γὰρ ἀπὸ τῶν εἰς ης βαρυτόνων εἰς ους ἐχόντων τὴν γενικὴν γινόμενα θηλυκὰ διὰ τοῦ ι γράφεται· καὶ διὰ τῆς ει διφθόγγου· διὰ τοῦ ι μὲν παροξυνόμενα· διὰ δὲ τῆς διφθόγγου προπαροξυνόμενα· οἷον, αὐθάδης, αὐθάδους, αὐθάδια, καὶ αὐθάδεια· κακοήθης, κακοήθους, κακοηθία, καὶ κακοήθεια· συνήθης, συνήθους, συνηθία, καὶ συνήθεια.*

Ἄτιμος: *ι· παρὰ γὰρ τὸ τιμὴ καὶ ἄνθιμος· τὰ διὰ τοῦ ιμος παράγωγα διὰ τοῦ ι γράφεται· οἷον, ἄνθος, ἄνθιμος· κῦδος, κύδιμος· χωρὶς τοῦ* Νικόδημος, *τοῦτο γὰρ παρὰ τὸ δῆμος ἐστίν.*

Ἀπατηλός: Τὰ *εἰς λος ὀξύτονα ὑπὲρ δύο συλλαβὰς τὸ η παραλήγεται· ὑψηλός· χαμηλός· σιωπηλός· τὸ δὲ ω μέγα τοῦ σιωπηλὸς παρὰ τὴν ὦπα, ὃ σημαίνει τὴν ὄψιν.*

Ἄθροισμα: Παρὰ *τὸ θροὺς, θροός· θροΐζω, καὶ μετὰ τοῦ στερητικοῦ α ἀθροΐζω, καὶ συναιρέσει ἀθροίζω, ἄθροισμα· τὰ παρὰ τὴν ἀρχὴν συντεθειμένα διὰ τοῦ ι γράφεται· ἀρχίφυτος· ἀρχίθρονον· ἀρχισυνάγωγος.*

Ἀμήχανον: Τὸ *μη η κατὰ παράδοσιν.*

Ἀκέραιος: Παρὰ *τὸ κέρας.*

Ἀδιάλειπτος: Παρὰ *τὸ λείπω λιμπάνω.*

Ἀριστώντων: Β´ *συζυγίας τῶν περισπωμένων.*

Αἰμιλιανός· Ἅλωνος· Ἀλωτός· Αἰκισμός· Αἰπόλις· Αἴολα: Αἴθριον· *αἴλαρος· αἶσχος· ἀνώγαιον· ἀκέραιος· αἰσχρός· ἀμοῤῥαίων· ἀναφαίρετον.*

Ἀκροθίνιον[h]: *ι· ἀμφὶ ἀνέθορε.*

[h] Cod. *ἀκροθήνιον.*

Ἀβάλε: Τὸ λε ψιλόν· λέγει δὲ ὁ Ἡρωδιανὸς, ὅτι δύο μέρη λόγου εἰσίν.

Ἀλίσαι: Σημαίνει δὲ τὸ κυλίσαι· γράφεται διὰ τοῦ ι· τὰ γὰρ ὑπὲρ δύο συλλαβὰς βαρύτονα κλινόμενα εἰς μέλλοντα διὰ τοῦ ι γράφεται· οἷον, κυλίω, κυλίσω· δηρίω, δηρίσω· μηνίω, μηνίσω· πρόσκειται ὑπὲρ δύο συλλαβὰς διὰ τὸ κλείω· πρόσκειται βαρύτονα διὰ τὸ ἀχρειῶ· πρόσκειται κλινόμενα εἰς μέλλοντα διὰ τὸ κρατείω· κιχείω· καὶ βροσείω· γίνεται τὸ ἀλίσαι, ἀλίνδω, καὶ ἀλινδῶ, καὶ ἀλινδήσω, ἀλινδήθρα· σημαίνει δὲ τὴν κυλίστραν.

Ἀδραμυττηνός· Ἀμείλικτος· Ἄσπιλος· Ἀκροθίνιον: Σορὸς τῶν λειψάνων μικρὸν ο· σωρὸς δὲ ἄλλων τινῶν μέγα.

Ἀκηλίδοτος· Ἀνιμήσαντο: Παρὰ τὸ ἀνιγμὸς διὰ τοῦ ι.

Βῆκος: Τὸ βη η· παρὰ τὸ βη στοιχεῖον.

Βοεικός: Διὰ τῆς ει διφθόγγου· σημαίνει γὰρ μέρος σωματικόν.

Βιθυνία: Διὰ τοῦ ι τὸ βι· τὰ γὰρ ἀμφιβαλλόμενα κατὰ τὴν γραφὴν, ἔχοντα δὲ ἐν τῇ δευτέρᾳ συλλαβῇ τὸ ι, ἢ τὸ υ, διὰ μόνου τοῦ ι γράφονται· οἷον, ῥιπίς· κικύς· βριθύς· δριπύς· ἰλύς· οὕτως καὶ Βιθυνία παρὰ τὸ Βιθυνός· καὶ ὡς δὲ ἐπὶ χωρᾶς δὲ ὄντα διὰ τοῦ ι γράφονται· οἷον, Κιλικία· Ἀρμενία· Συρία· Καππαδοκία· Ἰταλία· Σικελία· Ἀσία· Θεσσαλία· Βοιωτία· οὕτως οὖν καὶ Βιθυνία διὰ τοῦ ι.

Βρισηΐς· Βρίμος· Βριαρός: Διὰ τοῦ ι γράφονται· τὰ γὰρ ἀπὸ τῆς βρι καὶ βι συλλαβῆς ἀρχόμενα ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, βρίθω.

Βαφεῖον: Ει δίφθογγος· ἀπὸ γὰρ τοῦ βαφεὺς γέγονε βαφεῖον.

Βαλβίς: Σημαίνει τὴν ἀφετηρίαν τοῦ δρόμου· διὰ τοῦ ι γράφεται· ἡ γὰρ γενικὴ βαλβῖδος ἐστίν.

Βοϊκὰ Ζεύγη: ι ἡ παράδοσις· Ἡρωδιανὸς δὲ δίφθογγον αὐτῷ ἔταξεν ἐν τῷ περὶ Ὀρθογραφίας· ὁ δὲ λόγος οὐ συγχωρεῖ.

Βρίσαι: Σημαίνει δὲ τὸ βαρῆσαι, καὶ βρί, ὅ ἐστι τὸ με-

γάλως, ι· τὰ γὰρ ἀπὸ τῆς βρι συλλαβῆς ἀρχόμενα ἀποστρέφονται τὴν διὰ τῆς ει διφθόγγου γραφήν.

Βῖκος: Τὸ ἀγγεῖον ι ἡ παράδοσις· καὶ βικία τὸ ὑποκοριστικὸν ι.

Βριθοσώνη: ι τοῖς προκειμένοις κανόσιν.

Βλιμάζειν: Ὁμοίως τὸ ψηλαφᾶν τὰ στήθη, καὶ τοὺς μαζοὺς, καὶ τὰς ὄρνεις διὰ τοῦ ι πάντα κατὰ τὸν προκείμενον κανόνα.

Βλιαρόν: ι, ὅ ἐστιν λάβουρον.

Βλικας: ι, ὅ ἐστι φύλλον συκῆς.

Βλίκανον· Βλίμη: Σημαίνει δὲ τὸν βάτραχον, ὅ ἐστι προπηλακισμός.

Βλείμην καὶ Βλεῖς: Εὐκτικῶς, παρὰ τὸ βλῆμι, βλήσω· ὁ β' ἀόριστος ἔβλην, εἶτα ὁ μέσος β' ἀόριστος παθητικὸς ἐβλέμην, καὶ τὸ εὐκτικὸν βλείμην, καὶ βλεῖο.

Βλίξ: Τὸ συνέχως βλιχᾶσθαι.

Βλιμάξαι: Τὸ βαστάξαι.

Βλίτον: Εἶδος λαχάνου· διὰ τοῦ ι κατὰ τὸν προειρημένον κανόνα.

Βούσιρις: Τὰ δύο ι· διὰ τὸ εἰς δος εἶναι τὴν γενικήν.

Βραδίων: Διὰ τοῦ ι τὸ δι· καθόλου γὰρ τὰ διὰ τοῦ ιων συγκριτικὰ ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ι γράφεται· οἷον, ἀλγίων· αἰσχίων· βελτίων· ἡδίων· κακίων· ταχίων· γλαυκίων[i] διπλασίων· οὕτως οὖν καὶ βραδίων διὰ τοῦ ι.

Βραχίων: Ὁμοίως, χωρὶς τοῦ χερείων καὶ ἀρείων, καὶ δισυλλάβων τινῶν, μείων· πλείων· διὰ διφθόγγου γράφεται.

Βριμαίνειν: ι τὸ βρι· πάντα γὰρ τὰ παρὰ τὸ βρι διὰ τοῦ ι γράφεται.

Βελτίων: Ὁμοίως τοῦ βραδίων.

Βωνίτης: ι· τὰ διὰ τοῦ ιτης παρώνυμα διὰ τοῦ ι γράφεται· σημαίνει τὸν βουκόλον· τὸ δὲ βω μέγα παρὰ τὸ βοῦς· τὸ δὲ νι ι κατὰ τὸν κανόνα τοῦ Ἀσκαλωνίτης.

Βορέας· Βορέου: Ἓν ρ, καὶ διὰ τοῦ ε ψιλοῦ.

Βηλίδης: Ἐκ τοῦ Βῆλος, Βηλίδης· τὸ πατρωνυμικόν.

i Leg. γλυκίων.

Βορρά: Ἡ τροφή· δύο ρρ κατὰ τὴν παράδοσιν.

Βιβλίον καὶ Βιβλίδιον: Διὰ τοῦ ι· τὰ γὰρ ἔχοντα τὸ ι ἐν τῷ πρωτοτύπῳ ὑπὲρ δύο συλλαβὰς φυλάττει αὐτὸ εἰς ἑαυτὸ μεγεθυνόμενον· οἷον, κοιλία, κοιλίδιον· γωνία, γωνίδιον· ὀψάριον, ὀψαρίδιον· οὕτως οὖν καὶ βιβλίον, βιβλίδιον.

Βαδίζω: Παντὰ γὰρ τὰ διὰ τοῦ ιζω διὰ τοῦ ι γράφεται· οἷον, ἀρίζω· λεπίζω· γεμίζω· οὕτως οὖν καὶ βαδίζω· χωρὶς τοῦ δανείζω διὰ διφθόγγου, καὶ χρήζω διὰ τοῦ η.

Βρωσείω: Σημαίνει δὲ τὸ ἐπιθυμίαν ἔχω τῆς βρώσεως· καθόλου γὰρ τὰ ἀπὸ ἐνεστώτων, ἢ μελλόντων, διὰ τοῦ ειω γινόμενα παράγωγα ὑπὲρ δύο συλλαβὰς, διὰ τῆς ει διφθόγγου γράφεται· ἀπὸ ἐνεστώτων μέν· οἷον, ὀλῶ, ὀλείω· κιχῶ, κιχείω· ἀπὸ δὲ μελλόντων· οἷον, ὄψω, ὀψείω· ποιήσω, ποιησείω· οὕτως οὖν καὶ βρώσω, βρωσείω· διὰ τῆς ει διφθόγγου· ὀψείω ἐστὶν τὸ ἐπιθυμίαν ἔχω τοῦ θεωρῆσαι· ἐκ τοῦ βρωσέω δὲ διὰ τῆς ει διφθόγγου γράφεται.

Βασίλειος: Τὸ σι ι, παρὰ τὸ βάσις· τὸ λει δίφθογγος· τὰ γὰρ ἀπὸ τῶν εἰς ευς ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ ειος παραγόμενα, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, Ὀδυσσεὺς, Ὀδύσσειος· Ἀχιλλεὺς, Ἀχίλλειος, οὕτως καὶ βασιλεὺς, βασίλειος· καὶ τὸ κύριον δὲ ὄνομα διὰ τῆς ει διφθόγγου γράφεται, καὶ ἄλλως δὲ εὕρηται κατὰ διάστασιν τὸ ι, καὶ ἐκστάσει τοῦ ε εἰς τὸ η· οἷον, βασιλήϊος· καὶ πάλιν ἐκ τοῦ βασιλέϊ κατὰ κρᾶσιν βασίλειος.

Βόειος: Διὰ τῆς ει διφθόγγου· τὰ γὰρ διὰ τοῦ ειος σημαίνοντα μέρος σωματικὸν, ἢ μετουσιαστικὰ ὄντα, διὰ τῆς ει διφθόγγου γράφεται· μετουσιαστικὰ μέν· οἷον, χάλκειος· χρύσειος· ἀργύρειος· σιδήρειος· μέρος δὲ σωματικόν· οἷον, κύνειος· αἴγειος· τράγειος· ἐλάφειος· δόρκειος· ἀνθρώπειος· χοίρειος· βρότειος· χίνειος· προβάτειος· οὕτως οὖν καὶ βόειος διὰ τῆς ει διφθόγγου.

Βακχεῖος: Σημαίνει δὲ τὸν Διόνυσον, διὰ τῆς ει διφθόγγου κατὰ τὸν κανόνα τοῦ ἀνδρεῖος.

Βρότειος: Διὰ τῆς ει διφθόγγου κατὰ τὸν κανόνα τοῦ βόειος.

Βασιλείδης: Τὸ λει δίφθογγος· ἐκ τοῦ βασιλεύς.

Βορεινός: Διὰ τῆς ει διφθόγγου, κατὰ τὸν κανόνα τοῦ ταπεινός.

Βοεικός: Δίφθογγος· ἐκ τοῦ βοῦς βοὸς γέγονε βόειος, καὶ ἐκεῖθεν βοειακὸς καὶ κατὰ συγκοπὴν τοῦ α βοεικός.

Βαλανεῖον: Διὰ τῆς ει διφθόγγου· ἀπὸ τοῦ βαλανεὺς γάρ ἐστιν· τὰ γὰρ ἀπὸ τῶν εἰς ευς διὰ τοῦ ειον γινόμενα οὐδέτερα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, κουρεὺς, κουρεῖον· γραμματεῖον ἀπὸ τοῦ γραμματεύς· βαλανεὺς, βαλανεῖον· καὶ ἄλλως· τὰ διὰ τοῦ ειον οὐδέτερα μονογενῆ ὑπὲρ δύο συλλαβὰς πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, μαγειρεῖον· πατριαρχεῖον· ἰατρεῖον· ὀρφανοτροφεῖον· ἰαμβεῖον· οὕτως καὶ βαλανεῖον· βαλανεῖον δὲ λέγεται ἀπὸ τοῦ βαλάνου· καὶ γὰρ βαλάνους ἔθος εἶχον ὑποκαίειν.

Βόρειος καὶ Βρότειος: Ἐκ τοῦ Βορέας καὶ βρότεον γέγονε.

Βασιλικός: Τὸ σι καὶ τὸ λι ι· τὰ γὰρ διὰ τοῦ ικος κτητικὰ πάντα διὰ τοῦ ι γράφεται· οἷον, Φιλιππικός· κλινικός· πληνικός· ἰατρικός· οὕτως καὶ βασιλικός· πλὴν τοῦ Κεραμεικός· βοεικός· Δαρεικός· Δεκελεικός.

Βαθύγειος: Τὸ γει δίφθογγος· παρὰ τὸ γέα βαθύγεος, καὶ βαθύγειος προσθέσει τοῦ ι.

Βρότειος: Διὰ τῆς ει διφθόγγου· τῷ λόγῳ τῶν σημαινόντων μέρος σωματικὸν τοῖς εἰρημένοις ἐν τῷ βόειος· εὕρηται δὲ καὶ χωρὶς τοῦ ι· οἷον, βιοτέη.

Βοήθεια: Ἐκ τοῦ βοηθὸς γέγονεν· ἔστιν δὲ ὁ βοηθὸς σύνθετον παρὰ τὸ βοὴ καὶ τὸ θοός· οἱονεὶ, ὁ κατὰ τὴν μάχην ταχύς· ὁ γὰρ βοηθὸς τοῖς βοῶσι ταχὺς θέλη γνωρίζεσθαι, καὶ ἐκ τούτου γίνεται βοήθεια διὰ τῆς ει διφθόγγου.

Βοητός: Τὸ κύριον ὄνομα διὰ τοῦ η, παρὰ γὰρ τὸ βῆτα γέγονεν τὸ ο· τοῦ β στοιχείου βῆτος.

Βίκτωρ καὶ Βικέντιος: ι.

Βίκος: Τὸ σπέρμα· βηχίον, βωμὸς, βῶλος· βολὸς τὸ ξύλον, καὶ βολίδες μικρόν· βλῆχρον βοτάνη, ὃ σημαίνει κλεῖθρον.

Βεργίλιος: ι ὅλα· λέγεται καὶ Οὐεργίλιος· ἔθος γάρ ἐστι Ῥωμαϊκὸν τὸ β εἰς τὴν ου δίφθογγον τρέπειν· τὸν Βαλεντιανὸν, Οὐαλεντιανόν· τὸν Βάλην, Οὐάλην.

Βροτησίου· Βιωθάνατος· Βιοφελές· Βιωτικός: Παρὰ τὸ βιῶ, βιώσω.

Γινώσκω: Τὸ γι διὰ τοῦ ι· τὸ νω μέγα· ὥσπερ γὰρ ἀπὸ τοῦ ὀγδοήκοντα γίνεται ὀγδώκοντα, κατὰ κρᾶσιν τοῦ ο καὶ η εἰς ω, οὕτως ἀπὸ τοῦ νοῶ, νοήσω, γίνεται νώσω, κατὰ κρᾶσιν τοῦ ο καὶ η εἰς ω, καὶ κατὰ πλεονασμὸν τοῦ γ γνώσω· καὶ ὥσπερ ἀπὸ τοῦ τρώσω μέλλοντος ἀποτελεῖται ἐνεστὼς τιτρώσκω διὰ τοῦ ι κατὰ τὴν ἄρχουσαν, οὕτως καὶ ἀπὸ τοῦ γνώσω μέλλοντος ἀποτελεῖται ἐνεστὼς γιγνώσκω διὰ τοῦ ι κατὰ τὴν ἀρχὴν, καὶ ἀποκοπὴν τοῦ δευτέρου γ γινώσκω· τὸ δὲ ι ἀπὸ διπλασιασμοῦ ἔχει τὴν τρίτην συλλαβήν· οὐ θέλουσι δὲ οἱ ἀναδιπλασιασμοὶ διὰ τῆς ει διφθόγγου γράφεσθαι· οἷον, δῶ, διδῶ· θῶ, τιθῶ· βῶ, βιβῶ· γνώσω, γινώσκω.

Γινώσκω: Τὸ γνω μέγα· ἐπεὶ καὶ γιγνώσκω λέγεται· ἦν γὰρ γνῶ, γνώσω, γνώσκω, καὶ γιγνώσκω· μνῶ, μνήσω, μνήσκω, καὶ μιμνήσκω· οὐδέποτε οὖν ἐν τοῖς τοιούτοις εὑρίσκεται δίφθογγος.

Γλωχίς: ι, ὡς δικατάληκτον.

Γωνία: Τὸ γω μέγα, ἐπεὶ καὶ γουνία λέγεται· τὸ νι υ, ἐπειδὴ τὰ διὰ τοῦ νια θηλυκὰ διὰ τοῦ ι γράφεται· οἷον, γωνία· πενία· μανία.

Γρήνικος: Ἔστιν δὲ ὄνομα ποταμοῦ· καὶ τινὲς λέγουσιν ὅτι σύνθετόν ἐστιν παρὰ τὸ γῆ καὶ τὸ νικῶ, γήνικος, ὁ τὴν γῆν νικῶν· καὶ πλεονασμῷ τοῦ ρ, Γρήνικος· ἄλλοι δὲ ἀπὸ τοῦ νικῶ καὶ τοῦ Γραικὸς γέγονε Γραινικὸς, ἐκεῖ γάρ φασι τοὺς Γραῖκας νικῆσαι τοὺς βαρβάρους.

Γαισὰς Γαισᾶ: Ἔστιν δὲ ὄνομα πόλεως διὰ τοῦ ι· πᾶσα γὰρ συλλαβὴ ἀπὸ τῆς γλι ἀρχομένη ἀποστρέφεται τὴν ει δίφθογγον.

Γλοσσιά [k]: Λέγεται, ὃ ἐπιτιθέασιν εἰς τὰ οἰκεῖα στόματα οἱ

[k] Leg. Γλοσσίς.

Βασιλειδης: Τὸ λει δίφθογγος· ἐκ τοῦ βασιλεύς.

Βορεινός: Διὰ τῆς ει διφθόγγου, κατὰ τὸν κανόνα τοῦ ταπεινός.

Βοεικός: Δίφθογγος· ἐκ τοῦ βοῦς βοὸς γέγονε βόειος, καὶ ἐκεῖθεν βοειακὸς καὶ κατὰ συγκοπὴν τοῦ α βοεικός.

Βαλανεῖον: Διὰ τῆς ει διφθόγγου· ἀπὸ τοῦ βαλανεὺς γάρ ἐστιν· τὰ γὰρ ἀπὸ τῶν εἰς ευς διὰ τοῦ ειον γινόμενα οὐδέτερα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, κουρεὺς, κουρεῖον· γραμματεῖον ἀπὸ τοῦ γραμματεύς· βαλανεὺς, βαλανεῖον καὶ ἄλλως· τὰ διὰ τοῦ ειον οὐδέτερα μονογενῆ ὑπὲρ δύο συλλαβὰς πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, μαγειρεῖον· πατριαρχεῖον· ἰατρεῖον· ὀρφανοτροφεῖον· ἰαμβεῖον· οὕτως καὶ βαλανεῖον· βαλανεῖον δὲ λέγεται ἀπὸ τοῦ βαλάνου· καὶ γὰρ βαλάνους ἔθος εἶχον ὑποκαίειν.

Βόρειος καὶ Βρότειος: Ἐκ τοῦ Βορέας καὶ βρότεον γέγονε.

Βασιλικός: Τὸ σι καὶ τὸ λι ι· τὰ γὰρ διὰ τοῦ ικος κτητικὰ πάντα διὰ τοῦ ι γράφεται· οἷον, Φιλιππικός· κλινικός· πληνικός· ἰατρικός· οὕτως καὶ βασιλικός· πλὴν τοῦ Κεραμεικός· βοεικός· Δαρεικός· Δεκελεικός.

Βαθύγειος: Τὸ γει δίφθογγος· παρὰ τὸ γέα βαθύγεος, καὶ βαθύγειος προσθέσει τοῦ ι.

Βρότειος: Διὰ τῆς ει διφθόγγου· τῷ λόγῳ τῶν σημαινόντων μέρος σωματικὸν τοῖς εἰρημένοις ἐν τῷ βόειος· εὕρηται δὲ καὶ χωρὶς τοῦ ι· οἷον, βιοτέη.

Βοήθεια: Ἐκ τοῦ βοηθὸς γέγονεν· ἔστιν δὲ ὁ βοηθὸς σύνθετον παρὰ τὸ βοὴ καὶ τὸ θοός· οἱονεὶ, ὁ κατὰ τὴν μάχην ταχύς· ὁ γὰρ βοηθὸς τοῖς βοῶσι ταχὺς θέλη γνωρίζεσθαι, καὶ ἐκ τούτου γίνεται βοήθεια διὰ τῆς ει διφθόγγου.

Βοητός: Τὸ κύριον ὄνομα διὰ τοῦ η, παρὰ γὰρ τὸ βῆτα γέγονεν τὸ ο· τοῦ β στοιχείου βῆτος.

Βίκτωρ καὶ Βικέντιος: ι.

Βίκος: Τὸ σπέρμα· βηχίον, βωμὸς, βῶλος· βολὸς τὸ ξύλον, καὶ βολίδες μικρόν· βλῆχρον βοτάνη, ὃ σημαίνει κλεῖθρον.

Βεργίλιος: ι ἄλλ λέγεται καὶ Οὐεργίλλιος ἔθος γ[illegible] ἐστι Ῥωμαϊκὸν τὸ β εἰς τὴν ου δίφθογγον τρέπειν τὸν Βαλ[illegible] τικανὸν, Οὐαλεντιανόν τὸν Βάλην, Οὐάλην.

Βροτησίου Βιωθάνατος Βιοφελές Βιωτικός: Παρ[illegible] τὸ βιῶ, βιώσω.

Γινώσκω: Τὸ γι διὰ τοῦ ι τὸ ω μέγα ὥσπερ γὰρ ἀπὸ τοῦ [illegible] γίνεται [illegible], κατὰ κρᾶσιν τοῦ ι καὶ η εἰς ω, οὕτως ἀπὸ τοῦ νοῶ, νοήσω, γίνεται νώσω, κατὰ κρᾶσιν τοῦ ι καὶ η εἰς ω, καὶ κατὰ [illegible] τοῦ γ γνώσω καὶ ὥσπερ ἀπὸ τοῦ [illegible] κατὰ τὴν [illegible] τιτρώσκω [illegible] τελεῖται [illegible] γιγνώσκω [illegible] κατὰ τὴν [illegible] γνώσκω [illegible] τῆς ε [illegible]

[illegible]

Γινώσκω: Τὸ γι [illegible]

Γλαφίς: [illegible]

Γωνία: Τὸ [illegible]

Γρήνικος: [illegible]

Γλισσ[illegible]: [illegible]

Γλωσσ[illegible]: [illegible]

αὐληταί· διὰ τοῦ ι γράφεται· καθὰ γὰρ τὰ εἰς ις ὀξύτονα θηλυκὰ ὑπὲρ μίαν συλλαβὴν κοινολεκτούμενα ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, ἀσπίς· ῥανίς· σφραγίς· κρηπίς· οὕτως καὶ γλωσσίς.

Γρῖφος: *Διὰ τοῦ ι τὸ γρι· τὰ γὰρ εἰς φος δισύλλαβα ἀρσενικὰ μονογενῆ ἐνὶ φωνήεντι θέλουσι παραλήγεσθαι· οἷον, ὁ λόφος· ὁ ζόφος· ὁ κέπφος· ἔστιν δὲ ὀρνέου ὄνομα· τὸ οὖν γρίφος διὰ τοῦ ι· τὸ δὲ* Ῥοῦφος Ἰταλικόν· *καὶ ἄλλως· πᾶσα συλλαβὴ ἀπὸ τῆς γρὶ ἀρχομένη ἀποστρέφει τὴν ει δίφθογγον· οἷον, γρίντις ὁ βυρσέος*[l]· *γρῆνος τὸ δέρμα· γριπεὺς ὁ ἁλιεύς· γρίσον ὁ χοῖρος· οὕτως οὖν καὶ γρίφος· γρῖφος δὲ λέγεται τὸ δύσλυτον αἴνιγμα.*

Γρῖπος: Τὸ *γρι ι· τῷ εἰρημένῳ κανόνι τοῦ γρίφος· γριπεὺς γὰρ ὁ ἁλιεύς ἐστιν.*

Γελασῖνος: *Διὰ τοῦ ι· σημαίνει δὲ τὴν κοιλότητα τὴν γινομένην ἐν τοῖς προσώποις ἐκ τοῦ γελῶντος· διὰ τοῦ ι δὲ γράφεται· τὰ γὰρ διὰ τοῦ ινος ὀνόματα πρὸ μιᾶς τὸν τόνον ἔχοντα, μὴ ἔχοντα ἀπὸ πλεονασμοῦ τὸ ι, διὰ τοῦ ι γράφεται· οἷον,* Ἀκραγαντῖνος· Σαβῖνος· Λογγῖνος· Πραξῖνος· Μαρτῖνος· Ἀντωνῖνος· Κωνσταντῖνος· Ἐχῖνος· Ἰουστῖνος· *οὕτως καὶ γελασῖνος διὰ τοῦ ι.*

Γλυκίων: *Διὰ τοῦ ι· τὰ γὰρ διὰ τοῦ ιων συγκριτικὰ ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ι γράφεται· οἷον, ἡδίων· ταχίων· βελτίων· βραδίων· διπλασίων· οὕτως οὖν καὶ γλυκίων, διὰ τοῦ ι· χωρείων*[m]· *ἀρείων.*

Γίνεται: Τὸ *γι ι· σημαίνει δὲ τὸ ἀποτελεῖται· γράφεται δὲ διὰ τοῦ ι πρὸς ἀντιδιαστολὴν τοῦ γείνεται, τὸ γεννᾶται· τοῦτο γὰρ διὰ τῆς ει διφθόγγου γράφεται· ἀπὸ τοῦ γένος γὰρ γέγονεν γεννᾶται, καὶ γίνομαι κατὰ πλεονασμόν· καὶ ἄλλως τὸ ε γενόμενον ἐν ταῖς τοιαύταις παραγωγαῖς ἐπιφερομένων δύο συμφώνων πέφυκε τρέπεσθαι εἰς τὸ ι· μένω, μέμνω· τέκω, τίκτω· οὕτως, καὶ ἀπὸ τοῦ γένομαι, γέγονε, γίνομαι, διὰ τοῦ ι.*

[l] Leg. *βυρσεύς.* [m] Leg. *χωρὶς τοῦ χερείων.*

Γείτων: Τὸ γει δίφθογγος· γέγονε ἀπὸ τοῦ γέα γραφέντος διὰ τοῦ ε γεΐτων, καὶ κατὰ σύνθεσιν γείτων· καὶ ἄλλως· ἀπὸ τοῦ γῆ γηΐτων, καὶ κατὰ συστολὴν τοῦ η εἰς ε γεΐτων, καὶ κατὰ συναίρεσιν γείτων.

Γειτνιῶ: Τὸ γει δίφθογγος ἀπὸ τοῦ γείτων, γείτονος, γειτονῶ, καὶ γειτονιῶ, καὶ κατὰ συγκοπὴν γειτνιῶ.

Γειγάντεια: Ἡ πραγματεῖα, ὡς ἡ Ὀδύσσεια καὶ Δολώνεια, διὰ τῆς ει διφθόγγου· καὶ προπαροξύνεται.

Γένειον: Τὸ νει δίφθογγος· τὰ γὰρ ἀπὸ τῶν εἰς ος οὐδετέρων δισυλλάβων διὰ τοῦ ειον γινόμενα οὐδέτερα μονογενῆ, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, δάνος, δάνειον· οὕτως, καὶ γένος, γένειον, ὁ τόπος τῶν τριχῶν· γένεια δὲ αὗται αἱ τρίχες.

Γάδειρα: Τὸ δει δίφθογγος· ἀπὸ γὰρ τοῦ γῆ καὶ τὸ δειρὰ, τοῦ σημαίνοντος τὴν ἐξοχὴν, γέγονε Γάδειρα· οἱονεὶ γῆς δειρά· τὰ γὰρ Γάδειρα ἀρχὴ τῆς γῆς.

Γεῖσα: Πληθυντικὸν οὐδέτερον· οἷον, τὰ γεῖσα· καὶ σημαίνει πᾶν ἐξέχον· ἀπὸ γὰρ τῆς γέα γέγονεν γέϊ, καὶ γεῖσα.

Γραφεῖον: Διὰ τῆς ει διφθόγγου· ὥσπερ ἀπὸ τοῦ ἄγω γίνεται ἀγεῖον, καὶ ἀγγεῖον, διὰ τῆς ει διφθόγγου, καὶ ἐκεῖθεν, διὰ διφθόγγου τῆς ει καὶ αὐτὸ, οὕτω καὶ ἀπὸ τοῦ γράφω γίνεται γραφεῖον, διὰ τῆς ει διφθόγγου, καὶ ἐκεῖθεν γραφείδιον.

Γραμματεῖον: Διὰ τῆς ει διφθόγγου· τοῦτο δὲ σημαίνει τὴν μικρὰν δέλτον· γράφεται δὲ, διὰ τῆς ει διφθόγγου τῷ κανόνι τοῦ γραφεῖον, καὶ διὰ τὸ εἶναι οὐδέτερον.

Γραμμάτιον: Τὸ σημαῖνον τὸ μικρὸν γράμμα· διὰ τοῦ ι γράφεται, ὡς ὀψάριον ὀψαρίδιον, καὶ τὰ ὅμοια.

Γλυκείδιον: Διὰ τῆς ει διφθόγγου τὸ κει· ἀπὸ γὰρ τοῦ γλυκέος γενικῆς, γίνεται γλυκείδιον, ὡς παρὰ τὸ πράξεως, πραξείδιον, καὶ λέξεως, λεξείδιον.

Γίγαρτα: ι· ἐν συστολῇ γὰρ εὕρηται.

Γέγειος: Σημαίνει δὲ τὸν ἀρχαῖον, διὰ τῆς ει διφθόγγου γράφεται· ἀπὸ γὰρ τοῦ γέα γέγονεν γέειος, διὰ τῆς ει διφθόγγου, καὶ κατὰ πλεονασμὸν τοῦ γ, γέγειος.

Γυναίκιον: ι τὸ ὑποκοριστικὸν, καὶ προπαροξύνεται· τὸ δὲ

κτητικὸν διὰ τῆς ει διφθόγγου γράφεται, καὶ προπερισπᾶται.

Γείνωντας: Τὸ γεννήσωσιν, δίφθογγος.

Γωνιώδης: Διὰ τοῦ ω μεγάλου· τὰ δύο παρώνυμα γὰρ ταῦτα ἐπιθετικὰ, καὶ τὰ ὅμοια, τὰ διὰ τοῦ ωδης, διὰ τοῦ ω μεγάλου γράφεται.

Γναφεῖα: Δίφθογγος· τὰ γὰρ παρασχηματισμένα τῶν εἰς ευς ἀρσενικῶν διὰ τῆς ει διφθόγγου γράφεται, καὶ προπαροξύνεται· οἷον, ἱερεύς· ἱέρειον κοινῶς· τὸ γὰρ παροξύτονον ἴδιον Ἀττικῶν· βασιλεύς, βασίλεια ἐπιθετικά· πανδοκεὺς, πανδόκεια, λέγεται δὲ καὶ πανδοκεύτρια· κεραμεὺς, κεράμεια.

Γραμματείδιον: Ει δίφθογγος. ἡ τρίτη συλλαβὴ, ὅτε ἀπὸ τοῦ γραμματεῖον· τὸ δὲ ἀπὸ τοῦ γράμματος ὑποκοριστικὸν διὰ τοῦ ι.

Γελοῖον: Τὰ διὰ τοῦ υιον οὐδέτερα προπερισπώμενα διὰ τῆς οιον διὰ διφθόγγου γράφεται· οἷον, γελοῖον· αἰδοῖον· ἀλλοῖον· ὁμοῖον· παρὰ δὲ Ἀττικοῖς ὅμοιον.

Γερακτος· Γάλλιοι: Ἀπόκοποι, ἤγουν εὐνοῦχοι.

Δίνη: Τὸ δι ι· σημαίνει δὲ τὴν συστροφήν· τὰ γὰρ διὰ τοῦ ινη μονογενῆ, μὴ γενόμενα ἀπὸ ἐπιθέτων κύρια, ἀποστρέφει τὴν ει δίφθογγον· χωρὶς τοῦ πείνη, ὅπερ ἀπὸ τοῦ πεῖνα γέγονεν· παραδείγματα δὲ ταῦτα· Ἀδρηστίνη[n]· Ὠκεανίνη[o]· εἰλαπίνη[p]· μιρσυωνη[q]· οὕτως οὖν καὶ δίνη διὰ τοῦ ι· ἐπειδὴ καὶ οἱ Αἰολεῖς δίννας λέγουσι, καὶ οὐχὶ δέννας.

Δίνω: Τὸ συστρέφω, ὁμοίως διὰ τοῦ ι· οἱ γὰρ Αἰολεῖς δίννω λέγουσιν.

Δείνω καὶ Δεινοποιῶ: Διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ δεινὸς ὀξυτόνου γέγονεν· τὸ δὲ δεινὸς ἀπὸ τοῦ δέος, δεινός.

Δίνος: Διὰ τοῦ ι, ἀρσενικῶς γὰρ λέγεται· τὰ διὰ τοῦ ινος ὀνόματα πρὸ μιᾶς τὸν τόνον ἔχοντα, μὴ ἔχοντα ἀπὸ πλεονασμοῦ τὸ ι, διὰ τοῦ ι γράφεται· οἷον, σχῖνος· πρῖνος· οὕτως καὶ δῖνος· σημαίνει δὲ τὸ δῖνος καὶ εἶδος ὀρχήσεως, καὶ εἶδος ποτηρίου, καὶ συστροφὴν ὕδατος.

[n] Cod. ἀδριστίνη. [o] Cod. ὠκενίνη. [p] Cod. ἐλαπίνη. [q] An leg. μυρσίνη.

Δηρίω: Διὰ τοῦ ι τὸ ρι· τὰ γὰρ διὰ τοῦ ιω ὑπὲρ δύο συλλαβὰς βαρύτονα κλινόμενα εἰς μέλλοντα ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, μητίω· κονίω· οὕτως οὖν καὶ δηρίω διὰ τοῦ ι.

Δριμύς: ι· τὰ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην συλλαβὴν, ἔχοντα δὲ ἐν τῇ δευτέρᾳ συλλαβῇ τὸ ι, ἢ τὸ υ, διὰ τοῦ ι γράφεται.

Δωτίνη: ω καὶ ι· τὰ γὰρ διὰ τοῦ ινη μονογενῆ, μὴ ὄντα ἀπὸ ἐπιθέτων, ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, ὑσμίνη· Ἀδρηστίνη, οὕτως καὶ δωτίνη· τὸ δὲ δω μέγα· ἐπειδὴ ἐκ τῶν περισπωμένων ῥημάτων ἐστίν· σημαίνει δὲ τὴν δωρεάν· γέγονεν δὲ ἀπὸ τοῦ δώσω μέλλοντος δωσίνη, καὶ τροπῇ τοῦ σ εἰς τ δωτίνη· ἢ ἀπὸ τοῦ δέδοται τρίτου προσώπου δοτὸς, καὶ ἐκεῖθεν δοτίνη διὰ τοῦ ο, καὶ τροπῇ τοῦ ο εἰς ω δωτίνη.

Δωτὴρ καὶ Δωτῆρες: Ἀπὸ τοῦ δοτὴρ, τοῦ διὰ τοῦ ο μικροῦ ἐκταθέντος εἰς ω μέγα, δωτῆρες διὰ τοῦ ω, ὥσπερ τὸ ποιητῇ

θεοὶ δωτῆρες ἐάων. (Od. Θ. 325.)

Διώνυσος: Κατ' ἔκτασιν τοῦ ο εἰς ω γίνεται Διώνυσος διὰ τοῦ ω, ὥσπερ δότης διὰ τοῦ ο, καὶ κατ' ἔκτασιν γέγονεν δώτης διὰ τοῦ ω· οἷον,

δώτῃ μέν τις ἔδωκεν. (Hesiod. E. I. 353.)

Δίς· Τρίς· Τετράκις: Καὶ τὰ ἑξῆς· ἐπιῤῥήματα ἀριθμητικὰ διὰ τοῦ ι πάντα.

Διφᾶν: Ὅ ἐστι ψηλαφᾶν, διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ ἀφῇ καὶ τῆς διὰ προθέσεως γίνεται διαφῶ, διαφᾶς, καὶ πάλιν τὸ ἀπαρέμφατον διαφᾶν, ὥσπερ βοᾶν, καὶ κατὰ κρᾶσιν τοῦ ι καὶ α εἰς ι μακρὸν διφᾶν.

Δῖος: Τὸ δὲ ι γράφεται· ὥσπερ γὰρ ἀπὸ τοῦ Χῖος γίνεται Χίϊος, οὕτως καὶ ἀπὸ τοῦ δῖος γίνεται δίϊος, καὶ κατὰ κρᾶσιν τῶν β ιι εἰς ἓν ι μακρὸν δῖος, ὥσπερ, ὡς εἴρηται, ἀπὸ τοῦ Χίϊος, Χῖος· καὶ ἄλλως· τὰ ἀπὸ μονοσυλλάβων ὀξυτόνων διὰ τοῦ ιος παραγόμενα, μὴ σημαίνοντα μέρος σωματικὸν, μήτε μετουσιαστικὰ ὄντα, διὰ τοῦ ι γράφεται· οἷον, Φρὺξ, Φρύγιος·

Κὰρ, Κάριος· Τρὼς, Τρώϊος· Στὺξ, Στύγιος· οὕτως καὶ Ζεὺς, Διὸς, Δίϊος, δῖος· Ἱστέον, ὅτι τὸ Χῖος, καὶ δῖος, διὰ τοῦ ι γράφεται· τὸ δὲ θεῖος, καὶ Κεῖος, διὰ διφθόγγου· ἀμφότερα δέ ἐστιν κτητικὰ δισύλλαβα· γίνεται δὲ ἐκ τοῦ θεὸς, θέϊος, καὶ θεῖος· καὶ τὸ Κεῖος ἀπὸ τοῦ Κέως, ὅ ἐστιν ὄνομα πόλεως· Κέϊος, καὶ κατὰ κρᾶσιν Κεῖος.

Διώρης: Ἔστιν δὲ ὄνομα κύριον διὰ τοῦ ι γραφόμενον· γέγονεν δὲ, ἢ παρὰ τὴν διὰ πρόθεσιν καὶ τὸ ὁρῶ, διαόρης, καὶ κατ' ἔκτασιν τοῦ ο εἰς ω, διαώρης, καὶ κράσει τοῦ ι καὶ α εἰς ι μακρὸν, Διώρης.

Δελφίς: ι· τὰ γὰρ δικατάληκτα πάντα διὰ τοῦ ι γράφεται· οἷον, Τέλχις, καὶ τὰ ὅμοια.

Δίας: Διὰ τοῦ ι γράφεται· ὥσπερ γὰρ ἀπὸ τῆς δράκοντος γενικῆς γίνεται δρακοντίας, οὕτως καὶ ἀπὸ τῆς Διὸς γενικῆς γίνεται Διΐας, καὶ κατὰ κρῖσιν τῶν δύο ιι εἰς ἓν ι μακρὸν, Δίας.

Δίφιλος: ι· ὥσπερ γὰρ παρὰ τὴν Ἄρηϊ δοτικὴν γίνεται ἀρηΐφιλος, οὕτως καὶ παρὰ τὴν Διῒ Διίφιλος, καὶ κατὰ κρᾶσιν τῶν δύο ιι εἰς ἓν ι μακρὸν, Δίφιλος.

Διπολεῖα: Τὸ δι ι κατὰ τὴν ἀρχὴν, παρὰ τὴν Διῒ δοτικήν· κατὰ δὲ τὴν παραλήγουσαν, διὰ τῆς ει διφθόγγου· ἐπειδὴ τὸ πολεῖον ἐστὶν ἡ εὐθεῖα ἡ ἑνική· ὅπερ διὰ τῆς ει διφθόγγου γράφεται· ἐμάθομεν γὰρ ἐν τῇ τοῦ βαλανείου δοτικῇ, ὅτι τὰ διὰ τοῦ ειον οὐδέτερα μονογενῆ ὑπὲρ τρεῖς συλλαβὰς, πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ τῆς διφθόγγου γράφεται· οἷον, μαγειρεῖον· ἰατρεῖον· ὀρφανοτροφεῖον· ἰχθυοτροφεῖον· ἰαμβεῖον· βαλανεῖον· οὕτως οὖν καὶ διπολεῖον, διὰ τῆς ει διφθόγγου· ἐκεῖθεν δὲ γίνεται Διπολεῖα· Διπολεῖα δέ ἐστιν ἑορτὴ ἐπιτελουμένη Διῒ Πολειαίῳ, ἡ ἐν τῇ ἀκροπόλει τιμωμένη.

Διιπετής: Σημαίνει δὲ τὸ διαυγές· διὰ τοῦ ι γράφεται· παρὰ τὴν Διῒ δοτικὴν γεγονὸς καὶ τὸ πεσεῖν, οἱονεὶ ὁ ἐκ τοῦ Διὸς πεπτωκώς· εἰώθασιν δὲ καλεῖν διιπετῆ τὸν Νεῖλον καὶ τὸν Ξάνθον· οἷον,

διιπετέος ποταμοῖο. (Il. Π. 174.)

ἐπειδὴ διαυγέστατον ὕδωρ ἔχουσιν· καὶ τὸν ἀέρα δὲ διιπετῆ εἰώθασιν καλεῖν· οἷον, λαμπρότερον καὶ διιπτέστερον.

Διπλασίων: Διὰ τοῦ ι γράφεται· ὥσπερ γὰρ ἀπὸ τῆς Διὸς γίνεται Διῒ, Διΐων, διὰ τοῦ ι· οὕτως καὶ ἀπὸ τοῦ διπλασίως, διπλασίων, διὰ τοῦ ι· καὶ ἄλλως κατὰ τὸν κάνονα τοῦ γλυκίων.

Δηΐων: Διὰ τοῦ ι τὸ δεύτερον· γέγονεν δὲ ἀπὸ τοῦ δήϊος, δηΐων, τῷ λόγῳ τῶν δισυλλάβων συγκριτικῶν, καθώσπερ τὸ γλυκιών.

Δανείζω: Διὰ τῆς ει διφθόγγου· καί ἐστιν εἰπεῖν ὅτι ὥσπερ ἀπὸ τοῦ γένειον γίνεται γενειάζω, οὕτως καὶ ἀπὸ τοῦ δάνειον δανειάζω, καὶ ἐν συγκοπῇ δανείζω.

Δαρεικός: Δίφθογγος· καὶ γὰρ ἀπὸ τοῦ Δαρεῖος γέγονεν Δαρειακὸς, καὶ κατὰ συγκοπὴν τοῦ α Δαρεικὸς διὰ τῆς ει διφθόγγου.

Δάνειον: Δίφθογγος· τὰ γὰρ ἀπὸ τῶν εἰς ος δισυλλάβων οὐδετέρων διὰ τοῦ ειον γινόμενα οὐδέτερα μονογενῆ διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, γένος, γένειον· βρένθος, βρένθειον· ἔστιν δὲ εἶδος πολυτελοῦς μύρου· οὕτως καὶ δάνος, δάνειον· χωρὶς τοῦ ἰσχνὸς, ἰσχνίον.

Δείδω: Σημαίνει δὲ τὸ φοβοῦμαι· γράφεται δὲ διὰ τῆς ει διφθόγγου, ἐπειδὴ ἀπὸ τοῦ δέος γέγονεν δέω, καὶ κατὰ πλεονασμὸν τοῦ ι δείω, καὶ κατ' ἐπέκτασιν τοῦ δ δείδω.

Δειλός: Διὰ τῆς ει διφθόγγου· ὥσπερ γὰρ παρὰ τὸν σχήσω μέλλοντα, τὸν σημαίνοντα τὸ χωρῶ, γίνεται χηλὸς, σημαίνει δὲ τὴν κιβωτον· καὶ ὥσπερ παρὰ τὸν βήσω μέλλοντα γίνεται βῆλος, ὅ ἐστιν βαθμὸς, οὕτως καὶ ἀπὸ τοῦ δείδω, δείσω, τοῦ σημαίνοντος τὸ φοβοῦμαι, γίνεται δειλός· τῆς ει διφθόγγου ἐκ τοῦ ῥήματος οὔσης.

Δεῖπνον: Διὰ τῆς ει διφθόγγου· παρὰ τὸ δεῖ καὶ τὸ πονεῖν· ἔστιν δὲ δεῖπνον, οἱονεὶ, μεθ' ὃ δεῖ πονεῖν· δεῖπνον δὲ λέγεται τὸ ἄκρατον.

Δεῖν: Δίφθογγος· σημαίνει δὲ τὸ δέον· γράφεται δὲ διὰ τῆς ει διφθόγγου· ἐπειδὴ ἀπὸ τοῦ δέον γέγονεν δεῖν τὸ ἀπα-

ρέμφατον, ὡς πλέον, πλεῖν· οἷον, δεῖν γενέσθαι, ἀντὶ τοῦ πρέπων γένεσθαι.

Δείρω: Διὰ τῆς ει διφθόγγου· γέγονεν δὲ ἀπὸ τοῦ μέλλοντος· δερῶ γὰρ ὁ μέλλων, καὶ διὰ τὸ ἀντιπαρακεῖσθαι αὐτὸ τὸ ο· οἷον, δορά· τὰ γὰρ ἔχοντα τὸ ο ἀντιπαρακείμενον ἔχουσι τὸ ε ἐγκείμενον· οἷον, σπείρω, σπορά· ἀλείφω, ἀλοιφή· καὶ πάντα τὰ διὰ τοῦ ειρω ἀποστρέφονται τὴν διὰ τοῦ ι μόνου γραφήν· οἷον, οἰκτείρω· κείρω· οὕτως καὶ δήρω διὰ τῆς ει διφθόγγου.

Δειρά: Τὸ σημαῖνον τὸν τράχηλον διὰ τῆς ει διφθόγγου· δέῤῥα γὰρ λέγουσιν οἱ Αἰολεῖς· ὥσπερ τὸ κείρω κέῤῥω λέγουσιν, οὕτως καὶ δέῤῥω.

Δενδρήεις: Τὸ δρη η· ἐκ τοῦ δένδρα, τοῦ α εἰς η τραπέντος· τὸ δὲ εις δίφθογγον· ἐπειδὴ δενδρήεντός ἐστιν ἡ γενική· αἱ γὰρ διὰ τοῦ εντος γενικαὶ διὰ τῆς ει διφθόγγου γράφονται κατὰ τὴν εὐθεῖαν· οἷον, χαρίεντος, χαρίεις γάρ· τιμήεντος, τιμήεις· καὶ ἄλλως διὰ τὸ ἔχειν οὐδέτερον τὸ δενδρῆεν, καὶ τὰ ὅμοια.

Δεινός: ει· Οἱονεὶ ὁ δέους ἐμποιητικός· καὶ ὥσπερ παρὰ τὸ ἔλεος γίνεται ἐλεεινὸς διὰ τῆς ει διφθόγγου, οὕτως καὶ παρὰ τὸ δεός δεεινὸς, καὶ κατὰ κρᾶσιν δεινὸς διὰ τῆς ει διφθόγγου.

Αἰνός: Δεῖ γινώσκειν, ὅτι ἡνίκα τοῦτο τὸ δεινὸς τρέψῃ τὸ ε εἰς α, καὶ τὸ ἐν τῇ ἀρχῇ σύμφωνον, ἤγουν τὸ δ ἀποβάλῃ, αἰνὸς γίνεται, ὥσπερ μέχρι ἄχρι, κατὰ τροπὴν τοῦ ε εἰς α.

Δείδια[q]: Ὃ σημαίνει τὴν ἀσέληνον νύκτα, διὰ τῆς ει διφθόγγου γράφεται κατὰ τὴν ἄρχουσαν· παρὰ γὰρ τὸ δεινὸς γέγονεν· καὶ πάντα τὰ παρὰ τὸ δεινὸς διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, δεινομέλης· δεινολόγος· οὕτως καὶ Δεινίας, καὶ Δεινών· ἔστι δὲ κύριον· τὸ δὲ νι ι· τὰ γὰρ διὰ τοῦ νια διὰ τοῦ ι γράφεται.

Δεῖμα: Σημαίνει δὲ τὸν φόβον διὰ τῆς ει διφθόγγου γράφεται· ὥσπερ γὰρ ἀπὸ τοῦ ποιήσω γίνεται ποίημα, οὕτως καὶ

q Leg. Δείλη.

ἀπὸ τοῦ δείσω μέλλοντος γίνεται δεῖμα· καὶ γράφεται διὰ τῆς ει διφθόγγου, ἐπειδὴ καὶ ὁ δείσω μέλλων, ὃ σημαίνει τὸ φοβοῦμαι, διὰ τῆς ει διφθόγγου γράφεται.

Δεῖμος: Διὰ τῆς ει διφθόγγου γράφεται· ἀπὸ γὰρ τοῦ δέος γίνεται δέϊμος, καὶ κατὰ σύνθεσιν τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον, δεῖμος.

Δείξω: Διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ δείκω γέγονεν, τοῦ σημαίνοντος τὸ δεικνύω· ἀνεφάνη δὲ καὶ τὸ ε ἐν τῷ ῥηματικῷ· Ἡρόδοτος[r] γὰρ αὐτὸ χωρὶς τοῦ ι προηγάγετο· εἶπεν γὰρ "ἱστορίης ἀπόδεξις ἥδε."

Δτεῖν: Δοιοῖν γάρ.

Δείκηλον: Τὸ δει διὰ τῆς ει διφθόγγου· σημαίνει δὲ καὶ τὸ ἄγαλμα καὶ τὸ εἴδωλον· ὥσπερ γὰρ ἀπὸ τοῦ πέμπω γίνεται πεμπώβολος, σημαίνει δὲ τῶν πολλῶν ἐνιαυτῶν ὄντα· καὶ ὥσπερ ἀπὸ τοῦ ἄγω γίνεται ἄγελος καὶ ἄγγελος, οὕτως καὶ ἀπὸ τοῦ δείκω, τοῦ σημαίνοντος τὸ δεικνύω, γίνεται δείκελλον, καὶ συνεκτάσει τοῦ ε εἰς η δείκηλον.

Δειμαλέος: Τὸ δει δίφθογγος· ὥσπερ γὰρ ἀπὸ τοῦ τάρβος γίνεται ταρβαλέος, οὕτως καὶ ἀπὸ τοῦ δεῖμα, τοῦ σημαίνοντος τὸν φόβον, δειμαλέος γραφόμενον διὰ τῆς ει διφθόγγου· Ἰστέον δὲ ὅτι τὰ διὰ τοῦ αλεος ὑπὲρ τρεῖς συλλαβὰς πρὸ μιᾶς τὸν τόνον ἔχουσιν· οἷον, ἀργαλέος· σμερδαλέος· δειμαλέος· νηφαλέος· πλὴν τεσσάρων· δαιδάλεος· κοβάλεος· ἀτασθάλεος· αἰθάλαιος· τὸ δὲ αἰθάλεος διφορεῖται ἀπὸ τοῦ αἴθω γὰρ ὑπάρχει· ὥσπερ καὶ ἀπὸ τοῦ νήφω, νηφαλέος.

Δείλη: Διὰ τῆς ει διφθόγγου· παρὰ τὸ ἐνδεῖν καὶ ἐλλείπειν τῇ ἕλλῃ, οἱονεὶ τῇ θερμασίᾳ· δέλλη οὖν φῶς ἐστιν, καὶ κατὰ κρᾶσιν τοῦ ελ εἰς τὴν ει δίφθογγον γέγονεν δείλη· καὶ ἐκ τούτου ἡ δείλη, τῆς δείλης, ἐπιῤῥηματικῶς· οἷον, "δείλης ἦλθον."

Δαρεῖος: Διὰ τῆς ει διφθόγγου· τὰ γὰρ διὰ τοῦ ειος τρισύλλαβα πρὸ μιᾶς τὸν τόνον ἔχοντα, καὶ ἐν τῇ κατ' ἀρχὴν συλλαβῇ τὸ α μικρὸν, διὰ τῆς ει διφθόγγου γράφεται, πλὴν

r Cod. ἠρώδοτος.

τοῦ ἀντίος· οἷον, Καδμεῖος· Βακχεῖος· ἀνδρεῖος· οὕτως καὶ Δαρεῖος.

Δαρεικός: Διὰ τῆς ει διφθόγγου· γέγονεν δὲ ἀπὸ τοῦ Δαρεῖος, Δαρειακὸς, καὶ κατὰ συγκοπὴν Δαρεικός.

Δευρί: Τὸ ἐπίρρημα ι· ὃ γίνεται * * *

Δεκελεικός: Διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ Δεκελείας γέγονεν.

Δεκελειακός: Καὶ κατὰ συγκοπὴν Δεκελεικός.

Δούρειος: Διὰ τῆς ει διφθόγγου· πρῶτον μὲν ὅτι ἀνεφάνει τὸ ε ἐν τῷ δούρεος· δεύτερον δὲ ὅτι τὰ διὰ τοῦ ειος, σημαίνοντα μέρος σωματικὸν ἢ μετουσιαστικὸν, διὰ τῆς ει διφθόγγου γράφεται· λέγεται δὲ καὶ δώρειος.

Δουράτειος: Διὰ τῆς ει διφθόγγου· ἐκ τοῦ δουράτεος γάρ· καὶ ὡς μετουσιαστικόν.

Δευτέρειον: Δίφθογγος· ἀπὸ τοῦ δευτερειάω.

Δεῖσα: Ὃ σημαίνει τὴν ὑγρασίαν· διὰ τῆς ει διφθόγγου γράφεται· ἀπὸ γὰρ τοῦ δεύσω μέλλοντος γέγονεν δεῦσα, καὶ κατὰ τροπὴν τοῦ υ εἰς ι δεῖσα· καὶ τὸ παράδεισος διὰ τῆς ει διφθόγγου· παρὰ τὴν δεῖσαν γάρ ἐστιν.

Δηϊάνειρα: Διὰ τῆς ει διφθόγγου τὸ νει· πάντα γὰρ τὰ διὰ τοῦ ειρα προπαροξύτονα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, σώτειρα· ὀλέτειρα· γενέτειρα· εὐπάτειρα· ἔθειρα· δότειρα· οὕτως οὖν καὶ Δηϊάνειρα· καὶ καθάπερ δὲ τὰ ειρα θηλυκὰ[s] οὐδέποτε ἔχουσιν ἐν τῇ παραληγούσῃ τὸ ι μόνον, ἀλλ' ἢ μετὰ τὸ ω ἔχουσιν αὐτό· οἷον, πρῷρα· ἢ μετὰ τῷ α· οἷον, σφαῖρα· ἢ μετὰ τοῦ ο· οἷον, μοῖρα· ἢ μετὰ τοῦ ε· οἷον, στεῖρα· ὀλέτειρα· δότειρα· πεῖρα· σπεῖρα· σημαίνει δὲ τὴν εἰλινήν· οὕτως οὖν καὶ Δηϊάνειρα.

Δώδεκα: Διὰ τοῦ ω μεγάλου· οἱονεὶ δυόδεκα, τοῦ υ καὶ ο εἰς ω μέγα κραθέντος.

Δωρί: Τὸ ἐπίρρημα διὰ τοῦ ι· ἐκ τοῦ δεῦρο τροπῇ τοῦ ο εἰς ι.

Διομήδεια: Ει δίφθογγος· ἀνάγκῃ τῷ κτητικῷ λόγῳ.

[s] Leg. τὰ εἰς ρα.

Δολομήτις: Τὸ τις ι· *παρὰ γὰρ τὸ δολῶ δολοῖς γέγονεν· καὶ ἰστέον ὅτι τὰ τῆς δευτέρας καὶ τρίτης συζυγίας τῶν περισπωμένων διὰ τοῦ ι θέλουσι γράφεσθαι· οἷον, διετία· τριετία· ἑξαετία· ἑπταετία.*

Δεῖπνον: Τὸ *λεγόμενον ἄκρατον λέγεται· τὸ δὲ ἑσπερινὸν δόρπος.*

Δυσώδης: *Διὰ τοῦ ω μεγάλου γράφεται· καὶ πάντα τὰ διὰ τοῦ ώδης· οἷον, εὐώδης· πετρώδης· δυσώδης· καὶ τὰ ὅμοια.*

Δορύλαειον: *Δίφθογγος ει· καὶ* Κοτιάειον· Γορδίον *δὲ καὶ* Δοκίμιον *πόλεις* Φρυγίας *τὸ ι παραλήγονται.*

Δηλαδή: Τὰ *δύο διὰ τοῦ η.*

Δορυφόρος: Παρὰ *τὸ δόρυ ἡ παράδοσις.*

Δωροφορος: Παρὰ *τὸ δῶρον ἡ παράδοσις.*

Δεεῖρα.

Δηλητήριον: Παρὰ *τὸ δηλῶ τὸ βλάπτω, δηλητὴς καὶ δηλητήριον.*

Δειλινόν.

Δείλης.

Δίμωρον.

Δομίτιος: *ὄνομα κύριον.*

Δή: Ὁ *παραπληρωματικὸς σύνδεσμος η· καὶ τὸ* Δεῖ *τὸ σημαῖνον τὸ πρέπει ει δίφθογγος, δέει δεῖ.*

Διώρια.

Ἑρμίς: *ι· σημαίνει δὲ τοῦ κραββάτου τὸν πόδα· ἐπειδὴ τὰ ἐνύπνια ὁ* Ἑρμὶν *ἐκεῖ ἔγραψεν· ἢ παρὰ τὸ ἐνείρεσθαι καὶ ἐμπλέκεσθαι ἐν τῇ κλίνῃ· καὶ πάλιν διὰ τὸ δικατάληκτον διὰ τοῦ ι γράφεται· οἷον, ἀκτὶς, ἀκτίν· οὕτως καὶ ἑρμὶς, ἑρμίν.*

Ἐλευσίς: Ἔ*στιν δὲ ὄνομα πόλεως· διὰ τοῦ ι γράφεται ὡς δικατάληκτον.*

Ἐρυθῖνος: Ὄ*νομα πόλεως διὰ τοῦ ι τὸ θι· τὰ γὰρ διὰ τοῦ ινος πρὸ μιᾶς τὸν τόνον ἔχοντα, μὴ ἔχοντα ἀπὸ πλεονασμοῦ τὸ ι, διὰ τοῦ ι γράφεται, καὶ πάντα προπερισπῶνται· οἷον,* Σαβῖνος· Μαρτῖνος· *οὕτως οὖν καὶ* Ἐρυθῖνος.

ʽΕρασῖνος : Ἔστιν δὲ ὄνομα κύριον, διὰ τοῦ ι· τῷ λόγῳ τοῦ ʽΕρυθῖνος· γέγονεν δὲ παρὰ τὸν ἐράσω μέλλοντα.

ʽΕχῖνος : Διὰ τοῦ ι· τῷ λόγῳ τῶν διὰ τοῦ ινος προπερισπωμένων, τὸ δὲ ἐχῖνος πολλὰ σημαίνει· σημαίνει γὰρ τὸν θαλάτιον ἐχῖνον, καὶ τὸν χερσαῖον, τὸν λεγόμενον ἀκανθόχοιρον, καὶ εἶδος χύτρας καὶ λέβητος, καὶ πόλιν, καὶ μέρος.

ʽΕχινάς : Διὰ τοῦ ι· ἀπὸ γὰρ τοῦ ἐχῖνος· ἔστιν δὲ πόλις.

ʽΕρινύς : Τὸ ρι διὰ τοῦ ι· ἢ παρὰ τὸ τὰς ἀρὰς ἀνύειν γέγονεν ἀρανὺς, καὶ κατὰ τροπὴν τοῦ α εἰς ι ʽΕρινύς· ἢ παρὰ τὴν ἔραν γέγονεν ἐρανὺς, καὶ ʽΕρινὺς, οἱονεὶ ἡ ἐκ τῆς γῆς ἀνερχομένη· ἢ παρὰ τὸ ἐρὶ τὸ ἐπιτατικὸν καὶ τὸ ἀνύειν γέγονεν ʽΕρινὺς, οἱονεὶ ἡ μεγάλως ἀνύουσα· ἢ παρὰ τὸ ἐλινύειν, τὸ σημαῖνον τὸ ἡσυχάζειν, γέγονεν ἐλινὺς, καὶ ʽΕρινὺς, οἱονεὶ ἡ ἡσυχάζουσα κατὰ ἀντίφρασιν, τοῦτ᾽ ἔστιν ἡ μὴ ἡσυχάζουσα.

ʽΕξοκεῖλα καὶ ʽΕποκεῖλα : Διὰ τοῦ ο μικροῦ, παρὰ γὰρ τὴν ἐπὶ πρόθεσιν.

Εἱρκτή : σημαίνει δὲ τὴν φυλακὴν, διὰ τῆς ει διφθόγγου γράφεται· ὁμοίως δὲ καὶ Εἱρμός· ταῦτα γὰρ τοῦ εἴργω τὴν δίφθογγον ἐφύλαξαν· τὸ δὲ εἱρμὸς τοῦ εἴρω, τοῦ σημαίνοντος τὸ συμπλέκω.

Εἷρπον : Διὰ διφθόγγου· παρὰ τὸ ἕρπω.

Εἷλκον : Διὰ τῆς ει διφθόγγου, παρὰ τὸ ἕλκω.

ʽΕταιρία : Τὸ ται δίφθογγος· τὸ ρι ι· ἡ παράδοσις.

ʽΕταιρεῖος : Δίφθογγος τὸ ρει· τῷ λόγῳ τῶν κτητικῶν προπερισπωμένων.

ʽΕπειλημμένοι : ʽΩς ἐπιλαβόμενοι τῆς προθέσεως τὸ ι· οἱ ἐπειλημμένοι διὰ τῆς ει διφθόγγου· ἡ παράδοσις.

ʽΕμίχθη : ι.

ʽΕρινέος : ι· Παρώνυμον γὰρ, διὰ τὸ ἐριστικὸν εἶναι τὸ δένδρον, καὶ πέτραις καὶ λίθοις ἐπαναβλαστάνειν.

ʽΕνθαδί : ι.

Ἔρισμα : ι, ἐπὶ τῆς φρουρᾶς.

Ἔρεισμα : Ει δίφθογγος, ἐπεὶ καὶ τὸ ἐρείδω· εὑρέθη γὰρ καὶ ἐρειρέδαται.

ἘΞΟΥΣΊΑ : ι ἔστιν, καὶ ἐκ τῆς συναλειφῆς τῶν ψιλῶν εὑρίσκεται κατ' ἐξουσίαν, καὶ ἐξουσίως, καὶ ἐπεξουσίως.

ἘΝΙΌΤΕ : ι· ἢ γὰρ ἀπὸ τοῦ ἐστὶν, καὶ τοῦ ὅτε, καὶ ἔνιοι.

ἘΝΙΠΉ : Διὰ τοῦ ι τὸ νι· ἐκ γὰρ τοῦ ἐνίπτω γέγονεν, ὅπερ διὰ τοῦ ι γράφεται· τὰ γὰρ παρὰ τὸ πτω ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, νίπτω· ῥίπτω· πίπτω· πλὴν τοῦ φιλαλείπτω καὶ ἐρείπτω.

ἜΡΙΘΟΣ : ι· σημαίνει δὲ τὸν ἐργάτην, καὶ τὴν γυναῖκα τοῦ ἐργαζομένου τὰ ἔρια· γέγονεν δὲ τὸ ἀρσενικὸν ἀπὸ τοῦ ἔρα, ὅ ἐστιν ἡ γῆ, ἔραθος, καὶ κατὰ τροπὴν τοῦ α εἰς ι ἔριθος· καὶ ἀπὸ τοῦ ἔριον, ἔριθος· ὁμοίως δέ ἐστιν τολόβινθος, ὃ σημαίνει τὸν κρόκον τοῦ ᾠοῦ.

ἜΜΙΣΑ : Ἡ πόλις, ὡς Λάρισα· καὶ Ἐμισαῖος, ὡς Λαρισαῖος.

ἘΡΙΘΕΎΣ : Διὰ τοῦ ι, παρὰ τὸ ἔριθος γέγονεν· ἔστιν δὲ εἶδος ὀρνέου.

ἘΡΙΝΕΌΣ : ι· σημαίνει δὲ τὴν ἀγρίαν συκήν· ἀπὸ γὰρ τοῦ ἐρίζω γέγονεν ἐρινὸς, καὶ πλεονασμῷ τοῦ ε ἐρινεός· ἐριστικὸν γάρ ἐστι τὸ δένδρον· ἀνέρχεται γὰρ καὶ εἰς τοῖχον, καὶ εἰς ἕκαστον τόπον.

ἘΧΊΩΝ : Ἔστιν δὲ ὄνομα κύριον· διὰ τοῦ ι· ἐκ γὰρ τοῦ ἔχις ἔχιος, ὅ ἐστιν εἶδος ὄφεως, γέγονεν Ἐχίων, καὶ τῷ λογῷ τοῦ Ἀμφίων διὰ τοῦ ι.

ἘΝΙΠΕΎΣ : Διὰ τοῦ ι· ἔστιν δὲ ὄνομα ποταμοῦ· ἀπὸ γὰρ τοῦ ἐνιπὴ, τοῦ σημαίνοντος τὴν ἀπειλὴν γέγονεν· καὶ γὰρ ὁ ποταμὸς οὗτος ἄγριός ἐστιν, καὶ ἀπειλοῦντι ἔοικεν· τὸ δὲ ἐνιπὴ διὰ τοῦ ι, ἀπὸ γὰρ τοῦ ἐνίπτω γέγονεν.

ἘΚΕΙ͂ΝΟΣ καὶ ἘΚΕΊΝΗ : Διὰ τῆς ει διφθόγγου· ἀπὸ παιδος ἢ κάθιστος[s].

ἘΞΊΤΗΛΟΣ : ι· παρὰ τὸ ἐξιέναι τὸ τεθηλός· λέγεται δὲ κυρίως τὸ ἀποβαλμένον[t].

ἘΤΕΩΝΕΎΣ : Ὄνομα κύριον.

ἘΤΗΝΊΝΗ : Διὰ τοῦ ι τὸ νι· σημαίνει δὲ τὴν τοῦ Εὐήνου·

s Sic. t Sic.

τὰ γὰρ διὰ τοῦ ινη μονογενῆ, μὴ γενόμενα ἀπὸ ἐπιθετικῶν κύρια, διὰ τοῦ ι γράφεται· πλὴν τοῦ πείνη· οἷον, Ὠκεανίνη[u]· Ἀδρηστίνη[x]· ἀξίνη· Παλαιστίνη· δίνη.

Ἐπί: Ἡ πρόθεσις ι· Ἐπεὶ ὁ σύνδεσμος δίφθογγος.

Ἐπίσιον: Διὰ τοῦ ι τὰ δύο· σημαίνει τὰ ξηρά· γέγονεν ἐπίσιον· καὶ ἄλλα παρὰ τὸ εἰσιέναι ἐστίν.

Ἐνδῖος: Σημαίνει δὲ τὸν μεσημβρινὸν καιρὸν, διὰ τοῦ ι γράφεται· παρὰ τὸ ἴδειν γάρ ἐστιν ἰδίειν, ὅ ἐστιν ἱδροῦν.

Ἐλινύω: Σημαίνει δὲ τὸ ἡσυχάζω, διὰ τοῦ ι γράφεται, κατὰ τὸν κανόνα τὸν εἰρημένον ἐν τῇ περὶ τοῦ Βιθονια διφθόγγῳ.

Ἐρείπτω: Διὰ τῆς ει διφθόγγου· ἔστιν γὰρ παρὰ τὴν ἔραν, ὃ σημαίνει τὴν γῆν· ἰστέον δὲ ὅτι τὸ ἐρείπτω καὶ ἐνεργητικὸν σημαίνει καὶ παθητικόν· σημαίνει δὲ τὸ καταβάλλω καὶ πίπτω.

Ἐπαλξίτης: Σημαίνει δὲ τὸν λίθον τὸν ὄντα ἐπάνω τῆς ἐπάλξεως, διὰ τοῦ ι γράφεται, τῷ λόγῳ τοῦ Ἀσκαλωνίτης, καὶ διὰ τὸ εἶναι παρώνυμον.

Εὔριπος: Διὰ τοῦ ι· παρὰ γὰρ τὸ ῥιπίζω· γέγονεν Εὔριπος, οἱονεὶ ὁ εὐκαίρως ῥιπιζόμενος καὶ ἐπιφερόμενος· ἢ παρὰ τὸ εὐρὺ γέγονεν εὔρυπος, καὶ κατὰ τροπὴν τοῦ υ εἰς ι Εὔριπος· ὥσπερ ἀφροδύτη ἡ Ἀφροδίτη· καὶ δύφρος, δίφρος· οἱονεὶ ὁ πλατὺς κατὰ ἀντίφρασιν τοῦτ' ἔστιν ὁ μὴ ὢν πλατύς· καὶ γὰρ ὁ Εὔριπος πέλαγος στενόν ἐστιν μεταξὺ τῆς Εὐβοίας· ὅπερ ἑπτάκις τῆς ἡμέρας ἐνθαλάττει τὴν ἰδίαν κίνησιν, καὶ πάντας ἐναντίας τῇ κινήσει τοῦ ἀνέμου κινεῖται· ἐκεῖ δὲ ἐτελέσθη ὁ Ἀριστοτέλης· μὴ εὑρηκὼς γὰρ τὴν αἰτίαν τῆς τοιαύτης κινήσεως, ὀλιγοψυχήσας ἀπέθανεν.

Ἐνθαδί: Τὸ ἐπίῤῥημα διὰ τοῦ ι· ὥσπερ γὰρ ἐκ τοῦ δεῦρο γίνεται δευρὶ, κατὰ τροπὴν τοῦ ο εἰς ι, οὕτως καὶ παρὰ τὸ ἐνθάδε γίνεται ἐνθαδὶ, κατὰ τροπὴν τοῦ ε εἰς ι.

Ἐκεινοσί: Διὰ τοῦ ι τὸ σι· κατ' ἐπέκτασιν γάρ ἐστιν· αἱ δὲ ἐπεκτάσεις οὐ γίνονται διὰ τῆς ει διφθόγγου, ἀλλὰ διὰ τοῦ

u Cod. ὠκεμνίνη. x Cod. ἀδριστίνη.

ι· τὸ οὖν οἱονεὶ καὶ ὡσπερεὶ, γραφόμενα διὰ τῆς ει διφθόγγου, οὐκ ἔστιν κατεπέκτασιν, ἀλλὰ διάφορα μέρη λόγου εἰσίν· τὸ γὰρ οἱονεὶ δύο μέρη λόγου ἐστίν· τὸ· οἷον, ὄνομα, καὶ τὸ εἰ σύνδεσμος συναπτικός· τὸ δὲ ὡσπερεὶ τρία λόγου μέρη ἐστίν· ἔστιν γὰρ ὡς ἐπίῤῥημα, καὶ τὸ περ σύνδεσμος παραπληρωματικὸς, καὶ τὸ εἰ σύνδεσμος συναπτικός.

Εὐριπίδης: Διὰ τοῦ ι τὸ ρι καὶ πι· παρὰ γὰρ τὸ Εὔριπος Εὐριπίδης· καὶ πάλιν, τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιδης γινόμενα διὰ τοῦ ι γράφεται, χωρὶς τοῦ Κύθνος, Κυθνείδης· ἔστιν δὲ ὄνομα κύριον.

Ἐνδίνων: Σημαίνει δὲ τὰ ἐντόσθια σπλάγχνα, διὰ τοῦ ι γράφεται· τὰ γὰρ διὰ τοῦ ινος προπαροξύτονα διὰ τοῦ ι γράφεται· οἷον, ξύλινος· κόφινος· λίθινος· ἀνθρώπινος· οὕτως καὶ ἔνδινος διὰ τοῦ ι, καὶ ἐκεῖθεν ἐνδίνων· πλὴν εἰ μὴ ὦσιν ἀπὸ ἁπλοῦ ἔχοντα τὴν ει δίφθογγον· οἷον, ἀπὸ τοῦ ξένος γίνεται ξεῖνος, κατὰ πλεονασμὸν τοῦ ι, καὶ ἐκεῖθεν εὔξεινος.

Ἑλλανικός: Διὰ τοῦ ι τὸ νι· παρὰ γὰρ τὸ Ἕλλην Ἑλληνικὸς, καὶ τροπῇ τοῦ η εἰς α· καὶ ἄλλως, τὰ εἰς κος κτητικὰ διὰ τοῦ ι γράφεται.

Ἐγείρω: Παρὰ γὰρ τὸν ἐγερῶ γέγονεν μέλλοντα· καὶ πάλιν οἱ Αἰολεῖς ἐγέῤῥω λέγουσιν.

Ἐθείρω: Διὰ τῆς ει διφθόγγου· τὰ γὰρ διὰ τοῦ ειρω ῥήματα βαρύτονα ἀποστρέφονται τὴν διὰ τοῦ ι μόνου γραφήν· οἷον, ἀγείρω, ἀείρω· ἱμείρω· σπείρω· κείρω· φθείρω· εἴρω· οὕτως καὶ ἐθείρω· τὸ θείρω δὲ σημαίνει τὸ ἐξ ἔθους ἐπιμελοῦμαι τῶν τριχῶν, ἢ ἐξ ἔθους τινὶ ἐπιφυτῶν.

Ἔθαιρω καὶ Ἑταῖρος: Τὸ θαι καὶ τὸ ται δίφθογγος· παρὰ γὰρ τὸ ἐθάρω, καὶ τὸ ἑτάρω γέγονεν.

Ἔθειρα: Σημαίνει δὲ τὴν τρίχα, διὰ τῆς ει διφθόγγου· ἐκ γὰρ τοῦ ἐθείρω γέγονεν, οἱονεὶ ἡ ἐξ ἔθους φυτῶσα· ἀπάγεται δὲ καὶ τῷ κανόνι τῶν εἰς ρα θηλυκῶν ἐν τῇ Δηϊάνειρα εἰρημένων.

Ἐρείκω: Σημαίνει δὲ τὸ σχίζω· διὰ τῆς ει διφθόγγου· ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ ἐρέχθω, καὶ αὐτὸ γὰρ τὸ σχίζω σημαίνει· ἡ γὰρ ει δίφθογγος παρὰ τισίν ἐστιν ὑγρότητα.

Ἐρείκη: Ὅ ἐστιν εἶδος δένδρου εὐχέρως σχιζόμενον, διὰ τῆς ει διφθόγγου, ἀπὸ γὰρ τοῦ ἐρείκω γέγονεν.

Ἔρειξις: Σημαίνει δὲ τὴν κατεσχισμένην γῆν· διὰ τῆς ει διφθόγγου γράφεται, ἐκ γὰρ τοῦ ἐρείκω, ἐρείξω, ἔρειξις.

Ἐρείδω: Διὰ τῆς ει διφθόγγου· ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ ἐρηρέδαται, καὶ ὑπερείδομαι ὁμοίως διὰ τῆς ει διφθόγγου.

Ἐξῴκισαν: Σὺν τῷ ι· καὶ τὸ κι ι.

Εἰκῆ: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ εἴκω γέγονεν· σημαίνει δὲ τὸ εἰκῆ, τὸ ὡς ἔτυχεν.

Εἴσω: Διὰ τῆς ει διφθόγγου· ὥσπερ γὰρ ἀπὸ τῆς ἐξ γίνεται ἔξω, καὶ ἀπὸ τῆς πρὸ πρόσω, οὕτως καὶ ἀπὸ τῆς εἰς εἴσω.

Εἷο: Σημαίνει δὲ τὸ αὐτοῦ, διὰ τῆς ει διφθόγγου γράφεται· ἔστιν γὰρ ἐμοῦ· σοῦ· οὗ· καὶ αὗται αἱ γεικαὶ γίνονται κατὰ διάλεκτον· ἐμέο· σέο· ἕο· καὶ ἐπειδὴ αἱ διαλελυμέναι γενικαὶ οὐδέποτε τὰ δύο φωνήεντα ἔχουσι μακρὰ, ἢ πάλιν βραχεῖα[y]· ἀλλὰ τὸ ἓν μακρὸν, τὸ δὲ ἕτερον βραχύ· οἷον, Πριαμείδεω· Πηλείδεω· Ὠκεανοῖο· ποταμοῖο· ἐπλεόνασεν τὸ ι ποιητικῶς, καὶ ἐγένοντο ἐμεῖο· σεῖο· εἷο· διὰ τῆς ει διφθόγγου.

Εἰδώς: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸν εἰδῶ ἐνεστῶτα γέγονεν εἰδὼς ἡ μετοχή· εἰδῶ γὰρ τὸ γινώσκω δίφθογγος.

Εἴδεται: Εἰ δίφθογγος· δοκεῖ, φαίνεται.

Εἴδομεν: Ἀντὶ τοῦ μάθομεν· δίφθογγος.

Εἰσάμενος: Διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ εἰδῶ ῥήματος τοῦ σημαίνοντος, τὸ ὁμοιῶ, γέγονεν εἴσω, εἶσα, εἰσάμην, καὶ εἰσάμενος ἡ μετοχή.

Εὐνεῖδαι: Διὰ τῆς ει διφθόγγου τὸ νει· παρὰ γὰρ τὸ Εὔνεος γέγονεν.

Εὐνείδης: Ὥσπερ ἀπὸ τοῦ Νέλεος, Νελείδης, καὶ Νελεῖδαι, οὕτως καὶ ἀπὸ τοῦ Εὐνείδης, Εὐνεῖδαι.

Εἰθισμένος: Ει δίφθογγος· ἀπὸ τοῦ ἐθισμένος.

Εἷο: Δίφθογγος ἡ ἀντωνυμία· ἕω γὰρ ἦν.

Εἴρων: Δίφθογγος· παρὰ γὰρ τὸ εἴρω τὸ σημαῖνον τὸ λέγω

[y] Sic. leg. παλιμβακχεῖα.

γέγονεν, οἱονεὶ ὁ διὰ λόγων παραλογιζόμενος· τὸ δὲ εἴρω δέδεικται διὰ τῆς ει διφθόγγου γραφόμενον.

Εἰνοσίφυλλον: Διὰ τῆς ει διφθόγγου· σημαίνει δὲ τὸν κινοῦντα τὰ φύλλα· παρὰ γὰρ τὴν ἔνωσιν, ὃ σημαίνει τὴν κίνησιν, καὶ τὸ φύλλον γέγονεν ἐνοσίφυλλον, καὶ πλεονασμῷ τοῦ ι εἰνοσίφυλλον διὰ τῆς ει διφθόγγου.

Εἴλεον: Διὰ τῆς ει διφθόγγου· σημαίνει δὲ τὴν μαγειρικὴν τράπεζαν· παρὰ γὰρ τὸ ἔλεος γέγονεν ἔλεον, καὶ ἐν πλεονασμῷ τοῦ ι εἴλεον διὰ διφθόγγου.

Εἴβω: Διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ λείβω γέγονεν κατὰ ἀποβολὴν τοῦ λ εἴβω, καὶ ἐκεῖθεν εἴβη· τρία δέ ἐστιν εἰς βω ῥήματα διὰ τῆς ει διφθόγγου γραφόμενα· οἷον, ἀμείβω· στείβω· ὅ ἐστιν τὸ περιπατῶ, καὶ λείβω, καὶ εἴβω, κατὰ ἀποβολὴν τοῦ λ.

Ἔπειξις: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ ἐπείγω, ἐπείξω, γέγονεν ἔπειξις· τὸ δὲ ἐπείγω διὰ τῆς ει διφθόγγου γράφεται, ἐπειδὴ ἔχει ἀντιπαρακείμενον τὸ οἴγω· ὁ γὰρ κατεπείγων, ὥς τι ἀνύσαι βουλόμενος, κατεπείγει· καὶ πάλιν, τὰ ἔχοντα ἀντιπαρακείμενον τὸ ο διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἐπείγω· οἴγω· ὡς λείπω, λέλοιπα· καὶ κτείνω, κτόνος.

Ἐγχείμαρρος: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὴν ἔγχει δοτικὴν γέγονεν.

Ἐνόεις: Διὰ τῆς ει διφθόγγου· ῥῆμα γάρ ἐστι παρατατικόν· καὶ ἰστέον ὅτι οἱ παρατατικοὶ ἐπὶ δεύτερον καὶ τρίτον πρόσωπον διὰ τῆς ει διφθόγγου γράφεται· ἐνόεις, ἐνόει· ἐποίεις, ἐποίει· ἐκάλεις, ἐκάλει.

Εἱμένος: Σημαίνει δὲ τὸ ἐνδεδυμένος, διὰ τῆς ει διφθόγγου γράφεται· οἱ γὰρ Αἰολεῖς εἱμένοι καὶ ἀφιεμένοι φασίν· ὥσπερ κείρω, κέῤῥω· φθείρω, φθέρω.

Εἰαμενή: Σημαίνει δὲ τὸν κάθυγρον τόπον, διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ ἐρειαμένη, καὶ κατὰ ἀποβολὴν εἰαμένη.

Ἐργαλεῖον: Ει δίφθογγος· καὶ προπερισπᾶται κατὰ παράδοσιν.

Εἰρωνεῖα: Διὰ τῆς ει διφθόγγου, καὶ κατὰ τὴν ἀρχου-

σαν, καὶ κατὰ τὴν παραλήγουσαν· ἡ μὲν ἄρχουσα, ὅτι παρὰ τὸ εἴρων εἴρωνος γέγονεν, ὅπερ διὰ τῆς ει διφθόγγου γράφεται, ὡς δέδεικται· κατὰ δὲ τὴν παραλήγουσαν, ὅτι παρὰ τὸ εἰρωνεύω, ἐστὶν εἰρωνεῖα· ὡς μοιχεύω, μοιχεῖα.

Εἰλικρινής: Σημαίνει δὲ τὸν καθαρὸν, διὰ τῆς ει διφθόγγου κατὰ τὴν ἄρχουσαν· παρὰ γὰρ τὸ κρίνω καὶ τὸ ἕλη, τὸ σημαῖνον τὴν θερμασίαν, γέγονεν εἰλικρινὴς, οἱονεὶ ὁ ἐν τῇ ἕλῃ κεκριμένος· καὶ κατὰ πλεονασμὸν τοῦ ι γέγονεν εἰλικρινὴς διὰ τῆς ει διφθόγγου· τὸ δὲ λι γέγονεν οὕτως· εἱλοκρινὴς ἦν, καὶ τροπῇ τοῦ ο εἰς ι γέγονεν εἰλικρινής· τὸ δὲ κρι ἐκ τοῦ κρίνω.

Ἐπηρεια: Δίφθογγος· Ἐπηρεάζω γὰρ, καὶ ἐπηρεασμός.

Εἴκοσι: Διὰ τῆς ει διφθόγγου κατὰ παράδοσιν· ὥσπερ δὲ ἀπὸ τοῦ εἷς γέγονεν ἕεις κατὰ πλεονασμὸν τοῦ ε, καὶ φυλάττει τὴν ει δίφθογγον, οὕτως καὶ τὸ εἴκοσι γίνεται κατὰ πλεονασμὸν ἐείκοσι· καὶ φυλάττει τὴν ει δίφθογγον· ἔστιν δὲ εἰπεῖν οὕτως, πᾶς ἀριθμὸς ἐντὸς τῶν χιλίων θέλει ἔχειν στοιχεῖον, εἴτε φωνῆεν, εἴτε σύμφωνον, ἐκ τῶν ἐντὸς τῆς δεκάδος· τὸ γὰρ ἓν ἔχει τὸ ε· ὅπερ ἐκ τῶν ἐντὸς τῆς δεκάδος ἐστίν· καὶ πάλιν τὸ δύο ἔχει τὸ δ ἐκ τῶν ἐντὸς τῆς δεκάδος· πάλιν τὸ πεντήκοντα ἔχει τὸ ε, καὶ τὸ η, καὶ τὸ α· ἅτινα ἐκ τῶν ἐντὸς τῆς δεκάδος ἐστίν· τὸ δὲ ὀκτὼ δοκεῖ ἀντικεῖσθαι· οὐ γὰρ ἔχει στοιχεῖον ἐκ τῶν ἐντὸς τῆς δεκάδος· ἀλλ' εἰσιν δυνάμει ἔχων στοιχεῖα ἐκ τῶν ἐντὸς τῆς δεκάδος· λέγουσιν γὰρ οἱ φιλόσοφοι, ὅτι παρὰ τὸ ἄγω ἐστὶν δύο· τὸ δὲ ἄγω δύο ἔχει στοιχεῖα ἐκ τῶν ἐντὸς τῆς δεκάδος, λέγω δὴ τὸ α, τὸ γ, καὶ τὸ δ· ὀκτὼ γὰρ λέγεται παρὰ τὸ ἄγειν δύο· δύο γὰρ τετράδας ἄγει· διὰ δὲ τὸν τοιοῦτον κανόνα καὶ τὸ τρεῖς διὰ τῆς ει διφθόγγου γράφεται ἵνα σχῇ στοιχεῖον ἐκ τῶν ἐντὸς τῆς δεκάδος· ἔχει γὰρ τὸ ε· εἰ δὲ ἐγράφετο διὰ μόνου τοῦ ι, οὐκ ἔμελλεν ἔχειν στοιχεῖον ἐκ τῶν ἐντὸς τῆς δεκάδος, ἐν δὲ τῇ συνθέσει· οἷον, ἐν τῷ τρισκαίδεκα· ἐπειδὴ εὑρίσκεται ἔχον στοιχεῖον ἐκ τῶν ἐντὸς τῆς δεκάδος, ἔχει γὰρ τὸ α τοῦ καὶ συνδέσμου, καὶ τὸ δ, καὶ τὸ ι τοῦ δέκα· τούτου χάριν ἀποβάλλει τὸ ε τὸ προσελθὸν τὸ τρεῖς χάριν τοῦ εὑρεθέντος στοιχείου ἐκ τῶν ἐντὸς τῆς δεκάδος· ἵνα οὖν καὶ ἐν τῷ εἴκοσι

εὑρέθη στοιχεῖον ἐκ τῶν ἐντὸς τῆς δεκάδος, τούτου χάριν γράφεται διὰ τῆς ει διφθόγγου· ἔχει γὰρ τὸ ε, ὅπερ ἐστὶν ἐκ τῶν ἐντὸς τῆς δεκάδος· εἰ δὲ ἐγράφετο διὰ τοῦ ι, οὐκ ἤμελλεν ἔχειν στοιχεῖον ἐκ τῶν ἐντὸς τῆς δεκάδος· ἀμέλει οἱ Δωριεῖς[z], διὰ τοῦ ι γράφοντες αὐτὸ, τρέπουσι τὸ ο ἐν τῇ παραληγούσῃ εἰς τὸ α, λέγοντες εἴκασι[a]· ἵνα εὑρέθῃ ἔχον στοιχεῖον ἐκ τῶν ἐντὸς τῆς δεκάδος.

Εἱλίσσω: Τὸ ει δίφθογγος· τὸ λι ι· ὡς ἐκ τοῦ ἑλίξω μέλλοντος γίνεται εἱλίσσω· τὸ λι ι· ἐπειδὴ οὐδέποτε πρὸ τῶν δύο σσ εὑρίσκεται ἡ ει δίφθογγος, πλὴν τοῦ κρείσσων, καὶ τοῦ ἐξ αὐτοῦ γενομένου ῥήματος τοῦ κρεισσῶ.

Εἰνάτηρ: Σημαίνει δὲ τὴν νύμφην, διὰ τῆς ει διφθόγγου· παρὰ τὸ εὐνὴ γέγονεν εὐνάτηρ, καὶ κατὰ τροπὴν τοῦ υ εἰς ι εἰνάτηρ.

Εἴργω: Δίφθογγος· ἀπὸ γὰρ τοῦ ἐέργω γίνεται κατὰ κρᾶσιν τῶν δύο εε εἰς τὴν ει δίφθογγον· καὶ ἄλλως· ὅτι ἀνεφάνη τὸ ἐν τῷ ἔργαθεν· ἢ διὰ τὸ ἀντιπαρακεῖσθαι τὸ ο· οἷον, ὀργή· ἡ γὰρ ὀργὴ εἴργει τινὰ τοῦ καλῶς βούλεσθαι· τὰ δὲ ἔχοντα τὸ ο ἀντιπαρακείμενον ἔχουσι τὸ ε ἐγκείμενον· κτείνω, κτόνος· εἴρω, εἱρμὸς, οὕτως καὶ εἴργω, ὀργή.

Εἰκών: Ει δίφθογγος· ἀπὸ γὰρ τοῦ εἴκω τὸ ὁμοιῶ γέγονεν εἰκών· ἀντιπαράκειται γὰρ τὸ ο ἐν τῷ ἔοικα· τὰ γὰρ ἔχοντα ἀντιπαρακείμενον τὸ ο ἔχουσι τὸ ε ἐγκείμενον· οἷον, κείρω, κουρεύς· ἀγείρω, ἀγορά· οὕτως, καὶ εἴκω, οἶκος· τὸ δὲ Ἰκόνιον ἡ πόλις, καὶ τοῦτο παρὰ τὸ εἰκὼν ὂν, διὰ τοῦ ι γράφεται· τὸ δὲ Ἰκόνιον γέγονεν ἀπὸ τῆσδε τῆς αἰτίας· γυναῖκα φασὶν κατοικεῖν εἰς τὸν τόπον παράνομον, ἣ τοῖς ἐπιξενουμένοις ἐκέλευεν συγγενέσθαι αὐτῇ, καὶ μετὰ τὴν συνουσίαν ἀνῄρει, ἵνα μὴ ἡ ἀσελγεία αὐτῆς ἐπιγνώσθῃ· Περσέα δὲ τὸν Δαναῆς ἐπὶ τοὺς τόπους ἀφικνούμενον, καὶ μέλλοντα τὰ αὐτὰ πάσχειν, δείξαντα τὸ τῆς Γοργοῦς πρόσωπον, αὐτὴν ἀπελιθῶσθαι· ταύτην δὲ ἐπιπολὺ χρόνον τὴν εἰκόνα διαμεῖναι λιθίνην· ἀφ' ἧς αἰτίας

z Cod. δοριεῖς.   a Cod. εἴκασι (ϊ above).

καὶ τοὺς κατοικοῦντας τὴν πόλιν Ἰκόνιον ὀνομάσαι· διὰ δὲ τοῦ ι γράφεται, ἐπειδὴ εὑρέθη ἡ ἄρχουσα συστελλομένη παρὰ Μενάνδρῳ [b].

Εἴκω: Σημαίνει δὲ τὸ ὑποχωρῶ, διὰ τῆς ει διφθόγγου γράφεται· ἀντιπαράκειται γὰρ αὐτὸ τὸ οἶκος· οἱονεὶ, εἰς ὃν ὑποχωροῦμεν πάντες· τὰ γὰρ ἔχοντα τὸ ο ἐγκείμενον τὸ ε ἀντιπαρακείμενον· εὑρέθη δὲ ἐν διαστάσει καὶ ὁ πρῶτος ἀόριστος· οἷον, ἔερξε.

Ἐκεῖνος: Ει δίφθογγος· καὶ γὰρ οἱ Δωριεῖς [c] κῆνος, καὶ τῆνος, διὰ τοῦ η ποιοῦσι τὴν γραφήν· ἔθος γὰρ ἔχουσιν τὴν ει δίφθογγον τρέπειν· οἷον, πλείων· μείων, μήων· αἱ δὲ πρωτότυποι ἀντωνυμίαι, αἱ μονοπρόσωποι, ἀπὸ φωνήεντος θέλουσιν ἄρχεσθαι· οἷον, αὐτὸς, οὗτος· οὕτως οὖν, καὶ τὸ ἐκεῖνος προσέλαβεν τὸ ε διὰ τὸν κανόνα τοῦτον.

Εὐρώπεια: Διὰ τῆς ει διφθόγγου, τῷ λόγῳ τῶν διὰ τοῦ εια προπαροξυτόνων· Εὐρώπεια δέ ἐστιν ὄνομα κύριον· τὰ γὰρ διὰ τοῦ εια θηλυκὰ, ἐπὶ τοῦ αὐτοῦ σημαινομένου, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, Καλλιώπεια· Πληστοδόκεια· οὕτως καὶ Εὐρώπη, Εὐρώπεια, διὰ τῆς ει διφθόγγου.

Ἕμεια: Διὰ τῆς ει διφθόγγου, τῷ λόγῳ τῶν διὰ τοῦ εια προπαροξυτόνων· καὶ ἄλλως· ὥσπερ ἀπὸ τοῦ ἐνεργῶ, ἐνέργεια, καὶ ἀνθῶ, Ἄνθεια· οὕτως καὶ ἀπὸ τοῦ ἐμῶ, Ἕμεια, διὰ τῆς ει διφθόγγου· ἔστιν δὲ τόπος πλήσιον Μυκηνῶν [d]· Ἕμεια δὲ λέγεται, ἐπειδὴ ἐκεῖ ἤμεσεν ὁ Κέρβερος ἀνελθὼν ἐν τοῦ Ἅδου· ἢ ἐπειδὴ ὁ Θυέστης φαγὼν τὰ τέκνα αὐτοῦ, ἐκεῖ ἤμεσεν.

Ἑξείδιον: Σημαίνει δὲ τὴν ἕξιν διὰ τῆς ει διφθόγγου τὸ ξει· γέγονεν δὲ ἀπὸ τῆς ἕξεως, ἑξείδιον, ὥσπερ ἀπὸ τῆς λέξεως, λεξείδιον· καὶ ὄφεως, ὄφειον, ἀπὸ τῆς Ἀττικῆς γενικῆς· ἡ τῆς ἕξιος, καὶ λέξιος, καὶ ὄφιος· διὰ τοῦ ι πάντα.

Ἐγχειρίδιον: Σημαίνει δὲ καὶ βίβλον μικρὰν, καὶ ξίφος· γέγονεν δὲ παρὰ τὴν ἔγχει δοτικήν· ἰστέον δὲ ὅτι αἱ ἀπὸ δοτι-

b Hæc habet Etym. M. in v. Ἰκόνιον p. 470, 45.

c Cod. δοριεῖς.

d Cod. μυκινων. habet hæc Etym. M. p. 334, 20.

κῶν τῶν εἰς ος οὐδετέρων συντιθέμεναι λέξεις κατὰ μέρος τοῦτον τὸν τρόπον γίνονται· ἐὰν μὲν γὰρ ἐπιφέρηται φωνῆεν, ἢ ἓν ἁπλοῦν σύμφωνον φυλάττεται ἡ αι δίφθογγος· οἷον, ὀρείαυλος· ὀρείχαλκος· Ὀρειγενής· Ὠρειθυῖα· κατ' ἔκτασιν τοῦ ο εἰς ω· ἐγχείμαργος· σημαίνει δὲ τὸ ὀρίγανον, ἀπέβαλεν γὰρ τοῦτο τὸ ο τῆς ὄρει δοτικῆς, καὶ ἐξέτεινεν τὸ ι· ἐὰν δὲ σύμφωνα δύο ἐπιφέρωνται, ἢ ἓν διπλοῦν, ἀποβάλλει τὸ ε· οἷον, ὀρίτροφος· ὀρίδρομος· ὀριβρεμέτης· ὑψιβρεμέτης· ὑψίζυγος.

Ἐρέχθειον: *Τὸ τοῦ Ἐρεχθέος, δίφθογγος.*

Εἶδαρ: *Σημαίνει δὲ τὴν βρῶσιν· διὰ τῆς ει διφθόγγου· ἐκ τοῦ ἔδω, τοῦ σημαίνοντος, τὸ ἐσθίω, γέγονεν ἔδαρ, καὶ κατὰ πλεονασμὸν τοῦ ι εἶδαρ, διὰ τῆς ει διφθόγγου.*

Ἐπικήδειον: *Ει δίφθογγος τὸ δει· κτητικὸν γὰρ ἀπὸ τοῦ κήδους.*

Εἶδος: *Ει· ἐπειδὴ ἀντιπαράκειται αὐτῷ τὸ οἶδα· καὶ προείρηται περὶ τοῦ ἀντιπαρακεῖσθαι τὸ ο· οὕτως καὶ εἴδω, τοῦ σημαίνοντος τὸ γινώσκω· γίνεται οἶδα, καὶ ἐξ αὐτοῦ εἰδῶ, εἶδος· σημαίνει δὲ τὴν μορφὴν καὶ τὸ σχῆμα· καὶ τὸ ἀπὸ γένους διαιρούμενον· οἷον, ἄνθρωπον· ἵππον· ἐλαῖαν.*

Εἰδικόν: *Ἡνίκα μὲν τὸ εἶδος σημαίνει· οἷον, γένος· εἶδος γενικὸν εἰδικόν, διὰ τῆς ει διφθόγγου· ἡνίκα δὲ τὸν ἴδιον οἶκον, διὰ τοῦ ι γράφεται.*

Εἶαρ: *Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ ἔω τὸ σημαῖνον τὸ ἐκπέμπω, γέγονεν ἔαρ· τότε γὰρ ἐκπέμπονται οἱ καρποί, καὶ κατὰ πλεονασμὸν τοῦ ι, εἶαρ.*

Εἶθαρ: *Ὃ σημαίνει τὸ εὐθέως· ἔστιν ἐπίρρημα διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ εὐθὴς γέγονεν εὔθαρ, καὶ τροπῇ τοῦ υ εἰς ι, εἶθαρ.*

Ἐνωμότεια: *Ει· ἐνωμότεια τάγματα δίφθογγος· ἡ παράδοσις.*

Εἰρία: *Δίφθογγος· ἀπὸ γὰρ τοῦ ἐρίου γέγονεν εἰρία, κατὰ μεταπλασμόν.*

Εὐδεινός: *Ει· ὡς ποθεινός· εὐδεινότερος γὰρ τοῦ συγκριτικοῦ.*

Ἐταί: ι· ἡ παράδοσις.

Εἰροπόκος: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ ἔριον καὶ τὸ πέκω, τὸ σημαῖνον τὸ ξαίνω, γέγονεν ἐροπόκος, καὶ πλεονασμοῦ τοῦ ι εἰροπόκος, διὰ τῆς ει διφθόγγου.

Εὐρεῖα: Διὰ τῆς ει διφθόγγου· εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι, εὐρέα· καὶ ἄλλως· τὰ ἀπὸ τῶν εἰς υς ἀρσενικῶν διὰ τοῦ εια παρασχηματιζόμενα θηλυκὰ, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, βραδὺς, βραδεῖα· οὕτως καὶ ἡδὺς, ἡδεῖα, καὶ εὐρὺς, εὐρεῖα.

Εἰλαπίνη: Σημαίνει δὲ τὴν εὐωχίαν, διὰ τῆς ει διφθόγγου τὸ πρῶτον, ἐλαπίναν γὰρ φασὶν οἱ Αἰολεῖς.

Εἷς: Διὰ τῆς ει διφθόγγου τὸ ὄνομα· τὰ γὰρ εἰς εις, ἔχοντα οὐδέτερον εἰς εν, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, χαρίεις, χαρίεν· ἀστερόεις, ἀστερόεν· οὕτως, οὖν, καὶ εἷς, ἕν.

Εἴς: Ἡ μετοχὴ δίφθογγος· διὰ τὸ τὴν γενικὴν ἐκφέρεσθαι διὰ τοῦ εντος.

Εἶλαρ: Σημαίνει δὲ τὸ φύλαγμα· διὰ τῆς ει διφθόγγου γράφεται, παρὰ γὰρ τὸ εἰλῶ ἐστιν τὸ συγκλείω· τὸ δὲ εἰλῶ παρὰ τὸ ἕλος· ἕλος γὰρ λέγεται ὁ τόπος ὁ συγλειόμενος ἀπὸ δένδρων, καὶ κατὰ πλεονασμὸν τοῦ ι εἴλω, καὶ ἐξ αὐτοῦ εἶλαρ διὰ τῆς ει διφθόγγου.

Εἰρεσία: Σημαίνει δὲ τὴν κωπηλασίαν, διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ ἐρέτης γέγονεν ἐρεσία, καὶ κατὰ πλεονασμὸν τοῦ ι εἰρεσία.

Εἵλωτες: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ Ἕλως, Ἕλωτος, γέγονεν Ἕλωτες· καὶ κατὰ πλεονασμὸν τοῦ ι Εἵλωτες· Εἵλωτες δέ εἰσιν οἱ κατοικοῦντες τὴν Μεσηνιακήν.

Ἐλεινός: Σημαίνει δὲ τὸν ἐλεεινόν· διὰ τῆς ει διφθόγγου· ὥσπερ γὰρ ἀπὸ τοῦ δέος δεεινὸς, καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ τῆς ει διφθόγγου εἰς τὴν ει δίφθογγον, δεινός· οὕτως καὶ ἀπὸ τοῦ ἔλεος γίνεται ἐλεεινὸς, καὶ κράσει ἐλεινός.

Ἑκτόρειος: Διὰ τῆς ει διφθόγγου· εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι,

Ἑκτόρεον δὲ χιτῶνα. (Il. B. 416.)

Εἰλειθυῖα: Διὰ τῆς ει διφθόγγου, καὶ ἡ πρώτη καὶ ἡ δεύτερα συλλαβή· παρὰ γὰρ τὸ ἐλεύθω, τὸ σημαῖνον τὸ παραγίνομαι, γέγονεν ἐλευθυῖα, καὶ πλεονασμῷ τοῦ ι Εἰλευθυῖα, καὶ τροπῇ τοῦ υ εἰς ι Εἰλειθυῖα.

Ἐπιείκεια: Διὰ τῆς ει διφθόγγου, καὶ κατὰ τὴν πρώτην καὶ κατὰ τὴν παραλήγουσαν· παρὰ τὸ εἴκω γάρ ἐστιν, τὸ σημαῖνον τὸ ὑποχωρῶ· καὶ γὰρ ὁ ἐπιεικὴς εὐχερῶς ὑποχωρεῖ· ὅπερ διὰ τῆς ει διφθόγγου γράφεται, ὁμοίως καὶ ἡ παραλήγουσα τῷ λόγῳ τῶν διὰ τοῦ εια προπαροξυτόνων.

Ἐπιτήδειος: Ἀπὸ τοῦ ἐπιτηδὴς, ἐπιτηδέους, καὶ ἐξ αὐτοῦ ἐπιτήδειος.

Εἶμα: Σημαίνει δὲ τὸ ἱμάτιον διὰ τῆς ει διφθόγγου· ἕμμα γάρ φασιν οἱ Αἰολεῖς ἀποβάλλοντες τὸ ι, καὶ διπλασιάζοντες τὸ σύμφωνον· ὥσπερ κείρω, κέῤῥω, καὶ φθείρω, φθέῤῥω· τὸ μέντοι ἱμάτιον, διὰ τοῦ ι γράφεσθαι δῆλον, εἴγε κατὰ σύνθεσιν γίνεται θοἰμάτιον· εἰ γὰρ ἐγράφετο διὰ τῆς ει διφθόγγου θουμάτιον εἶχεν γενέσθαι· τὸ γὰρ ο καὶ ε εἰς τὴν ου δίφθογγον κίρναται· οἷον, τὸ ἐμὸν, τοὐμόν.

Εἰρήνη: Δίφθογγος κατὰ τὴν ἄρχουσαν· ὥσπερ γὰρ ἀπὸ τοῦ λάμπω γίνεται λαμπήνη, οὕτως καὶ ἀπὸ τοῦ εἴρω, τοῦ σημαίνοντος τὸ λέγω, γίνεται εἰρήνη· ὅπερ διὰ διφθόγγου γράφεται.

Εἴλεος καὶ ὀειλτος ὁ λεγομ[e] * * *.

Εἴκελος: Διὰ τῆς ει διφθόγγου· ὥσπερ γὰρ ἀπὸ τοῦ ἄγω γέγονεν ἄγελος καὶ ἄγγελος, οὕτως καὶ ἀπὸ τοῦ εἴκω, τοῦ σημαίνοντος τὸ ὁμοιῶ, ὅπερ διὰ διφθόγγου γράφεται, γέγονεν εἴκελος.

Εἴρω: Σημαίνει δὲ τὸ συμπλέκω, διὰ τῆς ει διφθόγγου· ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ ἕρμα· ἕρμα δέ ἐστι τὸ κώλυμα· καὶ πάλιν, ὅτι ἀντιπαράκειται αὐτὸ τὸ ὅρμος· σημαίνει δὲ τὸν περιτραχήλιον κόσμον, παρὰ τὸ εἴρειν καὶ συμπλέκειν τὰς ναῦς· καὶ πάλιν διὰ τὸ ἀντιπαρακεῖσθαι αὐτῷ τὸ ο· οἷον, εἴρω, ὅρμος· καὶ ἄλλως ὅτι οἱ Αἰολεῖς οἴρατο λέγουσιν· ἔστιν δὲ εἴρω,

[e] Sic Cod. sequitur hiatus duarum linearum.

ἐρῶ, εἶρα, ἔῤῥον τὸ προστακτικόν· ἔθος γὰρ ἔχουσι τὸ ε τρέπειν· οἷον, ὄνειρος, ὄνοιρος.

Εἴρω: Σημαίνει δὲ τὸ λέγω, διὰ τῆς ει διφθόγγου· ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ ἐρῶ μέλλοντι· καὶ πάλιν, ὅτι τὰ διὰ τοῦ εἴρω βαρύτονα ἀποστρέφονται τὴν διὰ τοῦ ι μόνου γραφήν.

Εὔειλος: Σημαίνει δὲ τὸν εὐάερον τόπον· παρὰ τὸ εἵλη, ὅ ἐστιν θερμασία, γέγονεν εὔειλος.

Εἰκάζω: Τὸ ει δίφθογγος· ἀπὸ τοῦ εἴκω τοῦ σημαίνοντος τὸ ὁμοιῶ.

Ἐπίχειρα: Τὸ χει δίφθογγος· παρὰ τὴν χεῖρα γάρ.

Ἐπειός: Δίφθογγος· τὰ γὰρ διὰ τοῦ ειος κύρια ὀξύτονα τρισύλλαβα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, Πηνειός· Ἀρνειός· Ἀλφειός· Σπερχειός· Ὀλμειός· Δεινειός· οὕτως καὶ Ἐπειὸς διὰ τῆς ει διφθόγγου.

Ἑρμείας: Διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ Ἑρμέας γέγονεν κατὰ πλεονασμὸν τοῦ ι.

Ἐρσήεις: Διὰ τῆς ει διφθόγγου· ἀνεφάνη γὰρ τὸ ε ἐν τῇ ἐρσήεντος γενικῇ.

Ἐρατεινός: Διὰ τῆς ει διφθόγγου· οἱ γὰρ Δωριεῖς ἐρατεννὸς λέγουσι, ὥσπερ ποθεινὸς, ποθεννός· καὶ διὰ τὸν κανόνα τῶν εἰς νος ὀξυτόνων παρωνύμων.

Εἴασκεν: Διὰ τῆς ει διφθόγγου· ἔστιν γὰρ ἐῶ, ἐᾶς· εἴων, εἴας, εἴα· τὰ γὰρ τοιαῦτα τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἐκτείνουσιν· οἷον, ἔτυπτον, ἔτυπτες, ἔτυπτε· ἐκ τούτου οὖν τοῦ ἐᾶς γίνεται εἴασκε διὰ τῆς ει διφθόγγου κατὰ πλεονασμὸν τοῦ ι.

Εἴωθα: Διὰ τῆς ει διφθόγγου· ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ ἔθος καὶ ἐν τῷ εὔωθα· οἱ γὰρ Αἰολεῖς τὸ εἴωθα, εὔωθα λέγουσιν· γέγονεν δὲ τὸ εἴωθα τούτῳ τῷ τρόπῳ· ἔστιν ῥῆμα ὃ σημαίνει τὸ ἐξ ἔθους τί διαπράττομαι, ἐξ οὗ καὶ ἔθνος· τούτου ὁ μέσος παρακείμενος εἶθα, καὶ πλεονασμῷ τοῦ ω εἴωθα καὶ εἴωθε.

Εἰμί: Τὸ ὑπάρχω δίφθογγος τὸ πρῶτον, τὸ δὲ δεύτερον ι· οἱ γὰρ Αἰολεῖς ἐμμὶ λέγουσιν, ὥσπερ κείρω, κέῤῥω· γέγονεν δὲ τὸ εἰμὶ οὕτως· ἔστιν ἐῶ τὸ σημαῖνον τὸ ὑπάρχω· τοῦτο

τρέπον τὸ ω εἰς μι γίνεται ἐμί· καὶ ἐπειδὴ τὰ εἰς μι φύσει μακρὰ παραλήγονται· οἷον, ἵστημι· τίθημι· δίδωμι· χωρὶς τοῦ ἐσμὶ, θέσει γὰρ μακρὸν παραλήγεται· καὶ πάλιν ἀναγκάζεται καὶ τοῦτο φύσει μακρὰ παραλήγεσθαι· ἢ τρέπον τὸ ε εἰς η, ἢ προσλαμβάνον τὸ ι· τὸ γὰρ ε ἐν τοῖς ῥήμασιν διχῶς μεγεθύνεται· ἢ διὰ προσθήκης τοῦ ι· οἷον, ἔχω, εἶχον· ἕλκω, εἷλκον· ἢ διὰ τὸ τρέπεσθαι εἰς η· οἷον, ἐλαύνω, ἤλαυνον· ἐλέγχω, ἤλεγχον· καὶ ὤφειλεν μᾶλλον τρέψαι τὸ ε εἰς τὸ η, εἴπερ προσλάβεσθαι τὸ ι· τὰ γὰρ εἰς μι οὐ θέλουσι διφθόγγῳ παραλήγεσθαι· οἷον, τίθημι· δίδωμι· χωρὶς τοῦ εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι· ἀλλ' ἐπειδὴ ἔτρεψεν τὸ ε εἰς τὸ η, οὐκ ἤμελλεν φυλάττειν λείψανόν τι τοῦ πρωτοτύπου· οἷον, λέγω, λόγος· νέμω, νόμος· διδῶ, δίδωμι· τούτου χάριν προσέλαβεν τὸ ι, καὶ γέγονεν εἰμὶ διὰ τῆς ει διφθόγγου, ἵνα φυλάξῃ τι τῆς φωνῆς τοῦ πρωτοτύπου· διατί δὲ πάλιν οὐκ ἔτρεψεν τὸ ε εἰς τὸ η; ἵνα μὴ συνεμπέσῃ τὸ ἠμὶ τὸ σημαῖνον τὸ λέγω· τὸ γενόμενον ἀπὸ τοῦ φημὶ ἠμί.

Εἰμί: Τὸ *ὑπάρχω· Εἶμι τὸ πορεύομαι·* Ἠμὶ *τὸ λέγω, τὸ γενόμενον ἐκ τοῦ φημὶ κατὰ ἀποβολὴν τοῦ φ.*

Εἶς: Τὸ *ὑπάρχεις· διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ εἰμὶ γέγονεν τροπῇ τῆς μι εἰς σ.*

Εἰσί: *Διὰ τῆς ει διφθόγγου τὸ πρῶτον· ἀνεφάνη γὰρ τὸ ε ἔασι.*

Εἶμι: *Σημαίνει δὲ τὸ πορεύομαι· διὰ τῆς ει διφθόγγου τὸ πρῶτον· ἀπὸ γὰρ τοῦ εἴω γέγονεν τροπῇ τοῦ ω εἰς μι· σημαίνει δὲ τὸ εἴω τὸ πορεύομαι, τὸ δὲ ἰμὶ, τὸ διὰ τοῦ ι, ἀπὸ τοῦ ἴημι γέγονεν κατὰ συγκοπὴν τοῦ η.*

Ἐπικλώσειαν: Τὸ *σει δίφθογγος ὡς εὐκτικόν· τὸ δὲ κλω μέγα, ἐκ τοῦ κλῶ, κλᾶς, κλᾶ.*

Εὔρειος Ποταμός: *Διὰ τῆς ει διφθόγγου· εὐρεὴς γὰρ καὶ εὐρέες.*

Εἰραφιώτης: *Διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ ἐῤῥάφθαι γέγονεν ἐῤῥαφιώτης καὶ εἰραφιώτης, προσελθόντος τοῦ ι, καὶ ἀποβληθέντος τοῦ ρ·* Εἰραφιώτης *δὲ λέγεται ὁ Διόνυσος,*

διὰ τὸ ἐῤῥάφθαι ἐν τῷ μηρῷ τοῦ Διός· ἢ παρὰ τὸ ἐρέφεσθαι, τὸ σημαῖνον τὸ στεφανοῦσθαι, γέγονεν ἐραφιώτης, καὶ κατὰ πλεονασμὸν τοῦ ι Εἰραφιώτης· ἢ παρὰ τὸ ἔριφος γέγονεν ἐραφιώτης, καὶ κατὰ πλεονασμὸν τοῦ ι Εἰραφιώτης· καὶ γὰρ ὑπὸ ἐρίφων φασὶν ἀνατραφῆναι τὸν Διόνυσον.

ʼΕμίχθη: ι τὸ μι κατὰ παράδοσιν· μέμιχα γάρ ἐστιν ὁ μέσος παρακείμενος, εἰ δὲ διὰ τῆς ει διφθόγγου ἐγράφετο μέμοιχα εἶχεν εἶναι· ἐὰν γὰρ εὑρέθη τὸ ε ἐν δισυλλάβῳ μέλλοντι, ἢ μόνον, ἢ μετὰ τοῦ ι, τρέπεται εἰς τὸ ο· οἷον, πείθω, πείσω, πέποιθα· λείβω, λείψω, λέλοιφα· εἰ οὖν τὸ μίγω, μίξω, διὰ τῆς ει διφθόγγου ἐγράφετο, μέμοιχα εἶχεν εἶναι ὁ παρακείμενος· ἀλλὰ μὴν μέμιγά ἐστιν· καὶ δῆλον ὅτι μίγω καὶ μίξω διὰ τοῦ ι, καὶ ἐμίχθη ὁμοίως.

ʼΕρεείνω: Διὰ τῆς ει διφθόγγου· τὰ γὰρ διὰ τοῦ εινω ὑπὲρ δύο συλλαβὰς, μὴ συντεθειμένα ἀπὸ ἁπλοῦ γραφομένου διὰ τοῦ ι, διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, φαείνω· ἀλεείνω· ἐρεείνω· πλὴν τοῦ ὀρίνω· ὀδίνω· ὑπὲρ δύο συλλαβὰς δὲ, διὰ τὸ κρίνω· κλίνω· ἀπὸ ἁπλῶν δὲ διὰ τοῦ ι γραφομένων, διὰ τὸ κρίνω καὶ συγκρίνω.

ʼΕπαττοφόρωι: Τὰ δύο μικρά· τὸ ρω μέγα· ἡ παράδοσις.

Εἵλη: Σημαίνει δὲ τὴν θερμασίαν, διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ ἕλη γεγόνεν κατὰ πλεονασμὸν τοῦ ι.

Εἰλῶ: Διὰ τῆς ει διφθόγγου· ἀνέφανεν γὰρ τὸ ε ἐν τῷ ἑλίσσω καὶ ἐλλεδανός· σημαίνει δὲ τὸν δεσμόν.

Εἶ: Δίφθογγος· αἶ γὰρ λέγουσιν οἱ Δωριεῖς· ἔθος δὲ ἔχουσι τὸ ε εἰς α τρέπειν· οἷον, τρέχω, τράχω· Ἄρτεμις, Ἄρταμις· οὕτως οὖν καὶ εἶ, αἶ.

ʼΕπεί: Διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ ει γέγονεν καὶ τῆς ἐπὶ προθέσεως· ἰστέον ὅτι τὸ ἐπεὶ ἡνίκα χρονικὸν ἐπίῤῥημά ἐστιν· οἷον,

πλάγχθη ἐπεὶ[e] Τροίης ἱερὸν πτολίεθρον, (Od. A. 2.)

ἀντὶ τοῦ ἀφ᾽ οὗ· καὶ πάλιν,

αὐτὰρ ἐπεὶ κόσμηθεν, (Il. Γ. 1.)

[e] Cod. ἐπι.

ἀντὶ τοῦ ὅταν· ἡνίκα δὲ αἰτιολογικὸν παραλαμβάνεται, σύνδεσμός ἐστιν· οἷον, "ἐπεὶ ἡμέρα ἐστὶν, φῶς ἐστίν."

Εἶθε: Διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ ἔθε γέγονεν εἶθε· καὶ πάλιν ὅταν οἱ Δωριεῖς αἶθε λέγουσιν, καὶ ἔθος ἔχουσιν, ὡς εἴρηται, τὸ ε εἰς τὸ α τρέπειν· οὕτως εἶθε, αἶθε.

Εἶτα: Διὰ τῆς ει διφθόγγου· ὥσπερ γὰρ ἀπὸ τοῦ δὴ γίνεται δῆτα, οὕτως καὶ ἀπὸ τοῦ εἰ γίνεται εἶτα.

Ἔπειτα: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ εἶτα καὶ τὴν ἐπὶ πρόθεσιν γίνεται ἔπειτα.

Εἰκός: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ εἴκω, τὸ σημαῖνον τὸ ὁμοιῶ, γέγονεν.

Ἐξωκήθη: Ἀντὶ τοῦ ᾠκήθη, τὸ ω μέγα· παρωχημένον[f] γάρ.

Εἶα: Ἔστιν δὲ παρακελευσματικὸν ἐπίῤῥημα, καὶ γράφεται διὰ τῆς ει διφθόγγου· ὥσπερ γὰρ παρὰ τὸ ῥέα γίνεται ῥεῖα, διὰ τῆς ει διφθόγγου κατὰ πλεονασμὸν τοῦ ι· οὕτως καὶ ἀπὸ τοῦ ἔω, τοῦ σημαίνοντος τὸ ἐκπέμπω, γίνεται ἔα, καὶ εἶα, κατὰ πλεονασμὸν τοῦ ι.

Ἐννέα: Δύο νν· παρὰ γὰρ τὸ ἓν καὶ τὸ νέα γέγονεν ἐννέα.

Ἑκκαίδεκα: Ὁ ἀριθμὸς ὁ σύνθετος κ καὶ οὐ ξ· ἐτράπη γὰρ ἡ πρόθεσις διὰ τὸ ἐπαγόμενον σύμφωνον.

Ἑβδομήκοντα: Τὸ μὴ η· καὶ ἑξήκοντα ὁμοίως· τὰ γὰρ διὰ τοῦ κοντα ἀριθμητικὰ θέλουσι πρὸ τοῦ κ ἔχειν φωνῆεν· ἀπὸ οὖν τοῦ ἓξ γέγονεν ἑξάκις, καὶ ἐκ τοῦ ἑξάκις ἑξήκοντα· τροπῇ Δωρικῇ τοῦ α εἰς η· ἑβδομήκοντα διὰ τοῦ η· καὶ ὀγδοήκοντα, ἐκ τοῦ ἕβδομος καὶ ὄγδοος ὤφειλεν εἶναι ἑβδομόκοντα καὶ ὀγδόοκοντα διὰ τοῦ ο· ἀλλ' ἐπειδὴ τὰ διὰ τοῦ κοντα ἀριθμητικὰ οὐ θέλουσι προπαραλήγεσθαι, οὔτε τὸ ο, οὔτε τὸ ε, ἐξ ἀνάγκης ἐτρέψαμεν τὸ ο εἰς τὸ η, καὶ γέγονεν ἑβδομήκοντα καὶ ὀγδοήκοντα· καὶ ἐνενήκοντα ὁμοίως γέγονεν ἀπὸ τοῦ ἐννέα ἐννεάκοντα, καὶ κατὰ ὑπερβιβασμὸν ἐνενάκοντα· καὶ ἐπειδὴ καὶ ὁ πεντήκοντα καὶ οἱ λοιποὶ τὸ η παραλήγονται· οἷον, ἑξήκοντα,

[f] Cod. παρο with χ above

καὶ ἑβδομήκοντα, καὶ ὀγδοήκοντα· τούτου χάριν, ἐκείνων τρεψάντων τὸ α εἰς η, ἔτρεψεν καὶ τοῦτο, καὶ γέγονεν ἐνενήκοντα.

Ἐρυσίβη: *Διὰ τοῦ ι γράφεται· ἐρυσίβη δὲ λέγεται ἡ πάχνη, ἡ γενομένη ἐν τῇ δυσαερίᾳ, καὶ φθείρουσα τοὺς καρπούς.*

Ἔγγειος: *Διὰ τῆς ει διφθόγγου· τὰ γὰρ παρὰ τὸ γέα ὄντα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀνώγειος· βαθύγειος· εὔγειος· μεσόγειος· κατώγειος· ὑπέργειος· οὕτως καὶ ἔγγειος διὰ τῆς ει διφθόγγου.*

Ἐρωδιός: Τὸ *ρω μέγα σὺν τῷ ι· καὶ τὸ δι ι· ἡ παράδοσις· αἱ δὲ ἐτυμολογίαι διφοροῦνται.*

Ἑῷος: *Διὰ τοῦ ω, κτητικὸν γάρ.*

Ἐσθίω: Τὸ *τρώγω ψιλὸν τὸ ε· παρὰ τὸ ἔδω, τὸ σημαῖνον τὸ αὐτὸ, ἐξ οὗ καὶ τὸ ἐδωδή.*

Ἐσθής: Τὸ *ἱμάτιον, καὶ* Ἔσθημα *τὸ αὐτὸ διὰ τοῦ ε· παρὰ γὰρ τὸ ἕω, τὸ σημαῖνον τὸ ἐνδύομαι.*

Αἴσθησις *καὶ* Αἰσθητήριον: Αἰσθητὸς *καὶ* Αἰσθάνομαι, *καὶ ὅσα ὅμοια, διὰ τῆς αι διφθόγγου· παρὰ τὸ αἴω, τὸ σημαῖνον τὸ πνέω, πρὸς ἀντιδιαστολὴν τοῦ ἐνδύομαι.*

Ἑστία *καὶ* Ἑστιάτωρ: *Διὰ τοῦ ε ψιλοῦ.*

Ἥτις Ἀρετὴ *καὶ* Εἴτις Ἔπαινος: Τὸ *μὲν πρῶτον ἄρθρον· τὸ δὲ δεύτερον ἀντὶ τοῦ ἐάν.*

Εἰδῶν· Εἰδοῖς· Ἐπαΐειν· Ἐλιγήσεται.

Ἔρις, Ἔριδος· Ἐρίφια· Εἰκασμός· Ἐργαλεῖον.

Ἐλεγεῖον· Εἰκταῖος· Ἐξάπινα.

Εἰκαῖος: Σ*ημαίνει δὲ τὸν μάταιον, καὶ εἰκῆ.*

Ἑρμῆς: Ὁ *λόγος, ὡς ὅθεν καὶ* Ἑρμηνεῖα.

Εἴκω: Τὸ *ὁμοιῶ· ἐξ οὗ εἰκών·* Εἴκω *τὸ πρέπω· ἐξ οὗ εἰκότως·* Εἴκω *τὸ ὑποχωρῶ, ἐξ οὗ οἶκος.*

Ἥκω: Τὸ *ἔρχομαι, ἐξ οὗ ἥκω τὸ φέρω·* Ἵκω *τὸ παραγίνομαι.*

Εἴδω: Τὸ *βλέπω, ἐξ οὗ ἐστιν "εἶδον οἱ ὀφθαλμοί μου."*

Εἴδω: Τὸ *γινώσκω, ἐξ οὗ οἶδα·* Εἰδῶ *περισπώμενον τὸ γινώσκω, ἐξ οὗ "πάντες εἰδήσουσίν με ἀπὸ μικροῦ ἕως μεγάλου."*

Εἴδω: Τὸ ὁμοιῶ· ἐξ οὗ εἰδόμενος· Ἴδω τὸ γινώσκω, ἐξ οὗ ἴσω· Ἥδω τὸ εὐφραίνομαι, ἐξ οὗ ἧδαρ καὶ ἧδον.

Ἐπιτηδής: Ἔστιν ἔτης, ὃ σημαίνει τὸν συνήθη· οἷον,

κασιγνήτους τε ἔτας τε, (Il. Z. 239.)

ἀπὸ τοῦ ἔθους γεγενημένου ἐτητὴς ἐν παραγωγῇ, καὶ ἐτηδὴς, καὶ ἐν συνθέσει ἐπιετηδὴς, καὶ ἀποβολῇ τοῦ ε ἐπιτηδὴς, καὶ ἐπιτήδειος ἐξ αὐτοῦ· ἢ παρὰ τὸ ἥδω ῥῆμα, τὸ σημαῖνον τὸ τέρπω καὶ εὐφραίνω, ἡδὴς, καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπιηδὴς, καὶ προσθέσει τοῦ τ ἐπιτηδὴς, καὶ ἐπιτήδειος ἐξ αὐτοῦ.

Ζευγίσιον: Διὰ τοῦ ι γράφεται· τῷ χαρακτῆρι τῶν διὰ τοῦ ισιον διὰ τοῦ ε γραφομένων· οἷον, χαρίσιον· προβαλίσιον· Ἀρτεμίσιον· οὕτως καὶ ζευγίσιον· περὶ τῶν εσσιν ἐμάθομεν ἐν τοῖς Ἀρτεμισίου.

Ζεῖρα: Σημαίνει δὲ τὴν ζώνην, καὶ χιτῶνα, καὶ χλαμύδα· διὰ τῆς ει διφθόγγου γράφεται· παρὰ τὸ δεῖν, ὅ ἐστιν δεσμεύειν, γέγονεν, καὶ κατὰ μετάθεσιν τοῦ δ εἰς τὸ ζ ζεῖρα.

Ζειά: Δίφθογγος· ἔστιν δὲ εἶδος κριθῆς, ἤγουν ἡ αὐτὴ κριθή· ἔστιν δὲ παρὰ τὸ ζέειν· καὶ πλεονασμῷ τοῦ ι ζειὰ, ἤγουν ἡ τοῦ ζέειν ἡμᾶς αἴτιος, ἤγουν τοῦ ζῆν.

Ζείδωρος: Διὰ τῆς ει διφθόγγου· ἢ γὰρ παρὰ τὸ ζεῖ γέγονεν ζειόδωρος, καὶ κατὰ συγκοπὴν τοῦ ο ζείδωρος· ἢ παρὰ τὸ ζῆν γέγονεν ζήδωρος, οἱονεὶ ἡ τὰ πρὸς τὸ ζῆν δωρουμένη· τοῦ η εἰς τὴν ει δίφθογγον μετατεθέντος Βοιωτικῶς· ἢ παρὰ τὸ ζέειν ζεέδωρος, κατὰ κρᾶσιν τῶν δύο εε εἰς τὴν ει δίφθογγον· ζείδωρος.

Ζώνιον: ι· ὑποκοριστικὸν γάρ· τοῦτο ἐπὶ γυναικῶν μᾶλλον τίθεται.

Ζήτρειον: Διὰ τῆς ει διφθόγγου· σημαίνει δὲ τὸ τῶν δούλων δεσμοτήριον, τὸν κοῦσπον, ἢ τὸν μύλωνα· ἐκεῖ γὰρ ἐδεσμεύοντο οἱ δοῦλοι· παρὰ γὰρ τὸ δεῖν τὸ δεσμεύειν, καὶ τὸ τρεῖν, ὅ ἐστιν τὸ φοβεῖσθαι, γέγονεν ζήτρειον· μετατεθέντος τοῦ δ εἰς τὸ ζῆτα, καὶ τῆς ει διφθόγγου εἰς τὸ η· ὥσπερ πλείων, πλήων· μείων, μήων· ἢ παρὰ τὸ ζα τὸ ἐπιτατικὸν μόριον, ἐξ οὗ τὸ ζαπλοῦτε, καὶ τὸ τρεῖν, τὸ ὄντως φοβεῖσθαι, γέγονεν ζάτρειον, καὶ ζήτρειον.

Ζύγιον : ι· ὑποκοριστικὸν γὰρ τὸ τοῦ ζυγοῦ.

Ζωάγρια : Ἡ παράδοσις.

Ζῷσον : Τὸ ζω μέγα σὺν τῷ ι· τὸ ο μικρὸν, ἀπὸ γὰρ τοῦ ζῶ ῥήματος γέγονεν.

Ζωΐδιον : Τὸ μὲν τὸ δι ι· ὑποκοριστικὸν γάρ.

Ζεύγνυσι καὶ Ζευγνῦσι : Καὶ τὸ μὲν ἑνικὸν προπαροξύνεται, τὸ δὲ πληθυντικὸν προπερισπᾶται· οὕτως καὶ ῥήγνυσι καὶ ῥηγνῦσι.

Ἡρωΐνη : Τὸ ρω μέγα· τὸ ινη διὰ τοῦ ι· τὰ γὰρ διὰ τοῦ ινη ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, Ἀρίνη· Παλαιστίνη· Ἀδριστίνη· Ὠκεανίνη· Αἰητίνη· οὕτως καὶ ἡρωΐνη.

Ἡμῖν : Διὰ τοῦ ι· ἄμμι γὰρ λέγουσιν οἱ Αἰολεῖς βαρυτόνως καὶ συστέλλοντες τὸ ι· ἧμιν λέγουσιν οἱ Ἴωνες προπερισπωμένως· καὶ ἁμῖν λέγουσιν οἱ Δωριεῖς· ἔστιν οὖν καὶ ἡμῖν περισπώμενον διὰ μακροῦ τοῦ ι.

Ἡμετέρειος : Ἔστιν δὲ κτητικὸν, καὶ σημαίνει τὸν τοῦ ἡμετέρου, διὰ τῆς ει διφθόγγου· ὥσπερ γὰρ ἀπὸ τοῦ Ἀρίσταρχος γίνεται Ἀριστάρχειος διὰ τῆς ει διφθόγγου, οὕτως καὶ ἀπὸ τοῦ ἡμέτερος, ἡμετέρειος· ἔστιν δὲ κανὼν λέγων· τὰ διὰ τοῦ ρειος ἀπὸ τῶν εἰς ρος ἐχόντων τὸ τ τῆς προηγουμένης συλλαβῆς, ἔχουσι τὸ ει διὰ τῆς ει διφθόγγου γραφόμενον· οἷον, ἀβέλτερος, ἀβελτέρειος· ἕτερος, ἑτέρειος· οὕτως καὶ ἡμέτερος, ἡμετέρειος διὰ τῆς ει διφθόγγου· ἔχει γὰρ τὸ τ καὶ τὸ ε ἐν τῇ πρώτῃ συλλαβῇ.

Ἠτίς : Ὄνομα πόλεως, διὰ τοῦ ι τὸ τις· Ἠτεῖος· σημαίνει δὲ τὸν πολίτην.

Ἡρακλειώτης : Τὸ κλει δίφθογγος, Ἡρακλεῖα γάρ· οὕτως ἡ παράδοσις.

Ἠθεῖος : Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ θεὸς γέγονεν θέϊος, καὶ κατὰ συναίρεσιν τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον θεῖος, καὶ κατὰ πλεονασμὸν τοῦ η ἠθεῖος· ὥσπερ βαιὸν, ἠβαιόν· γέγονεν δὲ πάλιν ἀπὸ τοῦ ἔθος, ἐθεῖος, καὶ ἠθεῖος· ἢ ἀπὸ τοῦ ἦθος γέγονεν ἠθεῖος· σημαίνει δὲ φιλοφρόνησιν ἀπὸ νεωτέρου εἰς παλαιότερον.

Ἠχήεις: Ἠχήεντος γὰρ ἡ γενικὴ, καὶ ἠχῆεν τὸ οὐδέτερον.

Ἡρακλείη: Δίφθογγος κατὰ τὴν παραλήγουσαν· ἀπὸ γὰρ τοῦ Ἡρακλῆς γίνεται Ἡρακλεῖος κτητικὸν διὰ τῆς ει διφθόγγου· καὶ λοιπὸν τὸ θηλυκὸν Ἡρακλεῖα διὰ τῆς ει διφθόγγου· οἷον, Ἡρακλεῖα χεῖρ· καὶ ἐκ τούτου γίνεται Ἡρακλείης, κατὰ μετάθεσιν τοῦ α εἰς τὸ η.

Ἤπειρος: Ἤπειρος δὲ λέγεται ἡ γῆ· γράφεται δὲ τὸ μὲν η ἐκ τοῦ α τοῦ στερητικοῦ, ἄπερος γὰρ λέγεται κατὰ ἐτυμολογίαν· τὸ δὲ πει δίφθογγος, ὅτι ἔχει ἀπὸ πρωτοτύπου φωνῆς τὸ ε· πέρας γὰρ οὐκ ἔχει, ἄπερός τις οὖσα καὶ ἤπειρος· φασὶν οἱ Δωριεῖς τρέπειν τὴν ει δίφθογγον εἰς τὸ η, ὥσπερ πλείων, πλήων· ἔστιν δὲ παρὰ τὸ α τὸ στερητικὸν μόριον καὶ τὸ πέρας.

Ἡμεῖς: Δίφθογγος· ἄμες γὰρ λέγουσιν οἱ Δωριεῖς, καὶ ἄμμες οἱ Αἰολεῖς.

Ἤκας: Ὁ κληθεὶς καὶ ἐπακούσας, η.

Ἡνία: Τὸ ἐπὶ τῶν λώρων διὰ τοῦ η γράφεται ἡ ἄρχουσα, παρὰ γὰρ τὸ ἀνύειν γέγονεν ἀνίον καὶ ἡνίον· καὶ γὰρ διὰ τῶν λώρων τῶν ἱππέων ἀνύομεν.

Ἡμίσεια: Ἀπὸ τοῦ ἥμισυς καὶ τὸ οὐδέτερον δῆλον ἐστὶν, ἡμίσεα γὰρ καὶ θήλεα.

Ἥφαιστος· Ἡμισσαῖος· Ἡράκλειος: ει· παρὰ γὰρ τὸ κλέος.

Ἤιομεν ὡς ἐκέλευσας: Ἀπὸ τοῦ εἴω τοῦ πορεύομαι, τροπῇ τοῦ ε εἰς η, καὶ ἔχει καὶ τὸ ι προσγεγραμμένον.

Θίς: Διὰ τοῦ ι· σημαίνει δὲ τὸν αἰγιαλὸν καὶ τὸν σωρόν· γράφεται δὲ διὰ τοῦ ια ὡς δικατάληκτον.

Θέτις: Ἀπὸ τοῦ Θέτις, Θέτιδος, καὶ Θέτιος, κατὰ ἀποβολὴν τοῦ δ, καὶ Θέτιδι καὶ Θέτιι, καὶ κατὰ κρᾶσιν τῶν δύο ιι εἰς ἓν ι μακρὸν, Θέτι.

Θερσίτης: ι ὡς παρώνυμον· ἔστιν δὲ παρὰ τὸ θέρω, ὃ σημαίνει τὸ θερμαίνω, ῥηματικὸν ὄνομα· θερμὸς γὰρ καὶ προπετὴς ἦν· ἢ ἀπὸ τοῦ Θέρσου Αἰολίου γέγονεν Θερσίτης.

Θρίαι: Σημαίνει δὲ τὰς μαντικὰς ψήφους· γράφεται δὲ

διὰ τοῦ ι παρὰ τὸ τρισσόν· ἔστιν δὲ τὸ τρισσὸν διὰ τοῦ ι γραφόμενον, ἐπειδὴ οὐδέποτε πρὸ τῶν δύο σσ δίφθογγος εὑρίσκεται· οἷον, ἐλίσσω· μελίσσω· κισσός· χωρὶς τοῦ κρείσσων, καὶ τοῦ ῥήματος κρεισσῶ.

Θρίναξ: *Σημαίνει δὲ τριενοειδὲς ἐργαλεῖον ἐργατικὸν, διὰ τοῦ ι δὲ γράφεται· παρὰ γὰρ τὸ τρι γέγονεν τρίναξ, καὶ θρίναξ, κατὰ μετάθεσιν τοῦ ψιλοῦ εἰς δασύ· καὶ πάλιν τὰ εἰς αξ διὰ τοῦ ι γράφεται· τὰ γὰρ εἰς αξ ἀποστρέφονται τὴν ει δίφθογγον κατὰ τὴν παραλήγουσαν· οἷον, Φαίαξ· κλίμαξ· κόραξ· θρίδαξ· πλὴν τοῦ μείραξ, καὶ τοῦ λείμαξ, σημαίνει δὲ τὸν λειμῶνα· καὶ τοῦ ἐν συνηθείᾳ λεγομένου λείαξ.*

Θρινακρία: *Διὰ τοῦ ι· σημαίνει δὲ τὴν Σικελίαν· ὥσπερ οὖν ἀπὸ τοῦ Φρυγὸς γίνεται Φρυγία, καὶ κατὰ Φαίακος, Φαιακία, οὕτως καὶ ἀπὸ θρίναξ, θρίνακος, Θρινακία, ἡ παράδοσις· τὸ ἐκ τριῶν συγκεῖσθαι ἄκρων λέγεται θρινακία, οἱονεὶ τρινακρία τις οὖσα· καὶ γὰρ τρία ἀκρωτήρια ἔχει ἡ Σικελία· ἔστιν δὲ ταῦτα, Λιλύβαιον· Πάχυνον· Πέλωρον.*

Θρίψ: *Σημαίνει δὲ εἶδος σκώληκος, διὰ τοῦ ι γράφεται· καὶ γὰρ τὰ εἰς ψ λήγοντα πᾶσαν δίφθογγον ἀποστρέφονται· Λίψ· αἰγιλίψ· Κίνυψ· Κύκλωψ· Πέλωψ· οὕτως καὶ θρὶψ διὰ τοῦ ι.*

Θριδακίνη: *Διὰ τοῦ ι ἡ παραλήγουσα, τῷ λόγῳ τῶν διὰ τοῦ ινη· σημαίνει δὲ τὸ λάχανον, ὅπερ ἐν τῇ συνηθείᾳ θοδράκιον λεγέται· σημαίνει δὲ καὶ μαζόν.*

Θρία: *Σημαίνει δὲ τὰ τῆς συκῆς φύλλα, διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ τρι γέγονεν, κατὰ μετάθεσιν τοῦ τ εἰς τὸ θ· καὶ γὰρ τὸ φύλλον τῆς συκῆς τριμερές ἐστιν.*

Θλίβω: *ι· τὰ γὰρ εἰς βω λήγοντα ῥήματα οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· πλὴν τοῦ στείβω· ἀμείβω· εἴβω, τοῦ ἐκ τοῦ λείβω γινομένου· εἴσιν δὲ παραδείγματα· στίλβω· βίβω· τρίβω· φέρβω· σέβω· βαβῶ σημαίνει δὲ τὸ καθεύδω· καὶ ἄλλως τὸ β κατὰ πάντα οὐ θέλει ἔχειν τὴν ει δίφθογγον προηγουμένην· οἷον, λίβανον· λίβας· κιβωτὸς, καὶ τὰ ὅμοια· εἰ δέ που εὑρεθῇ τὸ β ἔχον τὴν εἰ δίφθογγον προηγουμένην, γνῶθι*

ὅτι ἐν ῥήματι ἐστὶν ἔχοντι τὸ ο ἀντιπαρακείμενον διὰ τῆς οι διφθόγγου· οἷον, ἀμείβω· ἀμοιβή· λοιβή· στοιβή.

Θειλόπεδον: Σημαίνει δὲ τὸν τόπον ἔνθα ξηραίνονται αἱ σταφυλαί· διὰ τῆς ει διφθόγγου τὸ θει· παρὰ γὰρ τὸ ἕλη, τὸ σημαῖνον τὴν θερμασίαν, γέγονεν εἵλη διὰ τῆς ει διφθόγγου κατὰ πλεονασμὸν τοῦ ι· καὶ πάλιν ἀπὸ τοῦ εἵλη καὶ τὸ πέδον, τοῦ σημαίνοντος τὸ χαμηλὸν, γέγονεν εἱλόπεδον, καὶ πλεονασμῷ τοῦ θ θειλόπεδον.

Θεῖος: Παρὰ τὸ θεὸς, θέϊος, καὶ θεῖος κατὰ συναίρεσιν.

Θεισεῖον: Διὰ τῆς ει διφθόγγου· τὰ γὰρ ἀπὸ τῶν εἰς ευς διὰ τοῦ ειον παραγόμενα, διὰ τῆς ει διφθόγγου γράφεται· κουρεὺς, κουρεῖον· βαφεὺς, βαφεῖον· κναφεὺς, κναφεῖον· οὕτως καὶ Θησεὺς, Θησεῖον· ὡς μονογενὲς δὲ, καὶ προπερισπώμενον, καὶ ὡς οὐδέτερον· πρόσκειται μονογενὲς διὰ τὸ βασιλεὺς, βασίλειον· τοῦτο γὰρ οὐ προπερισπώμενόν ἐστιν, οὐ μονογενὲς, ἀλλὰ τριγενές· βασίλειος οἶκος· βασιλεῖα χείρ· καὶ βασίλειον οἴκημα· λέγεται δὲ καὶ Θησίον.

Θεῖα: Παρὰ τὴν θεὰν, θέϊα, καὶ θεῖα· ὥσπερ καὶ τὸ θεῖος.

Θείνω: Σημαίνει δὲ τὸ τύπτω· ἐφάνη γὰρ τὸ ε ἐν τῷ μέλλοντι, θένος γάρ.

Θαλία: Ἐπὶ τῆς ἀνέσεως ἢ εὐωχίας ι· ἐπιθετικῶς δὲ ει δίφθογγος.

Θεμέλιον: ι· παρὰ τὸ θήσομαι θεμέλιον, ὡς κειμήλιον ἥλιον.

Θεῖναι· ει δίφθογγος· ἀνεφάνη γὰρ ἐν τῷ ἔθεμεν τὸ ε.

Θάλεια· Θέρεια: Τῷ λόγῳ τῶν διὰ τοῦ εια προπερισπωμένων· καὶ ἄλλως, ὡς παρὰ τὸ ἐνεργῶ, ἐνέργεια, οὕτως καὶ παρὰ τὸ θαλῶ, θάλεια· καὶ θερῶ, θέρεια.

Θερείβοτον: Παρὰ γὰρ τὴν δοτικὴν τοῦ θέρους ἐκεῖθεν γέγονεν θέρει ἐστιν, καὶ τὸ βότον, τὸ σημαῖνον τὴν βοσκὴν, γέγονεν θερείβοτον.

Θιασώτης: ι· ἀπὸ τοῦ ἐνθεάσας θεασμὸς πρόσκειται.

Θίασος: ι καθαρόν· τὰ ἔχοντα ἢ μακρὸν τὸ α, ἢ δύο σσ, ὀξύνονται· οἷον, Καρνασός· Ἁλικαρνασσός.

Θωπεῖα θωπεύω γάρ· Θλίψις: Θυείδιον δίφθογγος ἡ δεύτερα συλλαβή· καὶ γὰρ ἡ θύεια τρισύλλαβος διὰ τῆς ει διφθόγγου· ἡ παράδοσις.

Θήλεια: Τὰ ἀπὸ τῶν εἰς υς.

Θυμοβορείων: ει δίφθογγος· θυμοβορέων γάρ.

Θωρακεῖον: Δίφθογγος· τὰ γὰρ ὑπὲρ τρεῖς συλλαβὰς μοναδικὰ, μὴ ὄντα ἐπὶ τεμένων, ἢ κατὰ τοιαῦτα, ὡς τὸ μαγειρεῖον· μορμολυκεῖον.

Θρόνος: Τὰ εἰς νος δισύλλαβα τὸ ο παραλήγονται· οἷον, θρόνος· κτόνος· φόνος· πλὴν τοῦ βῶνος.

Θεαρχίω: ι ἐκ παραδόσεως· Θυρέος· Θόρυβος μικρόν· παρὰ τὸ θέω τὸ τρέχω.

Θῶραξ: Θόλος ὁ οἶκος, καὶ Θολὸν τὸ τεταραγμένον.

Θυρεός· Θημωνία: Θύννα ἡ θῦνα· Θηβαῖος.

Θεωρήμων: Παρὰ τὸ θεωρός· τὰ γὰρ εἰς ρος ὀξύτονα τὸ ω παραλήγονται· ἐκ τούτου γίνεται ῥῆμα θεωρῶ, θεωρήσω, τεθεώρηκα, τεθεώρημαι, θεωρήμων.

Ἶνες: Διὰ τοῦ ι ὡς δικατάληκτον· ἀπὸ γὰρ τοῦ ἶς ἶνες τὸ πληθυντικόν.

Ἴδον: Ὁ β ἀόριστος· Εἴδω γὰρ τὸ θέμα· Ἰδεῖν καὶ Ἰδέα καὶ Ἰδομενεύς.

Ἶνις: Σημαίνει δὲ τὸν υἱὸν, διὰ τοῦ ι· ἢ γὰρ παρὰ τὸ ἶσον γέγονεν, δύναμις γὰρ τῶν πατέρων οἱ υἱοί· ἢ παρὰ τὸ ἰαίνειν γέγονεν· καὶ γὰρ τὰ τέκνα τοὺς πατέρας εὐφραίνουσιν· ἢ παρὰ τὸ ἰνοῦν, τὸ σημαῖνον τὸ θηλάζειν.

Ἰλισός: Ἔστιν δὲ ὁ ποταμός· διὰ τοῦ ι τὸ λι· ἐπειδὴ τὰ εἰς ος ἐπὶ ποταμῶν καὶ ὀξύνονται, καὶ διὰ τοῦ ι γράφεται· οἷον, Ἀνισός· Κνιφισός· καὶ ἡ πρώτη διὰ τοῦ ι· τὰ γὰρ ἀμφιβαλλόμενα· καὶ ἄλλως· τὰ εἰς υς οὐ θέλουσιν τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, Ἐρινύς· πιτύς.

Ἰλεός: Σημαίνει δὲ τὸν φωλεὸν καὶ τὴν κατάδυσιν· καὶ γὰρ τὰ παρὰ τὸ εἰλῶ παράγωγα ὀνόματα διὰ τοῦ ι γράφεται· οἷον, ἰλύς· ἴλης σημαίνει δὲ τὴν ἄθροισιν.

Ἴλος: ι· καὶ γὰρ τὰ διὰ τοῦ ιλος βαρύτονα, μὴ ὄντα οὐ-

δέτερα, μὴ σύνθετα ἀπὸ ὀνομάτων ἐχόντων τὴν ει δίφθογγον, ἀποστρέφονται τὴν ει δίφθογγον πλὴν τοῦ Νεῖλος· οἷον, Τρωΐλος· Ζωΐλος καὶ Ἶλος διὰ τοῦ ι.

Ἱλτόν : ι ἔδειξεν γὰρ ἐν τῷ ἰλύς.

Ἱβιών : Πόλις ἐν Αἰγύπτῳ ὀξυτόνως λεγομένη· μᾶλλον δὲ νῆσος.

Ἶρις : Σημαίνει δὲ καὶ τὴν ἄγγελον τῶν θεῶν, καὶ τὸ τόξον ἐν τῷ οὐρανῷ φαινόμενον, διὰ τοῦ ι· ἐπειδὴ τὰ εἰς ρις θηλυκὰ ῥηματικὰ δισύλλαβα βαρύτονα ἑνὶ φωνήεντι παραλήγεται· χαίρω, χάρις· εἴρω, ἔρις· κυρίως γὰρ ἡ μάχη ἡ διὰ λόγων γενομένη· δαίω, σημαίνει δὲ τὸ κόπτω, δαῒς καὶ κατὰ τροπὴν τοῦ α εἰς η δῆς, καὶ κατὰ πλεονασμὸν τοῦ ρ δῆρις, οὕτως καὶ ἀπὸ τοῦ εἴρω, τοῦ σημαίνοντος τὸ λέγω, γέγονεν Ἶρις.

Ἶβις : Ἔστιν δὲ εἶδος ὀρνέου, ι· τὰ γὰρ ἀμφιβαλλόμενα.

Ἶφις : Τὸν αὐτὸν κανόνα.

Ἶεις· Ἔστιν δὲ ὁ δαίμονος διὰ τοῦ ι· παρὰ γὰρ τὸ ἴεσθαι, ὅ ἐστιν πλανᾶσθαι· καὶ ἄλλως· τὰ ἀμφιβαλλόμενα.

Ἴβυκος : Παρὰ τὸ Ἶβυξ· καὶ ἄλλως· τὰ ἀμφιβαλλόμενα.

Ἶρις : ι ἡ παράδοσις· ἢ κατὰ τὸν κανόνα τοῦτον· τὰ ἀμφιβαλλόμενα.

Ἶρος : ι ἡ παράδοσις· ἢ τὸν αὐτὸν κανόνα.

Ἱστάμενος : Ὁμοίως· παρὰ τὸ ἱέναι.

Ἰλίων : ι τὰ ἀμφιβαλλόμενα· τὸ δὲ δεύτερον τὸν κανόνα τοῦ Ἀμφίων· σημαίνει δὲ τὸν σύγγαμβρον.

Ἰξίων : Καὶ κατὰ τὴν λήγουσαν, καὶ κατὰ τὴν παραλήγουσαν τὸν αὐτὸν κανόνα· ὥσπερ δὲ ἀπὸ τοῦ ἄγω, ἄξω, γίνεται ἄξιος, οὕτως καὶ ἀπὸ τοῦ ἴκω, ἴξω, γίνεται ἴξιος· οὐδέποτε δὲ τὸ ι καὶ τὸ υ πρὸ τοῦ ξ εὑρίσκονται φύσει μακρὰ, χωρὶς εἰ μὴ λόγῳ ἀρχούσης παρῳχημένου, ὡς τὸ ἰξεύω, ἴξευον· οἷον, φοίνιξ· κήρυξ.

Ἱδίω : Σημαίνει δὲ τὸ ἱδρῶ, διὰ τοῦ ι κατὰ τὴν ἄρχουσαν καὶ κατὰ τὴν παραλήγουσαν· ἡ μὲν πρώτη ὅτι ἀπὸ τοῦ ὕδωρ γέγονεν ὑδρῶ, καὶ τροπῇ τοῦ υ εἰς ι ἱδρῶ· κατὰ δὲ τὴν παραλήγουσαν, ὅτι ἀπὸ τοῦ ἱδρῶ γέγονεν ἱδριῶ κατὰ πλεονασμὸν

τοῦ ι καὶ ἀποβολὴν τοῦ ρ, ἰδίω· τὸ δὲ ι πέφυκεν πλεονάζειν ἐν τοῖς ῥήμασιν· οἷον, ἐρεύθω, ἐρευθίω· στῶ, ἱστῶ· χρῶ, κιχρῶ· δῶ, διδῶ.

Ἶνα: Ἔστιν δὲ ὀνόματος, διὰ τοῦ ι· ἀπὸ γὰρ τοῦ ἶς ἰνὸς γέγονεν.

Ἰχανόω: ι κατὰ τὴν ἀφαίρεσιν τοῦ λ παρὰ τὸ λίαν ἔχεσθαι, ἢ ἰσχανόω ἦν, καὶ ἐπὶ τῇ ἐνδείᾳ τοῦ σ τέταται τὸ ι, ὡς καὶ τὸ γινώσκω, γνώσκω.

Ἰνωπός: Ἔστιν δὲ ὄνομα ποταμοῦ, διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ ἶς ἰνὸς, ὃ σημαίνει τὴν δύναμιν, καὶ παρὰ τὸ ὂψ ὀπὸς, ὃ σημαίνει τὴν φωνὴν, γέγονεν Ἰνωπὸς ἐκτάσει τοῦ ο παρακολούθως εἰς τὸ ω.

Ἴναχος: Ὄνομα ποταμοῦ, διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ ἶς ἰνὸς, τὸ σημαῖνον τὴν δύναμιν, καὶ τὸ χεύεσθαι γέγονεν Ἴναχος· οἱονεὶ, ὁ μετὰ δυνάμεως χεόμενος.

Ἰαπετός: Ὄνομα κύριον διὰ τοῦ ι γράφεται· παρὰ τὸ ἴπτω, τὸ σημαῖνον τὸ βλάπτω, γέγονεν ἰπετὸς, καὶ κατὰ πλεονασμὸν τοῦ α Ἰαπετός· τὸ δὲ ἴπτω διὰ τοῦ ι γράφεται· τὰ γὰρ εἰς πτω ῥήματα οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι.

Ἰδομενεύς: ι παρὰ τὴν ἴδην καὶ τὸ μένος· οἱονεὶ, ὁ ἔχων δύναμιν.

Ἱμάτιον: Διὰ τοῦ ι γράφεται καὶ τὰ παρ' αὐτὸ πάντα· οἷον, ἱμάτιαι πόλεις· ἱματιοφόρος καὶ ἱματιοπώλης· γράφεται δὲ διὰ τοῦ ι, δῆλον ἐκ τοῦ γίνεσθαι αὐτὸ κατὰ συναίρεσιν τοῦ ο καὶ ι εἰς τὴν οι δίφθογγον· εἰ δὲ ἐγράφετο διὰ τῆς ει διφθόγγου, θουμάτιον εἶχεν εἶναι κατὰ κρᾶσιν τοῦ ο καὶ ε εἰς τὴν ου δίφθογγον.

Ἰσαῖος· Ἰσίδωρος: Διὰ τοῦ ι τὰ δύο, παρὰ τὴν Ἶσιν καὶ τὸ δῶρον.

Ἵκω: Διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ ἥκω τὸ διὰ τοῦ η· οἷον,

Ἥκω νεκρῶν κευθμῶνα [f],

γέγονεν ἵκω κατὰ τροπὴν τοῦ η εἰς ι· ἰστέον δὲ ὅτι τὸ ἵκω διὰ

[f] Eurip. Hec. 1.

τοῦ ι γράφεται ποιητικῶς ἐν τοῖς ἐνεργητικοῖς· οἷον, ἵκει· τὸ διὰ τοῦ η δὲ γραφόμενον πεζολόγων ἐστὶν καὶ ἰαμβογράφων· ἐν δὲ ταῖς παθητικαῖς φωναῖς καθόλου διὰ τοῦ ι γράφεται· οἷον, ἀφίγμαι, ἀφίκται.

Ἵμερος: ι· παρὰ γὰρ τὸ ἵκεσθαι τὸ σημαῖνον τὸ προθυμεῖσθαι.

Ἱμείρω: ι· σημαίνει δὲ τὸ ἐπιθυμῶ, διὰ τοῦ ι γράφεται κατὰ τὴν ἀρχὴν, ὡς ἀπὸ τοῦ ἵμερος γεγονώς.

Ἵετο: ι· παρὰ γὰρ τὸ ἵημι, τὸ σημαῖνον τὸ προθυμοποιοῦμαι, ἢ τὸ πέμπω· ἵημι ι· ἀπὸ διπλασιασμοῦ γὰρ ἔχει το ι· οἷον, ὦ, ἰῶ, ἵημι· δῶ, διδῶ, δίδωμι.

Ἰσχανόω: Σημαίνει δὲ τὸ ἐπιθυμῶ, καὶ γὰρ πολλάκις τὸ ε ἐν τοῖς ῥήμασιν ἐπιφερομένων δύο συμφώνων τρέπεται εἰς τὸ ι· οἷον, τέκω, τίκτω· οὕτως καὶ ἔχω, ἴσχω, διὰ τοῦ ι· ὥσπερ ἀπὸ τοῦ φῶ γίνεται φαίνω, καὶ παμφαίνω, καὶ ἐκεῖθεν ὁ μέλλων παμφανῶ, οὕτως καὶ ἀπὸ τοῦ ἰσχῶ γίνεται ἰσχαίνω, καὶ ἐκεῖθεν ὁ μέλλων ἰσχανῶ, ἀποβληθέντος τοῦ σ, καὶ ἐκταθέντος τοῦ ι.

Ἰός: Σημαίνει δὲ τὸ βέλος, διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸν ὄντα ἰὸν τοῦ ὄφεως γέγονεν· καὶ γὰρ ἔχριον τὰ βέλη ἀπὸ τοῦ ἰοῦ τοῦ ὄφεως, ἵνα τιτρωσκόμενός τις εὐθέως ἀναιρέθῃ· ἢ παρὰ τὸ ἰέναι γέγονεν, καὶ γὰρ λίαν πορεύεται τὸ βέλος· τὸ δὲ ἰέναι διὰ τοῦ ι γράφεται, ἐπειδὴ ἀπὸ τοῦ ἵημι ἐστίν· καὶ ἀπὸ τοῦ ισον μικρόν.

Ἴκτερος: ι, ὡς νύκτερος.

Ἰοχέαιρα: ι· ἡ τῷ ἰῷ χαίρουσα.

Ἶπος: Σημαίνει δὲ τὴν παγίδα τῶν μυῶν, ι· παρὰ γὰρ τὸ ἴπτω γέγονεν, τὸ σημαῖνον τὸ βλάπτω· τὰ γὰρ εἰς πτω οὐ θέλουσι διφθόγγῳ παραλήγεσθαι.

Ἱμονία: Σημαίνει δὲ τὸ θέρμα, εἰς ὃ ἀντλοῦσι τὸ ὕδωρ· διὰ τοῦ ι· παρὰ γὰρ τὸ ἱμὰς, ἱμάντος γέγονεν.

Ἀνιμῶμαι: Διὰ τοῦ ι· παρὰ γὰρ τὸ ἱμάς.

Ἱρός: Σημαίνει δὲ τὸν ἱερὸν, διὰ τοῦ ι γράφεται· ἀπὸ γὰρ τοῦ ἱερὸς γέγονεν ἱρὸς κατὰ κρᾶσιν τοῦ ι καὶ ε εἰς ι μακρόν·

ἰστέον ὅτι ἡνίκα τὸ ε ἐπιφέρηται, τὸ ι ἐπικρατῇ· οἷον, ἱρός· ἡνίκα δὲ τὸ ε ἐν διφθόγγῳ ἐστίν, τότε δίφθογγος ἐπικρατεῖ· οἷον, οἱγίεια, οἱγεῖα [g].

Ἶσος καὶ Ἴσανδρος: *Ἐξ αὐτοῦ διὰ τοῦ ι γράφεται κατὰ παράδοσιν.*

Ἰχώρ: *Σημαίνει δὲ τὸ σεσηπὸς αἷμα, διὰ τοῦ ι γράφεται· παρὰ τὸ ἴσχω, τὸ σημαῖνον τὸ λεπτύνω, καὶ ἰσχαίνω γίνεται ἰσχὼρ, τὸ λεπτῦνον τὸ σῶμα ἐν τῷ καταστάζειν· καὶ ἀφαιρέσει τοῦ σ ἰχώρ.*

Ἰτέα: *Διὰ τοῦ ι· παρὰ γὰρ τὸ ἰέναι ἐστίν· καὶ γὰρ ταχέως αὔξεται· κατὰ τὸν τοῦ ἰὸς τὸν κανόνα.*

Ἴπτω: *Σημαίνει δὲ τὸ θλίβω, διὰ τοῦ ι ὡς ἐδείξαμεν.*

Ἱλεόμενοι: *Ἐπὶ τοῦ ἱλασκόμενοι.*

Ἴληθι: *Διὰ τοῦ ι γράφεται· γέγονεν δὲ παρὰ τὸ ἱλαρὸς, καὶ γὰρ ὁ εὐμενὴς ἱλαρός.*

Εἵλαθι: Οἱ Αἰολεῖς *γὰρ ἔλλαθι λέγουσιν.*

Ἴω: Τὸ *ἴω διὰ τοῦ ι· ἔστιν καὶ εἴω διὰ τῆς ει διφθόγγου· καὶ τὰ μὲν ἑνικὰ τοῦ εἰμὶ, ἀπὸ τοῦ εἴω, τοῦ διὰ τῆς ει διφθόγγου γέγονεν· τὰ δὲ δυικὰ καὶ πληθυντικὰ ἀπὸ τοῦ ἴω, τοῦ διὰ τοῦ ι γραφομένου· οἷον, δυϊκά· ἴτον, ἴτον· πληθυντικά· ἴμεν, ἴτε, ἴσιν, καὶ πλεονασμῷ τοῦ α ἴασιν.*

Ἶφι: *Σημαίνει δὲ τὸ ἰσχυρῶς· ὥσπερ γὰρ ἀπὸ τοῦ νόστος, νόστου, γέγονεν νοστόφι· οὕτως καὶ ἀπὸ τοῦ ἶς, ἰνὸς, γίνεται ἰνόφι, καὶ κατὰ συγκοπὴν ἶφι· τὸ δὲ ἶς διὰ τοῦ ι γράφεται ὡς δικατάληκτον· πάντα δὲ τὰ δικατάληκτα διὰ τοῦ ι γράφεται.*

Ἴψ: *Διὰ τοῦ ι· σημαίνει δὲ εἶδος σκώληκος· τὰ γὰρ εἰς ψ λήγοντα ἅπασαν δίφθογγον ἀποστρέφονται· γέγονεν δὲ παρὰ τὸ ἴπτω, σημαίνει δὲ τὸ βλάπτω· οἷον, ἶψ, ἰπός· ἰστέον δὲ ὅτι τὸ θρὶψ, θριπὸς, κληθέν· θρῖπες δέ εἰσιν οἱ σκώληκες οἱ ἐσθίοντες τὰ ξύλα· σῆτες δὲ οἱ ἐσθίοντες τὰ ἱμάτια· ἶπες δὲ οἱ ἐσθίοντες τὰ κόατα* [h], *ἶκες δὲ οἱ ἐσθίοντες τὰς ἀμπέλους.*

g Leg. *ὑγίεια, ὑγεῖα.* h Leg. *κέρατα* cum Etym. M. p. 481, 5.

Ἴγδης: Διὰ τοῦ ι ἡ ἄρχουσα, καὶ ἡ τελευταῖα, διὰ τοῦ η.

Ἰλύς: Σημαίνει δὲ τὴν ἄθροισιν, διὰ τοῦ ι γράφεται· τὰ γὰρ παρὰ τὸ εἰλῶ παραγόμενα, ἢ σύνθετα ὀνόματα, μὴ κατὰ τὸ ἄρχον μέρος, διὰ τοῦ ι γράφεται.

Ἰλὺς, Ἰλέος: Σημαίνει δὲ τὴν κατάδυσιν.

Ἵλαος: Παρὰ τὸ ἱλαρός· οἱ γὰρ Αἰολεῖς ἴλλαος λέγουσιν, καὶ οὐχὶ ἔλλαος.

Ἴασος: ι καὶ ἴσος· παρὰ τὸ ἰάσω μέλλοντα, ἐξ οὗ τὸ ἰάσομαι· ἢ παρὰ τὸ κρίασον, ἴασος.

Ἰάσων: μακρὸν τὸ α· παρὰ τὸ ἰῶ, ἰάσω μέλλοντα γέγονεν Ἰάσων, καὶ Ἰάσονος μικρὸν, ὡς μακρὸν τὸ α.

Ἰθύς: ι· ἢ γὰρ καὶ τὸ ἴσον, ἢ τὸν κανόνα· τὰ ἀμφιβαλλόμενα.

Ἰθύνω: Παρὰ τὸ ἰθὺς, ἰθύνω, καὶ ὁ μέλλων ἰθυνῶ.

Ἰλαδόν: Σημαίνει δὲ τὸ ὁμοῦ, διὰ τοῦ ι γράφεται· παρὰ τὸ ἴλη, τὸ σημαῖνον τὴν ἄθροισιν, γέγονεν, ὅπερ διὰ τοῦ ι γράφεται.

Ἰδικῶς: Ἀπὸ γὰρ τοῦ ἴδιον· ὅταν δὲ εἰδικόν ἐστιν, λέγομεν τὸ διαιρούμενον ἐκ τοῦ γένους, διὰ τῆς ει διφθόγγου γράφεσθαι· τὸ δὲ ἴδιον ι, ἐπεὶ καὶ συστέλλεται.

Ἴγνητες: ι· οἱ γνήσιοι.

Ἵππος: ι· πρὸ γὰρ τῶν δύο ππ ἡ ει δίφθογγος οὐκ ἔστιν· ἢ παρὰ τὸ ἵπτασθαι τοῖς ποσίν.

Ἰσαῦρα: ι· ἡ πόλις, καὶ Ἰσαυρία.

Ἰθύφαλον: ι· καὶ Ἰθυφαλία μέτρον ι· ἡ παράδοσις.

Ἱέρεια: Διὰ τοῦ ι ἡ ἄρχουσα κατὰ παράδοσιν, καὶ ἡ παραλήγουσα διὰ τῆς ει διφθόγγου· τὰ γὰρ ἀπὸ τῶν εἰς ευς διὰ τοῦ εια παρασχηματιζόμενα θηλυκὰ διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, βασιλεὺς, βασίλεια, καὶ ἱερεὺς, ἱέρεια· οἱ δὲ Ἀθηναῖοι τοῦ ἱερεία ἐκτάσει τοῦ α, καὶ καταβιβασμὸν τῶν τόνων, καὶ φυλάττειν τὴν αὐτὴν γραφήν· οἷον, ἱερεία.

Ἴφθιμος: Ἀπὸ τοῦ ἶφθος, ἴφθιμος.

Ἱππῶναξ: Παρὰ τὸ ἵππος ι· τὸ δὲ πω μέγα· ὅτι παρὰ τὸ ἱπποάναξ γέγονεν, καὶ κατὰ συναίρεσιν Ἱππῶναξ.

⊣Ιγκρος: *Σημαίνει δὲ τὸν ἐγκέφαλον, διὰ τοῦ ι γράφεται·* ⊢Ικεσία.

⊣Ιοειδεῖς: Μέλας· *ει ἡ παράδοσις.*

⊢Ιππαρχεῖος: ⊢Ερμῆς· *τὸ χει δίφθογγος·* ⊣Ισίς· ⊢Ιμειρομένη.

⊣Ιρέος: ⊢Η *ἐξ αἰχμαλωσίας δουλεῖα·* Εἴω, Εἶμι, *τὸ πορεύομαι.*

⊣Ιῶ: ⊣Ιεῖς, *ἴημι, ἴεμαι, καὶ αὐτὸ τὸ πορεύομαι.*

⊢Ιῶ: ⊢Ιεῖς, *ἵεμαι, τὸ πέμπω ἐξ οὗ τὸ εἶναι καὶ ἀφεῖναι.*

⊣Ιῶ: ⊣Ιᾶς, *ἴημι, ἴαμαι, τὸ ἰατρεύω.*

⊣Εῶ: ⊣Εεῖς, *ἐεῖ, ἔημι, ἔεμαι, ἠρεήμενος, ἡ μετοχὴ, καὶ καθήμενος.*

⊢Ιῶ: ⊢Ιεῖς, *ἱεῖ, ἵημι, ἥσω, ἧκα, καὶ συνῆκα, ὁ α' ἀόριστος· τὰ πληθυντικὰ, ἥκαμεν, ἥκατε, ἧκαν, καὶ συνῆκαν· "οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν."*

Κρῖος: *Ἔστιν δὲ ὄνομα* Τιτᾶνος, *διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ κεκρῖσθαι ἐστίν· τοῦτο δὲ καὶ προπερισπώμενόν ἐστιν, πρὸς ἀντιδιαστολὴν τοῦ προσηγορικοῦ τοῦ κριός· καὶ ἄλλως· τῷ κανόνι τῶν διὰ τοῦ ιος δισυλλάβων ἀρσενικῶν διὰ τοῦ ι γραφομένων.*

Κριός: Δ*ιὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ κεκρῖσθαι ἐστὶν κατὰ τὰς τριχάς· διὰ τοῦ ι δὲ γράφεται τῷ κανόνι τοῦ κριός· κριὸς δέ ἐστιν ὁ προηγούμενος τῆς ποίμνης.*

Κρίβανος: *Σημαίνει δὲ τὴν κάμινον, ἔνθα ὤπτων τοὺς ἄρτους· διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ κρῖ, τὸ σημαῖνον τὴν κριθὴν, καὶ τὸ βαῦνος, τὸ σημαῖνον τὴν κάμινον· οἱ δὲ* Δ*ωριεῖς κλίβανον λέγουσιν.*

Κρῖ: *Σημαίνει δὲ τὴν κριθὴν, διὰ τοῦ ι γράφεται· γέγονεν δὲ ἀπὸ τοῦ κριθὴ κατὰ ἀποκοπὴν τῆς θη συλλαβῆς· σημαίνει δὲ καὶ τὸ πολὺ ἄλευρον· περισπᾶται δὲ τὸ κρῖ· πᾶν γὰρ οὐδέτερον μονοσύλλαβον μακροκατάληκτον περισπᾶται.*

Κριθή: Δ*ιὰ τοῦ ι· τὰ γὰρ εἰς θη οὐ θέλουσι παραλήγεσθαι τῇ ει διφθόγγῳ· οἷον, μέθη· ποθή· τιτθή· σημαίνει δὲ τὴν παρέχουσαν τὸ γάλα τοῖς ἀρτιγενέσι παισί· σημαίνει δὲ καὶ*

τὴν μαμήν· οὐδὲν οὐδέτερον[i] *εἰς θη λήγει εἰ μὴ μόνον τὸ κριθὴ καὶ τὸ ποθὴ, καὶ τὸ τιθή· λεγέται κριθὴ ἡ παρὰ τὸ προκριθῆναι τῶν δρυῶν, ὅπτους γὰρ βαλάνους ἔτρωγον οἱ ἀρχαῖοι, καὶ πάλιν ὕστερον ἤρξαντο τὸν ἄρτον ἀπὸ κριθῆς τρώγειν· καὶ ἄλλως· κριθὴ λέγεται διὰ τὸ διακρίνεσθαι καὶ διαχωρίζεσθαι αὐτὴν ἀπὸ τῶν ἀχύρων ὑπὸ τῶν ἀνέμων*[k]*· κρινῶ γὰρ ὁ μέλλων, καὶ οἱ Αἰολεῖς κρίννω λέγουσιν.*

Κνίσα: *Σημαίνει δὲ τὴν ἀναθυμίασιν, διὰ τοῦ ι γράφεται· οὕτως καὶ ἀπὸ τοῦ κνίζω, κνίσω, κνίσα· κνίσα δὲ ἀπὸ τοῦ κνισμός.*

Καταεῖα: *Προπερισπωμένως· ὥσπερ φυλλεῖα κολοβὴν βαρύνεται, Ἀττικοὶ δὲ ὀξύνουσιν.*

Κοντοτβερνάλιος: *εἴρηται ὁ συστρατιώτης.*

Κινῶ: *Διὰ τοῦ ι· παρὰ γὰρ τὸ κινεῖν· οἱ δὲ Λάκωνες κινέω λέγουσιν, καὶ διὰ τοῦ ι.*

Κύριλλος: *ι· ὡς προπαροξύτονον, οὐχ ὡς Ἀστυάγης παροξυτόνως· τὰ γὰρ ἔχοντα δύο λλ εἰς ος κύρια διὰ τοῦ ι γράφεται, καὶ προπαροξύνεται.*

Κλίνω: *ι· κλινῶ γὰρ ὁ μέλλων, καὶ οἱ Αἰολεῖς κλίννω λέγουσιν, καὶ οὐ κλέννω.*

Καμαρῖνα: *Διὰ τοῦ ι· τὰ γὰρ διὰ τοῦ ινα ἀποστρέφονται τὴν διὰ τῆς ει διφθόγγου γραφὴν, πλὴν τοῦ πεῖνα.*

Κεραμίς: *ι· τὰ γὰρ εἰς ις θηλυκὰ ὑπὲρ μίαν συλλαβὴν κοινολεκτούμενα ἀποστρέφονται τὴν ει δίφθογγον.*

Κηκίς: *Σημαίνει δὲ τὴν ἀκηδίαν· διὰ τοῦ η τὸ πρῶτον κατὰ παράδοσιν· τὸ δὲ δεύτερον ι, ὡς θηλυκόν.*

Κίσηρις: *Ἡ πρώτη ι· ἡ δευτέρα η· καὶ ἡ τρίτη ι· ἀμφότερα οὕτως ἡ παράδοσις· Ἡρωδιανὸς δὲ διὰ τοῦ ω· εἶπεν γὰρ ὅτι ἐπικινῆς.*

Κῖρις: *ι ὁ λύχνος· τὰ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην.*

Καιτόριον: *Ὄνομα πόλεως ἐν τῇ Ἀρκαδίᾳ διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ κλύω γέγονεν ἀκλυτόριον, καὶ κατὰ τροπὴν*

[i] An leg. *ὀξύτονον.*

[k] Cf. Etym. M. p. 538, 25.

τοῦ υ εἰς τὸ ι κλιτόριον· ὥσπερ Ἀφροδύτη, Ἀφροδίτη· ἰστέον δὲ ὅτι τὸ κλιτόριον σημαίνει καὶ τὸ αἰδοῖον τῆς γυναικὸς, ὅθεν καὶ κλιτοριάζειν λέγουσιν τὸ αἰσχρῶς βιοῦν.

Κονίω: ι· παρὰ τὸ κόνις κονίω, ὥσπερ ἀπὸ τοῦ δὴ ἅπτεσθαι.

Κυλίω: ι· τὰ γὰρ διὰ τοῦ ιω ὑπὲρ μίαν συλλαβὴν βαρύτονα, κλινόμενα εἰς μέλλοντα, διὰ τοῦ ι γράφεται.

Κῖρις: Ἔστιν δὲ εἶδος ἱέρακος· λέγεται δὲ καὶ παρὰ Κυπρίοις Κῖρις ὁ Ἄδωνις· παρὰ δὲ Λάκωσιν ὁ λύχνος.

Κάρη: Σημαίνει δὲ τὴν κεφαλήν.

Κιμωλία: Τὰ δύο ι· καὶ τὸ μω μέγα· ἡ παράδοσις· νῆσος δὲ ἡ Κίμωλος.

Κλεῖς καὶ Κατακλεῖς: Διὰ τῆς ει διφθόγγου.

Κεράτιον: ι· ὑποκοριστικὸν γάρ.

Κοράλια καὶ Κοράλιον: Ἴσως τὸ ἅλιον ἔγκειται· ἀπὸ θαλάσσης ταῖς κόραις κόσμος· ποιηταὶ οὖν τὸ α διὰ τοῦ ο· ἡ κοινή τε διὰ τοῦ ο· Ἀττικοὶ δὲ διὰ τοῦ α.

Καλῖνος: Ἔστιν δὲ ὄνομα Ἐφεσίου τινὸς ἐλεγειογράφου· τὰ γὰρ διὰ τοῦ ινος διὰ τοῦ ι μακροῦ γράφεται· πλὴν τοῦ Καρκίνος.

Καϊκός: Ἔστιν δὲ ὄνομα ποταμοῦ· τὰ γὰρ διὰ τοῦ ικος κύρια ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, Γρηνικός· Ἑλλανικός· Ἀνδρονικός· ὅθεν Καικίας λέγεται ὁ ἄνεμος ὁ πνέων ἐκεῖθεν· πλὴν τοῦ φιλόνεικος.

Κηφισός: Τὸ πρῶτον η· τὸ δεύτερον ι· ἔστιν δὲ ὄνομα ποταμοῦ· γράφεται δὲ διὰ τοῦ ι, ἐπειδὴ τὰ διὰ τοῦ ισος ἐπὶ ποταμῶν καὶ ὀξύνονται, καὶ διὰ τοῦ ι γράφεται· οἷον, Ἑλισός· Κηφισός.

Κυτίνιον: Διὰ τοῦ ι τὸ τι· ἀπὸ τοῦ Κύτινος, Κυτίνιον, ὡς κόφινος, κοφίνιον.

Κῦμα: Τὰ διὰ τοῦ υω δισύλλαβα ἀποστρέφονται τὴν ει δίφθογγον πλὴν τοῦ οἴω· ἀπὸ τοῦ ὀΐω γὰρ κατὰ συναίρεσιν, οἴω· οἷον, κύω· θύω.

Κύμινον: Διὰ τοῦ ι γράφεται· τὰ γὰρ διὰ τοῦ ινον

προπαροξύτονα ἀποστρέφονται τὴν ει δίφθογγον· χωρὶς εἰ μὴ ὦσιν ἀπὸ πλεονασμοῦ ἔχοντα τὴν ει δίφθογγον· οἷον, ξύλινον· κύμινον.

ΚΡΟΝΊΩΝ: Ἀπὸ τοῦ Κρονίδης, ἢ ἀπὸ τοῦ Κρόνος, Κρονίων.

ΚΕΝΑΓΓΊΑ: Οὐ γὰρ διὰ τοῦ ἄγγος, ἄγγεος, τὴν ει δίφθογγον ἕξει· λέγεται δὲ κεναγγῶ, κεναγγία.

ΚΑΛΙΆ: Ὀξύτονον· ἔστιν δὲ οἶκος, διὰ τοῦ ι· ἐξ ἀφορμῆς τοῦ καλιὸς δόμος.

ΚΛΊΝΗ: Ἀπὸ γὰρ τοῦ κλίνω, κλίνη.

ΚΛΊΜΑΞ: Τὰ εἰς αξ λήγοντα ἀποστρέφονται τὴν ει δίφθογγον κατὰ τὴν παραλήγουσαν· γέγονεν δὲ παρὰ τὸ κλίνω, κλίναξ, καὶ κλίμαξ, κατὰ μετάθεσιν τοῦ ν εἰς τὸ μ.

ΚΑΔΜῖΛΟΣ: Οὗτος δὲ λέγεται ὁ Ἑρμῆς, διὰ τοῦ ι· τὰ γὰρ διὰ τοῦ ιλος βαρύτονα, μὴ ὄντα οὐδέτερα ἢ σύνθετα ἀπὸ ὀνομάτων ἐχόντων τὴν ει δίφθογγον, ἀποστρέφονται τὴν ει δίφθογγον· χωρὶς τοῦ Νεῖλος· οἷον, Ζωΐλος[k]· Καδμῖλος.

ΚΡΟΚΌΔΕΙΛΟΣ: Τὸ δει δίφθογγος· παρὰ γὰρ τὸ δειλὸς συνετέθη καὶ τὸ κρόκος.

ΚΡῖΣΑ: Ἔστιν δὲ ὄνομα πόλεως, διὰ τοῦ ι· ἐπειδὴ καὶ Κίῤῥα λέγουσι διὰ τοῦ ι, καὶ οὐδέποτε πρὸ τῶν ρρ εὑρίσκεται δίφθογγος· ὑποδηματόῤῥαφος.

ΚΑΚῖΘΟΣ: ι· παρὰ γὰρ τὸ κακίζω, κάκιστος, καὶ ἐκεῖθεν κακῖθος· σημαίνει δὲ τὸ κολαζόμενος.

ΚΥΝΗΓΈΣΙΑ: Τὸ ην η· παρὰ τὸ κυνηγία· τὸ σι ι· ἡ παράδοσις.

ΚΙΝΗΣΊΑΣ: ι· ὥσπερ ἀπὸ τοῦ νόσω, νόσιας, οὕτως καὶ παρὰ τὸ κινήσω, κινησίας.

ΚΊΚΙΣ: ι· παρὰ γὰρ τὸ κικὺς γέγονεν, τὸ σημαῖνον τὴν ἰσχύν· καὶ τροπῇ τοῦ υ εἰς τὸ ι· τὰ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην.

ΚΙΚΎΩ: Παρὰ τὸ κικύς· τὸ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην συλλαβήν.

k Cod. ζωΐλος.

Κίς: Σημαίνει τὸν σκώληκα[1]· τὰ γὰρ εἰς ις μονοσύλλαβα κοινολεκτούμενα ἀποστρέφονται τὴν ει δίφθογγον, πλὴν τοῦ κλεῖς.

Κτείς: Κτενὸς γὰρ ἡ γενική.

Κιβωτός: Διὰ τοῦ ι· καὶ ὤφειλεν διὰ τῆς ει διφθόγγου γράφεσθαι, ἐπειδὴ παρὰ τὸ κεῖσθαι ἐκεῖ τὴν βῶσιν λέγεται, ἢ τὴν βρῶσιν· ἀλλ' ἡ παράδοσις τὸ ι ἔχει· γράφεται δὲ διὰ τοῦ ι τῷ λόγῳ τοῦ θλίβω, ἢ παρὰ τὸ κίβος, ὅ ἐστιν ἡ τροφή.

Κτίστη: ι ἡ παράδοσις· παρὰ τὸ κιβωτὸν καὶ αὐτή ἐστιν.

Κίων: ι· ἢ παρὰ τὸ κίειν, ὅ ἐστιν εἰς ὕψος πορεύεσθαι, ἢ παρὰ τὸ ἴων μετοχὴ προσθήκῃ τοῦ κ, κίων.

Κυλλοποδίων: ι· ὁμοίως τοῦ ἐχίων.

Κωλύω καὶ Κώλυμα: Μεγάλα τὰ ω.

Κάμινος: Παρὰ τὸ ὑπομένην καιομένην· ι ὡς εἴρηται· ἀλλὰ δύναται καὶ παρὰ τὸ ὑπομίμνειν εἶναι.

Κοχλίδιον: Διὰ τοῦ ι· ὥσπερ ἀπὸ τοῦ γωνία, γίνεται γωνίδιον, οὕτως καὶ ἀπὸ τοῦ κοχλίας, κοχλίδιον.

Κινάμωμον: ι ἡ παράδοσις, καὶ τὸ μω μέγα.

Κοδρίδης: Διὰ τοῦ ι τὸ δρι· τὰ γὰρ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιδης γινόμενα διὰ τοῦ ι γράφεται· οἷον, Κόδρος, Κοδρίδης· Κρόνος, Κρονίδης.

Κειρία: Σημαίνει δὲ τὸ σχοινίον τὸ δεσμεῦον τὴν κλίνην· καὶ θηλυκῶς λέγεται, καὶ διὰ τῆς ει διφθόγγου γράφεται· ἢ γὰρ παρὰ τὸ κείρω γέγονεν παρὰ τὸ ἐχελεπτὰς κείρεσθαι αὐτάς· ἢ παρὰ τὸ κέρας, τὸ σημαῖνον τὰς τρίχας, γέγονεν κερία, καὶ κατὰ πλεονασμὸν τοῦ ι κειρία.

Κυνίτης: Τὰ διὰ τοῦ ιτης.

Κηρύκειον: Διὰ τῆς ει διφθόγγου· εἰσὶ γάρ τινα ἀπὸ τῶν εἰς διπλοῦν ληγόντων γινόμενα διὰ τοῦ ειον, ἅτινα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, Κύκλωψ, Κυκλώπειον· φοίνιξ, φοινίκειον.

Κύνειος: ει· σημαίνει δὲ μέρος σώματος.

[1] Cod. σκώλι.

Κερόεις: ει· κερόεντος γάρ.

Κλεινίας: ει δίφθογγος τὸ κλει· παρὰ γὰρ τὸ κλέος καὶ τὸ κλεινὸς γίνεται Κλεινίας.

Κλειταγόρας ὁμοίως.

Κλεινιός: Δίφθογγος· τὰ εἰς ος [illegible] διφθόγγῳ λήγονται.

Κλειτοφῶν: ει δίφθογγος· παρὰ τὸ κλείω, ὃ σημαίνει τὸ δοξάζω, γέγονεν κλειτὸς, καὶ ἐκεῖθεν Κλειτοφῶν· κλειτὸς ὁ ἔνδοξος.

Κλεισθένης: Παρὰ τὸ κλέος καὶ τὸ σθένος γέγονεν Κλεισθένης.

Κλείω: Σημαίνει δὲ τὸ δοξάζω· παρὰ γὰρ τὸ κλέος γέγονεν κλέω, καὶ κλείω, προσθέσει τοῦ ι.

Κοιλία: Παρὰ τὸ κοῖλον, κοίλη, κοιλία.

Κουρεῖον: Παρὰ τὸ κουρεύς, κουρεῖον, ὥσπερ βαλανεύς, βαλανεῖον.

Κρεῖον: Παρὰ τὸ κέρας γέγονεν κρέον, καὶ κατὰ πλεονασμὸν τοῦ ι κρεῖον· σημαίνει δὲ τὸ κρεοδόχον ἀγγεῖον.

Καθίσαν: Παρὰ τὸ καθίζω ι.

Κυθέρεια: Τῷ λόγῳ τῷ διὰ τοῦ ειa [illegible].

Κρανεῖα: Ἔστιν δὲ εἶδος δένδρου· [illegible] διὰ τῆς ει διφθόγγου· [illegible] [illegible] καὶ [illegible] τοῦ [illegible].

Κράτεια: Παρὰ τὸ κρατῶ, κράτεια, ὡς [illegible] [illegible].

Καθαρεῖον: Παρὰ τὸ καθαρεύω [illegible].

Κυκλωπεῖον: Ἔστιν δὲ [illegible] ἐν [illegible]. [illegible] Κρηνῆς. Κύκλωπος.

Κτεῖς, Κτενός· Ἔστιν δὲ [illegible] [illegible] δὲ τοῦ γεται κτείς.

Κρειοῦσα: Σημαίνει δὲ τὴν βασιλεύουσαν. διὰ τῆς ει διφθόγγου· [illegible] [illegible] καὶ [illegible] τοῦ [illegible] δὲ ἐκ τοῦ κρατεῖα κρατεῖον, καὶ [illegible] [illegible] καὶ κατὰ συγκοπὴν κρατοῦσα, καὶ κρειοῦσα.

Κρείων: Σημαίνει δὲ τὸν κρατοῦντα. διὰ τῆς ει διφθόγγου.

1) ι cod. [illegible]

παρὰ γὰρ τῶν κρεάτων γέγονεν κατὰ ἀποβολὴν τοῦ τ, κρεάων, καὶ κατὰ κρᾶσιν, κρεῖον, καὶ ἐν πλεονασμῷ τοῦ ι, κρειῶν.

Κεῖος: Σημαίνει δὲ τὸν πολίτην τῆς Κέω· παρὰ γὰρ τὸ Κέω γέγονεν Κέϊος, καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον, Κεῖος.

Κρείσσων: Διὰ τῆς ει διφθόγγου· εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι· οἷον, κρέσσων· γέγονεν δὲ οὕτως· ὥσπερ ἀπὸ τοῦ ταχὺς γίνεται ταχίων καὶ θάσσων, οὕτως καὶ παρὰ τὸ κρατὺς γίνεται κρατείων καὶ κράσσων, καὶ τροπῇ τοῦ α εἰς ε, καὶ πλεονασμῷ τοῦ ι, κρείσσων.

Κιτίον: ι· ἔστιν δὲ πόλις Ῥόδου.

Κράστις: ι· ἡ τῶν κτηνῶν χλοροφαφία· ὥσπερ πίστις.

Κλείω: ει· ἀντιπαράκειται γὰρ αὐτῷ τὸ κλοιός.

Κλεῖθρα: Διὰ τῆς ει διφθόγγου· οἱ γὰρ Ἴωνες διὰ τοῦ η καὶ ι γράφουσι κλῆθρα, τρέποντες τὴν ει δίφθογγον· καὶ ἐκ τοῦ κλείω τοῦ σημαίνοντος τὸ σφαλίζω.

Κύπειρον: Ἔστιν δὲ εἶδος βοτάνης, ἐπειδὴ κύπαιρον λέγουσιν οἱ Δωριεῖς διὰ τῆς αι διφθόγγου· ἔθος γὰρ ἔχουσιν τρέπειν τὸ ε εἰς α· οἷον, Ἄρτεμις, Ἄρταμις.

Κείρω: ει δίφθογγος· τὰ διὰ τοῦ ειρω βαρύτονα ἀποστρέφονται τὴν διὰ τοῦ ι μόνου γραφήν· οἷον, εἴρω· κείρω.

Κεῖται: ει δίφθογγος· ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ κέαται.

Κείω: Σημαίνει δὲ τὸ κοιμῶμαι, διὰ τῆς ει διφθόγγου· εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι· οἷον, κέω.

Κιλικια καὶ Κικιλια: Ταῦτα κατὰ παράδοσιν.

Κείων: Δίφθογγος· σημαίνει τὸ καίων· ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ κέδρος.

Κτιτηρία: Ὡς εἰσιτηρία· Κατιτήριον δὲ ὁ τοῦ νεκροῦ βόλος.

Κελαδεινός: ει· ὡς ὀξύτονον· καὶ πάλιν οἱ Αἰολεῖς κελαδεννὸς λέγουσιν.

Κειμήλιον: Διὰ τῆς ει διφθόγγου τὸ πρῶτον· ὥσπερ παρὰ θήσω μέλλοντα γίνεται θεμέλιον, οὕτως καὶ παρὰ τὸ κείσω μέλλοντα κειμήλιον· τὸ δὲ μη η ἐκ τοῦ κεῖμαι· τοῦ α εἰς η τραπέντος.

ΚΛΕΊΣ: ει δίφθογγος· πολλὰ γὰρ ὀνόματα οἱ μέλλοντες ἀποτελοῦσιν κατὰ ἀποβολὴν τοῦ ω· οἷον, τρώσω, τρώς· θήσω, θής· οὕτως καὶ κλείσω, κλείς· ἰστέον ὅτι ἐν τῇ συνθέσει βαρύνεται· οἷον, κατάκλεις.

ΚΛΕΙΤΎΣ: Σημαίνει δὲ τὰ ἐξέχοντα μέρη τῶν ὀρῶν, διὰ τῆς ει διφθόγγου γράφεται· παρὰ γὰρ τὸ κλετός· σημαίνει δὲ τὸ αὐτὸ κλειτύς· γέγονεν δὲ κλετὺς, καὶ ἐν πλεονασμῷ τοῦ ι κλειτὺς διὰ τῆς ει διφθόγγου.

ΚΤΕΊΝΩ: Κτενῶ γάρ ἐστιν ὁ μέλλων· καὶ πάλιν οἱ Αἰολεῖς κτέννω λέγουσιν, ἀποβάλλοντες τὸ ι, καὶ διπλασιάζοντες τὸ σύμφωνον, ὥσπερ κείρω, κέῤῥω.

ΚΏΝΕΙΟΝ: Δίφθογγος ει· εἰσὶ γάρ τινα προπαροξύτονα διὰ τοῦ ειον τρισύλλαβα, ἅτινα διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, γένειον· δάνειον· βρένθειον· ἔστι δὲ εἶδος πολυτελοῦς μυροῦ· οὕτως οὖν καὶ κώνειον διὰ τῆς ει διφθόγγου, καὶ διὰ τὸ κωνεάζομαι, ἐφάνη γὰρ τὸ ε ἐν τοῦτο.

ΚΕΡΑΜΕΙΚΌΣ: Διὰ τῆς ει διφθόγγου παρὰ τὸ κεραμεὺς κεραμέως, κεραμέϊ, γέγονεν Κεραμεϊκὸς καὶ Κεραμεικός.

ΚΉΔΕΙΟΣ: Τὸ δει δίφθογγος· ΚΉΔΟΜΑΙ· Φείδομαι ἡ παράδοσις.

ΚΑΣΤΌΡΕΙΟΝ: ει δίφθογγος· ὡς Νεστώριον, ὡς μετουσιαστικόν.

ΚΤΕΙΝΎΩ: Διὰ τῆς ει διφθόγγου· καὶ δι' ἑνὸς τοῦ ν κατὰ παράδοσιν· τὸ δὲ ἀποκτιννύται διὰ τοῦ ι, καὶ διὰ δύο νν.

ΚΑΠΕΤΏΛΕΙΟΝ: ει δίφθογγος· καὶ προπαροξύνεται.

ΚΗΡΎΚΕΙΟΝ: Ἀπὸ κτητικοῦ γὰρ κηρυκήϊον.

ΚΤΊΛΟΣ: Σημαίνει δὲ τὸν προηγούμενον τῆς ποίμνης κρίον, διὰ τοῦ ι.

ΚΙΒΏΡΙΟΝ καὶ ΚΙΒΟΎΡΙΟΝ γάρ.

ΚΟΛΟΝΕΊΑ: Διὰ τῆς ει διφθόγγου κτητικῷ τύπῳ.

ΚΑΡΆΤΟΜΟΣ: Προπαροξύτονον γὰρ τὸν ἀποτμηθέντα τὴν κεφαλήν· τὸ γὰρ καρατόμος τὸ παροξύτονον τὸν τεμιόντα τὴν κεφαλὴν δηλοῖ.

ΚΑΛΑΥΡΊΑ: Ἔστιν ὄνομα πόλεως· παρὰ μὲν Ἀπολλωνίῳ

διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, Καλαυρεῖα· παρὰ δὲ Διονυσίῳ συνεσταλμένον τὸ ι· οἷον, Καλαυρία.

Καπηλεῖα καὶ Καπηλεῖον: ει δίφθογγος· παρὰ τὸ καπηλεύω.

Κομψεῖα καὶ Κρυπτεῖα: ει δίφθογγος· κομψεύω γὰρ καὶ κρυπτεύω.

Κεκλείμενος: ει δίφθογγος· ὡς "κεκλειμένων τῶν "ἐμπορειῶν" καὶ "κέκλειται" ἀπὸ δὲ τοῦ κλίνω κέκλινται διὰ τοῦ ι.

Κεραμικός Κόλπος: ι τῷ λόγῳ τῶν διὰ τοῦ ικος.

Κρανίον: ι ἡ παράδοσις, ὡς ὑποκοριστικόν.

Καταγωγεῖον: ει δίφθογγος, ἡ παράδοσις.

Καταγώγιον: ι ἡ παράδοσις, καὶ προπαροξύνεται.

Κῆπος: Τὸ κη η· Καπητωλῖνος· Κολυμβήθρα.

Κραταιός· Κισήρεως.

Κώμη: Τὸ κτῆμα μέγα· Κόμη ἡ κεφαλὴ μικρόν.

Κῶμοι: Αἱ ὀρχήσεις.

Κώπη: Τὸ κόπιον· Κόπανον· Καλλονή.

Κρήτη: Ἡ νῆσος· Κρημνός· Κνῆμαι· Κοιλάς.

Κόφινος· Κνώδαλον· Κιμωλία· Κώδιξ.

Κολοβός· Κόλαξ: Κρήνη τοῦ ὕδατος.

Κλοιά: Τὰ δεσμά· Κλωστή· Κλωνός· Κώλυμα.

Κομιδή· Κώνειον· Κῶλα· Κώδιον· Κοιλίεσθαι.

Κορώνη· Κίναιδος· Κιγκλίς: Σημαίνει δὲ τὴν καγκελλωτὴν θύραν.

Κενοτομοῦνται φύσεις.

Λιπαρεῖν: Σημαίνει δὲ τὸ παρακαλεῖν, παρὰ τὸ λίαν εἶναι ἐστὶν τὸ διὰ τοῦ ι γράφεται, ὡς δείξωμεν· τὸ δὲ ρειν δίφθογγος ὡς ἀπαρέμφατον.

Λίβανον: ι· παρὰ τὸ λοίβω· καὶ γὰρ συναλιφὴ ἀπὸ τοῦ ἀλείφω· εἰσὶ δέ τινα ὀνόματα ἀπὸ ῥημάτων γινόμενα ἅτινα οὐ φυλάττουσι τὴν τοῦ ῥήματος γραφὴν, ὡς ἐπιτοπλεῖστον· οἷον, πείθω, πιθανός· λείβω, λίβανος.

Λίαν: ι· τὰ γὰρ εἰς αν λήγοντα ἐπιῤῥήματα οὐ θέλουσι τῇ

ει διφθόγγῳ παραλήγεσθαι· οἷον, ἄγαν· πέραν· ἔαν· οὕτως οὖν καὶ λίαν.

Λῖρος: Σημαίνει δὲ τὸν ἀναιδῆ, διὰ τοῦ ι· παρὰ τὸ λίαν ὁρᾶν· οἱ γὰρ ἀναιδεῖς λίαν ὁρῶσιν· τὸ δὲ λίαν ι γράφεται, ὡς ἐδείξαμεν.

Λιμβρός: Σημαίνει δὲ τὴν σκοτεινὴν νύκτα· τὰ γὰρ ἔχοντα προηγούμενον σύμφωνον, εἴτε δισύλλαβον, εἴτε ὑπὲρ δύο συλλαβὰς, ἀποστρέφονται τὴν ει δίφθογγον.

Λίπος: Διὰ τοῦ ι γράφεται· συνεσταλμένη γάρ ἐστιν ἡ λι συλλαβή.

Λιρόφθαλμος: Τὸ λι· παρὰ γὰρ τὸ λῖρος ἐστίν.

Λιμός: Διὰ τοῦ ι γράφεται· καὶ ὤφειλεν διὰ τῆς ει διφθόγγου γράφεσθαι, ἐπειδὴ παρὰ τὸ λείπω ἐστίν· ὁ γὰρ λιμὸς λεῖψις ἐστὶν τῶν ἐπιτηδείων· ἀλλ' ἡ παράδοσις τὸ ι ἔχει· διὰ δὲ τὸ ἔνδειαν σημαίνειν τινός φημι τῶν ἐπιτηδείων· τούτου χάριν καὶ ἓν δίφωνον ἀνεδέξατο· καὶ ἄλλως, τὸ λιμὸς διὰ τοῦ ι γράφεται ἐξ ἀφορμῆς τοῦ λιμπάνω· τὰ γὰρ διὰ τοῦ ανω εἰ μὲν πλεονάζει τὸ ν, συστέλλουσι τὴν ἀρχήν· οἷον, λήθω, λανθάνω· μήθω, μανθάνω· πήθω, πανθάνω· λείπω, λιμπάνω· εἰ δὲ μὴ πλεονάζει τὸ ν φυλάττουσι τὴν ἀρχήν· οἷον, λήθω, λανθάνω· τὸ δὲ λιμὸς παρὰ τοῖς Ἀθηναίοις ἀρσενικόν ἐστιν· οἷον, ὁ λιμός· παρὰ δὲ τοῖς Δωριεῦσιν θηλυκόν· οἷον, ἡ λιμός.

Λῖμαξ: ι ἡ παράδοσις.

Λίτρα: ι· εὕρηται γὰρ ἐν συστολῇ παρὰ τοῖς Δωριεῦσιν.

Λαγίδης: ι· τὰ γὰρ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιδης γινόμενα διὰ τοῦ ι γράφεται, χωρὶς τοῦ Κυθνείδης· οἷον, Λαγὸς, Λαγίδης.

Λίς: Σημαίνει δὲ τὸν λέοντα· ἀρσενικῶς καὶ θηλυκῶς δὲ ἐπὶ τῆς λείας διὰ τοῦ ι γράφεται· τὰ γὰρ εἰς ις κοινολεκτούμενα ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, Πάρις· πόλις· ἀσπίς· ῥανίς.

Λέων: Γέγονεν δὲ τοῦτον τρόπον κατὰ τὸν Ὧρον· ἔστιν δὲ λάω, τὸ σημαῖνον τὸ θεωρῶ, ἐξ οὗ τὸ ἀλαὸς, τὸ σημαῖνον τὸν τυφλὸν, οἱονεὶ ὁ ἐστερημένος τοῦ λάειν· ἀπὸ τούτου τοῦ λάω γέ-

ἐρῶ, εἶρα, ἔῤῥον τὸ προστακτικόν· ἔθος γὰρ ἔχουσι τὸ ε τρέπειν· οἷον, ὄνειρος, ὄνοιρος.

Εἴρω: Σημαίνει δὲ τὸ λέγω, διὰ τῆς ει διφθόγγου· ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ ἐρῶ μέλλοντι· καὶ πάλιν, ὅτι τὰ διὰ τοῦ εἴρω βαρύτονα ἀποστρέφονται τὴν διὰ τοῦ ι μόνου γραφήν.

Εὔειλος: Σημαίνει δὲ τὸν εὐάερον τόπον· παρὰ τὸ εἵλη, ὅ ἐστιν θερμασία, γέγονεν εὔειλος.

Εἰκάζω: Τὸ ει δίφθογγος· ἀπὸ τοῦ εἴκω τοῦ σημαίνοντος τὸ ὁμοιῶ.

Ἐπίχειρα: Τὸ χει δίφθογγος· παρὰ τὴν χεῖρα γάρ.

Ἐπειός: Δίφθογγος· τὰ γὰρ διὰ τοῦ ειος κύρια ὀξύτονα τρισύλλαβα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, Πηνειός· Ἀρνειός· Ἀλφειός· Σπερχειός· Ὀλμειός· Δεινειός· οὕτως καὶ Ἐπειὸς διὰ τῆς ει διφθόγγου.

Ἑρμείας: Διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ Ἑρμέας γέγονεν κατὰ πλεονασμὸν τοῦ ι.

Ἑρσήεις: Διὰ τῆς ει διφθόγγου· ἀνεφάνη γὰρ τὸ ε ἐν τῇ ἑρσήεντος γενικῇ.

Ἐρατεινός: Διὰ τῆς ει διφθόγγου· οἱ γὰρ Δωριεῖς ερατεννὸς λέγουσι, ὥσπερ ποθεινὸς, ποθεννός· καὶ διὰ τὸν κανόνα τῶν εἰς νος ὀξυτόνων παρωνύμων.

Εἴασκεν: Διὰ τῆς ει διφθόγγου· ἔστιν γὰρ ἐῶ, ἐᾷς· εἴων, εἴας, εἴα· τὰ γὰρ τοιαῦτα τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν ἐκτείνουσιν· οἷον, ἔτυπτον, ἔτυπτες, ἔτυπτε· ἐκ τούτου οὖν τοῦ ἐᾷς γίνεται εἴασκε διὰ τῆς ει διφθόγγου κατὰ πλεονασμὸν τοῦ ι.

Εἴωθα: Διὰ τῆς ει διφθόγγου· ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ ἔθος καὶ ἐν τῷ εὔωθα· οἱ γὰρ Αἰολεῖς τὸ εἴωθα, εὔωθα λέγουσιν· γέγονεν δὲ τὸ εἴωθα τούτῳ τῷ τρόπῳ· ἔστιν ῥῆμα ὃ σημαίνει τὸ ἐξ ἔθους τί διαπράττομαι, ἐξ οὗ καὶ ἔθνος· τούτου ὁ μέσος παρακείμενος εἶθα, καὶ πλεονασμῷ τοῦ ω εἴωθα καὶ εἴωθε.

Εἰμί: Τὸ ὑπάρχω δίφθογγος τὸ πρῶτον, τὸ δὲ δεύτερον ι· οἱ γὰρ Αἰολεῖς ἐμμὶ λέγουσιν, ὥσπερ κείρω, κέῤῥω· γέγονεν δὲ τὸ εἰμὶ οὕτως· ἔστιν ἐῶ τὸ σημαῖνον τὸ ὑπάρχω· τοῦτο

τρέπον τὸ ω εἰς μι γίνεται ἐμί· καὶ ἐπειδὴ τὰ εἰς μι φύσει μακρὰ παραλήγονται· οἷον, ἵστημι· τίθημι· δίδωμι· χωρὶς τοῦ ἐσμὶ, θέσει γὰρ μακρὸν παραλήγεται· καὶ πάλιν ἀναγκάζεται καὶ τοῦτο φύσει μακρὰ παραλήγεσθαι· ἢ τρέπον τὸ ε εἰς η, ἢ προσλαμβάνον τὸ ι· τὸ γὰρ ε ἐν τοῖς ῥήμασιν διχῶς μεγεθύνεται· ἢ διὰ προσθήκης τοῦ ι· οἷον, ἔχω, εἶχον· ἕλκω, εἷλκον· ἢ διὰ τὸ τρέπεσθαι εἰς η· οἷον, ἐλαύνω, ἤλαυνον· ἐλέγχω, ἤλεγχον· καὶ ὤφειλεν μᾶλλον τρέψαι τὸ ε εἰς τὸ η, εἴπερ προσλάβεσθαι τὸ ι· τὰ γὰρ εἰς μι οὐ θέλουσι διφθόγγῳ παραλήγεσθαι· οἷον, τίθημι· δίδωμι· χωρὶς τοῦ εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι· ἀλλ' ἐπειδὴ ἔτρεψεν τὸ ε εἰς τὸ η, οὐκ ἤμελλεν φυλάττειν λείψανόν τι τοῦ πρωτοτύπου· οἷον, λέγω, λόγος· νέμω, νόμος· διδῶ, δίδωμι· τούτου χάριν προσέλαβεν τὸ ι, καὶ γέγονεν εἰμὶ διὰ τῆς ει διφθόγγου, ἵνα φυλάξῃ τι τῆς φωνῆς τοῦ πρωτοτύπου· διατί δὲ πάλιν οὐκ ἔτρεψεν τὸ ε εἰς τὸ η; ἵνα μὴ συνεμπέσῃ τὸ ἠμὶ τὸ σημαῖνον τὸ λέγω· τὸ γενόμενον ἀπὸ τοῦ φημὶ ἠμί.

Εἰμί: Τὸ ὑπάρχω· Εἶμι τὸ πορεύομαι· Ἠμὶ τὸ λέγω, τὸ γενόμενον ἐκ τοῦ φημὶ κατὰ ἀποβολὴν τοῦ φ.

Εἶς: Τὸ ὑπάρχεις· διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ εἰμὶ γέγονεν τροπῇ τῆς μι εἰς σ.

Εἰσί: Διὰ τῆς ει διφθόγγου τὸ πρῶτον· ἀνεφάνη γὰρ τὸ ε ἔασι.

Εἶμι: Σημαίνει δὲ τὸ πορεύομαι· διὰ τῆς ει διφθόγγου τὸ πρῶτον· ἀπὸ γὰρ τοῦ εἴω γέγονεν τροπῇ τοῦ ω εἰς μι· σημαίνει δὲ τὸ εἴω τὸ πορεύομαι, τὸ δὲ ἰμὶ, τὸ διὰ τοῦ ι, ἀπὸ τοῦ ἵημι γέγονεν κατὰ συγκοπὴν τοῦ η.

Ἐπικλώσειαν: Τὸ σει δίφθογγος ὡς εὐκτικόν· τὸ δὲ κλω μέγα, ἐκ τοῦ κλῶ, κλᾷς, κλᾷ.

Εὔρειος Ποταμός: Διὰ τῆς ει διφθόγγου· εὐρεὴς γὰρ καὶ εὐρέες.

Εἰραφιώτης: Διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ ἐῤῥάφθαι γέγονεν ἐῤῥαφιώτης καὶ εἰραφιώτης, προσελθόντος τοῦ ι, καὶ ἀποβληθέντος τοῦ ρ· Εἰραφιώτης δὲ λέγεται ὁ Διόνυσος,

διὰ τὸ ἐῤῥάφθαι ἐν τῷ μηρῷ τοῦ Διός· ἢ παρὰ τὸ ἐρέφεσθαι, τὸ σημαῖνον τὸ στεφανοῦσθαι, γέγονεν ἐραφιώτης, καὶ κατὰ πλεονασμὸν τοῦ ι Εἰραφιώτης· ἢ παρὰ τὸ ἔριφος γέγονεν ἐραφιώτης, καὶ κατὰ πλεονασμὸν τοῦ ι Εἰραφιώτης· καὶ γὰρ ὑπὸ ἐρίφων φασὶν ἀνατραφῆναι τὸν Διόνυσον.

ʹΕμίχθη: ι τὸ μι κατὰ παράδοσιν· μέμιχα γάρ ἐστιν ὁ μέσος παρακείμενος, εἰ δὲ διὰ τῆς ει διφθόγγου ἐγράφετο μέμοιχα εἶχεν εἶναι· ἐὰν γὰρ εὑρέθη τὸ ε ἐν δισυλλάβῳ μέλλοντι, ἢ μόνον, ἢ μετὰ τοῦ ι, τρέπεται εἰς τὸ ο· οἷον, πείθω, πείσω, πέποιθα· λείβω, λείψω, λέλοιφα· εἰ οὖν τὸ μίγω, μίξω, διὰ τῆς ει διφθόγγου ἐγράφετο, μέμοιχα εἶχεν εἶναι ὁ παρακείμενος· ἀλλὰ μὴν μέμιγά ἐστιν· καὶ δῆλον ὅτι μίγω καὶ μίξω διὰ τοῦ ι, καὶ ἐμίχθη ὁμοίως.

ʹΕρεείνω: Διὰ τῆς ει διφθόγγου· τὰ γὰρ διὰ τοῦ εινω ὑπὲρ δύο συλλαβὰς, μὴ συντεθειμένα ἀπὸ ἁπλοῦ γραφομένου διὰ τοῦ ι, διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, φαείνω· ἀλεείνω· ἐρεείνω· πλὴν τοῦ ὀρίνω· ὀδίνω· ὑπὲρ δύο συλλαβὰς δὲ, διὰ τὸ κρίνω· κλίνω· ἀπὸ ἁπλῶν δὲ διὰ τοῦ ι γραφομένων, διὰ τὸ κρίνω καὶ συγκρίνω.

ʹΕπαττοφόρωι: Τὰ δύο μικρά· τὸ ρω μέγα· ἡ παράδοσις.

Εἵλη: Σημαίνει δὲ τὴν θερμασίαν, διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ ἕλη γεγόνεν κατὰ πλεονασμὸν τοῦ ι.

Εἰλῶ: Διὰ τῆς ει διφθόγγου· ἀνέφανεν γὰρ τὸ ε ἐν τῷ ἑλίσσω καὶ ἐλλεδανός· σημαίνει δὲ τὸν δεσμόν.

Εἶ: Δίφθογγος· αἶ γὰρ λέγουσιν οἱ Δωριεῖς· ἔθος δὲ ἔχουσι τὸ ε εἰς α τρέπειν· οἷον, τρέχω, τράχω· Ἄρτεμις, Ἄρταμις· οὕτως οὖν καὶ εἶ, αἶ.

ʹΕπεί: Διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ ει γέγονεν καὶ τῆς ἐπὶ προθέσεως· ἰστέον ὅτι τὸ ἐπεὶ ἡνίκα χρονικὸν ἐπίῤῥημά ἐστιν· οἷον,

πλάγχθη ἐπεὶ[e] Τροίης ἱερὸν πτολίεθρον, (Od. A. 2.)

ἀντὶ τοῦ ἀφ' οὗ· καὶ πάλιν,

αὐτὰρ ἐπεὶ κόσμηθεν, (Il. Γ. 1.)

[e] Cod. ἐπι.

ἀντὶ τοῦ ὅταν· ἡνίκα δὲ αἰτιολογικὸν παραλαμβάνεται, σύνδεσμός ἐστιν· οἷον, "ἐπεὶ ἡμέρα ἐστὶν, φῶς ἐστίν."

Εἶθε : Διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ ἔθε γέγονεν εἶθε· καὶ πάλιν ὅταν οἱ Δωριεῖς αἶθε λέγουσιν, καὶ ἔθος ἔχουσιν, ὡς εἴρηται, τὸ ε εἰς τὸ α τρέπειν· οὕτως εἶθε, αἶθε.

Εἶτα : Διὰ τῆς ει διφθόγγου· ὥσπερ γὰρ ἀπὸ τοῦ δὴ γίνεται δῆτα, οὕτως καὶ ἀπὸ τοῦ εἰ γίνεται εἶτα.

Ἔπειτα : Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ εἶτα καὶ τὴν ἐπὶ πρόθεσιν γίνεται ἔπειτα.

Εἰκός : Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ εἴκω, τὸ σημαῖνον τὸ ὁμοιῶ, γέγονεν.

Ἑξωκήθη : Ἀντὶ τοῦ ὠκήθη, τὸ ω μέγα· παροχήμενον[f] γάρ.

Εἶα : Ἔστιν δὲ παρακελευσματικὸν ἐπίῤῥημα, καὶ γράφεται διὰ τῆς ει διφθόγγου· ὥσπερ γὰρ παρὰ τὸ ῥέα γίνεται ῥεῖα, διὰ τῆς ει διφθόγγου κατὰ πλεονασμὸν τοῦ ι· οὕτως καὶ ἀπὸ τοῦ ἔω, τοῦ σημαίνοντος τὸ ἐκπέμπω, γίνεται ἔα, καὶ εἶα, κατὰ πλεονασμὸν τοῦ ι.

Ἐννέα : Δύο νν· παρὰ γὰρ τὸ ἓν καὶ τὸ νέα γέγονεν ἐννέα.

Ἑκκαίδεκα : Ὁ ἀριθμὸς ὁ σύνθετος κ καὶ οὐ ξ· ἐτράπη γὰρ ἡ πρόθεσις διὰ τὸ ἐπαγόμενον σύμφωνον.

Ἑβδομήκοντα : Τὸ μὴ η· καὶ ἑξήκοντα ὁμοίως· τὰ γὰρ διὰ τοῦ κοντα ἀριθμητικὰ θέλουσι πρὸ τοῦ κ ἔχειν φωνῆεν· ἀπὸ οὖν τοῦ ἓξ γέγονεν ἑξάκις, καὶ ἐκ τοῦ ἑξάκις ἑξήκοντα· τροπῇ Δωρικῇ τοῦ α εἰς η· ἑβδομήκοντα διὰ τοῦ η· καὶ ὀγδοήκοντα, ἐκ τοῦ ἕβδομος καὶ ὄγδοος ὤφειλεν εἶναι ἑβδομόκοντα καὶ ὀγδόοκοντα διὰ τοῦ ο· ἀλλ' ἐπειδὴ τὰ διὰ τοῦ κοντα ἀριθμητικὰ οὐ θέλουσι προπαραλήγεσθαι, οὔτε τὸ ο, οὔτε τὸ ε, ἐξ ἀνάγκης ἐτρέψαμεν τὸ ο εἰς τὸ η, καὶ γέγονεν ἑβδομήκοντα καὶ ὀγδοήκοντα· καὶ ἐνενήκοντα ὁμοίως γέγονεν ἀπὸ τοῦ ἐννέα ἐννεάκοντα, καὶ κατὰ ὑπερβιβασμὸν ἐνενάκοντα· καὶ ἐπειδὴ καὶ ὁ πεντήκοντα καὶ οἱ λοιποὶ τὸ η παραλήγονται· οἷον, ἑξήκοντα,

[f] Cod. παρο^χ

καὶ ἑβδομήκοντα, καὶ ὀγδοήκοντα· τούτου χάριν, ἐκείνων τρέψαντων τὸ α εἰς η, ἔτρεψεν καὶ τοῦτο, καὶ γέγονεν ἐνενήκοντα.

Ἐρυσίβη: *Διὰ τοῦ ι γράφεται· ἐρυσίβη δὲ λέγεται ἡ πάχνη, ἡ γενομένη ἐν τῇ δυσαερίᾳ, καὶ φθείρουσα τοὺς καρπούς.*

Ἔγγειος: *Διὰ τῆς ει διφθόγγου· τὰ γὰρ παρὰ τὸ γέα ὄντα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀνώγειος· βαθύγειος· εὔγειος· μεσόγειος· κατώγειος· ὑπέργειος· οὕτως καὶ ἔγγειος διὰ τῆς ει διφθόγγου.*

Ἐρωιδιός: Τὸ *ρω μέγα σὺν τῷ ι· καὶ τὸ δι ι· ἡ παράδοσις· αἱ δὲ ἐτυμολογίαι διφοροῦνται.*

Ἐῷος: *Διὰ τοῦ ω, κτητικὸν γάρ.*

Ἐσθίω: Τὸ *τρώγω ψιλὸν τὸ ε· παρὰ τὸ ἔδω, τὸ σημαῖνον τὸ αὐτὸ, ἐξ οὗ καὶ τὸ ἐδωδή.*

Ἐσθής: Τὸ *ἱμάτιον, καὶ* Ἔσθημα *τὸ αὐτὸ διὰ τοῦ ε· παρὰ γὰρ τὸ ἕω, τὸ σημαῖνον τὸ ἐνδύομαι.*

Αἴσθησις *καὶ* Αἰσθητήριον: Αἰσθητὸς *καὶ* Αἰσθάνομαι, *καὶ ὅσα ὅμοια, διὰ τῆς αι διφθόγγου· παρὰ τὸ αἴω, τὸ σημαῖνον τὸ πνέω, πρὸς ἀντιδιαστολὴν τοῦ ἐνδύομαι.*

Ἑστία *καὶ* Ἑστιάτωρ: *Διὰ τοῦ ε ψιλοῦ.*

Ἥτις Ἀρετὴ *καὶ* Εἴτις Ἔπαινος: Τὸ *μὲν πρῶτον ἄρθρον· τὸ δὲ δεύτερον ἀντὶ τοῦ ἐάν.*

Εἰδῶν· Εἰδοῖς· Ἐπαΐειν· Ἐλιγήσεται.

Ἔρις, Ἔριδος· Ἐρίφια· Εἰκασμός· Ἐργαλεῖον.

Ἐλεγεῖον· Εἰκταῖος· Ἐξάπινα.

Εἰκαῖος: *Σημαίνει δὲ τὸν μάταιον, καὶ εἰκῇ.*

Ἑρμῆς: Ὁ *λόγος, ὡς ὅθεν καὶ* Ἑρμηνεῖα.

Εἴκω: Τὸ *ὁμοιῶ· ἐξ οὗ εἰκών·* Εἴκω *τὸ πρέπω· ἐξ οὗ εἰκότως·* Εἴκω *τὸ ὑποχωρῶ, ἐξ οὗ οἶκος.*

Ἥκω: Τὸ *ἔρχομαι, ἐξ οὗ ἥκω τὸ φέρω·* Ἵκω *τὸ παραγίνομαι.*

Εἴδω: Τὸ *βλέπω, ἐξ οὗ ἐστιν " εἶδον οἱ ὀφθαλμοί μου."*

Εἴδω: Τὸ *γινώσκω, ἐξ οὗ οἶδα·* Εἰδῶ *περισπώμενον τὸ γινώσκω, ἐξ οὗ " πάντες εἰδήσουσίν με ἀπὸ μικροῦ ἕως με" γάλου."*

Εἴδω: Τὸ ὁμοιῶ· ἐξ οὗ εἰδόμενος· Ἴδω τὸ γινώσκω, ἐξ οὗ ἴσω· Ἥδω τὸ εὐφραίνομαι, ἐξ οὗ ἧδαρ καὶ ἧδον.

Ἐπιτηδής: Ἔστιν ἔτης, ὃ σημαίνει τὸν συνήθη· οἷον,

κασιγνήτους τε ἔτας τε, (Il. Z. 239.)

ἀπὸ τοῦ ἔθους γεγενημένου ἐτητὴς ἐν παραγωγῇ, καὶ ἐτηδὴς, καὶ ἐν συνθέσει ἐπιετηδὴς, καὶ ἀποβολῇ τοῦ ε ἐπιτηδὴς, καὶ ἐπιτήδειος ἐξ αὐτοῦ· ἢ παρὰ τὸ ἥδω ῥῆμα, τὸ σημαῖνον τὸ τέρπω καὶ εὐφραίνω, ἡδὴς, καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπιηδὴς, καὶ προσθέσει τοῦ τ ἐπιτηδὴς, καὶ ἐπιτήδειος ἐξ αὐτοῦ.

Ζευγίσιον: Διὰ τοῦ ι γράφεται· τῷ χαρακτῆρι τῶν διὰ τοῦ ισιον διὰ τοῦ ε γραφομένων· οἷον, χαρίσιον· προβαλίσιον· Ἀρτεμίσιον· οὕτως καὶ ζευγίσιον· περὶ τῶν εσσιν ἐμάθομεν ἐν τοῖς Ἀρτεμισίου.

Ζεῖρα: Σημαίνει δὲ τὴν ζώνην, καὶ χιτῶνα, καὶ χλαμύδα· διὰ τῆς ει διφθόγγου γράφεται· παρὰ τὸ δεῖν, ὅ ἐστιν δεσμεύειν, γέγονεν, καὶ κατὰ μετάθεσιν τοῦ δ εἰς τὸ ζ ζεῖρα.

Ζειά: Δίφθογγος· ἔστιν δὲ εἶδος κριθῆς, ἤγουν ἡ αὐτὴ κριθή· ἔστιν δὲ παρὰ τὸ ζέειν· καὶ πλεονασμῷ τοῦ ι ζειὰ, ἤγουν ἡ τοῦ ζέειν ἡμᾶς αἴτιος, ἤγουν τοῦ ζῆν.

Ζείδωρος: Διὰ τῆς ει διφθόγγου· ἢ γὰρ παρὰ τὸ ζεῖ γέγονεν ζειόδωρος, καὶ κατὰ συγκοπὴν τοῦ ο ζείδωρος· ἢ παρὰ τὸ ζῆν γέγονεν ζήδωρος, οἱονεὶ ἡ τὰ πρὸς τὸ ζῆν δωρουμένη· τοῦ η εἰς τὴν ει δίφθογγον μετατεθέντος Βοιωτικῶς· ἢ παρὰ τὸ ζέειν ζεέδωρος, κατὰ κρᾶσιν τῶν δύο εε εἰς τὴν ει δίφθογγον· ζείδωρος.

Ζώνιον: ι· ὑποκοριστικὸν γάρ· τοῦτο ἐπὶ γυναικῶν μᾶλλον τίθεται.

Ζήτρειον: Διὰ τῆς ει διφθόγγου· σημαίνει δὲ τὸ τῶν δούλων δεσμοτήριον, τὸν κοῦσπον, ἢ τὸν μύλωνα· ἐκεῖ γὰρ ἐδεσμεύοντο οἱ δοῦλοι· παρὰ γὰρ τὸ δεῖν τὸ δεσμεύειν, καὶ τὸ τρεῖν, ὅ ἐστιν τὸ φοβεῖσθαι, γέγονεν ζήτρειον· μετατεθέντος τοῦ δ εἰς τὸ ζῆτα, καὶ τῆς ει διφθόγγου εἰς τὸ η· ὥσπερ πλείων, πλήων· μείων, μήων· ἢ παρὰ τὸ ζα τὸ ἐπιτατικὸν μόριον, ἐξ οὗ τὸ ζαπλοῦτε, καὶ τὸ τρεῖν, τὸ ὄντως φοβεῖσθαι, γέγονεν ζάτρειον, καὶ ζήτρειον.

Ζύγιον: ι· ὑποκοριστικὸν γὰρ τὸ τοῦ ζυγοῦ.

Ζωάγρια: Ἡ παράδοσις.

Ζῶισον: Τὸ ζω μέγα σὺν τῷ ι· τὸ ο μικρὸν, ἀπὸ γὰρ τοῦ ζῶ ῥήματος γέγονεν.

Ζῴδιον: Τὸ μὲν τὸ δι ι· ὑποκοριστικὸν γάρ.

Ζεύγνυσι καὶ Ζευγνῦσι: Καὶ τὸ μὲν ἑνικὸν προπαροξύνεται, τὸ δὲ πληθυντικὸν προπερισπᾶται· οὕτως καὶ ῥήγνυσι καὶ ῥηγνῦσι.

Ἡρωΐνη: Τὸ ρω μέγα· τὸ ινη διὰ τοῦ ι· τὰ γὰρ διὰ τοῦ ινη ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, Ἀρίνη· Παλαιστίνη· Ἀδριστίνη· Ὠκεανίνη· Αἰητίνη· οὕτως καὶ ἡρωΐνη.

Ἡμῖν: Διὰ τοῦ ι· ἄμμι γὰρ λέγουσιν οἱ Αἰολεῖς βαρυτόνως καὶ συστέλλοντες τὸ ι· ἧμιν λέγουσιν οἱ Ἴωνες προπερισπωμένως· καὶ ἀμῖν λέγουσιν οἱ Δωριεῖς· ἔστιν οὖν καὶ ἡμῖν περισπώμενον διὰ μακροῦ τοῦ ι.

Ἡμετέρειος: Ἔστιν δὲ κτητικὸν, καὶ σημαίνει τὸν τοῦ ἡμετέρου, διὰ τῆς ει διφθόγγου· ὥσπερ γὰρ ἀπὸ τοῦ Ἀρίσταρχος γίνεται Ἀριστάρχειος διὰ τῆς ει διφθόγγου, οὕτως καὶ ἀπὸ τοῦ ἡμέτερος, ἡμετέρειος· ἔστιν δὲ κανὼν λέγων· τὰ διὰ τοῦ ρειος ἀπὸ τῶν εἰς ρος ἐχόντων τὸ τ τῆς προηγουμένης συλλαβῆς, ἔχουσι τὸ ει διὰ τῆς ει διφθόγγου γραφόμενον· οἷον, ἀβέλτερος, ἀβελτέρειος· ἕτερος, ἑτέρειος· οὕτως καὶ ἡμέτερος, ἡμετέρειος διὰ τῆς ει διφθόγγου· ἔχει γὰρ τὸ τ καὶ τὸ ε ἐν τῇ πρώτῃ συλλαβῇ.

Ἠτίς: Ὄνομα πόλεως, διὰ τοῦ ι τὸ τις· Ἠτεῖος· σημαίνει δὲ τὸν πολίτην.

Ἡρακλειώτης: Τὸ κλει δίφθογγος, Ἡρακλεῖα γάρ· οὕτως ἡ παράδοσις.

Ἠθεῖος: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ θεὸς γέγονεν θέϊος, καὶ κατὰ συναίρεσιν τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον θεῖος, καὶ κατὰ πλεονασμὸν τοῦ η ἠθεῖος· ὥσπερ βαιὸν, ἠβαιόν· γέγονεν δὲ πάλιν ἀπὸ τοῦ ἔθος, ἐθεῖος, καὶ ἠθεῖος· ἢ ἀπὸ τοῦ ἦθος γέγονεν ἠθεῖος· σημαίνει δὲ φιλοφρόνησιν ἀπὸ νεωτέρου εἰς παλαιότερον.

ʽΗχήεις: ʽΗχήεντος γὰρ ἡ γενικὴ, καὶ ἠχῆεν τὸ οὐδέτερον.

ʽΗρακλείη: Δίφθογγος κατὰ τὴν παραλήγουσαν· ἀπὸ γὰρ τοῦ ʽΗρακλῆς γίνεται ʽΗρακλεῖος κτητικὸν διὰ τῆς ει διφθόγγου· καὶ λοιπὸν τὸ θηλυκὸν ʽΗρακλεῖα διὰ τῆς ει διφθόγγου· οἷον, ʽΗρακλεῖα χεὶρ· καὶ ἐκ τούτου γίνεται ʽΗρακλείης, κατὰ μετάθεσιν τοῦ α εἰς τὸ η.

Ἤπερος: Ἤπειρος δὲ λέγεται ἡ γῆ· γράφεται δὲ τὸ μὲν η ἐκ τοῦ α τοῦ στερητικοῦ, ἄπερος γὰρ λέγεται κατὰ ἐτυμολογίαν· τὸ δὲ πει δίφθογγος, ὅτι ἔχει ἀπὸ πρωτοτύπου φωνῆς τὸ ε· πέρας γὰρ οὐκ ἔχει, ἄπερός τις οὖσα καὶ ἤπειρος· φασὶν οἱ Δωριεῖς τρέπειν τὴν ει δίφθογγον εἰς τὸ η, ὥσπερ πλείων, πλήων· ἔστιν δὲ παρὰ τὸ α τὸ στερητικὸν μόριον καὶ τὸ πέρας.

ʽΗμεῖς: Δίφθογγος· ἄμες γὰρ λέγουσιν οἱ Δωριεῖς, καὶ ἄμμες οἱ Αἰολεῖς.

ʽΗξας: ʽΟ κληθεὶς καὶ ἐπακούσας, η.

ʽΗνία: Τὸ ἐπὶ τῶν λώρων διὰ τοῦ η γράφεται ἡ ἄρχουσα, παρὰ γὰρ τὸ ἀνύειν γέγονεν ἀνίον καὶ ἠνίον· καὶ γὰρ διὰ τῶν λώρων τῶν ἱππέων ἀνύομεν.

ʽΗμίσεια: Ἀπὸ τοῦ ἥμισυς καὶ τὸ οὐδέτερον δῆλον ἐστὶν, ἡμίσεα γὰρ καὶ θήλεα.

Ἥφαιστος· ʽΗμισσαῖος· ʽΗράκλειος: ει· παρὰ γὰρ τὸ κλέος.

Ἤιομεν ὡς ἐκελεύσας: Ἀπὸ τοῦ εἴω τοῦ πορεύομαι, τροπῇ τοῦ ε εἰς η, καὶ ἔχει καὶ τὸ ι προσγεγραμμένον.

Θίς: Διὰ τοῦ ι· σημαίνει δὲ τὸν αἰγιαλὸν καὶ τὸν σωρόν· γράφεται δὲ διὰ τοῦ ια ὡς δικατάληκτον.

Θέτις: Ἀπὸ τοῦ Θέτις, Θέτιδος, καὶ Θέτιος, κατὰ ἀποβολὴν τοῦ δ, καὶ Θέτιδι καὶ Θέτιι, καὶ κατὰ κρᾶσιν τῶν δύο ιι εἰς ἓν ι μακρὸν, Θέτι.

Θερσίτης: ι ὡς παρώνυμον· ἔστιν δὲ παρὰ τὸ θέρω, ὃ σημαίνει τὸ θερμαίνω, ῥηματικὸν ὄνομα· θερμὸς γὰρ καὶ προπετὴς ἦν· ἢ ἀπὸ τοῦ Θέρσου Αἰολίου γέγονεν Θερσίτης.

Θρίαι: Σημαίνει δὲ τὰς μαντικὰς ψήφους· γράφεται δὲ

διὰ τοῦ ι παρὰ τὸ τρισσόν· ἔστιν δὲ τὸ τρισσὸν διὰ τοῦ ι γραφόμενον, ἐπειδὴ οὐδέποτε πρὸ τῶν δύο σσ δίφθογγος εὑρίσκεται· οἷον, ἑλίσσω· μελίσσω· κισσός· χωρὶς τοῦ κρείσσων, καὶ τοῦ ῥήματος κρεισσῶ.

Θρίναξ: Σημαίνει δὲ τριενοειδὲς ἐργαλεῖον ἐργατικὸν, διὰ τοῦ ι δὲ γράφεται· παρὰ γὰρ τὸ τρι γέγονεν τρίναξ, καὶ θρίναξ, κατὰ μετάθεσιν τοῦ ψιλοῦ εἰς δασύ· καὶ πάλιν τὰ εἰς αξ διὰ τοῦ ι γράφεται· τὰ γὰρ εἰς αξ ἀποστρέφονται τὴν ει δίφθογγον κατὰ τὴν παραλήγουσαν· οἷον, Φαίαξ· κλίμαξ· κόραξ· θρίδαξ· πλὴν τοῦ μείραξ, καὶ τοῦ λείμαξ, σημαίνει δὲ τὸν λειμῶνα· καὶ τοῦ ἐν συνηθείᾳ λεγομένου λείαξ.

Θρινακρία: Διὰ τοῦ ι· σημαίνει δὲ τὴν Σικελίαν· ὥσπερ οὖν ἀπὸ τοῦ Φρυγὸς γίνεται Φρυγία, καὶ κατὰ Φαίακος, Φαιακία, οὕτως καὶ ἀπὸ θρίναξ, θρίνακος, Θρινακία, ἡ παράδοσις· τὸ ἐκ τριῶν συγκεῖσθαι ἄκρων λέγεται θρινακία, οἱονεὶ τρινακρία τις οὖσα· καὶ γὰρ τρία ἀκρωτήρια ἔχει ἡ Σικελία· ἔστιν δὲ ταῦτα, Λιλύβαιον· Πάχυνον· Πέλωρον.

Θρίψ: Σημαίνει δὲ εἶδος σκώληκος, διὰ τοῦ ε γράφεται· καὶ γὰρ τὰ εἰς ψ λήγοντα πᾶσαν δίφθογγον ἀποστρέφονται· Λίψ· αἰγιλίψ· Κίνυψ· Κύκλωψ· Πέλωψ· οὕτως καὶ θρὶψ διὰ τοῦ ι.

Θριδακίνη: Διὰ τοῦ ι ἡ παραλήγουσα, τῷ λόγῳ τῶν διὰ τοῦ ινη· σημαίνει δὲ τὸ λάχανον, ὅπερ ἐν τῇ συνηθείᾳ θοδράκιον λεγέται· σημαίνει δὲ καὶ μαζόν.

Θρία: Σημαίνει δὲ τὰ τῆς συκῆς φύλλα, διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ τρι γέγονεν, κατὰ μετάθεσιν τοῦ τ εἰς τὸ θ· καὶ γὰρ τὸ φύλλον τῆς συκῆς τριμερές ἐστιν.

Θλίβω: ι· τὰ γὰρ εἰς βω λήγοντα ῥήματα οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· πλὴν τοῦ στείβω· ἀμείβω· εἴβω, τοῦ ἐκ τοῦ λείβω γινομένου· εἴσιν δὲ παραδείγματα· στίλβω· βίβω· τρίβω· φέρβω· σέβω· βαβῶ σημαίνει δὲ τὸ καθεύδω· καὶ ἄλλως τὸ β κατὰ πάντα οὐ θέλει ἔχειν τὴν ει δίφθογγον προηγουμένην· οἷον, λίβανον· λίβας· κιβωτὸς, καὶ τὰ ὅμοια· εἰ δέ που εὑρεθῇ τὸ β ἔχον τὴν ει δίφθογγον προηγουμένην, γνῶθι

ὅτι ἐν ῥήματι ἐστὶν ἔχοντι τὸ ο ἀντιπαρακείμενον διὰ τῆς οι διφθόγγου· οἷον, ἀμείβω· ἀμοιβή· λοιβή· στοιβή.

Θειλόπεδον: *Σημαίνει δὲ τὸν τόπον ἔνθα ξηραίνονται αἱ σταφυλαί· διὰ τῆς ει διφθόγγου τὸ θει· παρὰ γὰρ τὸ ἕλη, τὸ σημαῖνον τὴν θερμασίαν, γέγονεν εἵλη διὰ τῆς ει διφθόγγου κατὰ πλεονασμὸν τοῦ ι· καὶ πάλιν ἀπὸ τοῦ εἵλη καὶ τὸ πέδον, τοῦ σημαίνοντος τὸ χαμηλὸν, γέγονεν εἱλόπεδον, καὶ πλεονασμῷ τοῦ θ θειλόπεδον.*

Θεῖος: Παρὰ *τὸ θεὸς, θέϊος, καὶ θεῖος κατὰ συναίρεσιν.*

Θεισεῖον: Διὰ *τῆς ει διφθόγγου· τὰ γὰρ ἀπὸ τῶν εἰς ευς διὰ τοῦ ειον παραγόμενα, διὰ τῆς ει διφθόγγου γράφεται· κουρεὺς, κουρεῖον· βαφεὺς, βαφεῖον· κναφεὺς, κναφεῖον· οὕτως καὶ* Θησεὺς, Θησεῖον· *ὡς μονογενὲς δὲ, καὶ προπερισπώμενον, καὶ ὡς οὐδέτερον· πρόσκειται μονογενὲς διὰ τὸ βασιλεὺς, βασίλειον· τοῦτο γὰρ οὐ προπερισπώμενόν ἐστιν, οὐ μονογενὲς, ἀλλὰ τριγενές· βασίλειος οἶκος· βασιλεῖα χείρ· καὶ βασίλειον οἴκημα· λέγεται δὲ καὶ* Θησίον.

Θεῖα: Παρὰ *τὴν θεὰν, θέϊα, καὶ θεῖα· ὥσπερ καὶ τὸ θεῖος.*

Θείνω: Σημαίνει *δὲ τὸ τύπτω· ἐφάνη γὰρ τὸ ε ἐν τῷ μέλλοντι, θένος γάρ.*

Θαλία: Ἐπὶ *τῆς ἀνέσεως ἢ εὐωχίας ι· ἐπιθετικῶς δὲ ει δίφθογγος.*

Θεμέλιον: *ι· παρὰ τὸ θήσομαι θεμέλιον, ὡς κειμήλιον ἥλιον.*

Θεῖναι· *ει δίφθογγος· ἀνεφάνη γὰρ ἐν τῷ ἔθεμεν τὸ ε.*

Θάλεια· Θέρεια: Τῷ *λόγῳ τῶν διὰ τοῦ εια προπερισπωμένων· καὶ ἄλλως, ὡς παρὰ τὸ ἐνεργῶ, ἐνέργεια, οὕτως καὶ παρὰ τὸ θαλῶ, θάλεια· καὶ θερῶ, θέρεια.*

Θερείβοτον: Παρὰ *γὰρ τὴν δοτικὴν τοῦ θέρους ἐκεῖθεν γέγονεν θέρει ἔστιν, καὶ τὸ βότον, τὸ σημαῖνον τὴν βοσκὴν, γέγονεν θερείβοτον.*

Θιασώτης: *ι· ἀπὸ τοῦ ἐνθεάσας θεασμὸς πρόσκειται.*

Θίασος: *ι καθαρόν· τὰ ἔχοντα ἢ μακρὸν τὸ α, ἢ δύο σσ, ὀξύνονται· οἷον,* Καρνασός· Ἁλικαρνασσός.

Θωπεῖα θωπεύω γάρ· Θαίψις: Θυείδιον δίφθογγος ἡ δεύτερα συλλαβή· καὶ γὰρ ἡ θύεια τρισύλλαβος διὰ τῆς ει διφθόγγου· ἡ παράδοσις.

Θήλεια: Τὰ ἀπὸ τῶν εἰς υς.

Θυμοβορείων: ει δίφθογγος· θυμοβορέων γάρ.

Θωρακεῖον: Δίφθογγος· τὰ γὰρ ὑπὲρ τρεῖς συλλαβὰς μοναδικά, μὴ ὄντα ἐπὶ τεμένων, ἢ κατὰ τοιαῦτα, ὡς τὸ μαγειρεῖον· μορμολυκεῖον.

Θρόνος: Τὰ εἰς νος δισύλλαβα τὸ ο παραλήγονται· οἷον, θρόνος· κτόνος· φόνος· πλὴν τοῦ βῶνος.

Θεαρχία: ι ἐκ παραδόσεως· Θυρέος· Θόρυβος μικρόν· παρὰ τὸ θέω τὸ τρέχω.

Θῶραξ: Θόλος ὁ οἶκος, καὶ Θολὸν τὸ τεταραγμένον.

Θυρεός· Θημωνία: Θύννα ἡ θῦνα· Θηβαῖος.

Θεωρήμων: Παρὰ τὸ θεωρός· τὰ γὰρ εἰς ρος ὀξύτονα τὸ ω παραλήγονται· ἐκ τούτου γίνεται ῥῆμα θεωρῶ, θεωρήσω, τεθεώρηκα, τεθεώρημαι, θεωρήμων.

Ἶνες: Διὰ τοῦ ι ὡς δικατάληκτον· ἀπὸ γὰρ τοῦ ἲς ἶνες τὸ πληθυντικόν.

Ἴδον: Ὁ β ἀόριστος· Εἴδω γὰρ τὸ θέμα· Ἰδεῖν καὶ Ἰδέα καὶ Ἰδομενεύς.

Ἶνις: Σημαίνει δὲ τὸν υἱόν, διὰ τοῦ ι· ἢ γὰρ παρὰ τὸ ἶσον γέγονεν, δύναμις γὰρ τῶν πατέρων οἱ υἱοί· ἢ παρὰ τὸ ἰαίνειν γέγονεν· καὶ γὰρ τὰ τέκνα τοὺς πατέρας εὐφραίνουσιν· ἢ παρὰ τὸ ἰνοῦν, τὸ σημαῖνον τὸ θηλάζειν.

Ἰλισός: Ἔστιν δὲ ὁ ποταμός· διὰ τοῦ ι τὸ λι· ἐπειδὴ τὰ εἰς ος ἐπὶ ποταμῶν καὶ ὀξύνονται, καὶ διὰ τοῦ ι γράφεται· οἷον, Ἀνισός· Κνιφισός· καὶ ἡ πρώτη διὰ τοῦ ι· τὰ γὰρ ἀμφιβαλλόμενα· καὶ ἄλλως· τὰ εἰς υς οὐ θέλουσιν τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, Ἐρινύς· πιτύς.

Ἱλεός: Σημαίνει δὲ τὸν φωλεὸν καὶ τὴν κατάδυσιν· καὶ γὰρ τὰ παρὰ τὸ εἱλῶ παράγωγα ὀνόματα διὰ τοῦ ι γράφεται· οἷον, ἰλύς· ἴλης σημαίνει δὲ τὴν ἄθροισιν.

Ἶλος: ι· καὶ γὰρ τὰ διὰ τοῦ ιλος βαρύτονα, μὴ ὄντα οὐ-

δέτερα, μὴ σύνθετα ἀπὸ ὀνομάτων ἐχόντων τὴν ει δίφθογγον, ἀποστρέφονται τὴν ει δίφθογγον πλὴν τοῦ Νεῖλος· οἷον, Τρωΐλος· Ζωΐλος καὶ Ἶλος διὰ τοῦ ι.

Ἰλτόν : ι ἔδειξεν γὰρ ἐν τῷ ἰλύς.

Ἰβιών : Πόλις ἐν Αἰγύπτῳ ὀξυτόνως λεγομένη· μᾶλλον δὲ νῆσος.

Ἶρις : Σημαίνει δὲ καὶ τὴν ἄγγελον τῶν θεῶν, καὶ τὸ τόξον ἐν τῷ οὐρανῷ φαινόμενον, διὰ τοῦ ι· ἐπειδὴ τὰ εἰς ρις θηλυκὰ ῥηματικὰ δισύλλαβα βαρύτονα ἑνὶ φωνήεντι παραλήγεται· χαίρω, χάρις· εἴρω, ἔρις· κυρίως γὰρ ἡ μάχη ἡ διὰ λόγων γενομένη· δαίω, σημαίνει δὲ τὸ κόπτω, δαΐς καὶ κατὰ τροπὴν τοῦ α εἰς η δής, καὶ κατὰ πλεονασμὸν τοῦ ρ δῆρις, οὕτως καὶ ἀπὸ τοῦ εἴρω, τοῦ σημαίνοντος τὸ λέγω, γέγονεν Ἶρις.

Ἶβις : Ἔστιν δὲ εἶδος ὀρνέου, ι· τὰ γὰρ ἀμφιβαλλόμενα.

Ἶφις : Τὸν αὐτὸν κανόνα.

Ἶεις· Ἔστιν δὲ ὁ δαίμονος διὰ τοῦ ι· παρὰ γὰρ τὸ ἵεσθαι, ὅ ἐστιν πλανᾶσθαι· καὶ ἄλλως· τὰ ἀμφιβαλλόμενα.

Ἴβυκος : Παρὰ τὸ Ἶβυξ· καὶ ἄλλως· τὰ ἀμφιβαλλόμενα.

Ἶρις : ι ἡ παράδοσις· ἢ κατὰ τὸν κανόνα τοῦτον· τὰ ἀμφιβαλλόμενα.

Ἶρος : ι ἡ παράδοσις· ἢ τὸν αὐτὸν κανόνα.

Ἱστάμενος : Ὁμοίως· παρὰ τὸ ἱέναι.

Ἰλίων : ι τὰ ἀμφιβαλλόμενα· τὸ δὲ δεύτερον τὸν κανόνα τοῦ Ἀμφίων· σημαίνει δὲ τὸν σύγγαμβρον.

Ἰξίων : Καὶ κατὰ τὴν λήγουσαν, καὶ κατὰ τὴν παραλήγουσαν τὸν αὐτὸν κανόνα· ὥσπερ δὲ ἀπὸ τοῦ ἄγω, ἄξω, γίνεται ἄξιος, οὕτως καὶ ἀπὸ τοῦ ἵκω, ἵξω, γίνεται ἵξιος· οὐδέποτε δὲ τὸ ι καὶ τὸ υ πρὸ τοῦ ξ εὑρίσκονται φύσει μακρά, χωρὶς εἰ μὴ λόγῳ ἀρχούσης παρῳχημένου, ὡς τὸ ἰξεύω, ἴξευον· οἷον, φοίνιξ· κήρυξ.

Ἱδίω : Σημαίνει δὲ τὸ ἱδρῶ, διὰ τοῦ ι κατὰ τὴν ἄρχουσαν καὶ κατὰ τὴν παραλήγουσαν· ἡ μὲν πρώτη ὅτι ἀπὸ τοῦ ὕδωρ γέγονεν ὑδρῶ, καὶ τροπῇ τοῦ υ εἰς ι ἱδρῶ· κατὰ δὲ τὴν παραλήγουσαν, ὅτι ἀπὸ τοῦ ἱδρῶ γέγονεν ἱδριῶ κατὰ πλεονασμὸν

τοῦ ι καὶ ἀποβολὴν τοῦ ρ, ἰδίω· τὸ δὲ ι πέφυκεν πλεονάζειν ἐν τοῖς ῥήμασιν· οἷον, ἐρεύθω, ἐρευθίω· στῶ, ἱστῶ· χρῶ, κιχρῶ· δῶ, διδῶ.

ἽΝΑ: Ἔστιν δὲ ὀνόματος, διὰ τοῦ ι· ἀπὸ γὰρ τοῦ ἶς ἰνὸς γέγονεν.

Ἱκανόω: ι κατὰ τὴν ἀφαίρεσιν τοῦ λ παρὰ τὸ λίαν ἔχεσθαι, ἢ ἰσχανόω ἦν, καὶ ἐπὶ τῇ ἐνδείᾳ τοῦ σ τέταται τὸ ι, ὡς καὶ τὸ γινώσκω, γνώσκω.

Ἰνωπός: Ἔστιν δὲ ὄνομα ποταμοῦ, διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ ἶς ἰνὸς, ὃ σημαίνει τὴν δύναμιν, καὶ παρὰ τὸ ὂψ ὀπὸς, ὃ σημαίνει τὴν φωνὴν, γέγονεν Ἰνωπὸς ἐκτάσει τοῦ ο παρακολούθως εἰς τὸ ω.

Ἴναχος: Ὄνομα ποταμοῦ, διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ ἶς ἰνὸς, τὸ σημαῖνον τὴν δύναμιν, καὶ τὸ χεύεσθαι γέγονεν Ἴναχος· οἱονεὶ, ὁ μετὰ δυνάμεως χεόμενος.

Ἰαπετός: Ὄνομα κύριον διὰ τοῦ ι γράφεται· παρὰ τὸ ἴπτω, τὸ σημαῖνον τὸ βλάπτω, γέγονεν ἰπετὸς, καὶ κατὰ πλεονασμὸν τοῦ α Ἰαπετός· τὸ δὲ ἴπτω διὰ τοῦ ι γράφεται· τὰ γὰρ εἰς πτω ῥήματα οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι.

Ἰδομενεύς: ι παρὰ τὴν ἴδην καὶ τὸ μένος· οἱονεὶ, ὁ ἔχων δύναμιν.

Ἱμάτιον: Διὰ τοῦ ι γράφεται καὶ τὰ παρ' αὐτὸ πάντα· οἷον, ἱμάτιαι πόλεις· ἱματιοφόρος καὶ ἱματιοπώλης· γράφεται δὲ διὰ τοῦ ι, δῆλον ἐκ τοῦ γίνεσθαι αὐτὸ κατὰ συναίρεσιν τοῦ ο καὶ ι εἰς τὴν οι δίφθογγον· εἰ δὲ ἐγράφετο διὰ τῆς ει διφθόγγου, θουμάτιον εἶχεν εἶναι κατὰ κρᾶσιν τοῦ ο καὶ ε εἰς τὴν ου δίφθογγον.

Ἰσαῖος· Ἰσίδωρος: Διὰ τοῦ ι τὰ δύο, παρὰ τὴν Ἶσιν καὶ τὸ δῶρον.

Ἵκω: Διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ ἥκω τὸ διὰ τοῦ η· οἷον,

Ἥκω νεκρῶν κευθμῶνα [f],

γέγονεν ἵκω κατὰ τροπὴν τοῦ η εἰς ι· ἰστέον δὲ ὅτι τὸ ἵκω διὰ

[f] Eurip. Hec. 1.

τοῦ ι γράφεται ποιητικῶς ἐν τοῖς ἐνεργητικοῖς· οἷον, ἵκει· τὸ διὰ τοῦ η δὲ γραφόμενον πεζολόγων ἐστὶν καὶ ἰαμβογράφων· ἐν δὲ ταῖς παθητικαῖς φωναῖς καθόλου διὰ τοῦ ι γράφεται· οἷον, ἀφίγμαι, ἀφίκται.

῞Ιμερος: *ι· παρὰ γὰρ τὸ ἵκεσθαι τὸ σημαῖνον τὸ προθυμεῖσθαι.*

Ἱμείρω: *ι· σημαίνει δὲ τὸ ἐπιθυμῶ, διὰ τοῦ ι γράφεται κατὰ τὴν ἀρχὴν, ὡς ἀπὸ τοῦ ἵμερος γεγονώς.*

῞Ιετο: *ι· παρὰ γὰρ τὸ ἵημι, τὸ σημαῖνον τὸ προθυμοποιοῦμαι, ἢ τὸ πέμπω· ἵημι ι· ἀπὸ διπλασιασμοῦ γὰρ ἔχει το ι· οἷον, ὦ, ἰῶ, ἵημι· δῶ, διδῶ, δίδωμι.*

Ἰσχανόω: Σημαίνει *δὲ τὸ ἐπιθυμῶ, καὶ γὰρ πολλάκις τὸ ε ἐν τοῖς ῥήμασιν ἐπιφερομένων δύο συμφώνων τρέπεται εἰς τὸ ι· οἷον, τέκω, τίκτω· οὕτως καὶ ἔχω, ἴσχω, διὰ τοῦ ι· ὥσπερ ἀπὸ τοῦ φῶ γίνεται φαίνω, καὶ παμφαίνω, καὶ ἐκεῖθεν ὁ μέλλων παμφανῶ, οὕτως καὶ ἀπὸ τοῦ ἰσχῶ γίνεται ἰσχαίνω, καὶ ἐκεῖθεν ὁ μέλλων ἰσχανῶ, ἀποβληθέντος τοῦ σ, καὶ ἐκταθέντος τοῦ ι.*

Ἰός: Σημαίνει *δὲ τὸ βέλος, διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸν ὄντα ἰὸν τοῦ ὄφεως γέγονεν· καὶ γὰρ ἔχριον τὰ βέλη ἀπὸ τοῦ ἰοῦ τοῦ ὄφεως, ἵνα τιτρωσκόμενός τις εὐθέως ἀναιρέθῃ· ἢ παρὰ τὸ ἰέναι γέγονεν, καὶ γὰρ λίαν πορεύεται τὸ βέλος· τὸ δὲ ἰέναι διὰ τοῦ ι γράφεται, ἐπειδὴ ἀπὸ τοῦ ἴημι ἐστίν· καὶ ἀπὸ τοῦ ισον μικρόν.*

῞Ικτερος: *ι, ὡς νύκτερος.*

Ἰοχέαιρα: *ι· ἡ τῷ ἰῷ χαίρουσα.*

Ἶπος: Σημαίνει *δὲ τὴν παγίδα τῶν μυῶν, ι· παρὰ γὰρ τὸ ἴπτω γέγονεν, τὸ σημαῖνον τὸ βλάπτω· τὰ γὰρ εἰς πτω οὐ θέλουσι διφθόγγῳ παραλήγεσθαι.*

Ἱμονία: Σημαίνει *δὲ τὸ θέρμα, εἰς ὃ ἀντλοῦσι τὸ ὕδωρ· διὰ τοῦ ι· παρὰ γὰρ τὸ ἱμὰς, ἱμάντος γέγονεν.*

Ἀνιμῶμαι: Διὰ *τοῦ ι· παρὰ γὰρ τὸ ἱμάς.*

Ἱρός: Σημαίνει *δὲ τὸν ἱερὸν, διὰ τοῦ ι γράφεται· ἀπὸ γὰρ τοῦ ἱερὸς γέγονεν ἱρὸς κατὰ κρᾶσιν τοῦ ι καὶ ε εἰς ι μακρόν·*

ἰστέον ὅτι ἡνίκα τὸ ε ἐπιφέρηται, τὸ ι ἐπικρατῇ· οἷον, ἱρός· ἡνίκα δὲ τὸ ε ἐν διφθόγγῳ ἐστίν, τότε δίφθογγος ἐπικρατεῖ· οἷον, οἰγίεια, οἰγεῖα [g].

ἼΣΟΣ καὶ ἽΣΑΝΔΡΟΣ: Ἐξ αὐτοῦ διὰ τοῦ ι γράφεται κατὰ παράδοσιν.

ἸΧΏΡ: Σημαίνει δὲ τὸ σεσηπὸς αἷμα, διὰ τοῦ ι γράφεται· παρὰ τὸ ἴσχω, τὸ σημαῖνον τὸ λεπτύνω, καὶ ἰσχαίνω γίνεται ἰσχὼρ, τὸ λεπτύνον τὸ σῶμα ἐν τῷ καταστάζειν· καὶ ἀφαιρέσει τοῦ σ ἰχώρ.

ἸΤΈΑ: Διὰ τοῦ ι· παρὰ γὰρ τὸ ἰέναι ἐστίν· καὶ γὰρ ταχέως αὔξεται· κατὰ τὸν τοῦ ἴος τὸν κανόνα.

ἼΠΤΩ: Σημαίνει δὲ τὸ θλίβω, διὰ τοῦ ι ὡς ἐδείξαμεν.

ἹΛΕΌΜΕΝΟΙ: Ἐπὶ τοῦ ἱλασκόμενοι.

ἽΛΗΘΙ: Διὰ τοῦ ι γράφεται· γέγονεν δὲ παρὰ τὸ ἱλαρὸς, καὶ γὰρ ὁ εὐμενὴς ἱλαρός.

ΕἽΛΑΘΙ: Οἱ Αἰολεῖς γὰρ ἔλλαθι λέγουσιν.

ἼΩ: Τὸ ἴω διὰ τοῦ ι· ἔστιν καὶ εἴω διὰ τῆς ει διφθόγγου· καὶ τὰ μὲν ἑνικὰ τοῦ εἰμὶ, ἀπὸ τοῦ εἴω, τοῦ διὰ τῆς ει διφθόγγου γέγονεν· τὰ δὲ δυικὰ καὶ πληθυντικὰ ἀπὸ τοῦ ἴω, τοῦ διὰ τοῦ ι γραφομένου· οἷον, δυϊκά· ἴτον, ἴτον· πληθυντικά· ἴμεν, ἴτε, ἴσιν, καὶ πλεονασμῷ τοῦ α ἴασιν.

ἼΦΙ: Σημαίνει δὲ τὸ ἰσχυρῶς· ὥσπερ γὰρ ἀπὸ τοῦ νόστος, νόστου, γέγονεν νοστόφι· οὕτως καὶ ἀπὸ τοῦ ἶς, ἰνὸς, γίνεται ἰνόφι, καὶ κατὰ συγκοπὴν ἶφι· τὸ δὲ ἶς διὰ τοῦ ι γράφεται ὡς δικατάληκτον· πάντα δὲ τὰ δικατάληκτα διὰ τοῦ ι γράφεται.

ἼΨ: Διὰ τοῦ ι· σημαίνει δὲ εἶδος σκώληκος· τὰ γὰρ εἰς ψ λήγοντα ἅπασαν δίφθογγον ἀποστρέφονται· γέγονεν δὲ παρὰ τὸ ἴπτω, σημαίνει δὲ τὸ βλάπτω· οἷον, ἶψ, ἰπός· ἰστέον δὲ ὅτι τὸ θρίψ, θριπὸς, κληθέν· θρίπες δέ εἰσιν οἱ σκώληκες οἱ ἐσθίοντες τὰ ξύλα· σῆτες δὲ οἱ ἐσθίοντες τὰ ἱμάτια· ἶπες δὲ οἱ ἐσθίοντες τὰ κόατα [h], ἶκες δὲ οἱ ἐσθίοντες τὰς ἀμπέλους.

[g] Leg. ὑγίεια, ὑγεῖα. [h] Leg. κέρατα cum Etym. M. p. 481, 5.

῎Ιγδης: Διὰ τοῦ ι ἡ ἄρχουσα, καὶ ἡ τελευταία, διὰ τοῦ η.

Ἰλύς: Σημαίνει δὲ τὴν ἄθροισιν, διὰ τοῦ ι γράφεται· τὰ γὰρ παρὰ τὸ εἰλῶ παραγόμενα, ἢ σύνθετα ὀνόματα, μὴ κατὰ τὸ ἄρχον μέρος, διὰ τοῦ ι γράφεται.

Ἰλὺς, Ἰλέος: Σημαίνει δὲ τὴν κατάδυσιν.

῎Ιλλος: Παρὰ τὸ ἱλαρός· οἱ γὰρ Αἰολεῖς ἴλλαος λέγουσιν, καὶ οὐχὶ ἔλλαος.

῎Ιασος: ι καὶ ἴσος· παρὰ τὸ ἰάσω μέλλοντα, ἐξ οὗ τὸ ἰάσομαι· ἢ παρὰ τὸ κρίασον, ἴασος.

Ἰάσων: μακρὸν τὸ α· παρὰ τὸ ἰῶ, ἰάσω μέλλοντα γέγονεν Ἰάσων, καὶ Ἰάσονος μικρὸν, ὡς μακρὸν τὸ α.

Ἰθύς: ι· ἢ γὰρ καὶ τὸ ἴσον, ἢ τὸν κανόνα· τὰ ἀμφιβαλλόμενα.

Ἰθύνω: Παρὰ τὸ ἰθὺς, ἰθύνω, καὶ ὁ μέλλων ἰθυνῶ.

Ἰλαδόν: Σημαίνει δὲ τὸ ὁμοῦ, διὰ τοῦ ι γράφεται· παρὰ τὸ ἴλη, τὸ σημαῖνον τὴν ἄθροισιν, γέγονεν, ὅπερ διὰ τοῦ ι γράφεται.

Ἰδικῶς: Ἀπὸ γὰρ τοῦ ἴδιον· ὅταν δὲ εἰδικόν ἐστιν, λέγομεν τὸ διαιρούμενον ἐκ τοῦ γένους, διὰ τῆς ει διφθόγγου γράφεσθαι· τὸ δὲ ἴδιον ι, ἐπεὶ καὶ συστέλλεται.

῎Ιγνητες: ι· οἱ γνήσιοι.

῞Ιππος: ι· πρὸ γὰρ τῶν δύο ππ ἡ ει δίφθογγος οὐκ ἔστιν· ἢ παρὰ τὸ ἵπτασθαι τοῖς ποσίν.

Ἰσαῦρα: ι· ἡ πόλις, καὶ Ἰσαυρία.

Ἰθύφαλλον: ι· καὶ Ἰθυφαλλία μέτρον ι· ἡ παράδοσις.

Ἱέρεια: Διὰ τοῦ ι ἡ ἄρχουσα κατὰ παράδοσιν, καὶ ἡ παραλήγουσα διὰ τῆς ει διφθόγγου· τὰ γὰρ ἀπὸ τῶν εἰς ευς διὰ τοῦ εια παρασχηματιζόμενα θηλυκὰ διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, βασιλεὺς, βασίλεια, καὶ ἱερεὺς, ἱέρεια· οἱ δὲ Ἀθηναῖοι τοῦ ἱερεία ἐκτάσει τοῦ α, καὶ καταβιβασμὸν τῶν τόνων, καὶ φυλάττειν τὴν αὐτὴν γραφήν· οἷον, ἱερεία.

῎Ιφθιμος: Ἀπὸ τοῦ ἴφθος, ἴφθιμος.

Ἱππῶναξ: Παρὰ τὸ ἵππος ι· τὸ δὲ πω μέγα· ὅτι παρὰ τὸ ἱπποάναξ γέγονεν, καὶ κατὰ συναίρεσιν Ἱππῶναξ.

Ἴγκρος: *Σημαίνει δὲ τὸν ἐγκέφαλον, διὰ τοῦ ι γράφεται·* Ἱκεσία.

Ἰοβιδεῖς: Μέλας· *ει ἡ παράδοσις.*

Ἱππαρχεῖος: Ἑρμῆς· *τὸ χει δίφθογγος·* Ἰξίς· Ἱμειρομένη.

Ἰρέος: Ἡ *ἐξ αἰχμαλωσίας δουλεία·* Εἴω, Εἶμι, *τὸ πορεύομαι.*

Ἰῶ: Ἰεῖς, *ἴημι, ἴεμαι, καὶ αὐτὸ τὸ πορεύομαι.*

Ἱῶ: Ἱεῖς, *ἵεμαι, τὸ πέμπω ἐξ οὗ τὸ εἶναι καὶ ἀφεῖναι.*

Ἰῶ: Ἰᾷς, *ἴημι, ἴαμαι, τὸ ἰατρεύω.*

Ἐῶ: Ἐεῖς, *ἐεῖ, ἔημι, ἔεμαι, ἠρεήμενος, ἡ μετοχὴ, καὶ καθήμενος.*

Ἱῶ: Ἱεῖς, *ἱεῖ, ἵημι, ἥσω, ἧκα, καὶ συνῆκα, ὁ α΄ ἀόριστος· τὰ πληθυντικὰ, ἥκαμεν, ἥκατε, ἧκαν, καὶ συνῆκαν· "οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν."*

Κρῖος: Ἔστιν *δὲ ὄνομα* Τιτᾶνος, *διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ κεκρῖσθαι ἐστίν· τοῦτο δὲ καὶ προπερισπώμενόν ἐστιν, πρὸς ἀντιδιαστολὴν τοῦ προσηγορικοῦ τοῦ κριός· καὶ ἄλλως· τῷ κανόνι τῶν διὰ τοῦ ιος δισυλλάβων ἀρσενικῶν διὰ τοῦ ι γραφομένων.*

Κριός: Διὰ *τοῦ ι γράφεται· παρὰ γὰρ τὸ κεκρῖσθαι ἐστὶν κατὰ τὰς τριχάς· διὰ τοῦ ι δὲ γράφεται τῷ κανόνι τοῦ κριός· κριὸς δέ ἐστιν ὁ προηγούμενος τῆς ποίμνης.*

Κρίβανος: Σημαίνει *δὲ τὴν κάμινον, ἔνθα ὄπτων τοὺς ἄρτους· διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ κρῖ, τὸ σημαῖνον τὴν κριθὴν, καὶ τὸ βαῦνος, τὸ σημαῖνον τὴν κάμινον· οἱ δὲ* Δωριεῖς *κλίβανον* λέγουσιν.

Κρῖ: Σημαίνει *δὲ τὴν κριθὴν, διὰ τοῦ ι γράφεται· γέγονεν δὲ ἀπὸ τοῦ κριθὴ κατὰ ἀποκοπὴν τῆς θη συλλαβῆς· σημαίνει δὲ καὶ τὸ πολὺ ἄλευρον· περισπᾶται δὲ τὸ κρῖ· πᾶν γὰρ οὐδέτερον μονοσύλλαβον μακροκατάληκτον περισπᾶται.*

Κριθή: Διὰ *τοῦ ι· τὰ γὰρ εἰς θη οὐ θέλουσι παραλήγεσθαι τῇ ει διφθόγγῳ· οἷον, μέθη· ποθή· τιτθή· σημαίνει δὲ τὴν παρέχουσαν τὸ γάλα τοῖς ἀρτιγενέσι παισί· σημαίνει δὲ καὶ*

τὴν μαμήν· οὐδὲν οὐδέτερον[i] εἰς θη λήγει εἰ μὴ μόνον τὸ κριθὴ καὶ τὸ ποθὴ, καὶ τὸ τιθή· λεγέται κριθὴ ἡ παρὰ τὸ προκριθῆναι τῶν δρυῶν, ὅπτους γὰρ βαλάνους ἔτρωγον οἱ ἀρχαῖοι, καὶ πάλιν ὕστερον ἤρξαντο τὸν ἄρτον ἀπὸ κριθῆς τρώγειν· καὶ ἄλλως· κριθὴ λέγεται διὰ τὸ διακρίνεσθαι καὶ διαχωρίζεσθαι αὐτὴν ἀπὸ τῶν ἀχύρων ὑπὸ τῶν ἀνέμων[k]· κρινῶ γὰρ ὁ μέλλων, καὶ οἱ Αἰολεῖς κρίννω λέγουσιν.

Κνίσα: Σημαίνει δὲ τὴν ἀναθυμίασιν, διὰ τοῦ ι γράφεται· οὕτως καὶ ἀπὸ τοῦ κνίζω, κνίσω, κνίσα· κνίσα δὲ ἀπὸ τοῦ κνισμός.

Καταεῖα: Προπερισπωμένως· ὥσπερ φυλλεῖα κολοβὴν βαρύνεται, Ἀττικοὶ δὲ ὀξύνουσιν.

Κοντοτβερνάλιος: εἴρηται ὁ συστρατιώτης.

Κινῶ: Διὰ τοῦ ι· παρὰ γὰρ τὸ κινεῖν· οἱ δὲ Λάκωνες κινέω λέγουσιν, καὶ διὰ τοῦ ι.

Κύριλλος: ι· ὡς προπαροξύτονον, οὐχ ὡς Ἀστυάγης παροξυτόνως· τὰ γὰρ ἔχοντα δύο λλ εἰς ος κύρια διὰ τοῦ ι γράφεται, καὶ προπαροξύνεται.

Κλίνω: ι· κλινῶ γὰρ ὁ μέλλων, καὶ οἱ Αἰολεῖς κλίννω λέγουσιν, καὶ οὐ κλέννω.

Καμαρῖνα: Διὰ τοῦ ι· τὰ γὰρ διὰ τοῦ ινα ἀποστρέφονται τὴν διὰ τῆς ει διφθόγγου γραφὴν, πλὴν τοῦ πεῖνα.

Κεραμίς: ι· τὰ γὰρ εἰς ις θηλυκὰ ὑπὲρ μίαν συλλαβὴν κοινολεκτούμενα ἀποστρέφονται τὴν ει δίφθογγον.

Κηκίς: Σημαίνει δὲ τὴν ἀκηδίαν· διὰ τοῦ η τὸ πρῶτον κατὰ παράδοσιν· τὸ δὲ δεύτερον ι, ὡς θηλυκόν.

Κίσηρις: Ἡ πρώτη ι· ἡ δευτέρα η· καὶ ἡ τρίτη ι· ἀμφότερα οὕτως ἡ παράδοσις· Ἡρωδιανὸς δὲ διὰ τοῦ ω· εἶπεν γὰρ ὅτι ἐπικινῆς.

Κῖρις: ι ὁ λύχνος· τὰ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην.

Κλιτόριον: Ὄνομα πόλεως ἐν τῇ Ἀρκαδίᾳ διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ κλύω γέγονεν ἀκλυτόριον, καὶ κατὰ τροπὴν

[i] An leg. ὀξύτονον.

[k] Cf. Etym. M. p. 538, 25.

τοῦ υ εἰς τὸ ι κλιτόριον· ὥσπερ Ἀφροδύτη, Ἀφροδίτη· ἰστέον δὲ ὅτι τὸ κλιτόριον σημαίνει καὶ τὸ αἰδοῖον τῆς γυναικὸς, ὅθεν καὶ κλιτοριάζειν λέγουσιν τὸ αἰσχρῶς βιοῖν.

Κονίω: ι· παρὰ τὸ κόνις κονίω, ὥσπερ ἀπὸ τοῦ δὴ ἅπτεσθαι.

Κυλίω: ι· τὰ γὰρ διὰ τοῦ ιω ὑπὲρ μίαν συλλαβὴν βαρύτονα, κλινόμενα εἰς μέλλοντα, διὰ τοῦ ι γράφεται.

Κῖρις: Ἔστιν δὲ εἶδος ἱέρακος· λέγεται δὲ καὶ παρὰ Κυπρίοις Κῖρις ὁ Ἄδωνις· παρὰ δὲ Λάκωσιν ὁ λύχνος.

Κάρη: Σημαίνει δὲ τὴν κεφαλήν.

Κιμωλία: Τὰ δύο ι· καὶ τὸ μω μέγα· ἡ παράδοσις· νῆσος δὲ ἡ Κίμωλος.

Κλεῖς καὶ Κατακλεῖς: Διὰ τῆς ει διφθόγγου.

Κεράτιον: ι· ὑποκοριστικὸν γάρ.

Κοράλια καὶ Κοράλιον: Ἴσως τὸ ἅλιον ἔγκειται· ἀπὸ θαλάσσης ταῖς κόραις κόσμος· ποιηταὶ οὖν τὸ α' διὰ τοῦ ο· ἡ κοινή τέ διὰ τοῦ ο· Ἀττικοὶ δὲ διὰ τοῦ α.

Καλῖνος: Ἔστιν δὲ ὄνομα Ἐφεσίου τινὸς ἐλεγειογράφου· τὰ γὰρ διὰ τοῦ ινος διὰ τοῦ ι μακροῦ γράφεται· πλὴν τοῦ Καρκίνος.

Καϊκός: Ἔστιν δὲ ὄνομα ποταμοῦ· τὰ γὰρ διὰ τοῦ ικος κύρια ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, Γρηνικός· Ἑλλανικός· Ἀνδρονικός· ὅθεν Καικίας λέγεται ὁ ἄνεμος ὁ πνέων ἐκεῖθεν· πλὴν τοῦ φιλόνεικος.

Κηφισός: Τὸ πρῶτον η· τὸ δεύτερον ι· ἔστιν δὲ ὄνομα ποταμοῦ· γράφεται δὲ διὰ τοῦ ι, ἐπειδὴ τὰ διὰ τοῦ ισος ἐπὶ ποταμῶν καὶ ὀξύνονται, καὶ διὰ τοῦ ι γράφεται· οἷον, Ἑλισός· Κηφισός.

Κυτίνιον: Διὰ τοῦ ι τὸ τι· ἀπὸ τοῦ Κύτινος, Κυτίνιον, ὡς κόφινος, κοφίνιον.

Κῦμα: Τὰ διὰ τοῦ νω δισύλλαβα ἀποστρέφονται τὴν ει δίφθογγον πλὴν τοῦ οἴω· ἀπὸ τοῦ ὀΐω γὰρ κατὰ συναίρεσιν, οἴω· οἷον, κύω· θύω.

Κύμινον: Διὰ τοῦ ι γράφεται· τὰ γὰρ διὰ τοῦ ινον

προπαροξύτονα ἀποστρέφονται τὴν ει δίφθογγον· χωρὶς εἰ μὴ ὦσιν ἀπὸ πλεονασμοῦ ἔχοντα τὴν ει δίφθογγον· οἷον, ξύλινον· κύμινον.

Κρονίων: Ἀπὸ τοῦ Κρονίδης, ἢ ἀπὸ τοῦ Κρόνος, Κρονίων.

Κεναγγία: Οὐ γὰρ διὰ τοῦ ἄγγος, ἄγγεος, τὴν ει δίφθογγον ἕξει· λέγεται δὲ κεναγγῶ, κεναγγία.

Καλιά: Ὀξύτονον· ἔστιν δὲ οἶκος, διὰ τοῦ ι· ἐξ ἀφορμῆς τοῦ καλιὸς δόμος.

Κλίνη: Ἀπὸ γὰρ τοῦ κλίνω, κλίνη.

Κλίμαξ: Τὰ εἰς αξ λήγοντα ἀποστρέφονται τὴν ει δίφθογγον κατὰ τὴν παραλήγουσαν· γέγονεν δὲ παρὰ τὸ κλίνω, κλίναξ, καὶ κλίμαξ, κατὰ μετάθεσιν τοῦ ν εἰς τὸ μ.

Καδμῖλος: Οὗτος δὲ λέγεται ὁ Ἑρμῆς, διὰ τοῦ ι· τὰ γὰρ διὰ τοῦ ιλος βαρύτονα, μὴ ὄντα οὐδέτερα ἢ σύνθετα ἀπὸ ὀνομάτων ἐχόντων τὴν ει δίφθογγον, ἀποστρέφονται τὴν ει δίφθογγον· χωρὶς τοῦ Νεῖλος· οἷον, Ζωΐλος [k] Καδμῖλος.

Κροκόδειλος: Τὸ δει δίφθογγος· παρὰ γὰρ τὸ δειλὸς συνετέθη καὶ τὸ κρόκος.

Κρῖσα: Ἔστιν δὲ ὄνομα πόλεως, διὰ τοῦ ι· ἐπειδὴ καὶ Κίῤῥα λέγουσι διὰ τοῦ ι, καὶ οὐδέποτε πρὸ τῶν ρρ εὑρίσκεται δίφθογγος· ὑποδηματόῤῥαφος.

Κακῖθος: ι· παρὰ γὰρ τὸ κακίζω, κάκιστος, καὶ ἐκεῖθεν κακῖθος· σημαίνει δὲ τὸ κολαζόμενος.

Κυνηγέσια: Τὸ ην η· παρὰ τὸ κυνηγία· τὸ σι ι· ἡ παράδοσις.

Κινησίας: ι· ὥσπερ ἀπὸ τοῦ νόσω, νόσιας, οὕτως καὶ παρὰ τὸ κινήσω, κινησίας.

Κίκις: ι· παρὰ γὰρ τὸ κικὺς γέγονεν, τὸ σημαῖνον τὴν ἰσχύν· καὶ τροπῇ τοῦ υ εἰς τὸ ι· τὰ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην.

Κικύω: Παρὰ τὸ κικύς· τὸ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην συλλαβήν.

k Cod. ζωΐλος.

Κίς: Σημαίνει τὸν σκώληκα[1]· τὰ γὰρ εἰς ις μονοσύλλαβα κοινολεκτούμενα ἀποστρέφονται τὴν ει δίφθογγον, πλὴν τοῦ κλεῖς.

Κτείς: Κτενὸς γὰρ ἡ γενική.

Κιβωτός: Διὰ τοῦ ι· καὶ ὤφειλεν διὰ τῆς ει διφθόγγου γράφεσθαι, ἐπειδὴ παρὰ τὸ κεῖσθαι ἐκεῖ τὴν βῶσιν λέγεται, ἢ τὴν βρῶσιν· ἀλλ' ἡ παράδοσις τὸ ι ἔχει· γράφεται δὲ διὰ τοῦ ι τῷ λόγῳ τοῦ θλίβω, ἢ παρὰ τὸ κίβος, ὅ ἐστιν ἡ τροφή.

Κτίστη: ι ἡ παράδοσις· παρὰ τὸ κιβωτὸν καὶ αὐτή ἐστιν.

Κίων: ι· ἢ παρὰ τὸ κίειν, ὅ ἐστιν εἰς ὕψος πορεύεσθαι, ἢ παρὰ τὸ ἴων μετοχὴ προσθήκῃ τοῦ κ, κίων.

Κυλλοποδίων: ι· ὁμοίως τοῦ ἐχίων.

Κωλύω καὶ Κώλυμα: Μεγάλα τὰ ω.

Κάμινος: Παρὰ τὸ ὑπομένην καιομένην· ι ὡς εἴρηται· ἀλλὰ δύναται καὶ παρὰ τὸ ὑπομίμνειν εἶναι.

Κοχλίδιον: Διὰ τοῦ ι· ὥσπερ ἀπὸ τοῦ γωνία, γίνεται γωνίδιον, οὕτως καὶ ἀπὸ τοῦ κοχλίας, κοχλίδιον.

Κινάμωμον: ι ἡ παράδοσις, καὶ τὸ μω μέγα.

Κοδρίδης: Διὰ τοῦ ι τὸ δρι· τὰ γὰρ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιδης γινόμενα διὰ τοῦ ι γράφεται· οἷον, Κόδρος, Κοδρίδης· Κρόνος, Κρονίδης.

Κειρία: Σημαίνει δὲ τὸ σχοινίον τὸ δεσμεῦον τὴν κλίνην· καὶ θηλυκῶς λέγεται, καὶ διὰ τῆς ει διφθόγγου γράφεται· ἢ γὰρ παρὰ τὸ κείρω γέγονεν παρὰ τὸ ἐχελεπτὰς κείρεσθαι αὐτάς· ἢ παρὰ τὸ κέρας, τὸ σημαῖνον τὰς τρίχας, γέγονεν κερία, καὶ κατὰ πλεονασμὸν τοῦ ι κειρία.

Κυνίτης: Τὰ διὰ τοῦ ιτης.

Κηρύκειον: Διὰ τῆς ει διφθόγγου· εἰσὶ γάρ τινα ἀπὸ τῶν εἰς διπλοῦν ληγόντων γινόμενα διὰ τοῦ ειον, ἅτινα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, Κύκλωψ, Κυκλώπιον· φοίνιξ, φοινίκειον.

Κύνειος: ει· σημαίνει δὲ μέρος σώματος.

[1] Cod. σκώλι.

Κερόεις: ει· κερόεντος γάρ.

Κλεινίας: ει δίφθογγος τὸ κλει· παρὰ γὰρ τὸ κλέος καὶ τὸ κλεινὸς γίνεται Κλεινίας.

Κλειταγόρας ὁμοίως.

Κλεινιός: Δίφθογγος· τὰ εἰς ος ὀξύτονα διφθόγγῳ παραλήγονται.

Κλειτοφῶν: ει δίφθογγος· παρὰ τὸ κλείω, ὃ σημαίνει τὸ δοξάζω, γέγονεν κλειτὸς, καὶ ἐκεῖθεν Κλειτοφῶν· κλειτὸς ὁ ἔνδοξος.

Κλεισθένης: Παρὰ τὸ κλέος καὶ τὸ σθένος γέγονεν Κλεισθένης.

Κλείω: Σημαίνει δὲ τὸ δοξάζω· παρὰ γὰρ τὸ κλέος γέγονεν κλέω, καὶ κλείω, προσθέσει τοῦ ι.

Κοιλία: Παρὰ τὸ κόϊλον, κοῖλον, κοιλία.

Κουρεῖον: Παρὰ τὸ κουρεὺς, κουρεῖον, ὥσπερ βαλανεὺς, βαλανεῖον.

Κρεῖον: Παρὰ τὸ κέρας γέγονεν κρέον, καὶ κατὰ πλεονασμὸν τοῦ ι κρεῖον· σημαίνει δὲ τὸ κρεοδόχον ἀγγεῖον.

Καθίσαν: Παρὰ τὸ καθίζω ι.

Κυθέρεια: Τῷ λόγῳ τῶν διὰ τοῦ εια προπαροξυτόνων.

Κρανεῖα: Ἔστιν δὲ εἶδος δένδρου· οὕτως λέγεται ὁ καρπὸς διὰ τῆς ει διφθόγγου· εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι, κρανέη.

Κράτεια: Παρὰ τὸ κρατῶ, κράτεια, ὡς ἀνθῶ, ἄνθεια.

Καθαρεῖον: Παρὰ τὸ καθαρεύω· Κνημίς· Κρινής.

Κυκλωπεῖον: Ἔστιν δὲ ὄρος ἐν Λιβύῃ[m]· γέγονεν δὲ τοῦ Κύκλωπος.

Κτεὶς, Κτενός· ἔστιν δὲ παρὰ τὸ κείνειν τὰς τρίχας λέγεται κτείς.

Κρείουσα: Σημαίνει δὲ τὸ βασιλεύουσα, διὰ τῆς ει διφθόγγου· εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι· οἷον, κρέουσα· γέγονεν δὲ ἐκ τοῦ κρατεῖα κρατείων, καὶ τὸ θηλυκὸν κρατείουσα, καὶ κατὰ συγκοπὴν κρατοῦσα, καὶ κρείουσα.

Κρειῶν: Σημαίνει δὲ τῶν κρεάτων, διὰ τῆς ει διφθόγγου·

m Cod. λιβοίῃ.

παρὰ γὰρ τῶν κρεάτων γέγονεν κατὰ ἀποβολὴν τοῦ τ, κρεάων, καὶ κατὰ κρᾶσιν, κρεῖον, καὶ ἐν πλεονασμῷ τοῦ ι, κρειῶν.

Κεῖος: Σημαίνει δὲ τὸν πολίτην τῆς Κέω· παρὰ γὰρ τὸ Κέω γέγονεν Κέϊος, καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον, Κεῖος.

Κρείσσων: Διὰ τῆς ει διφθόγγου· εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι· οἷον, κρέσσων· γέγονεν δὲ οὕτως· ὥσπερ ἀπὸ τοῦ ταχὺς γίνεται ταχίων καὶ θάσσων, οὕτως καὶ παρὰ τὸ κρατὺς γίνεται κρατείων καὶ κράσσων, καὶ τροπῇ τοῦ α εἰς ε, καὶ πλεονασμῷ τοῦ ι, κρείσσων.

Κιτίον: ι· ἔστιν δὲ πόλις Ῥόδου.

Κράστις: ι· ἡ τῶν κτηνῶν χλοροφαφία· ὥσπερ πίστις.

Κλείω: ει· ἀντιπαράκειται γὰρ αὐτῷ τὸ κλοιός.

Κλεῖθρα: Διὰ τῆς ει διφθόγγου· οἱ γὰρ Ἴωνες διὰ τοῦ η καὶ ι γράφουσι κλῇθρα, τρέποντες τὴν ει δίφθογγον· καὶ ἐκ τοῦ κλείω τοῦ σημαίνοντος τὸ σφαλίζω.

Κύπειρον: Ἔστιν δὲ εἶδος βοτάνης, ἐπειδὴ κύπαιρον λέγουσιν οἱ Δωριεῖς διὰ τῆς αι διφθόγγου· ἔθος γὰρ ἔχουσιν τρέπειν τὸ ε εἰς α· οἷον, Ἄρτεμις, Ἄρταμις.

Κείρω: ει δίφθογγος· τὰ διὰ τοῦ ειρω βαρύτονα ἀποστρέφονται τὴν διὰ τοῦ ι μόνου γραφήν· οἷον, εἴρω· κείρω.

Κεῖται: ει δίφθογγος· ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ κέαται.

Κείω: Σημαίνει δὲ τὸ κοιμῶμαι, διὰ τῆς ει διφθόγγου· εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι· οἷον, κέω.

Κιλικια καὶ Κικιλια: Ταῦτα κατὰ παράδοσιν.

Κείων: Δίφθογγος· σημαίνει τὸ καίων· ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ κέδρος.

Κτιτηρία: Ὡς εἰσιτηρία· Κατιτήριον δὲ ὁ τοῦ νεκροῦ βόλος.

Κελαδεινός: ει· ὡς ὀξύτονον· καὶ πάλιν οἱ Αἰολεῖς κελαδεννὸς λέγουσιν.

Κειμήλιον: Διὰ τῆς ει διφθόγγου τὸ πρῶτον· ὥσπερ παρὰ θήσω μέλλοντα γίνεται θεμέλιον, οὕτως καὶ παρὰ τὸ κείσω μέλλοντα κειμήλιον· τὸ δὲ μη η ἐκ τοῦ κεῖμαι· τοῦ α εἰς η τραπέντος.

Κλείς: ει δίφθογγος· πολλὰ γὰρ ὀνόματα οἱ μέλλοντες ἀποτελοῦσιν κατὰ ἀποβολὴν τοῦ ω· οἷον, τρώσω, τρώς· θήσω, θής· οὕτως καὶ κλείσω, κλείς· ἰστέον ὅτι ἐν τῇ συνθέσει βαρύνεται· οἷον, κατάκλεις.

Κλειτύς: Σημαίνει δὲ τὰ ἐξέχοντα μέρη τῶν ὀρῶν, διὰ τῆς ει διφθόγγου γράφεται· παρὰ γὰρ τὸ κλετός· σημαίνει δὲ τὸ αὐτὸ κλειτύς· γέγονεν δὲ κλετὺς, καὶ ἐν πλεονασμῷ τοῦ ι κλειτὺς διὰ τῆς ει διφθόγγου.

Κτείνω: Κτενῶ γάρ ἐστιν ὁ μέλλων· καὶ πάλιν οἱ Αἰολεῖς κτέννω λέγουσιν, ἀποβάλλοντες τὸ ι, καὶ διπλασιάζοντες τὸ σύμφωνον, ὥσπερ κείρω, κέῤῥω.

Κώνειον: Δίφθογγος ει· εἰσὶ γάρ τινα προπαροξύτονα διὰ τοῦ ειον τρισύλλαβα, ἅτινα διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, γένειον· δάνειον· βρένθειον· ἔστι δὲ εἶδος πολυτελοῦς μυροῦ· οὕτως οὖν καὶ κώνειον διὰ τῆς ει διφθόγγου, καὶ διὰ τὸ κωνεάζομαι, ἐφάνη γὰρ τὸ ε ἐν τοῦτο.

Κεραμεικός: Διὰ τῆς ει διφθόγγου παρὰ τὸ κεραμεὺς κεραμέως, κεραμέϊ, γέγονεν Κεραμεϊκὸς καὶ Κεραμεικός.

Κήδειος: Τὸ δει δίφθογγος· Κήδομαι· Φείδομαι ἡ παράδοσις.

Καστόρειον: ει δίφθογγος· ὡς Νεστώριον, ὡς μετουσιαστικόν.

Κτεινύω: Διὰ τῆς ει διφθόγγου· καὶ δι' ἑνὸς τοῦ ν κατὰ παράδοσιν· τὸ δὲ ἀποκτιννύται διὰ τοῦ ι, καὶ διὰ δύο νν.

Καπετώλειον: ει δίφθογγος· καὶ προπαροξύνεται.

Κηρύκειον: Ἀπὸ κτητικοῦ γὰρ κηρυκήϊον.

Κτῖλος: Σημαίνει δὲ τὸν προηγούμενον τῆς ποίμνης κρίον, διὰ τοῦ ι.

Κιβώριον καὶ Κιβούριον γάρ.

Κολωνεῖα: Διὰ τῆς ει διφθόγγου κτητικῷ τύπῳ.

Καράτομος: Προπαροξύτονον γὰρ τὸν ἀποτμηθέντα τὴν κεφαλήν· τὸ γὰρ καρατόμος τὸ παροξύτονον τὸν τεμιόντα τὴν κεφαλὴν δηλοῖ.

Καλατρία: Ἔστιν ὄνομα πόλεως· παρὰ μὲν Ἀπολλωνίῳ

διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, Καλαυρεῖα· παρὰ δὲ Διονυσίῳ συνεσταλμένον τὸ ι· οἷον, Καλαυρία.

Καπηλεῖα καὶ Καπηλεῖον: ει δίφθογγος· παρὰ τὸ καπηλεύω.

Κομψεῖα καὶ Κρυπτεῖα: ει δίφθογγος· κομψεύω γὰρ καὶ κρυπτεύω.

Κεκλείμενος: ει δίφθογγος· ὡς "κεκλειμένων τῶν "ἐμπορειῶν" καὶ "κέκλειται" ἀπὸ δὲ τοῦ κλίνω κέκλινται διὰ τοῦ ι.

Κεραμικὸς Κόλπος: ι τῷ λόγῳ τῶν διὰ τοῦ ικος.

Κρανίον: ι ἡ παράδοσις, ὡς ὑποκοριστικόν.

Καταγωγεῖον: ει δίφθογγος, ἡ παράδοσις.

Καταγώγιον: ι ἡ παράδοσις, καὶ προπαροξύνεται.

Κῆπος: Τὸ κη η· Καπητωλῖνος· Κολυμβήθρα.

Κραταιός· Κισήρεως.

Κώμη: Τὸ κτῆμα μέγα· Κόμη ἡ κεφαλὴ μικρόν.

Κῶμοι: Αἱ ὀρχήσεις.

Κώπη: Τὸ κόπιον· Κόπανον· Καλλονή.

Κρήτη: Ἡ νῆσος· Κρημνός· Κνῆμαι· Κοιλάς.

Κόφινος· Κνώδαλον· Κιμωλία· Κώδιξ.

Κολοβός· Κόλαξ: Κρήνη τοῦ ὕδατος.

Κλοιά: Τὰ δεσμά· Κλωστή· Κλωνός· Κόλυμα.

Κομιδή· Κώνειον· Κῶλα· Κώδιον· Κοιλίεσθαι.

Κορώνη· Κίναιδος· Κιγκλίς: Σημαίνει δὲ τὴν καγκελλωτὴν θύραν.

Κενοτομοῦνται φύσεις.

Λιπαρεῖν: Σημαίνει δὲ τὸ παρακαλεῖν, παρὰ τὸ λίαν εἶναι ἐστὶν τὸ διὰ τοῦ ι γράφεται, ὡς δείξωμεν· τὸ δὲ ρειν δίφθογγος ὡς ἀπαρέμφατον.

Λίβανον: ι· παρὰ τὸ λοίβω· καὶ γὰρ συναλιφὴ ἀπὸ τοῦ ἀλείφω· εἰσὶ δέ τινα ὀνόματα ἀπὸ ῥημάτων γινόμενα ἅτινα οὐ φυλάττουσι τὴν τοῦ ῥήματος γραφὴν, ὡς ἐπιτοπλεῖστον· οἷον, πείθω, πιθανός· λείβω, λίβανος.

Λίαν: ι· τὰ γὰρ εἰς αν λήγοντα ἐπιῤῥήματα οὐ θέλουσι τῇ

ει διφθόγγῳ παραλήγεσθαι· οἷον, ἄγαν· πέραν· ἔαν· οὕτως οὖν καὶ λίαν.

Λῖρος: Σημαίνει δὲ τὸν ἀναιδῆ, διὰ τοῦ ι· παρὰ τὸ λίαν ὁρᾶν· οἱ γὰρ ἀναιδεῖς λίαν ὁρῶσιν· τὸ δὲ λίαν ι γράφεται, ὡς ἐδείξαμεν.

Λιμβρός: Σημαίνει δὲ τὴν σκοτεινὴν νύκτα· τὰ γὰρ ἔχοντα προηγούμενον σύμφωνον, εἴτε δισύλλαβον, εἴτε ὑπὲρ δύο συλλαβὰς, ἀποστρέφονται τὴν ει δίφθογγον.

Λίπος: Διὰ τοῦ ι γράφεται· συνεσταλμένη γάρ ἐστιν ἡ λι συλλαβή.

Λιρόφθαλμος: Τὸ λι· παρὰ γὰρ τὸ λῖρος ἐστίν.

Λιμός: Διὰ τοῦ ι γράφεται· καὶ ὤφειλεν διὰ τῆς ει διφθόγγου γράφεσθαι, ἐπειδὴ παρὰ τὸ λείπω ἐστίν· ὁ γὰρ λιμὸς λεῖψις ἐστὶν τῶν ἐπιτηδείων· ἀλλ' ἡ παράδοσις τὸ ι ἔχει· διὰ δὲ τὸ ἔνδειαν σημαίνειν τινός φημι τῶν ἐπιτηδείων· τούτου χάριν καὶ ἓν δίφωνον ἀνεδέξατο· καὶ ἄλλως, τὸ λιμὸς διὰ τοῦ ι γράφεται ἐξ ἀφορμῆς τοῦ λιμπάνω· τὰ γὰρ διὰ τοῦ ανω εἰ μὲν πλεονάζει τὸ ν, συστέλλουσι τὴν ἀρχήν· οἷον, λήθω, λανθάνω· μήθω, μανθάνω· πήθω, πανθάνω· λείπω, λιμπάνω· εἰ δὲ μὴ πλεονάζει τὸ ν φυλάττουσι τὴν ἀρχήν· οἷον, λήθω, λανθάνω· τὸ δὲ λιμὸς παρὰ τοῖς Ἀθηναίοις ἀρσενικόν ἐστιν· οἷον, ὁ λιμός· παρὰ δὲ τοῖς Δωριεῦσιν θηλυκόν· οἷον, ἡ λιμός.

Λῖμαξ: ι ἡ παράδοσις.

Λίτρα: ι· εὕρηται γὰρ ἐν συστολῇ παρὰ τοῖς Δωριεῦσιν.

Λαγίδης: ι· τὰ γὰρ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιδης γινόμενα διὰ τοῦ ι γράφεται, χωρὶς τοῦ Κυθνείδης· οἷον, Λαγὸς, Λαγίδης.

Λίς: Σημαίνει δὲ τὸν λέοντα· ἀρσενικῶς καὶ θηλυκῶς δὲ ἐπὶ τῆς λείας διὰ τοῦ ι γράφεται· τὰ γὰρ εἰς ις κοινολεκτούμενα ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, Πάρις· πόλις· ἀσπίς· ῥανίς.

Λέων: Γέγονεν δὲ τοῦτον τρόπον κατὰ τὸν Ὧρον· ἔστιν δὲ λάω, τὸ σημαῖνον τὸ θεωρῶ, ἐξ οὗ τὸ ἀλαὸς, τὸ σημαῖνον τὸν τυφλὸν, οἱονεὶ ὁ ἐστερημένος τοῦ λάειν· ἀπὸ τούτου τοῦ λάω γέ-

γονεν λέων· ὀξυδερκέστατον γὰρ τὸ θήριον· φασὶ γὰρ ὅτι οὐδέποτε καθεύδει ὁ λεών· τοῦτο δὲ ἀπείθανον· οὐκ ἐνδέχεται γὰρ ἀεί τινα ἐγρηγορέναι· ἀλλ' ἴσως ὥσπερ ἡ δορκὰς ἐν τῷ καθεύδειν[m] *ἀνεωγμένους ἔχει τοὺς ὀφθαλμούς, τὸν αὐτὸν τρόπον καὶ ὁ λέων ἐν τῷ καθεύδειν ἀνεωγμένους ἔχει τοὺς ὀφθαλμούς, ἐπειδὴ τῶν ὀφθαλμῶν μεγάλων ὄντων τὸ δέρας τὸ ἐπικείμενον ἐν τοῖς ὀφθαλμοῖς μικρότερόν ἐστιν, καὶ οὐ δύναται ἐκσπᾶσαι αὐτούς.*

ΛΆΡΙΣΑ: *Ἔστιν δὲ ὄνομα πόλεως, διὰ τοῦ ι γράφεται· τὰ γὰρ διὰ τοῦ ισα, μὴ ὄντα ἀπὸ ῥημάτων ἔχοντα τὴν ει δίφθογγον, διὰ τοῦ ι γράφεται· οἷον, σάρισα· ἔστιν εἶδος ἀκοντίου μικροῦ· Πῖσα· ἔστιν δὲ πόλις· οὕτω καὶ Λάρισα.*

ΛΑΚΙΝΊΑ: *Διὰ τοῦ ι τὸ κι, καὶ τὸ νι· τὰ ἀμφιβαλλόμενα· καὶ ἄλλως ἀπὸ τοῦ Λακῖνος.*

ΛΑΚΙ͂ΝΟΣ: *ι· καὶ προπερισπᾶται· τὰ γὰρ διὰ τοῦ ινος ὀνόματα πρὸ μιᾶς τὸν τόνον ἔχοντα, μὴ ἔχοντα ἀπὸ πλεονασμοῦ τὸ ι, καὶ προπερισπῶνται, καὶ διὰ τοῦ ι γράφεται, καὶ μακρὸν ἔχουσι τὸ ι· χωρὶς τοῦ Καρκίνος· τοῦτο γὰρ βραχὺ ἔχει τὸ ι.*

ΛΙΜΒΌΣ· ΛΙΜΒΆΝΩ: *Διὰ τοῦ ι κατὰ παράδοσιν.*

ΛΥΚΙ͂ΝΟΣ· ΛΕΟΝΤΙ͂ΝΟΣ: *Τῷ κανόνι τοῦ Λακῖνος.*

ΛΊΨ: *Σημαίνει δὲ καὶ ἄνεμον, καὶ τὴν ἧτταν, παρὰ τὸ λείπω, λείψω· ἢ παρὰ τὸ λείβω, λείψω· διὰ τοῦ ι δέ· τὰ γὰρ εἰς ψ λήγοντα πᾶσαν δίφθογγον ἀποστρέφονται.*

ΛΟΧΊΤΗΣ: *Τὰ διὰ τοῦ ιτης διὰ τοῦ ι γράφεται· σημαίνει δὲ τὸν ἐνεδρεύοντα.*

ΛΙΤΑΡΓΌΝ: *Σημαίνει δὲ τὸν ταχύν, διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ λίαν ἀργὸν γέγονεν ταχύ.*

ΛΑΓΝΕΙ͂Α: *Ἐκ τοῦ λαγνεύω.*

ΛΕΙΚΝΌΝ: *Διφορεῖται· καὶ γὰρ διὰ τῆς ει διφθόγγου καὶ διὰ τοῦ, γράφεται· ἢ ἐκ τοῦ λίαν γέγονεν κατὰ μετάθεσιν τοῦ μ εἰς ν λίκνον, παρὰ τὸ λίαν κάμνειν.*

ΛΑΚΈΡΕΙΑ: *ει δίφθογγος· τῷ κανόνι τῶν διὰ τοῦ εια προπαροξυτόνων· ἔστιν δὲ ὄνομα πόλεως.*

ΛΆΧΕΙΑ: *Σημαίνει δὲ τὴν καλῶς ἐσκαμμένην γῆν· διὰ*

[m] Cod. *καθεύειν.*

τῆς ει διφθόγγου, τῷ λόγῳ διὰ τοῦ εια ἀπὸ ἐνεστώτων προπαροξυτόνων· οἷον, κρατῶ, κράτεια· λαχῶ, λάχεια· ἐνεργῶ, ἐνέργεια.

Λειτουργεῖν : Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ ὑπηρετεῖν· τὸ λι ι· τὸ Λίητον δέ ἐστι τὸ δῆμος· ἀπὸ τοῦ οὖν ἔργον καὶ τὸ λήϊτον γέγονεν ληιτουργεῖν, καὶ κατὰ συστολὴν τοῦ η εἰς τὸ ε, λεϊτουργεῖν, καὶ κατὰ συναίρεσιν τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον, λειτουργεῖν.

Λογεῖον : Σημαίνει δὲ εἶδος κρατῆρος· σημαίνει δὲ καὶ τὸν τόπον τοῦ θεάτρου, διὰ τῆς ει διφθόγγου γράφεται· τὰ γὰρ ἀπὸ τῶν εἰς ω ῥημάτων διὰ τοῦ ειον γινόμενα, καὶ προπερισπᾶται, καὶ διὰ τῆς ει διφθόγγου γράφεται· ᾄδω, ᾠδεῖον· κείρω, κουρεῖον· σκάπτω, σκαφεῖον· ἄγω, ἀγγεῖον· οὕτως καὶ λέγω, λογεῖον.

Λέκιθος : Σημαίνει δὲ τὸν κρόκον τοῦ ᾠοῦ· διὰ τοῦ ι γράφεται τὸ κι.

Λείοδης : Ἔστιν δὲ ὄνομα κύριον, διὰ τῆς ει διφθόγγου γράφεται, παρὰ τὸ λεῖον γάρ, ὅπερ διὰ τῆς ει διφθόγγου γράφεται.

Λαύρειον : Ἔστιν δὲ τόπος τῆς Ἀττικῆς ποιῶν μέταλλον, διὰ τῆς ει διφθόγγου γράφεται· τὰ γὰρ διὰ τοῦ ειον τρισύλλαβα ἰδιάζοντα, καὶ προπαροξύνονται, καὶ διὰ τῆς ει διφθόγγου γράφεται.

Λύκειον : Ἔστιν δὲ τόπος τῆς Θετταλίας, ἔνθα λίκος ἐπιὼν τοῖς τοῦ Πηλέως βουσὶν ἀπελιθώθη.

Λάγειον : Οὕτως δὲ λέγεται τὸ ἱπποδρόμιον Ἀλεξανδρείας ἀπὸ Λάγου τινός· διὰ τῆς ει διφθόγγου γράφεται, τῷ λόγῳ τοῦ Λαύρειον.

Λειόβατος : Παρὰ τὸ λεῖον· ἔστιν δὲ εἶδος ἰχθύος.

Λειρία : Παρὰ τὸ λεῖον, λείϊον, καὶ προσθέσει τοῦ ρ λείριον.

Λαγνεῖα : Δεῖ γινώσκειν ὅτι τὸ λαγνεῖα διὰ τῆς ει διφθόγγου γράφεται· τὰ γὰρ εἰς της ἔχοντα ἀντιπαρακείμενον ῥῆμα διὰ τοῦ ευω, τὸ θηλυκὸν διὰ τῆς ει διφθόγγου γράφεται·

οἷον, ληστὴς, ληστεύω, ληστεῖα· ἱκέτης, ἱκετεύω, ἱκετεῖα· πολίτης, πολιτεύω, πολιτεῖα· λάγνος, λαγνεύω, λαγνεῖα.

Λεύψανον: Διὰ τῆς ει διφθόγγου γράφεται· ἢ παρὰ τὸ λείβω, λείψω γίνεται, καὶ γὰρ ἔσπενδον ἐπὶ τῶν τεθνεότων· ἢ παρὰ τὸ λείπω, λείψω· λείφανα γάρ εἰσιν τὰ ἐγκαταλίμματα.

Λείχω: Διὰ τῆς ει διφθόγγου· ἀντιπαράκειται γὰρ αὐτῷ τραπεζολοιχός.

Λειχή: Δίφθογγος τὸ λει· ἢ γὰρ παρὰ τὸ λείχω γέγονεν, καὶ γάρ φασιν ὅτι ἐκ τοῦ λείχειν τὸ πάθος ἐπαίρεται· ἢ παρὰ τὸ λεῖον κατὰ ἀντίφρασιν· οἷον, τὸ μὴ ὂν λεῖον.

Λιτός: ι κατὰ παράδοσιν· καὶ πάλιν τὰ διὰ τοῦ ιτος ἀποστρεφόμενα τὴν ει δίφθογγον γράφεται· οἷον, σῖτος· Ἐπαφρόδιτος· οὕτως καὶ λῖτος διὰ τοῦ ι· τὸ δὲ λιτὸς σημαίνει τὸν εὐτελῆ καὶ ἄποικον[n] χιτῶνα.

Λεῖος: Διὰ τῆς ει διφθόγγου· ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ λεαίνω.

Λεξείδιον: Διὰ τῆς ει διφθόγγου τὸ ξ· παρὰ γὰρ τὴν λέξεως γενικὴν γέγονεν.

Λιμπάνω: ι· παρὰ γὰρ τὸ λείπω γέγονεν, ὥσπερ λείβω λιβὰς, καὶ νείφω νιφάς.

Λείμαξ: Σημαίνει δὲ τὸν λειμῶνα, διὰ τῆς ει διφθόγγου.

Λείαξ: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ λεῖον γέγονεν λείαξ.

Λιρός: Ὁ ἀναιδὴς διὰ τοῦ ι, καὶ ὀξύνεται.

Λῖμμα: ι παρὰ τὸ λείπω λίμμα· πολλὰ δέ εἰσιν ὀνόματα.

Λιθόβολος: Διὰ τοῦ ι· καὶ προπαροξύνεται· σημαίνει γὰρ τὸν λίθοις βαλλόμενον.

Λιθοβόλος δὲ παροξυτόνως τὸν λίθοις βάλλοντα.

Λῖχνος: Διὰ τοῦ ι· Λιχνεῖα· τὸ χνει δίφθογγος παρὰ τὸ λιχνεύω.

Λιμβός: ι· παρὰ τὸ λίαν βαίνειν· Λοιμική.

Λιμβεῖα: Παρὰ τὸ λιμβεύω.

n Leg. ἄποκον.

Λοιμός: Ἡ διαφθορά.

Λύμη: Ἡ βλάβη· Λοιδορία· Λαιμός· Λῆρος κατὰ παράδοσιν.

Λειμών: Παρὰ τὸ λείβω, λειβὼν καὶ λειμών· οἱονεὶ, ὅπου τὰ λεῖα κατανέμεται, τουτέστι τὰ πρόβατα.

Λείπω: Λέγει ὁ Ὧρος, ὅτι πάντα παρὰ τὸ λείπω διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, λειπόνεως· λειποταξία· λειποτάξιον· λειποστράτειον· ὁ δὲ Ὠριγένης[o] διὰ τοῦ ι λέγει γράφεσθαι· οἷον, ἔλιπον παρ' Εὐφορίωνι· λιποτρόφια παρὰ Νεοπτολέμῳ· ἐλλίπεες παρ' Εὐφορίωνι.

Λιποκτενίασσα[p]· Λιποναῦται· Λιποταξίου· Παρὰ Ἀριστοφάνει.

Λοίμια: Ὄνομα κύριον, γέγονεν δὲ ἡ γυνὴ Δημητρίου τοῦ Φαλήρεως[q]· ἔστιν δὲ καὶ προσηγορικὸν, τὰ χάσματα· οὕτω Διογενιανός.

Μικρός: Διὰ τοῦ ι γράφεται· κανὼν δὲ τοιοῦτος· τὰ εἰς κρος γενόμενα δισύλλαβα, εἴτε κύρια, εἴτε μὴ κύρια, ἀποστρέφονται τὴν ει δίφθογγον· γέγονεν δὲ τὸ μικρὸς ἀπὸ τοῦ μείων, ὅ ἐστι τὸ ἔλαττον· τοῦτο γίνεται κατὰ διάλυσιν τοῦ ι, καὶ ἐκτάσει τοῦ ε μήϊον, καὶ ἐκεῖθεν μηϊκρὸς, καὶ κατὰ συγκοπὴν τοῦ η μικρός· τὸν δὲ μικρὸν ἄνθρωπον νᾶνον εἰώθασιν λέγειν· οἱονεὶ νηᾶνος τίς ὢν, καὶ νᾶνος, ὁ ἐστερημένος τοῦ ἄνω.

Μεσίτης: Παρὰ τὸ μέσος· Μαργίτης· παρὰ τὸ μάργος.

Μεμφίτης: Παρὰ τὸ Μέμφης.

Μεταποντῖνος: Διὰ τοῦ ι.

Μοῖρα: Ἡ πόλις· καὶ Μύρα τὰ ἀλίμματα· καὶ Μοῖρα τὸ μέρος.

Μόλις· Μολυσμός· Μωρὸς καὶ Μόρος· Μῶμος· Μόδιον.

Μίλητος: Ἔστιν δὲ ὄνομα πόλεως, διὰ τοῦ ι γράφεται· Μίλλατος γὰρ λέγουσιν οἱ Αἰολεῖς, ὥσπερ ὅμιλος, ὅμιλλος· πέδιλον, πέδιλλον· εἰ δὲ ἐγράφετο διὰ τῆς ει διφθόγγου, ἔλεγον ἂν Μέλλετος, ὥσπερ κέῤῥω.

Μᾶλλον: Τὸ ἐπίῤῥημα τὸ α μακρὸν ἔχει· τὰ δὲ ἔχοντα

o Cod. ὀρειγένων. p Leg. λιποκτέανος. q Cod. φαλίρειος.

δύο σύμφωνα ὅμοια ἑπόμενα βραχὺ ἔχουσι τὸ δίχρονον· ὅθεν Ἴωνες τὸ μᾶλλον μάλιον λέγουσιν, διὰ τὸ μὴ συστεῖλαι τὸ α καὶ τὰ ὅμοια· λοιπὸν ἐν οἷς ἐπιφέρηται δύο σύμφωνα ὅμοια, συστέλλουσι τὸ δίχρονον ἢ τὸ ι· οἷον, ἴλλος· ἴκκος· καὶ ἴλλαος καὶ ἴλαος· διὰ τοῦτο ἐπειδὴ συνέστειλαν τὸ δίχρονον, ἤγουν τὸ ι, ὡς εἴρηται καὶ μὴ δύνασθαι αὐτὸ τῶν δύο ἐπιφερομένων συμφώνων.

Μίκκος: Ὁμοίως· ἐπειδὴ ἀνεδιπλασιάσθη τὸ κ, συστέλλουσι τὸ ι.

Μάσθλης: Ἔστιν δὲ ὁ λῶρος.

Μῖμος: ι· τὰ εἰς ος δισύλλαβα, ἔχοντα τὴν πρώτην καὶ τὴν δευτέραν συλλαβὴν ἀπὸ τοῦ αὐτοῦ συμφώνου ἀρχομένην, ἐνὶ φωνήεντι θέλουσι παραλήγεσθαι· οἷον, Νῖνος· βίβλος.

Μίμησις: ι τὸ πρῶτον, τὸ δὲ δεύτερον διὰ τοῦ η· παρὰ γὰρ τὸ μῖμος τὸ πρῶτον, τὸ δὲ δεύτερον ἐκ τοῦ μίμης· ἢ καὶ μιμνῶ, τοῦ ω εἰς η τραπέντος· ἐκ τοῦ οὖν μένω γέγονεν μιμνῶ· εἰσὶ γάρ τινα ῥήματα ἅτινα πλεονάζουσι σύμφωνον, καὶ τρέπουσι τὸ ε εἰς ι, ἔστιν οὖν μένω, γίνεται δὲ μίμνω, καὶ ἐκ τούτου μιμνήσκω, μίμνησις, καὶ κατὰ ἀποβολὴν τοῦ ν μίμησις.

Μῖσος: ι· ὥσπερ ἀπὸ τοῦ ἀφροδύτη γέγονεν Ἀφροδίτη, καὶ δύφρος, δίφρος· μύσος, μίσος.

Νεῖκος: Ἡ φιλονεικία διὰ τῆς ει διφθόγγου, ἐκ τοῦ εἴκω τὸ ὑποχωρῶ, καὶ τοῦ νε στερητικοῦ γέγονεν νέεικος, καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ τῆς ει διφθόγγου, νεῖκος· ἡ γὰρ φιλονεικία τοῦ ὑποχωρεῖν ἐστέρηται· εἰ γὰρ ὑποχωροῦσιν οὐκ ἔστι φιλονεικία.

Νεῖλος: Διὰ τῆς ει διφθόγγου· οἱ γὰρ Δωριεῖς διὰ τοῦ η γράφουσιν· ἢ παρὰ τὸ νέω γέγονεν νέϊλος, καὶ κατὰ συναίρεσιν Νεῖλος· ἢ παρὰ τὸ νέω, τὸ σημαῖνον τὸ ῥέω, καὶ τὸ ἰλὺς γέγονεν νέϊλος, καὶ Νεῖλος· ὁ γὰρ Νεῖλος ἰλυώδης ἐστίν· καὶ γὰρ νέος κατ' ἔτος φαίνεται, καὶ σήμερον καὶ κατ' ἔτος ποτίζει πᾶσαν τὴν Αἴγυπτον.

Νείατον: Σημαίνει δὲ τὸν ἔσχατον, διὰ τῆς ει διφθόγγου γράφεται· ὥσπερ γὰρ παρὰ τὸ μέσον γίνεται μέσατον, τὸν

αὐτὸν τρόπον καὶ παρὰ τὸ νεῶ γέγονεν νέατον, καὶ κατὰ πλεονασμὸν τοῦ ι νείατον.

Νηλήτης: Γέγονεν δὲ παρὰ τὸ νη τὸ ἐπιτατικὸν μόριον, καὶ τὸ ἀλητεῖν, τὸ σημαῖνον τὸ ἁμαρτεῖν· καὶ ἄξιόν ἐστιν ζητῆσαι, εἰ ἄρα τὸ νηλήτης ἀπὸ τοῦ ἀλιτεῖν γέγονεν, τὸ δὲ ἀλιτεῖν διὰ τοῦ ι γραφόμενον, πῶς τὸ νηλήτης διὰ τοῦ η γράφεται· ἔστιν οὖν εἰπεῖν, ὅτι ἐτράπη Αἰολικῶς τὸ ι εἰς τὸ η, οὕτως γὰρ τὸ ἀκτῖνες καὶ τὸ ψιμύθιον διὰ τοῦ η προφέρονται οἱ Αἰολεῖς.

Νείλεως: Διὰ τῆς ει διφθόγγου γράφεται· ἢ γὰρ παρὰ τὸ νέος καὶ τὸ λεως γέγονεν νεόλεως, καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ ο εἰς τὴν ει δίφθογγον νείλεως, ὡς πλέον, πλεῖν· δέον, δεῖν· ἢ ὥσπερ ἡ ἀβλῆτος καὶ ἀτρῶτος γενικὴ μετάγονται εἰς εὐθείας, καὶ προπαροξύνεται, τὸν αὐτὸν τρόπον καὶ ἡ Νείλεως γενικὴ μετάγεται εἰς εὐθεῖαν, καὶ προπαροξύνεται· οἷον, Νείλεως, καὶ κατὰ τροπὴν Δωρικὴν τοῦ η εἰς τὴν ει δίφθογγον Νείλεως· ὥσπερ οὐτῶ, οὐτήσω, οὐτεῖλαι, τοῦ η εἰς τὴν ει δίφθογγον τραπέντος.

Νειός: Σημαίνει δὲ τὴν ἀνανεουμένην γῆν· διὰ τῆς ει διφθόγγου γράφεται· παρὰ γὰρ τὸ νεῶ γέγονεν νεὸς, καὶ πλεονασμῷ τοῦ ι νειός.

Νυμφεῖα: ει, ἡ νύμφευσις.

Νείαρα: Σημαίνει δὲ τὸ ἔσχατον μέρος τῆς γαστρὸς, διὰ τῆς ει διφθόγγου· παρὰ τὸ νέω τὸ σημαῖνον τὸ πορεύομαι γέγονεν νέαιρα, καὶ πλεονασμῷ τοῦ ι νείαιρα· εἰς αὐτὴν γὰρ πορεύεται τὰ ἐσθιόμενα.

Νεστόρειος: Διὰ τῆς ει διφθόγγου· εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι· οἷον,

Νεστορέῃ παρὰ νηΐ. (Il. B. 54.)

Νείφω: Σημαίνει δὲ τὸ χιονίζω, διὰ τῆς ει διφθόγγου· ἔστιν γὰρ νέφος, καὶ ἐξ αὐτοῦ γίνεται νόφος, καὶ ἐν πλεονασμῷ τοῦ γ γνόφος, ἐκ τούτου οὖν τοῦ νέφος γίνεται νέφω, καὶ πλεονασμῷ τοῦ ι νείφω.

Νιφετός: Καὶ νιφὰς διὰ τοῦ ι· εἰσὶ γάρ τινα ὀνόματα.

Νήφω: Τοῦ ἐπὶ τὸ μεθύω κατὰ τροπὴν γεγενῆσθαι λέγει

Ἀπολλώνιος[r] ἀπὸ τοῦ νείφω τοῦ σημαίνοντος τὸ χιονίζω, κατὰ τροπὴν τῆς ει διφθόγγου εἰς τὸ η· τοὺς γὰρ λειποψυχοῦντας πολλάκις ὕδατος ῥανίσιν νήφειν ποιοῦμεν.

Νεμέσιος· Νότος: Ὁ ἄνεμος· Νῶτος· τὰ ψῶα· Νωθρός.

Νόστος· Νεοσσοί· Ναβουθαί.

Ξυνοικία: Ἡ ἑορτὴ ταξυνοικία.

Ξιφίσματα: Ὄρχησις παρὰ τὸ ξίφος· ὡς τῶν ὀρχουμένων ξιφηρῶν ὄντων.

Ξίρις: Ἔστιν δὲ εἶδος ἀρωματικὸν φυτοῦ, διὰ τοῦ ι γράφεται· τὰ γὰρ εἰς ρις βαρύτονα τῇ ει διφθόγγῳ οὐ παραλήγονται· οἷον, ἔρις· Ἶρις, ἔστιν δὲ εἶδος ὀρνέου· δῆρις· Σίρις, ἔστιν δὲ ὄνομα πόλεως Φοινίκης· κίσιρις, ἔστιν δὲ εἶδος ὀρνέου· οὕτως καὶ ξίρις.

Ξεῖνος: Διὰ διφθόγγου γράφεται· ὥσπερ γὰρ ἀπὸ τοῦ κενὸς γίνεται κεινὸς[s], κατὰ πλεονασμὸν τοῦ ι· οἷον,

κεινὴ δὲ τρυφάλεια ἅμ' ἕσπετο χειρὶ παχείῃ, (Il. Γ. 376.)

τὸν αὐτὸν τρόπον καὶ τὸ ξένος γέγονεν ξεῖνος· πρόσκειται βαρύτονα διὰ τὸ χειρὶς, χειρίδος· σημαίνει δὲ τὸ χειρομάνικον· καὶ πάλιν οἱ Αἰολεῖς ξένος λέγουσιν· μηδεὶς δὲ οἰέσθω ὅτι τὸ ξένος ἀπὸ τοῦ ξεῖνος γέγονεν· οὐδέποτε γὰρ οἱ Αἰολεῖς τὸ ι τὸ ἀπὸ πλεονασμοῦ ἀποβάλλουσιν, καὶ διπλασιάζουσι τὸ σύμφωνον· οἷον, τὸ κενὸς γίνεται κεινὸς, καὶ οὐ λέγουσι κέννος· ἀλλὰ ἀπὸ τοῦ ξένος γέγονεν ξέννος· καὶ γὰρ πολλάκις καὶ ἐπὶ βραχείᾳ συστολῇ ποιοῦνται τοῦ συμφώνου διπλασμόν· οἷον, Ἔννη, ἔστιν δὲ ὄνομα πόλεως· θεράπων, θεράπονος· οὕτως καὶ ξένος, ξέννος.

Ξυλοφορία: ι ἡ παράδοσις.

Ξυλήφιον: ι, ὡς ὑποκοριστικὸν γάρ, καὶ δοκιμώτερον τὸ ξυλήριον καὶ ξυλάριον.

Ξένιος: ι, καὶ τὸ κύριον, καὶ τὸ ἐπίθετον.

Ξανθικός: Ὁ μὴν ι· οὐδεὶς γὰρ μὴν Μακεδόνων τὴν ει δίφθογγον ἔχει ἐνπαρατέλευτον.

[r] Cod. ἀπολώνιος. [s] Cod. κινὸς.

Ξυλεῖα: ει, ξυλεύω γάρ.

Ὀπωρινός: Διὰ τοῦ ι γράφεται· τὰ γὰρ εἰς νος ὀξύτονα ἐπὶ καιροῦ λαμβανόμενα πάντα διὰ τοῦ ι γράφεται· οἷον, χειμερινός· θερινός· ἰσημερινός[t]· οὕτως καὶ πρωϊνὸς διὰ τοῦ ι μακροῦ ὅλα.

Ὀρίγανον: Διὰ τοῦ ι γράφεται κατὰ παράδοσιν· ὤφειλεν δὲ διὰ τῆς ει διφθόγγου· τὰ γὰρ ἀπὸ δοτικῆς τῶν εἰς ος οὐδετέρων συντιθέμενα τοῦτον τὸν τρόπον, εἰ μὲν φωνῆεν ἐπιφέρηται, ἢ ἓν ἁπλοῦν σύμφωνον, φυλάττεται ἡ ει δίφθογγος· οἷον, ὀρείαυλος· ὀρειγένης· οἱονεὶ, ὁ ἐν τῷ ὄρει γεννηθείς· τὸ γὰρ κύριον ὄνομα τὸ Ὠριγένης διὰ τοῦ ω καὶ ι γράφεται· εἰ δὲ δύο σύμφωνα ἐπιφέρονται, ἀποβάλλεται τὸ ε· οἷον, ἔγχει, ἐγχίκτυπος· ὄρει, ὀρειβρεμέτης· χωρὶς τῶν παρὰ τὸ κάλλος, καὶ τῶν παρὰ τὸ ὕψος· οἷον, καλλιγύναικα· καλλιπάρθενον· καλλιάνασσα· ὑψίζυγος· ὑψίθρονος· τούτων οὕτως ἐχόντων, τὸ ὀρίγανον διὰ τῆς ει διφθόγγου ὤφειλεν γράφεσθαι, διὰ τὸ ἓν ἁπλοῦν σύμφωνον ἐπιφέρεσθαι μόνον· ἔστιν γὰρ παρὰ τὸ ὄρει δοτικὴν καὶ τὸ γένος, τὸ σημαῖνον τὴν χάριν· τὸ γὰρ ὀρίγανον τὸ ὄρει χαίρει· ἢ παρὰ τὸ ὁρᾶν καὶ τὸ γάνω, τὸ σημαῖνον τὸ λαμπρύνω· οἱονεὶ, τὸ λαμπρύνον τὴν ὅρασιν· ὁρᾶν γάρ τινα ποιεῖται καλῶς τὸ ὀρίγανον· ἀλλὰ διὰ τοῦ ι ἐπεκράτησε λέγεσθαι· ὁ δὲ γραμματικὸς Θεόδωρος ὅτι παρὰ τὸ ῥιγῶ γίνεται ῥίγανον, καὶ πλεονασμῷ τοῦ ο ὀρίγανον, εἰ τὸ ψῦχον τινὰ κατὰ ἀντίφρασιν θερμάνει γάρ τινα· τριγενὲς δὲ λέγεται τὸ ὀρίγανον, ἀρσενικὸν, θηλυκὸν, οὐδετερόν.

Οἰκτίρω· Οἰκτείρω: Καὶ διὰ τοῦ ι γράφεται, καὶ διὰ τῆς ει διφθόγγου· ἔχουσι δὲ λόγον ἑκάτερα· τὸ γὰρ διὰ τοῦ ι γράφεται, διὰ τὸ οἰκτιρμὸς γράφεσθαι ι· καὶ πάλιν οἱ Αἰολεῖς οἰκτίῤῥω λέγουσι, καὶ οὐχὶ οἰκτέῤῥω· οἱ δὲ διὰ τῆς ει διφθόγγου γράφεσθαι αὐτὸ, ἐπειδὴ οἰκτερῶ ἐστιν ὁ μέλλων· ὅσα γὰρ ῥήματα ἐν τῷ μέλλοντι ἔχει τὸ ε * * * * * * * καὶ ἢ μόνον, ἢ μετὰ τοῦ ι αὐτὸ ἔχουσι· μόνον μέν· οἷον, νέμω, νεμῶ· δέρω, δερῶ· μετὰ δὲ ἑτέρου φωνήεντος· οἷον, κείρω, κερῶ· ἐγεί-

[t] Cod. ἰσιμερινός.

ρω, ἐγερῶ· ἀείρω, ἀερῶ· εἰ οὖν οἰκτερῶ φαμὲν τὸν μέλλοντα διὰ τοῦ ε, δηλονότι ὁ ἐνεστὼς διὰ τῆς ει διφθόγγου γράφεται.

Οἰκοδομία: ι, παρὰ τὸ οἰκοδόμος.

Ὄρνις, Ὄρνιθος: ι, διὰ τὸ εἰς θος εἶναι τὴν γενικήν.

Ὀπιπεύω: Ἰστέον ὅτι διὰ τοῦ ι γράφεται, παρὰ γὰρ τὸ ὄπτω, τὸ σημαῖνον τὸ θεωρῶ, γίνεται ὀπτεύω, καὶ κατὰ διπλασιασμὸν πτεύω, καὶ ὀπιπεύω.

Ὀρίνω: Διὰ τοῦ ι γράφεται· οἱ γὰρ Αἰολεῖς ὀρίννω λέγουσιν, καὶ οὐχὶ ὀρέννω· ἐπειδὴ εὕρηται κλινόμενον μετὰ τῶν παρατατικῶν· εἰ δὲ μετὰ τῆς ει διφθόγγου ἐγράφετο, οὐκ ἐκλίνετο μετὰ τῶν παρατατικῶν· τὰ γὰρ διὰ τοῦ εινω ὑπὲρ δύο συλλαβὰς διὰ τῆς ει διφθόγγου γραφόμενα, ἄχρι τοῦ παρατατικοῦ κλίνονται· ἐρεείνω· φαείνω· ἀλεείνω· καὶ ἰστέον ὅτι πάντα τὰ ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ εινω διὰ τῆς ει διφθόγγου γράφεται· πλὴν τοῦ ὀρίνω· ὠδίνω· πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ κρίνω καὶ κλίνω.

Οἴομαι: Παρὰ τὸ οἶομαι γέγονεν κατὰ διάλυσιν οἴομαι.

Ὅσιος: Διὰ τοῦ ι· ὡς Χαρίσιος· ἀφροδίσιος.

Ὀψαρίδιον: Διὰ τοῦ ι· ὥσπερ παρὰ τὸ οἰκία γέγονεν οἰκίδιον διὰ τοῦ ι· οὕτως καὶ παρὰ τὸ ὀψάριον, ὀψαρίδιον, ὡς γωνία, γωνίδιον.

Ὅμιλος: ι· ὅμιλλος γὰρ λέγουσιν οἱ Αἰολεῖς· καὶ πάλιν, τὰ διὰ τοῦ ιλος.

Οἰκεῖα: Τὰ ἴδια· ει δίφθογγος ὡς κτητικὸν, τῆς οἰκίας γάρ.

Οἰκία δὲ ὁ οἶκος διὰ τοῦ ι τὸ κι· ἐκ τοῦ οἶκος γὰρ γέγονεν οἰκία.

Οἰκεῖος: ει· οἰκήϊος γὰρ οἱ Δωριεῖς.

Ὄσπριον: ι· ἔστιν γὰρ σπόριον, εἶτα καθ' ὑπέρθεσιν τοῦ ο ὄσπριον.

Ὀϊλεύς: Λέγεται δὲ καὶ Ἰλεύς· διὰ τοῦ ι γράφεται· ἐπειδὴ τὰ εἰς ευς ὡς ἐπὶ τὸ πλεῖστον οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, Ἀχιλεύς· οὕτως καὶ Ἰλεὺς διὰ τοῦ ι· πλὴν τοῦ Νειλεὺς, ἐξ οὗ τὸ Νεῖλος.

῾Ομιχῶ: *Σημαίνει δὲ τὸ οὐρῶ· διὰ τοῦ ι γράφεται· τα γὰρ εἰς χω τῇ ει διφθόγγῳ οὐ παραλήγονται· πλὴν τοῦ στείχω καὶ λείχω· οἷον, κιχῶ· αὐχῶ.*

῎Οσιρις: *Διὰ τοῦ ι· τῷ λόγῳ τοῦ Βούσιρις· ὥσπερ ἐν τῷ* Β *στοιχείῳ μεμαθήκαμεν.*

῾Ονομαστί: *ι· ἐπειδὴ καὶ συνέσταλται.*

῎Ονειρος: Τὰ *διὰ τοῦ ειρος προπαροξύτονα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ὄνειρος· μάγειρος· καὶ ἄλλως, ἐπειδὴ οἱ* Αἰολεῖς *ὄνοιρος λέγουσι.*

Οἰνείδης: *Διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ* Οἰνεὺς *γέγονεν· τὰ δὲ ἀπὸ τῶν εἰς ευς διὰ τοῦ ειδης γινόμενα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον,* Πηλεὺς, Πηλείδης· Οἰνεὺς, Οἰνείδης.

῾Οπανεῖον: *῞Ωσπερ βαλανεῖον ἐν τῷ* Β *στοιχείῳ ἐγράφη· καὶ ἄλλως, ἐπειδὴ εὕρηται κατὰ διάστασιν τοῦ ι ὀπανήϊον, καὶ τροπῇ τοῦ η εἰς ε ὀπανέϊον, καὶ ὀπανεῖον.*

῎Ονειδος: *ει δίφθογγος· παρὰ γὰρ τὸ εἶδος καὶ τὸ ὀνῶ τὸ μέμφομαι γέγονεν ὄνειδος· ὄνειδος γὰρ λέγεται ὁ κατὰ τὸ εἶδος μεμπτός.*

῾Οκεῖλαι: *῾Οκελεύω*[u] *γάρ.*

῾Ονείατα: Σημαίνει *δὲ καὶ τὰ βρώματα καὶ παντὰ τὰ ὀφελοῦντα, διὰ τῆς ει διφθόγγου γράφεται· ἐπειδὴ οἱ* Αἰολεῖς *η γράφουσιν αὐτό· οἷον, ὀνήατα· κατὰ ἔθος γὰρ ἔχουσι τὴν ει δίφθογγον εἰς η τρέπειν· γέγονεν δὲ καὶ παρὰ τὸν ὀνήσω μέλλοντα ὀνείατον, σημαίνει τὸ ὀφέλιμον, κατὰ τροπὴν* Βοιωτικὴν *τοῦ η εἰς τὴν ει δίφθογγον.*

῾Οφείλω: *Διὰ τῆς ει διφθόγγου· ὄφελος γάρ.*

῾Οστρεῖα: *ει, ὄστρεα γάρ.*

῾Ορεινός: Παρὰ *τὸ ὄρος, ὄριος· ἀπάγεται δὲ τῷ κανόνι τῶν εἰς νος ὀξυτονων.*

῾Οθνεῖον: *ει δίφθογγος· ἀνέφανεν γὰρ τὸ ε ἐν τῷ "ὀθνέην ὀδόν·" ἔστιν δὲ παρὰ τὸ νόθος, νοθεῖος, καὶ ἐν ὑπερβιβασμῷ ὀθνεῖος.*

[u] Leg. ὀκέλλω.

Ὀψείω: Σημαίνει δὲ τὸ ἐπιθυμίαν ἔχω τοῦ θεωρῆσαι· εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι· καὶ ἄλλως· τὰ ἀπὸ ἐνεστώτων ἢ μελλόντων διὰ τοῦ ειω παραγωγὰ ὑπὲρ δύο συλλαβὰς διὰ τῆς ει διφθόγγου γράφεται.

Ὀρθοέπεια: ει δίφθογγος· τῷ λόγῳ τῶν διὰ τοῦ εια προπαροξυτόνων.

Ὁδεῖνα: ει δίφθογγος κατὰ παράδοσιν· ἰστέον ὅτι ὥσπερ Νεάπολις β' ὀνόματα εἰσὶν καθ' ἑνὸς ὑποκειμένου, τὸν αὐτὸν τρόπον καὶ τὸ ὁδεῖνα δύο ἀντωνυμίας εἰσὶν καθ' ἑνὸς ὑποκειμένου· καὶ ἄλλως, καὶ ἐκ τοῦ κατὰ διάστασιν εὑρεθῆναι δέϊνα, καὶ κατὰ συναίρεσιν τοῦ ε καὶ ι ὁ δεῖνα· ἄλλως δὲ διὰ τοῦτο τὸ ὁ δεῖνα διὰ διφθόγγου γράφεται· ἐπειδὴ αἱ ὑπὲρ μίαν συλλαβὴν μονοπρόσωποι ἀντωνυμίαι θέλουσιν ἔχειν δίφθογγον· οἷον, ἐκεῖνος· οὗτος· αὐτός· χωρὶς τοῦ ὅδε· μονοπρόσωποι δὲ λέγονται, ἐπειδὴ οὐκ ἔχουσι πρῶτον καὶ δεύτερον πρόσωπον· τὸ γὰρ ἐγὼ καὶ σὺ οὐκ εἴσι τοιοῦτον, ἀλλατί.

Ὀξύπεινος: ει· Ὀλμειός· ει, ὡς Ἀλφειός.

Οὐδένεια: ει δίφθογγος, διὰ τὸ οὐδενὲς παρὰ κειμένω.

Οἱονεί: Δίφθογγος· δύο γὰρ μέρη λόγου ἐστὶν, ὄνομα καὶ εἰ σύνδεσμος, καὶ ἐν συναιρέσει γέγονεν οἱονεὶ τὸ ἐπίρρημα.

Ὄρειος: ει, ἀπὸ τοῦ ὄρεος γενικῆς.

Ὅριον: Τὸ δασυνόμενον ι· καὶ Ὅριος Ζεύς.

Ὁμηρεῖα: ει, παρὰ τὸ ὁμηρεύω.

Ὀξείδιον: ει, ἀπὸ τοῦ ὀξέος εἴρηται.

Οἰκετεῖα: ει, ἡ θεραπεῖα.

Οὐκενι: ι κατὰ παράδοσιν.

Ὄροφος: Μικρόν· ἐν δὲ τῷ διώροφος ἐκτείνει τὸ κατ' ἀρχάς.

Ὄφελον: Μέγα· ἔστιν δὲ ἐπίρρημα εὐχῆς σημαντικὸν, καὶ ὄφελος.

Ὀχύρωμα: Μικρὸν τὸ ἀπὸ τῆς ἀρχῆς.

Ὀψέ: Ψιλὸν, ἐξ αὐτοῦ καὶ ὀψεῖα.

Ὀκέλλω καὶ Ἐξώκειλα.

Ὀλιγωρία· Ὁδοιπόρος· Ὁμιλία· Ὀψώνιον, κατὰ παράδοσιν.

Ὄτω: Χωρὶς τοῦ σ ὅτε σύμφωνον ἐπιφέρηται.

Ὀδύσαο: Ἀντὶ τοῦ ὀργίσθης ἀπὸ τοῦ ὀδύω· ὅθεν Ὀδυσσεύς.

Ὄνος: Τὸ ο μικρόν.

Παλαιστίνη: Τὸ λει δίφθογγον, ἐκ τοῦ πάλαι ἐπιῤῥήματος.

Πολιτεῖα: Παρὰ τὸ πολίτης ι, καὶ παρὰ τὸ λιτεύω δίφθογγος.

Πρηξῖνος: Γέγονεν δὲ παρὰ τὸν πράξω μέλλοντα πραξῖνος, καὶ κατὰ τροπὴν τοῦ α εἰς η πρηξῖνος.

Πανδοκεύτρια: ι· τὰ γὰρ διὰ τοῦ τρια προπαροξύτονα πάντα διὰ μόνου τοῦ ι γράφεται.

Παλλακῖνος: Πέδιλα· ι· σημαίνει τὰ ὑποδήματα, καὶ κατὰ τὴν ἐτυμολογίαν ὤφειλεν διὰ τῆς ει διφθόγγου γράφεσθαι· πέδιλα γὰρ λέγονται παρὰ τὸ περὶ τοὺς πόδας εἱλεῖσθαι· διατί δὲ διὰ τοῦ ι; ἐπειδὴ πέδιλλα λέγουσιν οἱ Αἰολεῖς· ὥσπερ ὅμιλος, ὅμιλλος· εἰ δὲ ἐγράφετο διὰ τῆς ει διφθόγγου πέδελλα εἶχον λέγειν· ἐπειδὴ κανὼν ἐστὶν ὁ λέγων, ὅτι τὰ παρὰ τὸ εἱλῶ συγκείμενα ἐν ὀνόμασι κατὰ τὸ τέλος, ἢ παραγόμενα ἐν ὀνόμασι διὰ τοῦ ι γράφεται· οἷον, ὅμιλος· ἔστιν δὲ παρὰ τὸ ὁμοῦ εἱλεῖσθαι· ἰλεὸς, σημαίνει δὲ τὴν κατάδυσιν· ἰλὴ, σημαίνει δὲ τὴν ἄθροισιν· ἰλύς· Ἰλισσός· οὕτως καὶ πέδιλον διὰ τοῦ ι· πρόσκειται κατὰ τὸ τέλος, διὰ τὸ εἰλίπους· ἐν ὀνόμασι δὲ, διὰ τὸ εἰλίσσω, καὶ εἰλύω.

Πίνω: Διὰ τοῦ ι γράφεται· ἀπὸ γὰρ τοῦ πίω γέγονεν κατ' ἐπένθεσιν τοῦ ν· τὸ δὲ ν ἐπὶ βαρυτόνων ῥημάτων ἐχόντων ἐν δίχρονον μόνον εἴωθεν ἐπεντίθεσθαι· οἷον, δύω, δύνω· θύω, θύνω· οὕτως οὖν καὶ πίνω μόνως ἐκτείνει τὸ ι· οἷον,

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης [x] (Il. Ξ. 1.)

τὸ δὲ πίνω καὶ ἐκτείνει καὶ συστέλλει.

Πισιδία: ι ἡ παράδοσις.

Πύξινον: Πύξος γάρ.

[x] Cod. ἔμπις.

Πίσεα: Σημαίνει δὲ τοὺς καθαροὺς τόπους, διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸν πίσω μέλλοντα, ἐξ οὗ τὸ πίσεα.

Πτισάνη: ι, καὶ πισσος παρὰ τὸ πτίσαι· ἣν γὰρ ἡ πτίσσος ὡς ἀπὸ τοῦ μέλαντος, μελανός.

Πίειρα: Σημαίνει δὲ τὴν λιπαρὰν, κατὰ μὲν τὴν ἄρχουσαν διὰ τοῦ ι γράφεται, παρὰ γὰρ τὸ πίω γέγονεν· κατὰ δὲ τὴν παραλήγουσαν διὰ τῆς ει διφθόγγου, τῷ λόγῳ τῶν εἰς ρα θηλυκῶν.

Πιμελή: Διὰ τοῦ ι γράφεται ὀξύτονον· ἔστιν δὲ θηλυκὸν γένος, καὶ σημαίνει τὸ λίπος· παρὰ δὲ τὸ πίω καὶ τὸ μέλος· γέγονεν πιωμέλη, καὶ κατὰ συγκοπὴν πιμελή.

Πίδαξ: Σημαίνει δὲ τὴν πηγήν· διὰ τοῦ ι γράφεται· τὰ γὰρ εἰς εξ λήγοντα οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, κλίμαξ· θρίδαξ· οἶδαξ[y]· πλὴν τοῦ λείαξ· ὥσπερ δὲ παρὰ τὸ κλίνω γέγονεν κλίναξ καὶ κλίμαξ· τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ πίω γέγονεν πίαξ, καὶ προσθέσει τοῦ δ πίδαξ διὰ τοῦ ι.

Πηγή: Ἐκ τοῦ πηδῶ γέγονεν πηδή, καὶ κατὰ μετάθεσιν τοῦ δ εἰς γ πηγή.

Πίσα: Ἔστιν δὲ ὄνομα πόλεως, διὰ τοῦ ι γράφεται· παρὰ τὸ πίω πίσω γὰρ γέγονεν· οἱονεὶ, ἡ ἔχουσα πολὺ[z] ὕδωρ· καὶ ἄλλως, ἐπειδὴ εὕρηται ἡ πι συλλαβὴ συστελλομένη παρὰ Πινδάρῳ.

Προβαλίσιος: Διὰ τοῦ ι· ὥσπερ γὰρ ἀπὸ τοῦ Τρικόρινθος[a] γίνεται Τρικορύσιος, οὕτως καὶ ἀπὸ τοῦ Προβάλιθος, Προβαλίσιος· τὸ δὲ Προβάλιθος διὰ τοῦ ι γράφεται· ἐπειδὴ τὰ εἰς θος οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, κάκιθος· σημαίνει δὲ τὸν κάκιστον· ἔριθος· σημαίνει δὲ τὸν ἐργάτην· λέκιθος· σημαίνει δὲ τὸν κρόκον τοῦ ὠοῦ.

Πίθος: Τὸν κανόνα τοῦτον· Πέρδικος.

Πηρίν: Σημαίνει δὲ τὸν ὄρχην· διὰ τοῦ ι γράφεται, παρὰ τὸ εἶναι δικατάληκτον· πηρὶς γὰρ καὶ πηρὶν, τὸ ἔξοθεν τῶν αἰδοίων.

y Cod. οἶδαξ sed corr. rec. man. ὄδαξ. z Cod. πολλύ.

a Leg. Τρικόρυθος.

Παλίωξις[b]: Διὰ τοῦ ι γράφεται· ἔστι γὰρ πάλιν καὶ δίωξις· ἐκ τούτων γίνεται κατὰ ἀποβολὴν τοῦ ν καὶ δ παλιίωξις, καὶ κατὰ κρᾶσιν τῶν δύο ιι εἰς ἓν ι μακρὸν παλίωξις.

Πιδῶ: Διὰ τοῦ ι· ἢ παρὰ τοῦ πίω γέγονεν, πηδᾶν γὰρ λέγομεν ἐπὶ τοῦ ἀλλομένου ὕδατος· ἢ ἐπειδὴ παρὰ τὸ πηδῶ λέγουσι κατὰ μετάθεσιν τοῦ η εἰς ι, ὥσπερ ἥκω καὶ ἵκω· διὰ τοῦ η καὶ ι.

Πηδῶ: Διὰ τοῦ η κατὰ παράδοσιν.

Πιδύτης: Ἔστιν δὲ ὄνομα κύριον, διὰ τοῦ ι· παρὰ γὰρ τὸ πιδῶ γέγονεν.

Πρίων: Διὰ τοῦ ι, παροξύνεται· παρὰ γὰρ τὸ πρίζω γέγονεν· πρίονος δὲ ἡ γενική· βραχὺ γὰρ τὸ δίχρονον τῷ λόγῳ τοῦ Ἀμφίων.

Πιδύω: Σημαίνει δὲ τὸ ἄλλομαι, διὰ τοῦ ι γράφεται· ὥσπερ γὰρ παρὰ τὸ ῥήσσω γίνεται ῥηγνύω, καὶ παρὰ τὸ πήσσω, πηγνύω, οὕτως καὶ παρὰ τὸ πιδῶ γίνεται πιδύω.

Πίπτω: Παρὰ τὸ πτῶ πίπτω· καὶ εὐλόγως, ἐπειδὴ οἱ ἀναδιπλασιασμοὶ ἀπὸ βραχείας θέλουσιν ἄρχεσθαι· καὶ πάλιν τὰ εἰς πτω λήγοντα ῥήματα ἑνὶ φωνήεντι παραλήγονται, πλὴν τοῦ φιλαλείπτω, καὶ ἀνερείπτω, ἐξ οὗ τὸ ἀνηρείψαντο.

Πηλείων, Πηλείωνος: Τὰ διὰ τοῦ ειων διὰ τῆς ει διφθόγγου γράφονται, μὴ ὄντα συγκριτικὰ φυλάττουσι τὸ ω κατὰ τὴν γενικήν· οἷον, Ἀτρείων, Ἀτρείωνος· Ἀργείων, Ἀργείωνος· Καδμείων, Καδμείωνος.

Πῖλος: ι· λέγουσι δὲ ἀρσενικόν· σημαίνει δὲ τὸν πίλιον, διὰ τοῦ ι· τῷ λόγῳ τῶν διὰ τοῦ ιλος· καὶ ἄλλως, παρὰ τὸ πιέζω πιέω γέγονεν πίελος, καὶ κατὰ κρᾶσιν τοῦ ι καὶ ε εἰς ἓν μακρὸν πῖλος· ὥσπερ ἱερεὺς, ἱρεύς· ἱερὸς, ἱρός.

Πιλῶ: Διὰ τοῦ ι· ὥσπερ γὰρ παρὰ τὸ φίλος γέγονεν φιλῶ, οὕτως καὶ παρὰ τὸ πῖλος, πιλῶ, καὶ πιλήσω ὁ μέλλων· ἐν τῇ συνηθείᾳ φασὶν πηλώσω.

Πίφιξ: Ἔστιν δὲ εἶδος ὀρνέου, διὰ τοῦ ι γράφεται καὶ κατὰ τὴν ἀρχὴν καὶ κατὰ τὴν παραλήγουσαν· ἡ μὲν πρώτη παρὰ τὸ

[b] Cod. Πλίωξις.

πίω γέγονεν· χαίρει γὰρ τὸ ὄρνεον τούτοις τοῖς ὕδασιν· ἡ δὲ λήγουσα, ἐπειδὴ τὰ εἰς ξ λήγοντα τὴν ει δίφθογγον ἀποστρέφονται· ἔτι δὲ καὶ τῷ κανόνι τῶν ἀμφιβαλλόμενων.

Ποικῖλαι: Διὰ τοῦ ι ἐπειδὴ ὁ μέλλων ποικιλῶ· ἔστιν γὰρ παρὰ τὸ ποικίλλω.

Πνίγω: ι, ἐπειδὴ ὁ παρακείμενος πέπνιγά ἐστιν, καὶ οὐ πέπνοιγα.

Πίθι: Διὰ τοῦ ι γράφεται· σημαίνει δὲ τὸ πίε· παρὰ γὰρ τὸ πίω γέγονεν πίθι κατ' ἐπέκτασιν τῆς θι συλλαβῆς, καὶ γράφεται διὰ τοῦ ι καὶ ε· ἔχεις ι μακρὸν πῖθι, ὥσπερ ἱερεὺς, ἱρεύς· ἱέραξ, ἵραξ.

Πῖνα: Ἔστιν δὲ ὄνομα λίθου, διὰ τοῦ ι· τὰ γὰρ διὰ τοῦ ινα ἀποστρέφονται τὴν ει δίφθογγον, χωρὶς τοῦ πεῖνα τοῦ ἐπὶ τῆς ἐνδείας· πῖνα δὲ ἐπὶ τοῦ θαλαττίου, διὰ τοῦ ι.

Πίηρ: ι, τὰ γὰρ εἰς ηρ βαρύτονα ἐνὶ φωνήεντι θέλουσι παραλήγεσθαι, πλὴν τοῦ ἐξάπτηρ· ἔστιν δὲ ὄνομα κύριον καὶ βαρύνεται· ἡνίκα δὲ σημαίνει τοὺς ὀγκίνους ὀξύνεται.

Παρθενοπίπης: Σημαίνει δὲ τὸν περιβλεπόμενον τὰς παρθένους, διὰ τοῦ ι γράφεται· τὰ γὰρ παρὰ τὸ ὀπιπέων διὰ τοῦ ι γράφεται· οἷον, παιδοπίπης.

Πολύιδος: Ἔστιν δὲ ὄνομα κύριον μάντεως, διὰ τοῦ ι γράφεται· εὕρεθη γὰρ καὶ ἐν συστολῇ.

Πλημμύριον: ι· ἡ ἄκρα παρὰ Συρακούσας.

Πηνελόπεια: Διὰ τῆς ει διφθόγγου· ἔστιν δὲ ὄνομα κύριον· τὰ γὰρ διὰ τοῦ εια προπαροξύτονα ἐπὶ τοῦ αὐτοῦ σημαίνοντος διὰ τῆς ει διφθόγγου γράφονται.

Πησιελόπεια: Ὁμοίως.

Προάστειον: ει· πρὸ τοῦ ἄστεος γάρ.

Προάστιον: Ὁ φιλόσοφος ι.

Πιθήσω[b]: ι· ἦν γὰρ ἐξ ἀρχῆς πείθω διὰ τῆς ει διφθόγγου· καὶ ὁ β' αὐτοῦ μέλλων πιθῶ· τοῦτο ὡς ἐνεστῶτα παραλαμβάνει, καὶ ποιεῖ τὸ πιθῶ, πιθήσω· οὕτως καὶ εἴρω, ἐρῶ.

Πηλείων: Διὰ τῆς ει διφθόγγου· τὰ γὰρ εἰς δης καὶ τὰ

[b] Cod. Πιθήβω.

ἔχοντα πατρωνυμικὰ τὴν αὐτὴν παραλήγουσαν θέλουσιν ἔχειν· οἷον, Ἀτρείδης, Ἀτρείων.

Πηλούσιον: ι ἡ πόλις οὐδετέρως, πηλούσιον τι ων.

Πελάγιος: ι ἀπὸ τοῦ πέλαγος· Πέλιος.

Προύνεικος: Σημαίνει δὲ τοὺς ὑβριστὰς, καὶ τοὺς ἄνδρας τοὺς ἱσταμένους ἐν ταῖς ἀγοραῖς, καὶ φερόντων τὰ καὶ λαμβανόντων τοὺς ὑπὲρ τούτων μισθούς· εἴτε δὲ τοὺς ὑβριστὰς σημαίνει, εἴτε τοὺς ἄλλους, διὰ τῆς ει διφθόγγου γράφεται· καὶ ἐπὶ μὲν τῶν ὑβριστῶν, ἐπειδὴ παρὰ τὴν πρὸ πρόθεσιν καὶ τὸ νεῖκος γέγονεν πρόνεικος, τὸ δὲ νεῖκος διὰ τῆς ει διφθόγγου γράφεται, ὡς ἐμάθομεν· εἰ δὲ τοὺς ἄλλους σημαίνει, ἐπειδὴ παρὰ τὴν πρὸ πρόθεσιν καὶ τὸ ἐνεῖκαι Βοιωτικῶς γέγονεν προένεικος, καὶ κατὰ κρᾶσιν τοῦ ο καὶ ε εἰς τὴν ου δίφθογγον προύνεικος, ὥσπερ τὸ ἐμὸν τοὐμόν.

Πλεῖν: Διὰ τῆς ει διφθόγγου· ὥσπερ γὰρ ἀπὸ τοῦ τύπτω, τύπτεις, τύπτει γίνεται τύπτειν, τὸ ἀπαρέμφατον προσθήκῃ τοῦ ν, οὕτως ἀπὸ τοῦ πλέω, πλέεις, πλέειν, καὶ κράσει πλεῖν, ὥσπερ ῥέειν, ῥεῖν.

Πλεῖν: Σημαίνει δὲ τοῦ πλοῦν, διὰ τῆς ει διφθόγγου· ὥσπερ παρὰ τὸ δέον γίνεται δεῖν, κατὰ κρᾶσιν τοῦ ε καὶ ο εἰς τὴν ει δίφθογγον Ἀττικῶς, οὕτως καὶ παρὰ τὸ πλέον, πλεῖν, Ἀττικῶς.

Πείθω: ει, πέποιθα γάρ ἐστιν ὁ μέσος παρακείμενος.

Πεῖνα: Διὰ τῆς ει διφθόγγου, παρὰ γὰρ τὸ πένω, ἐξ αὐτοῦ δὲ τοῦ πένομαι γέγονεν πένα, καὶ πλεονασμῷ τοῦ ι πεῖνα, καὶ πεινῶ ῥῆμα.

Παράδεισος: ει, παρὰ γὰρ τὸν δεύσω μέλλοντα, τὸν σημαίνοντα τὸ βρέξω, γέγονεν παράδευσος, καὶ κατὰ τροπὴν τοῦ υ εἰς ι παράδεισος· ἢ παρὰ τὴν δεῖσα, ὃ σημαίνει τὴν ὑγρασίαν, γέγονεν παράδεισος· τὸ δὲ δεῖσα διὰ τῆς ει διφθόγγου γράφεται.

Πειριθους: Διὰ τῆς ει διφθόγγου· ἰστέον γάρ ἐστιν ἡ λέγουσα ὅτι ὁ Ζεύς.

Παρειαί: ει· παραυναὶ γὰρ λέγουσιν οἱ Αἰολεῖς τρέποντες

τὸ ι εἰς υ, καὶ τὸ ε εἰς α· καὶ ἄλλως, ὅτι εὕρηται καὶ παρήϊα κατὰ διάστασιν τοῦ ι, καὶ ἐκτάσει τοῦ ε εἰς τὸ η.

Πειώλης: Διὰ τῆς ει διφθόγγου· σημαίνει δὲ τὸν πόρνον καὶ τὸν διαπέσος ἀπολλύμενον· παρὰ γὰρ τὸ πέσος γέγονεν πεόλης, καὶ πλεονασμῷ τοῦ ι, καὶ ἐκτάσει τοῦ ο εἰς τὸ ω, πειώλης.

Πεῖρα: ει· ἐπειδὴ πέῤῥα λέγουσιν οἱ Αἰολεῖς, ἀποβάλλοντες τὸ ι, καὶ διπλασιάζοντες τὸ σύμφωνον.

Πλείων: Εὕρηται γὰρ καὶ πλέον, καὶ ἄλλως, τῷ κανόνι τῶν συγκριτικῶν.

Πῖθεν: ι· δεύτερος γὰρ ἀόριστός ἐστιν.

Πλειών: Σημαίνει δὲ τὸν ἐνιαυτὸν, διὰ τῆς ει διφθόγγου γράφεται· παρὰ γὰρ τὸ πλεῖον τὸ σημαῖνον τὸ πλῆρες γέγονεν, οἱονεὶ, ὁ πλῆρις χρόνων· τὸ δὲ πλεῖον ἐδείχθη διὰ τῆς ει διφθόγγου γραφόμενον· ὀξύνεται δὲ, ἐπειδὴ δοκεῖ περιεκτικὸν εἶναι· πλειὼν γὰρ λέγεται ὁ ἐνιαυτὸς παρὰ τὸ περιέχειν πλήρης· τὰ γὰρ εἰς ων περιεκτικὰ ὀξύνονται.

Πλειάς: Σημαντικόν ἐστι τοῦ ἐνιαυτοῦ· δύουσα γὰρ τὴν ἀρχὴν τοῦ ἐνιαυτοῦ δηλοῖ, ἀνατέλλουσα δὲ τὸ τέλος· διὰ τῆς ει διφθόγγου δὲ γράφεται, ἐπειδὴ εὕρηται κατὰ διάστασιν Πληϊὰς κατ᾽ ἔκτασιν τοῦ ε εἰς η· Πτρόεις.

Πειραιεύς: Διὰ τῆς ει διφθόγγου, παρὰ τὸ περαιοῦσθαι γέγονεν, περαιεὺς καὶ πλεονασμῷ τοῦ ι Πειραιεύς· τὸ δὲ ραι ἐκ τοῦ πέρας, καὶ προσέλαβεν τὸ ι.

Πλατεῖα: Παρὰ τὸ πλατύς.

Πολύκλειτος: ει· παρὰ τὸ κλειτὸς, ὅπερ διὰ τῆς ει διφθόγγου γράφεται, παρὰ γὰρ τὸ κλέος, κλεϊτὸς, καὶ συναιρέσει κλειτὸς, καὶ πολύκλειτος.

Πειρήνη: Ἡ κρήνη· ἔστιν δὲ πηγὴ ἐν Κορίνθῳ, διὰ τῆς ει διφθόγγου γράφεται· παρὰ γὰρ τὸ πέρας γέγονεν ἄπερος, καὶ πλεονασμῷ τοῦ ι ἄπειρος, καὶ ἐκεῖθεν ἀπειρήνη· οἱονεὶ, ἡ πολλή· καὶ κατὰ ἀποβολὴν τοῦ α Πειρήνη· ἢ ἀπὸ Πειρῆνος τινὸς ὠνομάσθη, καὶ διὰ τοῦτο διὰ τῆς ει διφθόγγου γράφεται.

Πείρειν: ει· παρὰ γὰρ τὸ πέρας γέγονεν πέρην, καὶ πλεονασμῷ τοῦ ι πείρην.

Πενειός: Ἔστιν δὲ ὄνομα ποταμοῦ, ει· ὡς Ἀλφειός.

Πείρινθος: Σημαίνει δὲ τὸ τετράγωνον τὸ τιθέμενον ἐπάνω τῆς ἀμάξης, ει· παρὰ γὰρ τὸ περιθέειν γέγονεν πέρινθος, καὶ πλεονασμῷ τοῦ ι πείρινθος.

Πλεισθένης: Ἔστιν δὲ ὄνομα κύριον, ει δίφθογγος· ὥσπερ γὰρ παρὰ τὸ δέον γέγονεν δεῖν, κατὰ κρᾶσιν Ἀττικὴν τοῦ ε καὶ ο εἰς τὴν ει δίφθογγον· καὶ παρὰ τὸ πλέον, πλεῖν· οὕτως καὶ παρὰ τὸ πλέον καὶ σθένος γέγονεν πλεοσθένης, καὶ κράσει Πλεισθένης.

Πρεσβεῖα: Διὰ τῆς ει διφθόγγου γράφεται· σημαίνει δὲ τὴν γεγαρηκυῖαν, τῷ λόγῳ τῶν διὰ τοῦ εια προπαροξυτόνων· καὶ ἄλλως· τὰ ἀπὸ τῶν εἰς ευς διὰ τοῦ εια παρεσχηματισμένα θηλυκὰ διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ταχὺς, ταχεῖα, οὕτως καὶ πρεσβὺς, πρεσβεῖα· τοῦτο δὲ γίνεται κατὰ συγκοπήν· ἰστέον δὲ ὅτι σπανίως πάνυ εὕρηται ἐν χρήσει.

Πεισίστρατος: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ πείθω, πείσω, Πεισίστρατος.

Ποσειδῶν: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ πέδον σείειν· ἀπὸ τοῦ οὖν τὸ πέδον γίνεται πεδοσείων, καὶ ἐν ὑπερβιβασμῷ Ποσειδέων καὶ Ποσειδῶν· καὶ παρὰ τοῖς Ἀθηναίοις δὲ διὰ τῆς ει διφθόγγου γράφεται· οἱ δὲ Αἰολεῖς καὶ οἱ Δωριεῖς διὰ τοῦ ι.

Πείσανδρος: Παρὰ τὸν πείσω μέλλοντα, καὶ τὸ Πεισίστρατος ὁμοίως.

Πάδειος: ει δίφθογγος τὸ κτητικόν.

Παιδίου πλοκάμοισι: ι.

Πέλεια: Τῷ λόγῳ τῶν διὰ τοῦ εια προπαροξυτόνων· καὶ ἄλλως, οἱ Δωριεῖς διὰ τοῦ ι γράφουσιν αὐτό· καὶ ἰστέον δὲ ὅτι ὥσπερ παρὰ τὸ μαῖα γίνεται μαιὰς μαιάδος, οὕτως καὶ παρὰ τὸ πέλεια, πελειὰς πελειάδος, φυλαττομένης τῆς αὐτῆς γραφῆς.

Πρυτανεῖον: Τῷ λόγῳ τοῦ βαλανεῖον· καὶ ἄλλως, τὰ

ἀπὸ τῶν διὰ τοῦ ευω διὰ τοῦ ειον γινόμενα διὰ τῆς ει διφθόγγου γράφεται.

Πιθανός: *ι·* Παιδεία· *ει· παιδεύω γάρ.*

Πανδοκεῖον: *ει δίφθογγος· κτητικὸν γὰρ ἀπὸ τοῦ πανδοκεύς.*

Προμήθεια: *ει, καὶ προπαροξύνεται· οὕτως ἡ παράδοσις.*

Πράσειον: *ει δίφθογγος ἡ βοτάνη.*

Προσέχεια: *ει δίφθογγος, καὶ προπαροξύνεται ἀπὸ τοῦ προσεχής.*

Πυλωρός: Τὰ *εἰς ρος ὀξύτονα ἢ τὸ ε παραλήγεται, ἢ τὸ η, ἢ τὸ υ, ἢ τὸ ω· οἷον, φθονερός· καματηρός· ἰσχυρός· οὕτως καὶ πυλωρός.*

Πραγματεία: Ἡ *πρᾶσις ει·* Πραγματία *δὲ ἡ συγγραφὴ ι.*

Πρόσκομμα: Δύο *σσ· παρὰ τὸ σκώπτω, καὶ ἡ πρόθεσις φυλάττεται εἰς τὰ ῥήματα· ὁ γὰρ παθητικὸς παρακείμενος δεικνύει τὸ προεσκόψεται.*

Προσήλυτος: *η·* Πειρος· *τυφλός·* Περιβίη.

Προοίμιον· Πενιχρός· Πώρωσις· Πλημμοιρῶ.

Πῶμα: Τὸ *σκέπασμα πρὸς ἀντιδιαστολήν.*

Πώγων· Πιλωτόν· Πήρωσις.

Πύον: Τὸ *ἔμπυον.*

Παλαιστίνη· Παλαίστρα· Πραΐδα· Παλαιός.

Πρακτέος: Τὰ *ἀπὸ τῶν εἰς ος ὀνομάτων κυρίων διὰ τοῦ εος γινομένων παράγωγα ὀνόματα διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, πρακτὸς, πρακτέος.*

Πυνθάνω: Π*αρὰ τὸ πεύθω, πυνθάνω, ὡς λείπω, λιμπάνω.*

Πήλη: Ὄ*νομα νήσου·* Πεπτρωμένος.

Ῥήγιον: Ἔ*στιν δὲ ἐθνικὸν, διὰ τοῦ ι γράφεται· ἰστέον δὲ ὅτι Ῥήγιον πόλις ἐστὶν πλήσιον τῆς Σικελίας· Ῥήγειον δὲ λέγουσιν· ἐπειδὴ σεισμοῦ γενομένου ἀπετελέσθαι τὰ ἐκεῖ ῥαγέντα τοῦ τόπου ἐκείνου· καὶ παρὰ τὴν ῥῆξιν δέ φασιν ὅτι καὶ ὁ πορθμὸς διὰ μέσου γέγονεν.*

Ῥηγμίς: Τὸ ρη η, παρὰ τὸ ῥήσσω· τὸ δὲ μις ι, ὡς δικατάληκτον.

Ῥοδωνία: ι, ὥσπερ Ἰωνία.

Ῥίν: ι, ὡς δικατάληκτον.

Ῥητίνη: ι, ὡς ἀξίνη.

Ῥινή: Ἰστέον ὅτι ἐστὶν ῥινὴ ὀξύτονον, καὶ ῥίνη βαρύτονον· ἀλλὰ τὸ μὲν ὀξύτονον σημαίνει τὸ λεγόμενον ῥινίον· τὸ δὲ βαρύτονον εἶδος ἰχθύος· γράφεται δὲ διὰ τοῦ ι τῷ λόγῳ τῶν διὰ τοῦ ινη.

Ῥῖγος: ι· ἀπὸ γὰρ τοῦ φρίσσω γέγονεν φρίγος, καὶ ἀποβολῇ τοῦ φ ῥίγος· τὸ δὲ φρίσσω διὰ τοῦ ι γράφεται, ἐπειδὴ οὐδέποτε πρὸ τῶν δύο σσ ει δίφθογγος εὑρίσκεται.

Ῥῖνος: Σημαίνει δὲ τὸ δέρμα, διὰ τοῦ ι γράφεται· ἢ γὰρ παρὰ τὸ ῥινὴ γέγονεν, ὅπερ διὰ τοῦ ι γράφεται, ἢ παρὰ τὸ ῥὶν, ὃ σημαίνει τὸ ἄκρον· καὶ γὰρ τὸ δέρμα ἄκρον ἐστὶν, καὶ οἷον ἐπιφάνεια τῆς σαρκός.

Ῥιπή: Διὰ τοῦ ι τὸ πρῶτον· τὸ δὲ δεύτερον διὰ τοῦ η· παρὰ γὰρ τὸ ῥίπτω, τοῦ τ ἀποβληθέντος, καὶ τοῦ ω εἰς η τραπέντος, ῥιπή.

Ῥησείδιον: Διὰ τῆς ει διφθόγγου τὸ σει· ἀπὸ τῆς ῥήσεως γενικῆς· ὥσπερ ἀπὸ τῆς λέξεως, λεξείδιον.

Ῥητορεῖα: ει, ἀπὸ τοῦ ῥητορεύω.

Ῥοίτειον: ει, ἐπειδὴ τὰ διὰ τοῦ ειον τρισύλλαβα μακρὰν ἔχοντα τὴν παραλήγουσαν οὐδέποτε διὰ τοῦ ι γράφεται· οἷον, Σίγειον· Λύκειον, ἔστιν δὲ τόπος· γένειον· βρένθειον.

Ῥεῖθρον: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ ῥέειν γίνεται ῥέεθρον, καὶ κράσει τῶν δύο εε εἰς τὴν ει δίφθογγον ῥεῖθρον· ἰστέον δὲ ὅτι τὰ εἰς ον λήγοντα ῥηματικὰ οὐδέποτε ἔχουσι τὸ ρ ἐν τῇ τελευταίᾳ συλλαβῇ ἰσοσυλλαβοῦντα τῷ ῥήματι· καὶ εἴτε ἔχουσι τὸ τ, ὡς νίζω νίτρον, ἢ τὸ π, ὡς νίπτω, νίπτρον· τρέφω[c], θρέπτρον· ἢ τὸ κ, ὡς πλήσσω, πλῆκτρον· ἢ τὸ λ[d] μετὰ τοῦ τ, ὡς φύτο, φύτλον· καὶ βαρύνουσι πάντα πλὴν τὸ λουτρόν· τὰ δὲ περισσοσύλλαβα εἰσὶν τὸ αν παραληγόμενα·

c Cod. θρέφω. d Cod. τὸ ν.

οἷον, τύπτω, τύμπανον· δρέπω, δρέπανον· λείπω, λείψανον· καὶ τὰ εἰς ρον μετὰ τοῦ θ· οἷον, θέλγιθρον· μέλπω, μέλπιθρον· καὶ τὰ εἰς λον ἔχοντα τὸ θ· οἷον, ἕδω, σημαίνει δὲ τὸ καθέζομαι, ἕδεθλον· ἔστιν δὲ παρὰ τὸ ἕδος· γενῶ, ἐξ οὗ τὸ γενήσομαι, γένεθλον· ἢ ἔχοντα τὸ τ, ὡς τὸ ἔχω, ἔχετλον· τὸ τοίνυν ῥέεθρον ἄλογον διὰ τοῦ ε, ὡς μέλπιθρον· θέλγιθρον· τὸ ῥεῖθρον πέπονθεν συναλειφὴν ἐκ τῶν δύο εε εἰς τὴν ει δίφθογγον.

Ῥεῖα: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ ῥέω γέγονεν ῥέα, καὶ πλεονασμῷ τοῦ ι ῥεῖα διὰ τῆς ει διφθόγγου· τὸ γὰρ εὐχερὲς ῥέπει ἔοικεν.

Ῥείτης: Ἐξ οὗ τὸ βαθυῤῥείτης καὶ εὐῤῥείτης· παρὰ γὰρ τὸ ῥέω ῥεέτης, καὶ κατὰ συναίρεσιν ῥείτης.

Ῥειτός: ει δίφθογγος, ἢ ῥῖτος ι· ῥητοὶ δέ εἰσι ποταμοὶ δύο διὰ φάραγγος ὑπὸ γῆν ῥέοντες· ἔνθα φησὶν ὡς πλήσιον Ἐλευσῖνος· καὶ λέγουσιν ὅτι ὁ Ὧρος διὰ τῆς ει διφθόγγου γράφει, ὀξύτονον γὰρ ὡς τὸ κλειτός· ὁ δὲ Ἡρωδιανὸς ἐν τῇ καθόλου λέγει ὅτι διὰ τοῦ ι γράφεται, καὶ βαρύνεται· οἷον, ῥῖτος· σῖτος· Τρῖτος, ἔστιν δὲ ὄνομα ποταμοῦ.

Ῥίζα: Ἀπὸ τοῦ ἴζω, ἴζα, καὶ προσθήκῃ τοῦ ρ ῥίζα· ὥσπερ τὸ κνίζω, κνίσω, καὶ κνίσα.

Ῥιπίδιον· Ῥοιακων ζεῦγος· Ῥοίδια: Τὰ ὑποδήματα.

Θηρέκλειον ζεῦγος: Θηρίκλειον κύλικος εἶδος.

Σίγειον: Τὸ γει δίφθογγος, τῷ κανόνι τοῦ Ῥοίτειον· τὸ σι ι παρὰ τὴν σιγήν.

Σιγὴ καὶ Σιγᾶ: Διὰ τοῦ ι· ἐπειδὴ παρὰ τὸ σιγή ἐστιν, ὥσπερ καὶ παρὰ τὸ τιμὴ γέγονεν τιμῶ· τὸ δὲ σιγὴ διὰ τοῦ ι γράφεται, ἐπειδὴ, ὡς φασὶν ὁ Ὧρος, ἐν τῇ συνθέσει συνεσταλμένη εὑρέθη ἡ σι συλλαβὴ, ἡ ἐν τῷ σιωπή· γέγονεν δὲ παρὰ τὴν σιγὴν καὶ τὴν ὄπα, τὴν φωνὴν, σιωγὴ[e], καὶ κατὰ ἀποβολὴν τοῦ γ σιωπή· ἀποβληθέντος γὰρ τοῦ γ ἐξέτεινεν τὸ ο· καὶ ἄλλως, τὰ εἰς γη οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, γῆ· κραυγή· κλαγγή· αὐγή· οὕτως οὖν καὶ σιγή.

Σικελίδης: Μακρὸν τὸ ι, διὰ τοὺς ἐπαλλήλους βραχείας·

[e] Leg. σιγωπή.

ὥσπερ καὶ τὸ Πριαμίδης· ἀπάγεται δὲ τῷ κανόνι τοῦ Κρονίδης.

Σέριφος: ι· τὰ γὰρ εἰς φος μονογενῆ ὄντα οὐδέτερα ἁπλᾶ, μὴ ὄντα Ἰταλικὰ, ἑνὶ φωνήεντι θέλουσι παραλήγεσθαι· οἷον, ἔριφος· Τέλεφος· κίνιφος σημαίνει δὲ τὸ ποικίλον· πρόσκειται μονογενῆ, διὰ τὸ ὁ κοῦφος, ἡ κούφη, τὸ κοῦφον· μὴ ὄντα δὲ οὐδέτερα, διὰ τὸ λαῖφος· ἁπλᾶ δὲ, διὰ τὸ φιλοῦφος, σημαίνει δὲ τὸν συνουσιαστήν· Ἰταλικὰ δὲ διὰ τὸ Ῥοῦφος.

Σφραγίς: ι· τὰ γὰρ εἰς ις ὀξύτονα θηλυκὰ ὑπὲρ μίαν συλλαβὴν κοινολεκτούμενα ἀποστρέφει τὴν ει δίφθογγον· οἷον, ἀσπίς· ῥανίς.

Σῖτος: ι· ὥσπερ γὰρ παρὰ τὸ ἐργάζομαι γίνεται ἐργάστης, καὶ κατὰ ἀποβολὴν τοῦ σ ἐργάτης ἐν βαρυτόνῳ τάσει· καὶ παρὰ τὸ οἴσω γίνεται οἶστος, καὶ ἀποβολῇ τοῦ σ οἶτος ἐν βαρυτόνῳ τάσει, οὕτως καὶ παρὰ τὸ σείω γίνεται σειστὸς, καὶ ἀποβολῇ τοῦ σ σῖτος διὰ τοῦ ι· καὶ ἄλλως, παρὰ τὸ σίω τὸ διὰ τοῦ ι γραφόμενον· καὶ ἄλλως, ὅτι τὰ διὰ τοῦ ιτος ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, Τρίτος· μίτος· Ἐπαφρόδιτος.

Σκίρος: Διὰ τοῦ ι τὸ ἐπὶ τοῦ πάθους· ι ἡ παράδοσις.

Σείω: Διὰ τῆς ει διφθόγγου· ὥσπερ γὰρ παρὰ τὸ πνέω γέγονεν πνείω διὰ τῆς ει διφθόγγου ἐπενθέσει τοῦ ι, καὶ παρὰ τὸ πλέω πλείω, οὕτως καὶ παρὰ τὸ σέω σείω διὰ τῆς ει διφθόγγου.

Σπληνίον: Παρὰ τὴν σπληνὸς γενικήν.

Σιδών: Ἐπὶ τοῦ πολίτου ὅτε ἀρσενικῶς λέγεται, καὶ ἐπὶ τῆς πόλεως ὅτε θηλυκῶς· διὰ τοῦ ι γράφεται· ἐπειδὴ τὰ εἰς δων λήγοντα θηλυκὰ ἑνὶ φωνήεντι θέλουσι παραλήγεσθαι· οἷον, Σαρπηδών· σηπεδών· χελιδών.

Σελίδιον: ι· ὥσπερ ψελὶς, ψελίδιον· οὕτως καὶ σελὶς, σελίδιον.

Σάρδις: ι· ὥσπερ παρὰ τὸ πόλιες καὶ ὄφιες γίνεται πόλις καὶ ὄφις κατὰ κρᾶσιν τοῦ ι καὶ ε εἰς ι μακρὸν, οὕτως καὶ παρὰ τὸ Σάρδιες γίνεται Σάρδις κατὰ κρᾶσιν τοῦ ι καὶ ε εἰς ι μακρόν.

Σηξάμη: Διὰ τοῦ η ἡ παράδοσις.

Σκόλοπος: Διὰ τοῦ ο ἡ παραλήγουσα· Εὐριπίδης.

τίς ἐσθ' ὁ μέλλων σκόλοπος ἢ λεσμοῦ[f] τυχεῖν;

Σιγηλός: Διὰ τοῦ ι τὸ πρῶτον παρὰ τὸ σιγῶ, σιγήσω· τὸ δὲ η ἐκ τοῦ σιγῶ τροπῇ τοῦ ω εἰς η γέγονεν σιγηλός.

Σέλινον: Διὰ τοῦ ι· οἱ γὰρ Αἰολεῖς σέλιννα λέγουσιν, ὥσπερ ὅμιλος, ὅμιλλος· καὶ ἄλλως· τὰ διὰ τοῦ ινος προπαροξύτονα μὴ ὄντα σύνθετα ἀπὸ ὀνομάτων ἐχόντων τὴν ει δίφθογγον διὰ τοῦ ι γράφεται· οἷον, κύμινον· ἀνθρώπινον· ξύλινον.

Σπῖρα: Σημαίνει δὲ τὰ ἱμάτια, διὰ τοῦ ι γράφεται· ἐπειδὴ παρὰ τὸ ἐνσπείρεσθαι τινὰ ἐν αὐτοῖς οὕτως λέγονται· ἀλλ' ἡ παράδοσις τὸ ι ἔχει ἴσως τῷ λόγῳ τῶν ῥημάτων· εἰσὶ γάρ τινα ὀνόματα ἀπὸ ῥημάτων γινόμενα γραφομένων τῶν ῥημάτων διὰ τῆς ει διφθόγγου, καὶ γράφεται διὰ τοῦ ι· ὥσπερ πείθω, πιθανός· οὕτως καὶ εἴρω, Ἶρις, καὶ σπείρω, σπῖρον, καὶ τὰ σπῖρα.

Σύρία: ι, παρὰ τὸ Σύρος.

Σκίπες: ι· σκὶψ γάρ ἐστιν ἡ εὐθεῖα· τὰ δὲ εἰς ψ λήγοντα πᾶσαν δίφθογγον ἀποστρέφονται· λέγουσι δὲ καὶ σκνὶψ καὶ πνὶψ διὰ τοῦ φ καὶ διὰ τοῦ π.

Στίβη: ι· σημαίνει δὲ τὴν ψυχρίαν· τὰ γὰρ εἰς η λήγοντα θηλυκὰ ἔχοντα πρὸ τοῦ η ἑνὶ τῶν μέσων, λέγω δὴ τὸ β, ἢ γ, ἢ δ, ἢ ἕν τι τῶν δασέων, λέγω δὴ τὸ θ, ἢ φ, ἢ χ, ἢ τὸ λ, ἢ τὸ μ, ἢ τὸ ν, ἢ τὸ κ, ἢ τὸ π, ἢ τὸ τ, οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, τριβή· λοιβή· ἀμοιβή· στοιβή· ἐρυσιβή.

Σινώπη: Διὰ τοῦ ι· καὶ τὸ νω μέγα κατὰ παράδοσιν.

Σεμίδαλις: ι ἡ β' συλλαβὴ, ἐπειδὴ καὶ συστέλλεται· σεμιδάλεως γὰρ κοινοτέρως.

Στριφνός: Διὰ τοῦ ι· παρὰ τὸ στύφω γέγονεν στυφνὸς καὶ στρυφνὸς, καὶ κατὰ τροπὴν τοῦ υ εἰς ι στριφνός.

Σκίπων: Σημαίνει δὲ τὴν βακτηρίαν· διὰ τοῦ ι γράφεται· ἀπὸ γὰρ τοῦ σκιρίπτω γίνεται σκιρίπτων, καὶ κατὰ συγκοπὴν τοῦ η καὶ ρ, ἀποβολῇ τοῦ τ σκίπων· καὶ ἄλλως, τὰ εἰς πτω λήγοντα οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι.

[f] Leg. λευσμοῦ.

ΣΙΜΌΣ: *Διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ σίγμα γίνεται σιγμὸς, καὶ κατὰ ἀποβολὴν τοῦ γ σιμός· καὶ γὰρ τοῦ σιμοῦ ἡ ῥὶς δοκεῖ τὸ σ μιμεῖσθαι· τὸ δὲ σίγμα διὰ τοῦ ι γράφεται· τὰ γὰρ εἰς α λήγοντα ὀνόματα τῶν στοιχείων ἑνὶ φωνήεντι θέλουσι παραλήγεσθαι· οἷον, ἄλφα· βῆτα· γάμμα*[g]*· δέλτα· οὕτως οὖν καὶ τὸ σ ἑνὶ φωνήεντι θέλει παραλήγεσθαι.*

ΣΊΝΟΝΤΑΙ: *Διὰ τοῦ ι· οἱ γὰρ Αἰολεῖς σίννονται λέγουσι, καὶ οὐχὶ σέννονται· καὶ παρὰ τὸ σίνομαι δὲ διὰ τοῦ ι γράφεται· οἷον, ἐπισίνης*[h].

ΣΙΓΑΛΌΕΝΤΑ: *Διὰ τοῦ ι γράφεται· σημαίνει δὲ τὰ πεποικιλμένα· παρὰ γὰρ τὸ στίζω γέγονεν στιγαλόεντα, καὶ κατὰ ἀποβολὴν τοῦ τ.*

ΣΤΊΜΙ: *Σημαίνει δὲ τὸν λεγόμενον χόλλαν, διὰ τοῦ ι· τὰ γὰρ εἰς ι λήγοντα οὐδέτερα οὐ θέλουσι τὴν ει δίφθογγον παραλήγεσθαι· οἷον, μέλι· κιννάβαρι· σίνηπι· πίπερι· οὕτως οὖν καὶ στῖμι· ἰστέον δὲ ὅτι λέγεται καὶ ἡ στῖμις, τῆς στίμεως, τὴν στῖμιν,*

καὶ τὴν μέλαινα στῖμιν ὀμματόγραφος.

ΣΊΝΗΠΙ: Τὸ *σι ι, τῷ κανόνι τοῦ στῖμι· τὸ νη η, ἐκ τοῦ λέγειν σίναπιν· τὸ πι ι, ὡς οὐδέτερον.*

ΣΤΙΤΕΙ͂ΡΑ: *ι καὶ ει ἡ παράδοσις.*

ΣΤΆΓΙΡΑ: *Ἔστιν δὲ ὄνομα πόλεως, διὰ τοῦ ι γράφεται κατὰ τὴν παράδοσιν· Φιλόξενος δὲ διὰ τῆς ει διφθόγγου λέγει αὐτὸ γράφεσθαι· διὰ τὸ λέγειν τὸ Στάγειρος καὶ τὰ Στάγειρα· καὶ γὰρ ἔθος ἔχουσιν τὰ διὰ τοῦ ειρος ῥηματικὰ οὐδέτερα λέγειν, καὶ διὰ τῆς ει διφθόγγου γράφειν· οἷον, ὀνῶ ὄνειρον· μάσσω μάγειρος.*

ΣΜΙΑΉ: *Ὀξύνεται καὶ σημαίνει τὸ σμιλίον· διὰ τοῦ ι γράφεται· τὰ γὰρ εἰς λη λήγοντα μονογενῆ οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, σμιλή· μαριλή· σημαῖνει δὲ τὴν κόνιν· ἰλή· σημαίνει δὲ τὴν ἄθροισιν.*

ΣΧΙ͂ΝΟΣ: *ι, τῷ λόγῳ τοῦ σκοπελῖνος.*

[g] Cod. *γαμα.*

[h] Cod. *ἐπισίν.*

Σκωρῖνος: Ὡς ι ἡ παρατελευταία ἡ παράδοσις.

Συνοτσία: ι ἡ παράδοσις· παρὰ γὰρ τὸ συνίεναι· ἐπὶ δὲ τῶν ἀφροδίσιων καὶ χρηστικωτέρων λέγεται.

Σειληνός: Σειλινοὶ δὲ λέγονται οἱ γέροντες τῶν Σατύρων· διὰ τῆς ει διφθόγγου γράφεται· ἢ παρὰ τὸ σείεσθαι αὐτῆς τὸ λινὸν γέγονεν, ἢ παρὰ τὸ σεσειρέναι καὶ χαίρειν σερινὸς, καὶ κατὰ προσθήκην τοῦ ι, καὶ μετάθεσιν τοῦ ρ εἰς λ σειλινός.

Σφάγιον: ι· ἀλλὰ καὶ σφαγεῖον διφορεῖται τῷ τόνῳ καὶ τῇ γραφῇ.

Σιλανός: ι, παρὰ τὸ σίλλος.

Σεμίραμις: ι· βάρβαρον γάρ ἐστιν ὄνομα· τὰ δὲ βάρβαρα ἀποστρέφει τὴν ει δίφθογγον· Δαΐδ· Βενιαμίν· οὕτως καὶ Σεμίραμις.

Συκοφαντία: ι.

Σίσοφος: ι· τὸ γὰρ θεὸς σιὸς λέγουσιν οἱ Λάκωνες διὰ τοῦ ι· ἀπὸ οὖν τοῦ σιὸς καὶ τοῦ σοφὸς γέγονεν σιόσοφος καὶ σίσοφος· οἱονεὶ σόφος καθάπερ θεός.

Σίφων: ι· παρὰ γὰρ τὸ σίζω τὸ σημαῖνον τὸ ἦχον ἀποτελῶ γίνεται σίζων, καὶ τροπῇ τοῦ ζ εἰς φ σίφων.

Σίζω: ι· τὰ γὰρ διὰ τοῦ ιζω ῥήματα διὰ τοῦ ι γράφεται.

Σειρήν: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ εἴρω τὸ σημαῖνον τὸ συμπλέκω γίνεται εἰρὴ, καὶ ἐν πλεονασμῷ τοῦ σ Σειρήν.

Σπεῖσαι: Διὰ τῆς ει διφθόγγου· ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ σπένδω[i].

Στείχω: Διὰ τῆς ει διφθόγγου· ἀντιπαράκειται γὰρ αὐτὸ τὸ στοίχῳ· τὰ δὲ ἔχοντα τὸ ο ἀντιπαρακείμενον ἔχουσι τὸ ε ἐγκείμενον· οἷον, στείβω, στοιβή.

Σειρά: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ εἴρω τὸ σημαῖνον τὸ συμπλέκω γέγονεν εἰρὰ, καὶ ἐν πλεονασμῷ τοῦ σ σειρά· οἱ δὲ Δωριεῖς διὰ τοῦ η γράφουσιν αὐτὸ σηρά· καὶ ἐκ τούτου γνωρίζεται δίφθογγον ἔχειν· τρέπουσιν γὰρ ἐκεῖνοι τὴν ει δίφθογγον εἰς η.

[i] Cod. σπεύδω.

Σεισάχθεισα: Σημαίνει δὲ τὸ ἀποσείεσθαι τὸ ἄχθος, διὰ τῆς ει διφθόγγου γράφεται· κατὰ δὲ τὴν παραλήγουσαν, τῷ λόγῳ τῶν διὰ τοῦ εια προπαροξυτόνων.

Σαμάρεια: ει· Σαμάρεως γὰρ ἔγκειται ἡ γενική.

Σπειώ: Ἔστιν δὲ μία τῶν Νηρηΐδων, διὰ τῆς ει διφθόγγου γράφεται· παρὰ γὰρ τὸ σπέσος γέγονεν σπέσω, καὶ προσθέσει τοῦ ι Σπειώ· ὥσπερ χρέος, χρεὼ, χρειώ· κλέος, κλεὼ, Κλειώ.

Σώτειρα: Διὰ τῆς ει διφθόγγου, τῷ λόγῳ τῶν ειρα θηλυκῶν.

Στεῖρα: Σημαίνει δὲ τὴν γυναῖκα τὴν μὴ τίκτουσαν, καὶ τὸν ἱστὸν τοῦ πλοίου· διὰ τῆς ει διφθόγγου γράφεται· ἐπὶ μὲν τοῦ ἱστοῦ, ἢ τῆς πρώρου, ἢ τῆς τρόπης, ὅτι ἀπὸ τοῦ στερεὸν γέγονεν στέρω, καὶ ἐν πλεονασμῷ τοῦ ι στεῖρα, διὰ τῆς ει διφθόγγου· ἐπὶ δὲ τῆς γυναικὸς τῆς μὴ τικτούσης, ἀπὸ τοῦ στέρεσθαι γέγονεν στέρα, καὶ πλεονασμῷ τοῦ ι στεῖρα, διὰ τῆς ει διφθόγγου· οἱονεὶ ἡ στερουμένη τοῦ τίκτειν.

Συνειδός: ει· συνειδέναι.

Σπείρω: Σπερῶ γὰρ ὁ μέλλων.

Σκαφεῖον: Ὥσπερ γὰρ ἐργαλεῖον· παρὰ τὸ σκαφεύς.

Σείριος: Ἔστιν δὲ ἀστὴρ, διὰ τῆς ει διφθόγγου γράφεται, παρὰ γὰρ τὸ εἴρω τὸ σημαῖνον τὸ λέγω γέγονεν εἴριος, καὶ πλεονασμῷ τοῦ ι Σείριος· ὁ γὰρ Σείριος λέγει καὶ μηνύει ἡμῖν τὸν καιρὸν τοῦ θέρους· ἢ παρὰ τὸ σεσειρέναι γέγονεν σέριον, καὶ πλεονασμῷ τοῦ ι σείριον· σεσηρέναι γὰρ καὶ χαίρειν ποιεῖ ἡμᾶς ὁ Σείριος, καύματος ὢν αἴτιος.

Σκιάδειον: ει, διὰ τὸν χαρακτῆρα εἴρηται.

Σκείρω: Ἔστιν δὲ ὄνομα λῃστοῦ, ὅστις πολλῆς φθορᾶς ἦν ἄξιος· καὶ γὰρ τοὺς παρερχομένους ἔῤῥιπτεν ἐπάνω τῆς χελώνης, ἡ δεχομένη ἤσθιεν αὐτούς· γράφεται δὲ διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ κείρω γέγονεν κείρων, καὶ πλεονασμῷ τοῦ σ Σκείρων· τὸ δὲ κείρω διὰ τῆς ει διφθόγγου γράφεται τῷ λόγῳ τοῦ σπείρω.

Σίαλον: ι· παρὰ τὸ ἀφροδισίαλον τὸ ἐπισυναγόμενον τῷ στόματι.

Στειριεύς: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ στερεὸν γέγονεν στεριεὺς, καὶ πλεονασμῷ τοῦ ι Στειριεὺς διὰ διφθόγγου.

Σιμόεις: Σιμόεντος γάρ.

Συνήθεια: ει, διὰ τὸ εἶναι τὸ ἀρσενικὸν συνήθης, καὶ εἶναι καὶ προπαροξύτονον.

Στύππιον: Παρὰ τὸ τύπτω τύππιον, καὶ πλεονασμῷ τοῦ σ στύππιον.

Σίδη: Ἔστιν δὲ ὄνομα πόλεως· τὰ εἰς δη βαρύτονα οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, κνίδη· ἔστιν δὲ βοτάνη στυπτική· οὕτως καὶ Σίδη διὰ τοῦ ι.

Σελίδιον: Διὰ τοῦ ι, ὡς ψαλὶς ψαλίδιον.

Σπονδεῖον: Καὶ σπόνδειον μέλος διὰ τῆς ει διφθόγγου.

Στεῖρα: Διὰ τῆς ει διφθόγγου, ὡς ζεια· τὰ ἐκ συλλογῆς μικρὰ λιθίδια.

Σκαμωνεῖα: Διὰ τοῦ ω μεγάλου, καὶ ει διφθόγγου, κατὰ παράδοσιν.

Σωλοικία: ι· ἀπὸ τοῦ σώλοικος.

Συνοδία: ι· παρὰ τὸ σύνοδος.

Σφηκεῖον: ει· προπερισπᾶται.

Σίλουρος: ι, ἡ παράδοσις.

Σωματεῖον: ει, ἡ παράδοσις· Σωμάτιον δὲ καὶ προπαροξυτόνως τὸ ὑποκοριστικόν.

Στοιχεῖον: ει, παρὰ τὸ στείχειν.

Στρατεῖα: Παρὰ τὸ στρατεύω· ἡ ἀξία· Στρατεία· ει· ἡ ἔξοδος, καὶ βαρύνεται· Στρατιά· ι· τὸ πλῆθος, καὶ ὀξύνεται.

Στρατιώτης: ι, παρὰ τὸ στρατιὰ, καὶ τὸ ω μέγα· τὰ διὰ τοῦ ωτης ἀρσενικὰ διὰ τοῦ ω μεγάλου γράφεται· ἢ καθαρεύει ἡ παραλήγουσα· οἷον, στρατιώτης· κυβεριώτης· τοξιώτης.

Σπήλαιον: Εὑρέθη γὰρ καὶ σπηλάδιον· καὶ πάλιν τὰ διὰ τοῦ αιον προπαροξύτονα οὐδέτερα μονογενῆ ὑπὲρ δύο συλλαβὰς διὰ τῆς αι διφθόγγου γράφεται· οἷον, σπήλαιον· σκύλαιον· ἔλαιον[k]· τρόπαιον· καὶ ὅσα ὅμοια.

[k] Cod. ἔλεον (αι superscript).

ΣΠΛΆΓΧΝΟΝ: Παρὰ τὸ πέλειν ἄγχιστα σπλάγχνα τινὰ ἀλλήλων, ἢ ἀντικρύ.

ΣΚΗΝΉ: Τὰ δύο η· παρὰ τὸ σχῶ, σχηνὴ, καὶ σκηνή. ΣΦΑῖΡΑ.

ΣΠΑΡΤΊΟΝ: Τὰ ἀπὸ τῶν εἰς ος μακρὰ παραληγομένων διὰ τοῦ ιον γινόμενα οὐδέτερα παροξύτονα πάντα διὰ τοῦ ι γράφεται· οἷον, σπάρτος, σπαρτίον· θηρὸς, θηρίον· σταυρὸς, σταυρίον.

ΣΥΜΒΟΎΛΙΟΝ· ΣΟΒῶ· ΣΟΒΑΡΌΣ.

ΣΟΡΌΣ: Τὸ μνημεῖον μικρόν· Σωρὸς τὸ σωρευόμενον μέγα.

ΣΠῖΛΟΣ· ι· ΣΗΡΙΚΌΝ· ΣΚΎΨ· ΣΚΑΙΌΤΗΣ· ΣΩΛΗΝΆΡΙΟΝ.

ΣΩΣΊΑΣ: Παρὰ τὸ σώσω, Σωσίας· ὥσπερ παρὰ τὸ κινήσω, κινησίας.

ΣΗΓῶΡ: η κατὰ παράδοσιν· κατὰ δὲ τὴν ἐτοιμολογίαν ι· καὶ γὰρ ἑρμηνεύεται μικρὰ ἢ ταπεινὴ, ἤγουν παρὰ τὸ σιγᾶν· ὁ γὰρ ταπεινὸς μὴ δυνάμενος καθ' ἑαυτὸν σιγᾷ.

ΤΕΛΧΊΝ: ι, ὡς δικατάληκτον.

ΤΊΡΥΝΣ: ι· Τίρυνθος γάρ.

ΤΡΑΧΊΝ: ι, ὡς δικατάληκτον.

ΤΈΜΜΙΚΟΣ: ι· Τέμμιξ γὰρ ἡ εὐθεῖα· τὰ δὲ εἰς ψ λήγοντα ἀποστρέφονται τὴν ει δίφθογγον.

ΤΙΤΆΝ: Διὰ τοῦ ι· ἢ γὰρ παρὰ τὸ τίνω τὸ σημαῖνον τὸ ἀποδίδωμι γέγονεν Τινὰν καὶ Τιτὰν, οἱ οὕτω διαπραττόμενοι ὥστε δοῦναι τιμωρίαν· ἢ παρὰ τὸ στένω γέγονεν Τιτάν· οἱονεὶ, οἱ τένονται τὰς χεῖρας εἰς τὸ κόψαι τὰ αἰδοῖα[1] τοῦ πατρὸς, λέγω δὴ τοῦ Οὐρανοῦ· τὸ δὲ Τιτὰν διὰ τοῦ ι συνεσταλμένου ἐστίν· καὶ ἄλλως· τὰ εἰς αν οὐ παραλήγονται τῇ ει διφθόγγῳ· οἷον, Ἀκμάν· Παράν· τὸ γὰρ Ἀργεῖαν, ἔστιν δὲ ὄνομα ὄρους Μεσσηνίας, ἀπὸ τοῦ Ἀργεῖος ἔχειν τὴν δίφθογγον.

ΤῖΟΣ: Ἡ πόλις ι, ὡς Κῖος.

ΤΙΤῶ: Οὕτω δὲ λέγεται ἡ ἡμέρα, διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ Τιτὰν, Τιτᾶνος, γέγονεν Τιτᾶνος, καὶ ἐκεῖθεν ὑποκοριστικὸν Τιτὼ, ὥσπερ * * * *[m]

[1] Cod. αἶδυα.

[m] Est signum parvæ lacunæ. Cf. Etym. M. in h. v. p. 760, 52.

Τετιανός: ι ἀμφότερα· Ἰταλικότερον γάρ ἐστιν ἐν οἷς καὶ περὶ τοῦ Ἐλιανὸς διελάβομεν.

Τεμενίτης: ι παρὰ τὸ τέμενος.

Ταυρομενίτης: ι παρὰ τὸ Ταυρομένιον.

Τοπίτης: ι ὁμοίως.

Τυφύς: ι ἐγράφετο· ὁ κανὼν ἐν τῷ Ἰλύς.

Τελεσῖνος: ι, ὡς Ἀκραγαντῖνος.

Ταυρῖνος· Τιρύς: Ὁμοίως τοῦ ἰλύς· γίνεται δὲ καὶ πρόσθεσις τοῦ ν Τίρυνος.

Τρίτων: ι, ἔστιν δὲ ὄνομα ποταμοῦ· τὰ εἰς ων λήγοντα, μὴ ὄντα κοινὰ τῷ γένει, οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, Βίτων· κίτων· πρόσκειται κοινὰ τῷ γένει, διὰ τὸ γείτων καὶ ἡ γείτων· καὶ ἄλλως, ἐπειδὴ παρὰ τὴν τριῶν γενικήν ἐστιν· Τρίων καὶ Τρίτων· καὶ γὰρ ἕκαστος ποταμὸς τριῶν τινῶν μετέχει, γῆς, ἀέρος, ὕδατος.

Τριτογένεια: Διὰ τῆς ει διφθόγγου κατὰ τὴν παραλήγουσαν, τῷ λόγῳ τῶν διὰ τοῦ εια προπαροξυτόνων, κατὰ δὲ τὴν ἀρχὴν διὰ τοῦ ι· ἢ ἐπειδὴ παρὰ τὸ τρίτον γέγονεν Τριτογένεια· ἢ ἐπειδὴ παρὰ τὸ τριταῖα· οἱονεὶ, ἡ φαινομένη τριταῖα· καὶ γὰρ τῶν αὐτῶν φασὶν εἶναι αὐτὴν τῇ σελήνῃ· ἡ δὲ σελήνη τῇ τρίτῃ ἡμέρᾳ φαίνεται· τὸ δὲ τριταῖα διὰ συνεσταλμένης τῆς τρίτης συλλαβῆς.

Τιμή: Διὰ τοῦ ι· παρὰ γὰρ τὸν τίσω μέλλοντα, ὃς ἦν ἀπὸ τοῦ τίνω ἐνεστῶτος, ὅστις καὶ ἐν συστολῇ εὕρηται· καὶ ἄλλως· ἐπειδὴ τὰ εἰς μη οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, σπηθαμή· τιμή· αἰχμή.

Τίσανδρος: Διὰ τοῦ ι· παρὰ γὰρ τὸν τίσω μέλλοντά ἐστιν ὡς δέδεικται, ἢ παρὰ τὴν τιμῆς γενικὴν γέγονεν Τιμήσανδρος, καὶ κατὰ συγκοπὴν Τίσανδρος.

Τίμιος: ι ἀμφότεραι αἱ συλλαβαὶ, ἡ παράδοσις.

Τίμων: Διὰ τοῦ ι, παρὰ τὸ τιμή.

Τιμωρία: Διὰ τοῦ ι· ὁ δὲ λόγος περὶ τῆς ἀρχῆς· ἡ γὰρ παραλήγουσα συνέσταλται· διὰ τοῦ ι δὲ ἡ ἀρχὴ, ἐπειδὴ παρὰ τὸ τιμωρός ἐστιν· τὸ δὲ τιμωρὸς διὰ τοῦ ι γράφεται,

ἐπειδὴ παρὰ τὸ τιμὴ καὶ τὸ ὡρῶ τὸ σημαῖνον τὸ φυλάττω γέγονεν.

Τιμωρός: Ὁμοίως, ἢ παρὰ τῷ τοῦ πυλωρὸς κανόνι.

Ταχίων: ι, ὡς βραδίων, πλὴν τοῦ χερείων καὶ ἀρείων.

Τιβήν: Ἔστιν δὲ τρίπους, διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ ἐπάνω τριῶν βάσεων κεῖσθαι γέγονεν τριβὴν, καὶ κατὰ ἀποβολὴν τοῦ ρ τιβήν.

Τάριχος: Λέγεται δὲ καὶ ἀρσενικῶς καὶ οὐδετέρως, διὰ τοῦ ι γράφεται· καὶ γὰρ τὰ διὰ τοῦ ιχος ὑπὲρ δύο συλλαβὰς οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, Φροίνιχος· Ἰάμβλιχος· σωτήριχος· πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ τεῖχος· τὸ δὲ τεῖχος διὰ τῆς ει διφθόγγου γράφεται καὶ τὰ παρ᾽ αὐτῷ· οἷον, δίτειχος· τρίτειχος.

Τίντσθαι: Διὰ τοῦ ι γράφεται· παρὰ τὸ τίνω τὸ σημαῖνον τὸ ἀποδίδωμι.

Τίνω: Σημαίνει δὲ τὸ ἀποδίδωμι, διὰ τοῦ ι· ἐπειδὴ ἀπὸ τοῦ τίω γέγονεν κατὰ πλεονασμὸν τοῦ ν· τὸ δὲ ν ἐπὶ βαρυτόνων ῥημάτων διχρόνῳ μόνῳ πέφυκεν ἐπεντίθεσθαι· οἷον, θύω, θύνω· δύω, δύνω· πίω, πίνω· οὕτως οὖν καὶ τίω, τίνω.

Τετρίγει: Ἀπὸ τοῦ τρίζω.

Τρίβω: Διὰ τοῦ ι· τὰ γὰρ εἰς βω οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, θλίβω· λήβω· πλὴν τοῦ στείβω· ἀμείβω· λείβω, καὶ τοῦ ἐξ αὐτοῦ γενομένου ῥήματος εἴβω· βαβῶ, σημαίνει δὲ τὸ καθεύδω.

Τελωνεῖα: ει ἡ παράδοσις.

Τίω, Τείω: Ἰστέον ὅτι ἐστὶν τείω διὰ τῆς ει διφθόγγου, καὶ τίω διὰ τοῦ ι, ἐξ οὗ γίνεται τὸ τιμή· ἐκ μὲν οὖν τοῦ τείω, τοῦ διὰ τῆς ει διφθόγγου, γίνεται τεῖσις διὰ τῆς ει διφθόγγου· ἐκ δὲ τοῦ τίω, τοῦ διὰ τοῦ ι, γέγονεν τῖσις διὰ τοῦ ι· ὅπερ καὶ ἐπεκράτησεν.

Τεισάμενος καὶ Τισάμενος: Ἀπὸ μὲν τοῦ τείσω, τοῦ διὰ τῆς ει διφθόγγου, Τεισάμενος διὰ διφθόγγου· ἀπὸ δὲ τοῦ τίσω, τοῦ διὰ τοῦ ι, Τισάμενος διὰ τοῦ ι· ὅπερ καὶ ἐπεκράτησεν· Τισάμενος δὲ λέγουσιν ἐκ τοῦ τὸν πατέρα αὐτοῦ, λέγω

δὴ τὸν Ὀρέστην, τιμωρήσασθαι ἢ τὴν μητέρα αὐτοῦ διὰ τοῦ φόνου τοῦ οἰκείου πατρὸς, λέγω δὲ τοῦ Ἀγαμέμνονος.

Τείρεα: Σημαίνει δὲ τὰ ἄστρα, διὰ τῆς ει διφθόγγου· ἢ γὰρ παρὰ τὸ εἴρω, τοῦ σημαίνοντος τὸ λέγω, γέγονεν εἴρεα, καὶ ἐν πλεονασμῷ τοῦ τ τείρεα· καὶ γὰρ τὰ ἄστρα σημαίνει τινὰ σημεῖα ἡμῖν, ὡς καὶ ὁ Ἄρατος δηλοῖ· ἢ παρὰ τὸ τείρεσθαι, τὸ σημαῖνον τὸ καταπονεῖσθαι, γέγονεν τείρεα· καὶ γὰρ πολλοὶ ἐκ τῶν ἀριστερῶν καταπονοῦνται, καὶ γίνονται ἀστρόβλητοι, ὥσπερ καὶ ἐκ τῆς βροντῆς γίνονται ἐμβρόντητοι.

Ταΐχειρα: ει, ἐπειδὴ καὶ εὕρηται καὶ χωρὶς τοῦ ι παρὰ Παρθενίῳ· ἐκεῖνος γὰρ εἶπεν Ταυχείριος τὸ ἐθνικόν.

Ταυροκομεῖον: ει, καὶ προπερισπᾶται, ὡς γλωσσοκομεῖον.

Τείρεται: Σημαίνει δὲ τὸ καταπονεῖται, διὰ τῆς ει διφθόγγου· τέρεται γὰρ λέγουσιν οἱ Αἰολεῖς, καὶ ἔθος ἔχουσι τὸ ι τῇ ει διφθόγγῳ ἀποβάλλειν, καὶ διπλασιάζειν τὸ σύμφωνον· οἷον, φθείρω, φθέῤῥω.

Τείρω: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ ἀείρω· ἐκ δὲ τοῦ τείρω γίνεται τείρομαι, καὶ τείρεται.

Ταμεῖον: ει, παρὰ τὸ ταμιεύω, καὶ ταμιείδιον τὸ ὑποκοριστικὸν τοῦ ταμιεῖον· ἡ τρίτη διὰ τοῦ ι· ἐπειδὴ καὶ ὁ ταμίας καὶ ἀργυροταμίας.

Τεῖχος: Διὰ τῆς ει διφθόγγου· παρὰ τὸ τεχνῶ γέγονεν τεῦχος, καὶ κατὰ τροπὴν τοῦ υ εἰς ι τεῖχος· ἄλλως τε δὲ διὰ τῆς ει διφθόγγου γράφεται, ἐπειδὴ ἀντιπαράκειται αὐτὸ τὸ τοῖχος.

Τοῖχος: Ὁμοίως.

Τρεῖς: Τὸ περισπώμενον διὰ τῆς ει διφθόγγου· καὶ ὤφειλεν διὰ τοῦ ι γράφεσθαι, ἐπειδὴ τριῶν ἐστὶν ἡ γενικὴ τῶν πληθυντικῶν, καὶ τρισὶν ἡ δοτική· τὰ δὲ ἔχοντα κατὰ τὴν γενικὴν καὶ δοτικὴν τῶν πληθυντικῶν ἐν τῇ παραληγούσῃ[m] τὸ ι, καὶ ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν ἔχουσι τὸ ι κατὰ τὴν παραλήγουσαν· οἷον, πόλις, πολίων, πόλιες· ὄφις, ὀφίων, ὄφιες· εἰ

m Cod. παραληγούσει.

οὖν τριῶν καὶ τρισὶν, δῆλον ὅτι καὶ τρίες διὰ τοῦ ι· καὶ λοιπὸν κατὰ κρᾶσιν τοῦ ι καὶ ε εἰς ι δῆλον ὅτι μακρὸν τρῖς διὰ τοῦ ι· ὥσπερ πόλιες, πόλις· μάντιες, μάντις· ἀλλὰ λέγει ὁ Τεχνικὸς ὅτι ἵνα μὴ συνεμπέσει τὸ τρὶς ἐπιῤῥήματι, τούτου χάριν οὐκ ἐγράφει διὰ τοῦ ι, ἀλλὰ διὰ τῆς ει διφθόγγου· πρὸς ὅν ἐστιν εἰπεῖν, ὅτι πρῶτον μὲν πολλαί εἰσι συνεμπτώσεις· ἰδοὺ γὰρ τὸ οὐκερῶ τρεῖς ἔχει συνεμπτώσεις· σημαίνει γὰρ τὸ οὐ λέγω, καὶ τὸ οὐ κείρω, καὶ τὸ οὐ φιλῶ· τί οὖν ἄτοπον καὶ τοῦτο γενέσθαι διὰ τοῦ ι καὶ συνεμπεσεῖν τῷ ἐπιῤῥήματι; καὶ ἄλλως, ὅτι οἱ Αἰολεῖς διὰ τοῦ η γράφουσιν αὐτὸ τρῆς· ἔθος ἔχοντες τὴν ει δίφθογγον εἰς η τρέπειν· ἔστιν οὖν εἰπεῖν αἰτίαν τοιαύτην δι' ἣν τὸ τρεῖς διὰ τῆς ει διφθόγγου γράφεται· πᾶς ἀριθμὸς ἐντὸς τῶν στοιχείων θέλει ἔχειν στοιχεῖον ἐκ τῶν ἐντὸς τῆς δεκάδος· ὁ εἷς ἀριθμὸς ἔχει τὸ ε, ὅπερ ἐκ τῶν ἐντὸς τῆς δεκάδος ἐστίν· πάλιν ὁ δύο ἔχει τὸ δ, ὅπερ ἐκ τῶν ἐντὸς τῆς δεκάδος ἐστίν· πάλιν ὁ τέταρτος ἀριθμὸς ἔχει τὸ ε καὶ τὸ α, ἅτινα ἐκ τῶν ἐντὸς εἰσὶ τῆς δεκάδος· τὸ δὲ ὀκτὼ δοκεῖ ἀντικεῖσθαι, τοῦτο γὰρ οὐκ ἔχει στοιχεῖον ἐκ τῶν ἐντὸς τῆς δεκάδος· ἀλλ' ἔστιν εἰπεῖν ὅτι δυνάμει ἔχει στοιχεῖα ἐκ τῶν ἐντὸς τῆς δεκάδος· λέγουσι γὰρ οἱ φιλόσοφοι ὅτι παρὰ τὸ ἄγω δύο ἐστίν· τὸ δὲ ἄγω δύο ἔχει στοιχεῖα ἐκ τῶν ἐντὸς τῆς δεκάδος· λέγω δὴ τὸ α καὶ τὸ γ, καὶ τὸ δ· ὀκτὼ γὰρ λέγεται παρὰ τὸ ἄγειν, δύο γὰρ τετράδας ἄγει· τούτων οὕτως ἐχόντων ὁ τρεῖς ἀριθμὸς, ἐπειδὴ εἰ ἐγένετο διὰ τοῦ ι μόνου, οὐκ ἔμελλεν στοιχεῖον ἔχειν ἐκ τῶν ἐντὸς τῆς δεκάδος· [οἷον, τρις] τούτου χάριν προσέλαβεν τὸ ε, καὶ ἐγένετο διὰ τῆς ει διφθόγγου· ἐν δὲ τῇ συνθέσει, ἐπειδὴ ἔχουσιν ἄλλα στοιχεῖα ἐκ τῶν ἐντὸς τῆς δεκάδος· οἷον, τρισκαίδεκα, ἔχει γὰρ τὸ α, καὶ τὸ δ, καὶ τὸ ε· τούτου χάριν ἀποβάλλει καὶ τὸ ε τὸ προσελθὼν διὰ τοῦ εὑρεθέντος στοιχείου ἐκ τῶν ἐντὸς τῆς δεκάδος· ἰστέον δὲ ὅτι ἐν τῇ συνθέσει ὁ τρεῖς ἀριθμὸς ἀποβάλλει τὴν δίφθογγον, καὶ διὰ τοῦ ι γράφεται· οἷον, τρισκαιδέκατος μετὰ τοῦ σ· τὸ δὲ ἐπίῤῥημα ἀποβάλλει ἐν τῇ συνθέσει τὸ σ· οἷον, τρίμινον· τρίπηχυς· τρίπους· πλὴν τοῦ τρίσφυλος· καὶ ἄλλως· ὁ τρεῖς

ἀριθμὸς διατί ἐν τῇ συνθέσει διὰ τοῦ ι γράφεται; ἐπειδὴ οὐδέποτε τὸ σκ ἐν συλλήψει ὄντα ἔχουσι τὴν ει δίφθογγον προηγουμένην, χωρὶς μιᾶς λέξεως καὶ ταύτης ἀμφιβαλλομένης· οἷον, Ἡρακλεΐσκος, Ἡρακλεῖσκος· παραδείγματα δὲ ταῦτα· βασιλίσκος· μειρακίσκος· ἀμέλει ἔστιν εἴδω, εἴσω, διὰ τῆς ει διφθόγγου· καὶ ἡνίκα προσελθὼν τὸ κ, διΐσταται τὸ ι, καὶ γίνεται ἐΐσκω, διὰ τὸ μὴ δύνασθαι τὴν ει δίφθογγον προηγεῖσθαι ἡνίκα ἐστὶν τὸ σκ ἐν συλλήψει· ἡνίκα δὲ γίνεται σύλληψις, ἀποβάλλει τὸ ε, καὶ γίνεται ἴσκω διὰ τοῦ ι· εἰ οὖν τὸ τρισκαιδέκατος κ ἔχει ἐν συλλήψει, οὐ δύναται γράφεσθαι διὰ τῆς ει διφθόγγου.

Τρίς: Τὸ ἐπίῤῥημα διὰ τοῦ ι.

Ταλαπείριος: Διὰ τῆς ει διφθόγγου· ἢ γὰρ παρὰ τὸ τήλοθεν πεπηρακέναι γέγονεν ταλαπέριος, καὶ κατὰ πλεονασμὸν τοῦ ι ταλαπείριος· ἢ παρὰ τὸ τλῆναι καὶ τὴν πεῖραν γέγονεν ταλαπείριος· οἱονεὶ, ὁ πολλὴν πεῖραν ὑπομείνας, τουτέστιν πολύπειρος· τὸ δὲ πεῖρα διὰ τῆς ει διφθόγγου γράφεται, ὡς δέδεικται.

Τέλειος: ει δίφθογγος· πρῶτον μὲν ὅτι λέγεται καὶ χωρὶς τοῦ ι· οἷον, τέλεος, καὶ τελέως τὸ ἐπίῤῥημα· δεύτερον ὅτι τὰ ἀπὸ τῶν εἰς ος οὐδετέρων μὴ παραληγόμενα τὸ α διὰ τοῦ ειος γινόμενα διὰ τῆς ει διφθόγγου γράφεται· ὄνειδος, ὀνείδειος· ἕρκος, ἑρκειος· ἦθος, ἤθειος· οὕτως καὶ τέλος, τέλειος· πλὴν τοῦ τέμενος, τεμένιος.

Τείνω: Δίφθογγος· τενῶ γὰρ ὁ μέλλων.

Ταπεινός: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ ἔδαφος γίνεται ἐδαφεινὸς διὰ τῆς ει διφθόγγου, καὶ κατὰ ἄφεσιν τοῦ α δαφεινὸς, καὶ κατὰ τροπὴν τοῦ δ εἰς τ καὶ τοῦ φ εἰς π ταπεινός· ἢ παρὰ τὸ πέδον γίνεται πεδεινὸς, καὶ κατὰ τροπὴν τοῦ π εἰς τ, καὶ τοῦ ε εἰς α γίνεται ταπεινός· ἢ παρὰ τὸ δάπεδον, δαπεδεινὸς, καὶ κατὰ συγκοπὴν δαπεινὸς, καὶ κατὰ τροπὴν τοῦ δ εἰς τὸ τ ταπεινός· ἢ παρὰ τὸ πατῶ γέγονεν πατός· οἱονεὶ, ὁ πατούμενος τόπος, καὶ ἐκεῖθεν ταπεινός· ἢ παρὰ τὸ τάπης, τάπητος γέγονεν ταπητεινὸς, καὶ κατὰ συγκοπὴν ταπεινός.

Τερεῖνα: Σημαίνει δὲ τὴν ἀπαλήν· διὰ τῆς ει διφθόγγου· ὥσπερ γὰρ παρὰ τὸ μάκαρ, μάκαρος· καὶ τάλας, τάλανος· γίνεται μάκαιρα καὶ τάλαινα τὸ θηλυκὸν, κατὰ προσθήκην τοῦ ι, οὕτως καὶ παρὰ τὸ τέρην, τέρενος, γίνεται τερεῖνα τὸ θηλυκὸν, διὰ τῆς ει διφθόγγου κατὰ προσθήκην τοῦ ι.

Τίρος: Ἔστιν δὲ ὄνομα ποταμοῦ, ι κατὰ παράδοσιν.

Τείρεται: Διὰ διφθόγγου· τέῤῥεται γὰρ οἱ Αἰολεῖς καὶ ὁ Ῥωμαῖος.

Τέρρα: Ἡ γῆ παρὰ τὸ ἀεὶ καταπονεῖσθαι αὐτὴν τῇ ἀεισπορίᾳ.

Τετράδειον: Διὰ διφθόγγου, καὶ προπαροξύνεται· ἡ παράδοσις.

Τετράδιον: Διὰ τοῦ ι τὸ ὑποκοριστικόν.

Τυμβωρυχία: Τὸ ω μέγα.

Τριακονταέτης ἄνθρωπος ὀξυτόνος· Τριακονταετὴς δὲ χρόνος ἐστὶν τὴν σάρκα· διετὴς χρόνος ἐστὶν ἀφ' οὗ ταῦτα ἐγένετο.

Ὑποδαξία: Σημαίνει τὸ ὑποδέχεσθαι, διὰ τοῦ ι γράφεται· τὰ γὰρ ἀπὸ τῶν εἰς ος μὴ ἐχόντων ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ ευω, διὰ τοῦ ια γινόμενα θηλυκὰ πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ τοῦ ι γράφεται· οἷον, κακὸς, κακία· ὑπόδεκτος, ὑποδεξία, διὰ τὴν σύνταξιν.

Ὑπηρεσία: Ἔστιν δὲ ὄνομα κύριον, διὰ τοῦ ι γράφεται· τὰ γὰρ ἀπὸ ἀρσενικῶν ἐχόντων τὸ τ διὰ τοῦ ια γινόμενα καὶ τρέποντα τὸ τ εἰς σ, διὰ τοῦ ι γράφεται· οἷον, ἄλουτος, ἀλουσία· ἀθάνατος, ἀθανασία· οὕτως, καὶ ὑπηρετὸς, ὑπηρεσία.

Ὑπερίων: Διὰ τοῦ ι· παρὰ γὰρ τὴν ἰὼν μετοχὴν γέγονεν Ὑπερίων· καὶ ἄλλως· ἐπειδὴ τρέπει τὸ ω εἰς τὸ ο κατὰ τὴν γενικήν· οἷον, Ὑπερίονος· εἰ δὲ ἐγράφετο διὰ τῆς ει διφθόγγου, ἐφύλαττεν τὸ ω κατὰ τὴν γενικήν· τὰ γὰρ διὰ τοῦ ειων διὰ τῆς ει διφθόγγου γράφεται, μὴ ὄντα συγκριτικὰ φυλάττοντα τὸ ω κατὰ τὴν γενικήν· οἷον, Ἀτρείων, Ἀτρείωνος· Καδμείων, Καδμείωνος· Ἀργείων, Ἀργείωνος· πρόσκειται μὴ συγκριτικὰ, διὰ τὸ χερείων, χερείονος· ἀρείων, ἀρείονος.

ὙΠΕΡΊΔΗΣ: Διὰ τοῦ ι γράφεται· ὥσπερ γὰρ παρὰ τὴν ἀνὰ ἄνθρωπος γίνεται ἀνθρώπιος· καὶ παρὰ τὴν ὑπὸ, ὑπόσιος· οὕτως καὶ παρὰ τὴν ὑπὲρ, ὕπερος· κατὰ τὸν κανόνα ἔχοντα κ στοιχεῖον.

ὙΣΜΊΝΗ: Διὰ τοῦ ι· ὁ κανών· τὰ διὰ τοῦ ινη μονογενῆ, μὴ γινόμενα ἀπὸ ἐπιθέτων κύρια, ἀποστρέφονται τὴν διὰ τῆς ει διφθόγγου γραφήν· οἷον, Ὠκεανίνη [n]· Εὐηνίνη· ἰατρίνη· Ἀδριστίνη· ὑσμίνη· καὶ τὰ ὅμοια.

ὙΓΊΕΙΑ: Παρὰ τὸ ὑγιὴς, ὑγίεια· οἱ δὲ Ἀθηναῖοι ἐκτείνοντες τὸ α, καὶ καταβιβάζοντες τὸν τόνον, φυλάττουσι τὴν αὐτὴν γραφήν· τοῦτο δὲ τὸ ὑγίεια κατὰ κρᾶσιν τοῦ ι καὶ τῆς ει διφθόγγου εἰς τὴν ει δίφθογγον γίνεται ὑγεῖα, ὥσπερ Ἀπολλωνίεια, Ἀπολλωνεῖα.

ὙΛΕῙΟΝ: ει δίφθογγος τὸ τέμενος, ἡ παράδοσις.

ὙΕΊΑ: ει δίφθογγος· μετουσιαστικὸν γάρ· εἴρηται δὲ καὶ ὑεικὸν δέρμα, καὶ γαστὴρ [o] ὑεία.

ὙΠΟΔΕῖΤΑΙ: ει δίφθογγος, ἀντὶ τοῦ ὑποδεσμεῖται καὶ τοῦ ὑποδεσμεύεται μᾶλλον.

ὙΠΙΣΧΝΟῦΜΑΙ: Διὰ τοῦ ι, κατὰ παράδοσιν.

ὙΤΤΗΝΙΟΣ: Ὄνομα κύριον.

ὙΦΕΙΜΈΝΟΣ: ει δίφθογγος, κατὰ παράδοσιν.

ὝΑΙΝΑ· ὙΠΑΊΘΡΙΟΣ: Τὸ παι δίφθογγος· τὸ θρι ι, κατὰ παράδοσιν.

ΦΙΛΊΩΝ: Σημαίνει δὲ τὸν προσφιλέστατον, διὰ τοῦ ι γράφεται· τὰ γὰρ διὰ τοῦ ιων συγκριτικὰ ὑπὲρ δύο συλλαβὰς οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι, πλὴν τοῦ χερείων καὶ ἀρείων.

ΦΑΣΙΛΊΤΗΣ: Ἀπὸ τοῦ φασίλιος ὀνόματος.

ΦΙΛΙΤΆΣ: Διὰ τοῦ ι ἀμφότεραι κατὰ παράδοσιν· τὰ γὰρ εἰς ας, εἴτε ὀξύτονα, εἴτε περισπώμενα ἀρσενικὰ, οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, Ζηνᾶς· Μητρᾶς· Γλισᾶς· Κερκιδᾶς· Ἰστᾶς· καὶ Φιλιτάς· πρόσκειται ἀρσενικὰ, διὰ τὸ πελειὰς θηλυκόν.

n Cod. ὠκαιανίνη. o Cod. γαρτὴρ.

Φλῖος[p]: Ὄνομα πόλεως, διὰ τοῦ ι γράφεται· ἐπειδὴ τὰ διὰ τοῦ ιος δισύλλαβα ἀρσενικὰ οὐ θέλουσι διὰ τῆς ει διφθόγγου γράφεσθαι· Κίος, ἔστιν δὲ ὄνομα ποταμοῦ· βιός· δῖος· Χῖος· οὕτως καὶ Φλίος· πλὴν τοῦ μεῖος· λεῖος· θεῖος· Κεῖος ἀπὸ τοῦ κέω· πλεῖος· χρεῖος ὁ χρήζων· ἀρεῖος ὁ ἀσθενής· πρόσκειται ἀρσενικὰ, διὰ τὸ νειὸς ἄρουρα, σημαίνει δὲ τὴν ἀρεουμένην γῆν.

Φιλοικτίρμων: Διὰ τοῦ ι· οὐχ ὡς ἐναντεῖος διὰ τῆς ει διφθόγγου· εἴρηται γὰρ ἐν τῷ τοῦ οἰκτίρμονος κανόνι.

Φαρκίς: Σημαίνει δὲ τὴν ῥυτίδα, διὰ τοῦ ι γράφεται τῷ λόγῳ τοῦ σφραγίς.

Φιλονικῆσαι καὶ Φιλόνικος: Ἐπὶ τοῦ τὴν νικην φιλοῦντος διὰ τοῦ ι ἡ παράδοσις.

Φιλονεικία: Τὸ νει δίφθογγον.

Φωλεός: Ἔστιν δὲ ἡ κατείσδυσις τῶν ἑρπετῶν· εἴρηται δὲ παρὰ τὸ φῶς ἀπολωλέναι.

Φθία: Διὰ τοῦ ι γράφεται· τὰ γὰρ διὰ τοῦ ια, εἴτε ἐπὶ πόλεως, εἴτε ἐπὶ χώρας, πρὸ μιᾶς τὸν τόνον ἔχοντα, οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· ἐπὶ χώρας· οἷον, Καππαδοκία· Ἀσία· Γαλατία· Ἰταλία· Λυκία· ἐπὶ δὲ πόλεως· οἷον, Φαρσαλία· Ἀπολλωνία· οὕτως οὖν καὶ Φθία· πρόσκειται πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ τὸ Ἀλεξάνδρεια· καὶ πάλιν δὲ διὰ τοῦ ι γράφεται τὸ Φθία· ἐπειδὴ ἀπὸ τοῦ Φθίος κύριον ὄνομα γέγονεν· τὸ δὲ Φθίος διὰ τοῦ ι γράφεται κατὰ τὸν κανόνα τοῦ Φλίος· καὶ ἄλλως, ἀπὸ τοῦ ἴφθιμος, ἰφθίμη[q], γέγονεν ἰφθία καὶ Φθία· οἱονεὶ, ἡ ἰσχυρῶν ἀνδρῶν γεννητική.

Φθιῶται: Διὰ τοῦ ι· ἀπὸ γὰρ τοῦ Φθία γέγονεν, ὅπερ ὡς δέδεικται διὰ τοῦ ι γράφεται· ἰστέον δὲ ὅτι Φθιῶται μὲν ἐκαλοῦντο οἱ τοῦ Ἀχιλλέως· Φθίοι δὲ οἱ τοῦ Προτεσιλάου.

Φιλήτης: Διὰ τοῦ ι γράφεται· σημαίνει δὲ τὸν κλέπτην· καὶ λέγει ὁ τεχνικός· πολλὰ πάθη δίδωσι γὰρ ἀποβολὴ τοῦ υ τὸ ε· τὸ γὰρ ὑφειλέτης κατὰ τὴν δευτέραν συλλαβὴν διὰ τῆς

p Cod. Φῖλιο.   q Cod. ἴφθημι.

ει διφθόγγου γράφεται· δίδωσι δὲ καὶ ἔκτασις τοῦ ε εἰς η· τὸ γὰρ ὑφειλέτης τὸ ε παραλήγεται· τὸ δὲ φιλήτης τὸ η· ὁ λέγων καὶ ὁ Τρύφων ὅτι εἰσὶ τινὰ ὀνόματα συμπάσχοντα τῷ δηλουμένων· οἷον, ἡμισυκύκλιον· λείπω, λιμός· οὕτως καὶ ἐνταῦθα ἔπαθεν ἡ φωνὴ τὰ δηλούμενα· καὶ ἐν τῷ ὑφειλέτης γέγονεν φιλείτης· ἐπειδὴ γὰρ ἔνδειαν σημαίνει· ὁ γὰρ κλέπτης ἔνδειαν ποιεῖ· τούτου γὰρ χάριν καὶ φωνῆς ἔνδειαν ἐδέξατο, καὶ ἀπέβαλεν τὸ υ, καὶ τὸ ε, καὶ τροπὴν ἐποίησεν τοῦ ε εἰς τὸ η· κρείττων δέ ἐστιν εἰπεῖν, ὅτι ὥσπερ παρὰ τὸ οἰκῶ γίνεται οἰκέτης, καὶ παρὰ μάγω μάγετης, οὕτως καὶ παρὰ τὸ φιλῶν γίνεται φιλέτης ἐν ἐκστάσει τοῦ ι, καὶ κατὰ τροπὴν τοῦ ε εἰς η, φιλήτης· φιλίτης γὰρ γέγωεν ὁ κλέπτης παρὰ τὸ φιλεῖσθαι κατὰ ἀντίφρασιν· οἱονεὶ, ὁ μισούμενος.

Φοίνιξ: Διὰ τοῦ ι· τὰ εἰς διπλοῦν λήγοντα οὐ θέλουσι διφθόγγῳ παραλήγεσθαι.

Φίκνον: Ἔστιν δὲ ὄνομα ὄρους, διὰ τοῦ ι ἡ ἀρχὴ, τῷ κανόνι τῶν διπλῶν· κατὰ δὲ τὴν δευτέραν καὶ αὐτὴ διὰ τοῦ ι, κατὰ παράδοσιν.

Φοινίκη: Διὰ τοῦ ι· πρῶτον μὲν ὅτι ἀπὸ τῆς Φοίνικος γενικῆς· δεύτερον δὲ ὅτι τὰ διὰ τοῦ ικη ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, δίκη· νίκη· χωρὶς τοῦ Εὐνίκη, ἔστιν δὲ ὄνομα μιᾶς τῶν Νηρηΐδων· καὶ χωρὶς τοῦ φερείκη, ἔστιν δὲ εἶδος δένδρου, ὅπερ ὁ Ἡρωδιανὸς ἐν τῇ καθόλου[r] διὰ τοῦ ι ἐκτεταμένου γράφει.

Φρίκη: Διὰ τοῦ ι· τῷ κανόνι τοῦ φοινίκος· καὶ ἄλλως, ὅτι παρὰ τὸ φρίσσω γέγονεν· ἐπειδὴ οὐδέποτε πρὸ τοῖν δύο σσ δίφθογγος εὑρίσκεται.

Φιμός: Διὰ τοῦ ι γράφεται· παρὰ γὰρ τὸ σφίγγω γέγονεν σφιγγμὸς καὶ φιλιμός· τὸ δὲ σφίγγω διὰ τοῦ ι γράφεται, ἐπειδὴ τὰ εἰς ων λήγοντα ῥήματα βαρύτονα, ἔχοντα δύο τὰ αὐτὰ σύμφωνα, οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, τίλλω· πάλλω· αἴσσω· ἐλίσσω· οὕτως καὶ σφίγγω· πρόσκειται βαρύτονα, διὰ τὸ κρεισσῶ.

[r] Cod. καθόλω.

Φινεύς: Διὰ τοῦ ι· παρὰ γὰρ τὸ ἶφθι καὶ τὸν νοῦν γέγονεν· οἱονεὶ, ὁ ἰσχυρὸν ἔχων νοῦν· τὸ δὲ ἶφιος δέδεικται διὰ τοῦ ι γράφεσθαι· καὶ ἄλλως, τὰ εἰς ευς οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, Ἀχιλλεύς· Δωριεύς· Ἐρετριεύς· Τηριεύς· ἁλιεύς· οὕτως οὖν καὶ Φινεύς· πλὴν τοῦ Νηλεύς.

Φθεισήνωρ: Διὰ τῆς ει διφθόγγου· ἔστιν γὰρ φθείρω διὰ τῆς ει διφθόγγου, καὶ φθίω διὰ τοῦ ι· ἐξ οὗ τὸ φθίσας· ἐκ τοῦ οὖν φθείω, τοῦ διὰ τῆς ει διφθόγγου, γέγονεν φθεισήνωρ.

Φλία· Διὰ τοῦ ι· παρὰ γὰρ τὸ θλίβω, ὅπερ δέδεικται διὰ τοῦ ι γράφεσθαι, γέγονεν θλία, καὶ κατὰ τροπὴν τοῦ θ εἰς τὸ φ φλιά· φλιὰ δέ ἐστιν τὸ πλάγιον τῆς θύρας, ἐν ᾧ ἵσταταί τις καὶ ἐπερείδεται.

Φθείσω: Διὰ τῆς ει διφθόγγου κατὰ παράδοσιν.

Φθεῖσαι: Διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ φθείρω τὸ διὰ τῆς ει διφθόγγου γέγονεν· γράφεται δὲ καὶ διὰ τοῦ ι ἐκ τοῦ φθίω τοῦ διὰ τοῦ ι.

Φαείνω: Ὁμοίως τοῦ ἀλεείνω, δίφθογγος.

Φείδομαι: ει δίφθογγος· παρὰ γὰρ τὸ φεύγειν τὸ δοῦναι γέγονεν φεύδομαι, καὶ κατὰ τροπὴν τοῦ υ εἰς ι φείδομαι· τὸ δὲ φιδῶς τὸ ῥηματικὸν ὃ σημαίνει τὸ φειδωλὸς, ἐπεκράτησεν διὰ τοῦ ι γράφεσθαι.

Φειδωλός: Διὰ διφθόγγου· ὥσπερ γὰρ παρὰ τὸ ἁμαρτῶ γέγονεν ἁμαρτωλὸς, οὕτως καὶ παρὰ τὸ φείδω γέγονεν φειδωλός· οἱονεὶ, ὁ φεύγων τοῦ δοῦναι, φευδωλὸς γάρ.

Φείδαλος: Παρὰ τὸ φείδομαι, ει δίφθογγος.

Φείδων: Ἔστιν δὲ ὄνομα κύριον, διὰ τῆς ει διφθόγγου γράφεται· ὥσπερ γὰρ παρὰ τὸ λάμπω γέγονεν Λάμπων, οὕτως καὶ φείδω, Φείδων.

Φαεινός· Φωτεινός: ει δίφθογγος, ὡς ὀξύτονα· καὶ ἄλλως, ἐπειδὴ οἱ Αἰολεῖς φαεννὸς καὶ φωτεννὸς λέγουσιν.

Φερεζαῖος· Φθεῖρ: ει δίφθογγος τὸ ἐπὶ τῆς σωματικῆς φθορᾶς· ἰστέον δὲ ὅτι εἰς ειρ μονοσύλλαβα διὰ τῆς ει διφθόγγου γραφόμενα τρία εἰσίν· τὸ φθεὶρ τὸ ἐπὶ τῆς φθορᾶς τοῦ

σώματος· καὶ τὸ Εἶρ, ὄνομα δὲ τοῦ ποταμοῦ· καὶ τὸ χείρ· καὶ τὸ μὲν φθεὶρ ἀπὸ τοῦ φθείρω· τὸ δὲ Εἶρ ἀπὸ τοῦ εἴρω τοῦ συμπλέκω· τὸ δὲ χεὶρ, ἐπεὶ οἱ Αἰολεῖς ἦρ φασὶν τρέποντες τὴν ει εἰς τὸ η· ἔστιν δὲ καὶ τὸ Σαπείρ.

ΦΘΊΡΟΝ: Ἰστέον ὅτι τὸ

Φθίρον ὄρος ἀκριτόφυλλον, (Il. B. 868.)

ὁ Τεχνικὸς διὰ τοῦ ι γράφει, λέγων παρὰ τὸ Φθὴρ τὸ ἐπὶ τοῦ υἱοῦ τοῦ Ἐνδυμίωνος.

ΦΟΙΤΩ͂· ΦΩΛΈΑ.

ΦΌΡΟΣ: Τὸ τέλεσμα, καὶ φόρος ὁ τόπος.

ΦΕΊΔΙΠΠΟΣ: ει δίφθογγος, παρὰ τὸ φείδω· ἐξ οὗ τὸ φείδομαι.

ΦΡΕΊΑΤΑ: Ἀπὸ τοῦ φρέατα, κατὰ πλεονασμὸν τοῦ ι φρείατα.

ΦΙΛΟΜΕΊΔΗΣ: Ἢ παρὰ τὸ μέδειν τὸ βασιλεύειν κατὰ πλεονασμὸν τοῦ ι· ἢ παρὰ τὸ μειδιῶ, τὸ σημαῖνον τὸ γελᾶν, γέγονεν φιλομείδης.

ΦΘΕΊΑ[r]: Ἰστέον ὅτι διὰ τῆς ει διφθόγγου γράφεται· ἔστιν δὲ ὄνομα πόλεως· εὕρητο γὰρ καὶ χωρὶς τοῦ ι·

Φθείας παρὰ τείχεσιν. (Il. H. 135.)

ΦΩΝΉΕΙΣ: Διὰ τῆς ει διφθόγγου· ἀνεφάνη γὰρ τὸ ε ἐν τῇ φωνήεντος γενικῇ.

ΦΙΓΑΛΕΌΣ: Ὁ ἀπὸ τῆς φυγῆς ἢ τοῦ δήμου· Φιγάλεια γὰρ δῆμος Ἀρκαδίας.

ΦΘΗΡΆ: Πόλις μεταξὺ Λακωνικῆς καὶ Πύλου τῆς Μεσηνίας οὖσα, ἀπὸ τοῦ φθέρω.

ΦΟΡΒΕΙΆ: ει δίφθογγος, ὡς παρειά· ὀχειά· ταῦτα κατ' οὐσίας· τὸ δὲ ἀρειὰ κατὰ πράγματος, καὶ αὐτὸ δὲ διὰ τῆς ει διφθόγγου γράφεται, καὶ ἡ δωρειά.

ΦΛΩΡΈΝΤΩΣ· ΦΛΩ͂ΡΟΣ· ΦΙΛΊΑ: Παρὰ τὸ φίλος.

ΦΟΙΝΊΚΕΙΑ: Τὸ κει δίφθογγος τὰ γράμματα ἢ παρατέλευτον ἢ τοῖς ἀπὸ τῶν Φοινίκων ὡς Καδμοῦ δικομίσαντος τὰ εἰς τὴν Ἕλλαδα.

[r] Leg. Φειά.

Φωνοβίκεια: Οἱονεὶ φωνεικῶνες.

Φιάλη: Διὰ τοῦ ι· πὶν γὰρ σιάλη ὡς νείφω, νεφέλη· ἀφ' ἧς ἐστιν εἰπεῖν * *[s] αλες τουτέστιν ἀθροῦν διὰ τὸ ἐξηπλῶσθαι.

Φίτρος: Διὰ τοῦ ι· οἱονεὶ, φύτρος· ἀπὸ τοῦ φυτοῦ.

Φλόγιος: Διὰ τοῦ ι· χαρακτὴρ γάρ ἐστι τριβραχέων ὀνομάτων, ἃ καὶ θέλει ὡς ἐπίπαν, κύρια μὲν ὄντα, παροξύνεσθαι, ἐπίθετα δὲ, προπαροξύνεσθαι.

Φθίνω: Διὰ τοῦ ι ἡ παράδοσις.

Φιλόλογος: Διὰ τοῦ ι· καὶ ὅσα ὅμοια.

Φλυκτίς: ι.

Φθίω: Διὰ τοῦ ι· παρὰ τὸ ἔφθιος· Φθείω διὰ διφθόγγου· ἀφ' οὗ τὸ φθείσω, ὅθεν καὶ φθόη.

Χῖος: Σημαίνει δὲ τὸν πολίτην τῆς Χίου· διὰ τοῦ ι γράφεται· ὥσπερ γὰρ ἀπὸ τοῦ Λέσβος, Λέσβιος, διὰ τοῦ ι, καὶ ἀπὸ τοῦ Σάμος, Σάμιος, οὕτως καὶ ἀπὸ τοῦ Χίος, Χίϊος, καὶ κατὰ κρᾶσιν τῶν δύο ω εἰς ἓν μακρὸν Χῖος· ὥσπερ δίιος, δῖος· Θέτιι, Θέτι.

Χίλιοι: Διὰ τοῦ ι· καὶ ὤφειλεν διὰ τῆς ει διφθόγγου· ἐπειδὴ οἱ Αἰολεῖς χέλλιοι λέγουσιν· τοῦτο δὲ ἔθος ἔχουσι ποιεῖν ἐπὶ τῶν γραφομένων διὰ τῆς ει διφθόγγου· οἷον, φθείρω, φθέῤῥω[t]· εἰ δέ τις εἴποι ὅτι καὶ τὸ ι εἰς πέντε τρέπεται· οἷον, Πρίαμος, Πέῤῥαμος· τρίτος, τέρτος· οὕτως οὖν καὶ τὸ χίλιοι διὰ τοῦ ι γραφόμενον χέλλιος γέγονεν παρ' αὐτὸ, κατὰ τροπὴν τοῦ ι εἰς υ· λέγομεν ὅτι οἱ Αἰολεῖς τὸ ι τὸ συνεσταλμένον πεφύκασι τρέπειν εἰς τὸ ε· οἷον, Πρίαμος, Πέῤῥαμος· τρίτος, τέρτος· κόπρια, κόπεῤῥα· τὸ δὲ χίλιος τὸ ι μακρὸν ἔχει πῶς ἔτρεψεν τὸ ι εἰς ε· τὸ δὲ χίλιοι διὰ τοῦ ι γράφεται διὰ τοιαύτην αἰτίαν· πᾶς ἀριθμὸς ἐν τῇ ἀρχούσῃ κατὰ τὴν φωνὴν συνεμπίπτων ὀνόματι στοιχείου καὶ τὴν αὐτὴν αὐτῷ φυλάττει γραφήν· οἷον, ὁ εἴκοσι ἀριθμὸς ἐν τῇ ἀρχούσῃ κατὰ τὴν φωνὴν συνεμπίπτει τὸ ει στοιχείῳ, ἀλλὰ καὶ τὴν αὐτὴν αὐτῷ[u] φυλάττει γραφήν· διὰ γὰρ τοῦ ε ἐκφέρεται· ἐπειδὴ οὖν καὶ τὸ χίλιοι

[s] Est signum lacunæ. [t] Cod. φέῤῥω. [u] Cod. αὐτο.

ἐν τῇ ἀρχούσῃ συνεμπίπτει τὸ χι στοιχείῳ, τὸ δὲ χι διὰ τοῦ ι γράφεται, τούτου χάριν καὶ τὸ χίλιοι διὰ τοῦ ι γράφεται.

Χῖ: Τὸ ὄνομα τοῦ στοιχείου· διὰ τοῦ ι γράφεται, ἐπειδὴ πᾶν ὄνομα στοιχείου εἰς ι καταλῆγον οὐκ ἔχει αὐτὸ ἐν διφθόγγῳ· οἷον, ξῖ· πῖ· φῖ· ψῖ· οὕτως οὖν κἂν χῖ διὰ τοῦ ι μόνου χωρὶς τοῦ ε· τοῦτο γὰρ ι ἔχει ἐν διφθόγγῳ· καί ἐστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· ὅτι τὰ ὀνόματα τῶν στοιχείων ἀφ' ἑαυτῶν θέλουσιν ἄρχεσθαι· οἷον, ἄλφα ἀπὸ τοῦ α ἄρχεται· βῆτα ἀπὸ τοῦ β· εἰ οὖν τὸ ε τὸ ὄνομα τοῦ στοιχείου διὰ τοῦ ι ἐγράφετο, οὐκ ἤμελλεν ἀπὸ ἑαυτοῦ ἄρχεσθαι· τούτου οὖν χάριν διὰ τῆς ει διφθόγγου γράφεται, ἵνα εὑρεθῇ ἀπὸ τοῦ ε ἀρχόμενον.

Χρίω: Τὸ ἀλείφω διὰ τοῦ ι.

Χαλκίον: Θερμαντήριον τὸ σκεῦος.

Χαλινός: Διὰ τοῦ ι· οἱ γὰρ Αἰολεῖς χαλλινὸς λέγουσιν· εἰ δὲ ἐγράφετο διὰ τῆς ει διφθόγγου χαλλενὸς εἶχε λέγεσθαι.

Χαρῖνος: Διὰ τοῦ ι.

Χαρίσσιος: Διὰ τοῦ ι· Χρυσίτης· διὰ τοῦ ι.

Χρῖμα: Σημαίνει δὲ τὸ χρίσμα, διὰ τοῦ ι γράφεται· ἐπειδὴ οἱ Αἰολεῖς χρίμμα λέγουσιν, καὶ οὐχὶ χρέμμα· ἰστέον δὲ ὅτι ὥσπερ λέγουσιν κρούμμα καὶ κρούσμα, οὕτως λέγεται χρῖμα καὶ χρίσμα.

Χιλός: Σημαίνει δὲ τὴν τροφὴν, καὶ ὀξύνεται, καὶ θηλυκῶς λέγεται, καὶ διὰ τοῦ ι γράφεται· τὰ γὰρ διὰ τοῦ ιλος μὴ ὄντα οὐδέτερα, μήτε ἐν ἄρσει ὀξείᾳ, μήτε σύνθετα ἀπὸ ὀνομάτων ἐχόντων τὴν ει δίφθογγον, διὰ τοῦ ι γράφεται· πλὴν τοῦ Νεῖλος· οἷον, Τροῖλος· Ζωΐλος.

Χορήγιον καὶ Χορηγός: Τὸ χο μικρὸν παρὰ τὸ χέω· ὁ γὰρ χορηγὸς τοὺς χορευτὰς καὶ τοὺς ὑποκριτὰς συνῆγεν, καὶ συνεκρότει.

Χοίνιξ: Διὰ τοῦ ι· τὰ γὰρ εἰς διπλοῦν λήγοντα ἀποστρέφεται τὴν ει δίφθογγον.

Χιράδες: Διὰ τοῦ ι γράφεται· χιράδες δέ εἰσιν αἱ τῶν χειρῶν ῥαγγάδες· καὶ ὤφειλεν διὰ τῆς ει διφθόγγου γράφεσθαι,

ἐπειδὴ παρὰ τὸ χεὶρ γέγονεν· ἀλλ' ἴσως ἀπεβάλετο τὸ ε, ὥσπερ τὸ λείβω λιβάς· κρεῖττον δέ ἐστιν εἰπεῖν, ὅτι συνέπαθεν ἡ φωνὴ τὸ σημαινόμενον· ἐπειδὴ γὰρ τὸ χεῖρας ἔνδειαν τινὰ σημαίνει· τὰς γὰρ τῶν χειρῶν ῥαγάδας δηλοῖ, ἡ δὲ ῥαγὰς πρὸς τὸ ὁλόκληρον ἔνδειαν ἔχει· τὸ γὰρ ἔχον ῥαγάδας οὐκ ἔστιν ὁλόκληρον· τούτου χάριν καὶ ἔνδειαν φωνήεντος ἀνεδέξατο, φημὶ δὲ τοῦ ε· καὶ τὸ λιμὸς ἀπὸ τοῦ λείπω γενόμενον οὐκ ἐφύλαξε τοῦ λείπω τὴν δίφθογγον.

Χίλων: Ἔστιν δὲ ὄνομα κύριον διὰ τοῦ ι γράφεται· ἐπειδὴ εὕρηται καὶ ἐν συστολῇ παρὰ Καλλιμαχῷ· οἷον,

Σόλων ἐκεῖνος δὲ ὡς Χίλων ἀπέστειλεν·

ἔστιν δὲ χολίαμβον.

Χελιδών: Διὰ τοῦ ι γράφεται· τὰ γὰρ εἰς δων λήγοντα θηλυκὰ ἑνὶ φωνήεντι θέλουσι παραλήγεσθαι· χελιδὼν δὲ λέγεται, ἢ παρὰ τὸ τὰ χείλη δονεῖν, ἢ παρὰ τὸ τὰ χείλη οἰδάνειν· ἢ παρὰ τὸ τοῖς χείλεσιν ᾄδειν.

Χίμετλα: Διὰ τοῦ ι κατὰ παράδοσιν.

Χόριος: Διὰ τοῦ ι· καὶ Χορεῖος διὰ διφθόγγου· ὁ τόνος ἐπὶ διαφορᾷ καὶ ἡ γραφή.

Χείρων: Τὸ συγκριτικὸν, ἐπειδὴ οἱ Αἰολεῖς χέῤῥων λέγουσιν· γέγονεν δὲ παρὰ τὸ χεὶρ χείρων· χείρων γὰρ λέγεται παρὰ τὸ ἐλαττοῦσθαι κατὰ τὰς χεῖρας.

Χαλκεῖος: ει δίφθογγος· μετουσιαστικὸν γάρ.

Χλωρον: Τὸ χω μέγα κατὰ παράδοσιν, ἢ τὸν κανόνα τοῦ πυλωρός.

Χαραδριός: Διὰ τοῦ ι, παρὰ τὸ χαίρειν γὰρ τοῖς ἰδίοις· ἑλῶδες γράφεται τὸ ὄρνεον.

Χάρεια: ει δίφθογγος, ὡς προπαροξύτονον.

Χαλκοβάρεια: ει δίφθογγος.

Χαλκεῖον: ει δίφθογγος· χαλκεύω γάρ.

Χοριόν: Διὰ τοῦ ι τὸ ἐλουτρὸν τῶν βρεφῶν, παρὰ τὸ χορεῖν.

Χρεῖα: ει δίφθογγος· παρὰ γὰρ τὸ χρέος γέγονεν χρέα, καὶ μετὰ τοῦ ι χρεῖα.

Χίτρον: Διὰ τοῦ ι· ἢ χιδρὸν, ἄλευρον τὸ ἐξ ἁπαλῶν κριθῶν· ἢ οἱ χλοροὶ πυροί.

Χρεωφειλέτης: ει· καὶ χρεοφειλέτης λέγεται.

Χειά: ει δίφθογγος ἡ κατάδυσις τῶν ὄφεων· παρὰ γὰρ τὸ χῶ, τὸ σημαῖνον το χωρῶ, γέγονεν χέα, καὶ ἐν πλεονασμῷ τοῦ ι χειά.

Χεῖρες: ει δίφθογγος· χέῤῥες γὰρ λέγουσιν οἱ Αἰολεῖς.

Χοιροτροφεῖον: Ἡ παρατέλευτος κατὰ παράδοσιν.

Χοῖρος: οι δίφθογγος, παρὰ τὸ χοῦν αἴρειν.

Χεῖλος: ει δίφθογγος· χέλλος γὰρ λέγουσιν οἱ Αἰολεῖς, ὥσπερ κείρω κέῤῥω· ἢ παρὰ τὸ χρέω γέγονεν χέλος, καὶ ἐν πλεονασμῷ τοῦ ι χεῖλος· εἰς αὐτὸ γὰρ ἔχονται αἱ τροφαί.

Χρείω: Σημαίνει δὲ τὸ χρεισμωδῶ, διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ χρέος γέγονεν χρέω, καὶ ἐν πλεονασμῷ τοῦ ι χρείω· τοῖς γὰρ χρεῖαν ἔχουσι τὸ ἀληθὲς μαθεῖν χρεισμωδεῖ ὁ τόπος.

Χρίω: Σημαίνει δὲ τὸ ἀλείφω, διὰ τοῦ ι γράφεται· καὶ ἴσως[x] πρὸς ἀντιδιαστολὴν τοῦ χρείω τοῦ ἐπὶ χρεισμωδῶ· ἕτεροι δὲ λέγουσιν ὅτι διὰ τοῦ ι γράφεται, ἐπειδὴ τὰ εἰς πτω οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, νίπτω· ῥίπτω· πλὴν τοῦ φιλαλείπτω· γέγονεν δὲ ἀπὸ τοῦ χρίμπτω χρίω· πλὴν τοῦ ἀνερείπτω, τοῦ σημαίνοντος τὸ ἁρπάζω, ἐξ οὗ τὸ ἀνηρείψαντο.

Χλαῖνα: αι δίφθογγος ἡ χλαμύς· ἰστέον ὅτι διαφέρει χλαῖνα, χλαμῦδος, καὶ χλανίδος· χλαῖνα μὲν γάρ ἐστι τὸ παχὺ καὶ χειμερινὸν ἱμάτιον παρὰ τὸ χλαίνειν· χλανὶς δὲ ἡ λεπτὴ τὴν ἐργασίαν καὶ τρυφερά· χλαμὺς δὲ ἡ περιφερὶς, ἤγουν τὸ λεγόμενον σαγομάντιον.

Χυτρεῖα: ει δίφθογγος· τὰ τῶν χύτρων ὄστρακα, ἤδη δὲ καὶ ἐπὶ πάντα ὀστράκου ἐτάττετο.

Χείμων: ει δίφθογγος παρὰ τὸ χέω[y].

Χείμαστον: Τὸ ἐπιτήδιον ἱμάτιον ἀπὸ τοῦ χειμῶνος.

[x] Cod. ἴσος. [y] Cod. ἢ ἐχ τιμοθέου (τ supra) scr. in marg.

Χείρ: παρὰ τὸ ἔχειν.

Χηρεῖα: Παρὰ τὸ χηρεύω.

Χρήιζω: Μετὰ τοῦ ι· χρηΐζω γάρ.

Χιτών: Διὰ τοῦ ι· εἰσὶ τινὰ ὀνόματα ἀπὸ ῥημάτων γινόμενα.

Χῶσαι: Μέγα κατὰ παράδοσιν· ἢ παρὰ τὸ χῶ χώσω.

Χαίτη: Παρὰ τὸ κρατῶ, κράτη, καὶ χαίτη.

Χειρὶς, Χειρίδος: Σημαίνει τὸ χειρομανικόν.

Ψιθυροί: Διὰ τοῦ ι, κατὰ παράδοσιν.

Ψωφίς: Διὰ τοῦ ι, διὰ τὴν κατάληξιν.

Ψάλιον: Διὰ τοῦ ι, ἐπειδὴ καὶ συστέλλεται.

Ψέλλιον: ι, ὅτι συστέλλεται.

Ψηφίς: ι, διὰ τὴν κατάληξιν.

Ψιμύθιον: Διὰ τοῦ ι ἀμφότεραι.

Ψίξ: ι, διὰ τὴν κατάληξιν.

Ψιλή: Διὰ τοῦ ι· ἀπ' ἄκρου γὰρ τῶν χείλεων προφέρεται, ὥσπερ ἡ δασεῖα, ἥτις ἀπὸ τοῦ σεύεσθαι εὕρηται, καὶ τῆς δα ἐπὶ τὸ ἀθροῦν πνεῦμα ἡ δασεῖα.

Ψίσαι: Διὰ τοῦ ι ἡ παράδοσις· σημαίνει δὲ καὶ τὸ ψωμίσαι, καὶ βραχὺ θρέψαι μετὰ ποιοῦ τινὸς ἤχου.

Ψωμίσαι καὶ Ψωμίον: ω καὶ ι ἡ παράδοσις.

Ψευδίς: ι, διὰ τὴν κατάληξιν.

Ψυχεινός: Ψείρει ει δίφθογγος ἡ παράδοσις.

Ψευδομαντεία: ει δίφθογγος, ἐκ τοῦ μαντεύω.

Ψῆφος: Ἡ παράδοσις.

Ψόγος: Παρὰ τὸ ψέγω· Ψόγειος ει δίφθογγος, καὶ προπαροξύνεται· ἔνθεν καὶ οὐδέτερον παρὰ τὸ ψόγεια.

Ψωμίς: ι ἡ καταλήγουσα γάρ.

Ψιλὸς, καὶ Ψιλὴ, καὶ Ψίλιον: Διὰ τοῦ ι.

Ψωφίς: ι διὰ τὴν κατάληξιν.

Ψύλλειον: Ἡ βοτάνη ει δίφθογγος· ὡς πράσειον καὶ ἐλένειον ἡ παράδοσις.

Ψαίρειν: ει δίφθογγος Ἀττικοὶ τὸ κινεῖν καὶ ψαύειν· κέχρηνται δὲ τῇ λέξει ἐπὶ τῶν ἱστίων.

Ψαιδρόν: αι δίφθογγος, τὸ φαιδρὸν Κύπριοι.

Ψαῖμα: αι δίφθογγος, τὸ ὀλίγον· καὶ ψαῖσμα τὸ ὀλιγόσιτον.

Ψαινάθιον: αι δίφθογγος, τὸ ψευδὲς καὶ μάταιον.

Ψαίντον: αι δίφθογγος τὸ ἀχρεῖον, ἡ παράδοσις.

Ψαιστόν: αι δίφθογγος· ἔστιν δὲ εἶδος πλακοῦντος, ὃ δι' ἀλφίτων παρασκευάζων, ἀπὸ τοῦ ψαῖσθαι καὶ ψώχεσθαι· ὅθεν καὶ ψωμοὶ καὶ ψίχες τὰ μικρὰ θρέμματα.

Ψυχραινόμενος: Ἀντὶ τοῦ ψυχρὰ πράσσων· τὸ χραι δίφθογγος.

Ψηλαφῶ: Τὸ ψη η· ὅθεν γνῶ.

Ψιλαφῶ: Διὰ τοῦ ι, παρὰ τὸ ψιλῶς ἅπτεσθαι ὁ μάγειρος.

Ὠσχοφορίον καὶ Ὠσχοφορία: Ἀπὸ παρακειμένου δέ ἐστιν τὸ ο· ἦν γὰρ ὀσχοφορῶ· οἴσχη δέ ἐστιν τὰ μετὰ τῶν βοτρύων κλήματα.

Ὤνιον: Διὰ τοῦ ι, ὡς ἀπὸ τοῦ θοίνιον καὶ ἐνθοίνιον.

Ὠρίων: Διὰ τοῦ ι, ἐπειδὴ καὶ Εὐριπίδης συνέστειλεν.

Ὠρείτης: Ὠρεὸς γάρ.

Ὠκεῖα: ει δίφθογγος· ὠκέα γὰρ καὶ ὠκέη.

Ὠφέλεια: ει δίφθογγος ἡ παράδοσις· ὁ Πολιτικὸς δὲ διὰ τοῦ ι, καὶ προπαροξύνεται· παρὰ Σοφοκλεῖ δὲ καὶ ει δίφθογγος, καὶ προπαροξύνεται ὡς προμήθεια.

Ὡρολογεῖον: ει δίφθογγος· εἴρηται καὶ ὡς ἡμερολογεῖον.

Ὠστιεῖται: Ἀπὸ τοῦ ὠστίζω, ὃ δηλοῖ τὸ ὠθοῦμαι· ὡς τὸ βαδιεῖται καὶ αἰκιεῖται τῇ ει διφθόγγῳ παραλήγοντα, ὡς τὸ ὥσει καὶ οἱονεί[z].

Ὠκυτόκειον: ει δίφθογγος· καὶ γὰρ ὠκυτοκεύς.

Ὠδεῖον: ει δίφθογγος, ὡς γράφω, γραφεῖον· πέμπω, πομπεῖον· ᾄδω, ᾠδεῖον.

Ὤκειλεν: ει δίφθογγος, ἐπὶ τοῦ προσωθῆναι ναῦν.

Ὠτειλή: Ὠτέλλω γὰρ οἱ Αἰολεῖς τὰ τραύματα· Ἀττικοὶ δὲ οὐλὴν λέγουσιν.

Ὠφεῖον: Ὀπτικῶς εἶχον· εἴρηται δὲ καὶ ὤψεον.

ἐγὼ δέ τοι καὶ πάλιν ὄψεον.

[z] Cod. οἰωνεί.

Ὠιαί: Σὺν τοῦ ι ἡ παράδοσις, ὅτε σχετλιασμοῦ ἐστιν ἐπίῤῥημα.

Ὠνηματιαῖος: αι ἡ παράδοσις.

Ὠπιδαῖος: αι, καὶ προπερισπᾶται· ἔστιν δὲ ἐπὶ ἔθνους.

Ὡραῖα, καὶ Ὡραῖος, καὶ Ὡραιέστατος: αι δίφθογγος ὅλα ἡ παράδοσις.

Ὡριαίνεσθαι: αι δίφθογγος· ἀπὸ τοῦ ὡραΐζεσθαι· Ὠσφραίνεται.

Ὠχραίνεται: αι δίφθογγος, ἀντὶ τοῦ ὠχρειά.

Ὠδίν: ι, ὡς δικατάληκτον.

Ὠδή: Μετὰ τοῦ ι, παρὰ τὸ ᾄδω, ἀοιδὴ καὶ ᾠδή.

Ὠῖα: Τὸ τοῦ χιτῶνος ἄκρον, μετὰ τοῦ ι ἡ παράδοσις.

Κωμῳδός· Μελῳδός· Ῥαψῳδός: Σὺν τῷ ι παρὰ τὸ ᾠδή.

Ὠιόν: Τὸ τῆς ὄρνις σὺν τοῦ ι.

Ὤιμοι: Διχῶς ἐκ τοῦ οἴμμοι.

Ὧτε: Σὺν τῷ ι, ἀντὶ τοῦ ὥσειτε.

Ὠδίς: Διὰ τοῦ ι τῆς καταλήξεως ἕνεκεν.

Ὠμός: Ὑποδύτης καλεῖται ὁ ἔσωθεν χιτωνίσκος· ἐπενδύτης δὲ ὁ ἔξωθεν.

Πάλιν: Ἐπίῤῥημα συντακτικόν· Ἀνάστα· ἐπίῤῥημα παρακελεύσεως· Ἀμέλει· ἐπίῤῥημα συλλήψεως· ἀντὶ τοῦ διὰ τοῦτο. Τί· ἐπίῤῥημα ἀπορητικόν.

Ποαύ: Ἐπίῤῥημα ποσότητος δηλωτικόν.

Ἆρα· Ἄνμοι: Ἐπιῤῥήματα ἀποῤῥητικά· Οὐκοῦν· σύνδεσμὸς ἐναντιωματικός· ὁμοίως καὶ Λοιπόν.

Σχεδόν: Ἐπίῤῥημα συγκριτικὸν, σημαίνει δὲ παρὰ μικρόν.

Οἴμμοι, καὶ Ὦιμοι, καὶ Οὐαί: Ἐπιῤῥήματα σχετλιαστικά· Ἅπαξ ἀριθμοῦ δηλωτικόν.

Χριστε ἀεί μοι δίδου χάριν.

ΠΕΡΙ ΠΟΣΟΤΗΤΟΣ.

ΠΑΝΤΑ τὰ εἰς ος σύνθετα ὀνόματα παρὰ τὴν πειθῶ γινόμενα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, Πεισίστρατος· Πεισίθεος· Πείσανδρος.

Τὰ ἀπὸ τῶν εἰς ος οὐδετέρων, μὴ παραληγόμενα τῷ α διὰ τοῦ ειος γινόμενα, διὰ τῆς διφθόγγου γράφεται· οἷον, τὸ ὄνειδος ὀνείδειος, ὁ ὀνειδιστικός· τὸ τέλος, τέλειος· τὸ ὄρος, ὄρειος, ὁ ὀρεινός· σεσημειωμένου τοῦ τέμενος, τεμένιος· τέμενος δέ ἐστι τὸ ἱερὸν χωρίον, ἤγουν τὸ ἀνακείμενον θεῷ.

Πάντα τὰ εἰς ρος ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, Ἔπειρος· ἄπειρος· ὄνειρος· μάγειρος.

Πάντα τὰ εἰς μων ὀξύτονα δισύλλαβα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, χειμών· λειμών· πλὴν τοῦ θημών.

Πάντα τὰ εἰς ηρ λήγοντα, εἴτε ἁπλᾶ, εἴτε σύνθετα, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, χείρ· φθεὶρ, ὁ ἐκ τῆς τοῦ σώματος φθορᾶς γινόμενος· πολύχειρ· αὐτόχειρ· σεσημείωται τὸ Θὴρ ὀνοματικὸν ὁ υἱὸς Ἑνδυμίωνος.

Πάντα τὰ εἰς της λήγοντα ὀνόματα, οἷς ἔγκειται τὸ ρει μόρειον παρὰ τὸ ῥέω γινόμενα ῥήματα, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, εὐρείτης· ἀκαῤῥείτης· βαθυρείτης· καλλυρείτης.

Τὰ διὰ τοῦ ειω βαρύτονα παρ᾽ ἐνεστῶτα ἢ μέλλοντα παρηγμένα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ὀψείω· βρωσείω· θείω· γαμειείω.

Τὰ διὰ τοῦ εινω ῥήματα ὑπὲρ δύο συλλαβὰς διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἐρεείνω· ἀλεείνω· πλὴν τοῦ ἀρίνω· ὠδίνω.

Τὰ ἀπὸ τῶν εἰς εις ἀρσενικῶν, ἔχοντα οὐδέτερα εἰς εν διὰ

τοῦ ντ κλινόμενα, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἐρόεις· χαρίεις· φθογγίεις.

Τὰ παρὰ τὸ αει διὰ τῆς ει διφθόγγου γράφεται· ἀείμνηστος· ἀειγενής· ἀειπάρθενος· τὸ μέντοι ἀΐδιος μόνον διὰ τοῦ ι γράφεται, παρὰ γὰρ τὸ ἴζω γέγονεν ἴδιος καὶ ἀΐδιος.

Τὰ διὰ τοῦ ειος τρισύλλαβα βαρύτονα ἔχοντα ἐν τῇ πρώτῃ συλλαβῇ τὸ α, μεθ' ὃ ἐπιφέρεται δύο σύμφωνα ἢ καὶ πλείονα[a], διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, Καδμεῖος· Βακχεῖος· ἀστεῖος· ἀγρεῖος· σημαίνει δὲ τὸν ἀγροικόν· ἐπὶ γὰρ τοῦ ἀνημέρου, ἄγριος προπαροξυτόνως διὰ τοῦ ι· χωρὶς τοῦ ἄντιος· τοῦτο γὰρ βαρύτονόν ἐστι, καὶ ἔχει ἐν τῇ πρώτῃ συλλαβῇ τὸ α, μεθ' ὃ ἐπιφέρεται[b] δύο σύμφωνα· σημαίνει δὲ τὸν ἐναντίον· τὸ δὲ Ἀμφίος καὶ Ἀγρίος οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐκ ἔστιν προπερισπώμενα ἀλλὰ παροξύτονα.

Τὰ εἰς ος καθαρὸν, ἤγουν μὴ ἔχοντα πρὸ τοῦ ο σύμφωνον ἀλλὰ φωνῆεν, ὑπὲρ δύο συλλαβὰς ὄντα, μὴ ὄντα κύρια, μήτε πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου τονωθέντα, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀγρεῖος· Ἀργεῖος τὸ ἐθνικόν· ἀρνεῖος ὁ μήν· ἀχρεῖος· τοῦτο δὲ οἱ Ἀθηναῖοι προπαροξύνουσι· ἠθεῖος· σημαίνει δὲ φιλοφρόνησιν ἀπὸ νεωτέρου πρὸς παλαιότερον· πρόσκειται μὴ πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου τονωθέντα, διὰ τὸ μύριος καὶ νύμφιος τὸ κτητικόν· δεῖ γὰρ γινώσκειν διὰ μὴ παροξύνεσθαι· κτητικὸν δέ ἐστιν ὁ νύμφιος οἶκος· τὸ δὲ μυρίος πρὸς ἀντιδιαστολὴν τοῦ μύριος παροξύνεται· σημαίνει δὲ παροξύτονον ἀόριστον πληθύν· τὸ δὲ προπαροξύτονον τὸν ἀριθμόν.

Τὰ διὰ τοῦ ειος ὀνόματα ποταμῶν δίφθογγον ἔχει· Πηνειός· Ἀλφειός· Σπερχειός· πλὴν τοῦ Μηνιός.

Τὸ εἴκελλος διφορεῖται κατὰ τὴν γραφήν· τὰ μέντοι παρ' αὐτὸ συντεθειμένα δίφθογγον ἔχει· θεοείκελλος· πανείκελλος· ἀνδρείκελλος.

Τὰ εἰς ων συγκριτικὰ δισύλλαβα διφθόγγῳ παραλήγεται·

[a] Cod. πλείωνα. [b] Cod. ἐπιφέρηται.

πλείων· μείων· ῥαίων· εἰ δὲ εἴη ὑπὲρ δύο συλλαβὰς, τὸ ι παραλήγεται· βραδίων· βελτίων· τὸ γὰρ ἀμείνων ἐκ τοῦ μείων δισυλλάβου συντέθειται· ἀμείων, καὶ ἐν πλεονασμῷ τοῦ ν ἀμείνων.

Τὰ εἰς ων συγκριτικὰ μεταβάντα εἰς ὑπερθετικὰ, εἰ μὲν εἴη δισύλλαβα, τηρεῖ τὴν παραλήγουσαν ἐν τῷ ὑπερθετικῷ· πλείων, πλεῖστος· ῥαίων, ῥαῖστος· εἰ δὲ ὑπὲρ δύο συλλαβὰς, συστέλλει τὴν παραλήγουσαν ἐν τῷ ὑπερθετικῷ· ἀρείων, ἄριστος· χερείων, χέριστος.

Τὰ διὰ τοῦ ειος σημαίνοντα μέρος σωματικὸν ἢ μετουσίαν, διὰ τῆς ει διφθόγγου γράφεται· τὰ σημαίνοντα μέρος σωματικόν· οἷον, ἀνθρώπειος χείρ· βουβάλλειον κέρας· ἐλάφειος βύρσα· βόειος ὁπλή· χοίρειος· δόρκειος· θήρειος· γύπειος χολή· δρακόντειον αἷμα· τὸ δὲ κύριον διὰ τοῦ ι, Δρακόντιος· λεόντειος δορά· τὸ δὲ κύριον διὰ τοῦ ι· ἄρνειος· αἴγειος· μετουσιαστικὰ δέ· οἷον, χάλκειος ὁ μετέχων τοῦ χαλκοῦ· καὶ χρύσειος ὁ μετέχων τοῦ χρυσοῦ· ἀργύρειος· σιδήρειος [c].

Καὶ διαφέρουσι τὰ σημαίνοντα μέρος σωματικὸν [d] τῶν μετουσιαστικῶν· καί ἐστιν εἰπεῖν ὅτι τὰ σημαίνοντα μέρος σωματικὸν ἀπὸ ἐμψύχων ἐγένοντο· τὰ δὲ μετουσιαστικὰ ἀπὸ ἀψύχων.

Πάντα τὰ εἰς ος καθαρὸν κτητικὰ ἀπὸ τῶν εἰς ρος γινόμενα μὴ ἀπὸ πόλεως παραλήγεται ἡ ει δίφθογγος· οἷον, ταῦρος, ταυρεῖος· χοῖρος, χοιρεῖος· ἄργυρος, ἀργύρειος· χρύσειος· τὰ γὰρ ἀπὸ πόλεος τὴν παραγωγὴν ἔχοντα διὰ τοῦ ι γράφεται· οἷον, Τύριος· Κύπριος· σεσημείωται τὸ καίριος διὰ τὸ καιρὸν, καιρὸς τῷ κανόνι τῶν μονοσυλλάβων.

Τὰ εἰς ος κτητικὰ ἀπὸ τῶν εἰς ωρ γινόμενα διὰ τῆς ει διφθόγγου γράφεται· Ἕκτωρ, Ἑκτώρειος· Κάστωρ, Καστώρειος.

Αἱ γενικαὶ αἱ εἰς τος λήγουσαι τὰ κτητικὰ διὰ τῆς ει διφθόγγου σχηματίζουσιν· οἷον, Αἴαντος, Αἰάντειος· Θοάντος, Θοάντειος.

Τὰ ἐπὶ αἱρέσεων κτητικὰ διὰ τῆς ει διφθόγγου γράφεται·

c Cod. σηδήρειος. d Cod. σωματικῶν.

οἷον, Ἡροφίλειος· αἱρέσειος· Πλατόνειος· Ἀριστάρχειος· Αἰσχίνειος· ὁμοίως καὶ τὰ θηλυκὰ καὶ τὰ οὐδέτερα.

Τὰ εἰς σ λήγοντα ὀνόματα μονοσύλλαβα περισπώμενα διὰ τοῦ ειος παραγόμενα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, βοῦς, βόειος· σῦς, σύειος· μῦς, μύειος· παῖς, παίδειος τρόπος· δεῖ δὲ προσθεῖναι μὴ ὄντα ἀπὸ τῶν εἰς αυς, ἐπειδὴ ταῦτα διὰ τοῦ ι γράφονται· οἷον, γραῦς, γράϊος, καὶ γρήϊος παρὰ Καλλιμάχῳ·

γρήϊον εἶδος ἔχουσα·

τουτέστιν γραός· ναῦς, νάϊος, καὶ νήϊος· πρόσκειται περισπώμενα, διὰ τὸ Τρὼς, Τρώϊος· ὅταν Τρωάδες, ἤγουν ὁ Τρωικός· νήϊον, τουτέστιν ναυπηγήσιμον.

Τὰ ἀπὸ τῶν εἰς ευς ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ ειος παραγόμενα, εἴτε κτητικὰ, εἴτε κύρια, διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, Ὀδυσσεὺς, Ὀδύσσειος οἶκος· Ἀχίλλειος δρόμος· καὶ Ἀχιλλεῖος τὸ κύριον· [ὁμοίως] βασιλεὺς, βασίλειος· καὶ τὸ κύριον ὁμοίως· Ἀρεὺς ι, ἔστιν δὲ Αἰολικὴ ἡ λέξις· τὸ γὰρ Ἄρης Ἀρεὺς λέγουσιν οἱ Αἰολεῖς· καὶ λοιπὸν ἐκεῖθεν γίνεται Ἄρειος τὸ κύριον καὶ τὸ κτητικόν.

Τὰ διὰ τοῦ ειον κτητικὰ προπερισπώμενα δίφθογγον ἔχει· τεκτονεῖον· μουσεῖον· κουρεῖον.

Τὰ διὰ τοῦ ωιος κτητικὰ διφθόγγῳ παραλήγεται· Κῷος· Ἡρῷος· Μηνῷος· τινὲς δὲ καὶ τὸ σῷος μετὰ τοῦ ι γράφουσιν.

Τὰ εἰς κος κτητικὰ οὐδέποτε διφθόγγῳ παραλήγεται· οἷον, Πινδαρικός· Δημοσθενικός· πλὴν τοῦ Κεραμεικός[d]· βοεικός· Δαρεικός· Δεκελλεικός.

Τὰ ἀπὸ τῶν ἄλλων μονοσυλλάβων, τῶν μὴ ληγόντων εἰς σ, διὰ τοῦ ιος παραγόμενα, μὴ σημαίνοντα μέρος σωματικὸν, ἢ μετουσίαν, διὰ τοῦ ι γράφεται· οἷον, νὺξ, νύχιος· μὴν, μήνιος· σκοτομήνιος· σημαίνει δὲ τὴν ἐσκοτισμένην νύκτα· Στὺξ, Στύγιος[e]· Θρὰξ, Θράκιος· χθὼν, χθόνιος· πρόσκειται μὴ σημαίνοντα μέρος σωματικὸν, διὰ τὸ χὴν, χήνειος· θὴρ, θήρειος πούς·

[d] Cod. κερδαμεικός. [e] Cod. στύχιος.

πρόσκειται μετουσιαστικὸν, διὰ τὸ φλὸξ, φλόγιος, ἤγουν ὁ μετέχων πυρός.

Τὰ ἀπὸ τῶν εἰς αν ὑπὲρ μίαν συλλαβὴν ὄντα διὰ τοῦ ιος παραγόμενα διὰ τοῦ ι γράφεται· οἷον, Τιτὰν, Τιτάνιος· Παιὰν, Παιάνιος· Λαβὰν, Λαβάνιος· τοῦτο τῷ λόγῳ καὶ Ἀλκμὰν, Ἀλκμάνιος ὤφειλεν εἶναι διὰ τοῦ ι· ἀλλ' ἐπειδὴ τὰ ἐπὶ πραγματειῶν διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, Ἀλκμάνειος· Μενάνδρειος· Ἀριστοφάνειος· Εὐριπίδειος· πρόσκειται ὑπὲρ μίαν συλλαβὴν, διὰ τὸ Πᾶν, Πάνειος χωρὶς τοῦ Πάνος.

Τὰ ἀπὸ τῶν εἰς ην ὑπὲρ μίαν συλλαβὴν ὄντα διὰ τοῦ ιος παραγόμενα διὰ τοῦ ι γράφονται· οἷον, Γέρην, Γερήνιος, ὁ ἔντιμος· Ἕλλην, Ἕλληνιος, ὁ Ἑλληνικός· τὸ αὐχὴν, αὐχένειος· αὐχὴν δὲ ὁ τράχηλος διφορεῖται, καὶ διὰ τοῦ ι, καὶ διὰ τῆς ει διφθόγγου· πρόσκειται ὑπὲρ μίαν συλλαβὴν, διὰ τὸ χὴν, χήνιος πούς· τὸ γὰρ μὴν, μήνιος διὰ τοῦ ι γραφόμενον, ἀπάγεται τῷ κανόνι τῶν μὴ ληγόντων εἰς σ μονοσυλλάβων.

Τὰ ἀπὸ τῶν εἰς ιν διὰ τοῦ ιος παραγόμενα διὰ τοῦ ι γράφεται· οἷον, δελφὶν, δελφίνιος· Ἐλευσὶν, Ἐλευσίνιος· Τραχὶν, Τραχίνιος [f].

Τὰ ἀπὸ τῶν εἰς ος καθαρὸν ἀπὸ δισυλλάβων παροξυτόνων διὰ τοῦ ιος παραγόμενα διὰ τοῦ ι γράφεται· οἷον, Μύσος, Μύσιος· Λύδος, Λύδιος· βωμὸς, βώμιος· ῥυθμὸς, ῥύθμιος· σεσημείωνται τὸ χάλκειος καὶ χρύσειος μετουσιαστικά.

Τὰ εἰς ος κτητικὰ ἀπὸ τῶν εἰς ψ ληγόντων διὰ τοῦ ι γράφεται· οἷον, Ἄραψ, Ἀράβιος, Ἀραβία· Πέλωψ, Πελώπιος, Πελωπία· εἰ μὴ ἀπὸ τῶν διὰ τοῦ ευω συγκείμενα· οἷον, θωπεύω, θωπεῖα.

Τὰ εἰς ος κτητικὰ ἀπὸ τῶν εἰς α θηλυκῶν γινόμενα διὰ τοῦ ι γράφεται· οἷον, βεβρυκυῖα, Βεβρύκιος.

Πάντα τὰ εἰς ιος κτητικὰ ἀπὸ πρωτοτύπου τῶν εἰς τος γινόμενα, εἰ μεταβάλλοι τὸ τ εἰς σ, διὰ τοῦ ι γράφεται· οἷον, ἄβροτος, ἀβρόσιος· ἀκήρατος, ἀκηράσιος· ἐνιαυτὸς, ἐνιαύσιος· πλοῦτος, πλούσιος· εἰ δὲ φυλάττει τὸ τ, διὰ τῆς ει διφθόγγου

[f] Cod. ταραχὶν, ταραχίνιος.

γράφεται· οἷον, Καλίστρατος, Καλιστράτειος· Ἀρχέστρατος, Ἀρχεστράτειος· εἰ μὴ ἐθνικὸν εἴη· ταῦτα δὲ κἂν τὸ τ φυλάττῃ διὰ τοῦ ι γράφεται: οἷον, Βοιωτὸς, Βοιώτιος· Αἴγυπτος, Αἰγύπτιος.

Τὰ εἰς ος καθαρὸν λήγοντα τρισύλλαβα παραληγόμενα τῇ λι συλλαβῇ, κἄν τε ἐθνικὰ εἴη, κἄν τε κύρια, διὰ τοῦ ι γράφονται· φαύλιος· σκολιός· πελιός.

Τὰ εἰς ος καθαρὸν ὑπὲρ δύο συλλαβὰς ὀξύτονα τριγενῆ διὰ τῆς αι διφθόγγου γράφεται· οἷον, κραταιός· Ἀχαιός· παλαιός· σεσημείωται τὸ ἐνεός· στερεός· κηλεὸς ὁ καυστικὸς· τριγενῆ δὲ, διὰ τὸ κελεός· τὰ γὰρ μονογενῆ διὰ τοῦ ε ψιλοῦ γράφεται.

Τὰ ἀπὸ τῶν εἰς ος οὐδετέρων παραληγόμενα ἀρσενικὰ, εἰ μὲν τὸ α παραλήγοιτο, διὰ τοῦ ι σχηματίζονται· οἷον, ἄγος, ἅγιος· θάλπος, θάλπιος· πέλαγος, πελάγιος· εἰ δὲ μὴ παραλήγοιτο τὸ α, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, τέλος, τέλειος· ὄρος, ὄρειος· εἶδος, εἴδειος· σεσημείωται τὸ τέμενος, τεμένιος διὰ τοῦ ι γραφόμενον, ἀπὸ τοῦ τεμενικὸς λεγόμενον· ἄλλωστε καὶ τόπου δηλωτικόν.

Τὰ εἰς ος καθαρὸν ἐθνικὰ προπαροξύτονα διὰ τοῦ ι γράφεται· οἷον, Πύλιος· Φρύγιος· Δήλιος· Ῥόδιος· τὸ Ἀργεῖος καὶ Δηλεῖος οὐκ ἐναντιοῦνται, προπερισπῶνται γάρ.

Τὰ εἰς ος παρ' ἐπιῤῥήματα γινόμενα καὶ προπαροξύνεται, καὶ διὰ μόνου τοῦ ι γράφεται· οἷον, ὄψιος· πρώϊμος· στάδιος παρὰ τὸ στάδιον· ἀμφάδιος· ἐκτάδιος· ὀπίσθιος· ῥέα, ῥεάδιος· καὶ ῥηΐδιος, ῥαΐδιος.

Τὰ εἰς ιος καθαρὸν κυρία προπαροξύτονα ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ι γράφεται· Ὀλύμπιος· Πηγάσιος· Βενέριος· Λεόντιος· Θεοδόσιος.

Πάντα τὰ παρὰ τὴν νίκην σύνθετα εἰς ος ὀνόματα λήγοντα διὰ τοῦ ι γράφεται· οἷον, Νικόλαος· Νικόδημος· Νικόμαχος· Νικηφόρος.

Πάντα τὰ εἰς ας παροξύτονα, μὴ κατὰ διάλεκτον ἑτέραν λεγόμενα, διὰ τοῦ ι γράφεται· οἷον, Λυσίας· Ἀργίας· Γοργίας· Φανίας· τὸ Αἰνείας· Αὐγείας· Ἑρμείας· οὐκ ἐναντιοῦνται· λέ-

γονται γὰρ ὑπὸ διάλεκτον· Αἰνέας· Αὐγέας· Ἑρμέας· * * καὶ Παρέας· οὐκοῦν καὶ τὸ τραυματίας· πτωματίας, διὰ μόνου τοῦ ι.

Πάντα τὰ εἰς ιος λήγοντα ὀνόματα μηνῶν διὰ τοῦ ι γράφεται· οἷον, Σεπτέμβριος· Ὀκτώβριος· Νοέμβριος· Δεκέμβριος· Ἰαννουάριος· Φευρουάριος.

Πᾶσα λέξις ἀπὸ τῆς τρι συλλαβῆς ἀρχομένη διὰ τοῦ ι γράφεται· οἷον, τρισμάκαρες· τρισάθλιος· τρισάκις· τρισσῶς· τρισμύριοι· τρισόλβιος· σεσημείωται τὸ τρεῖς πληθυντικὸς ἀριθμός· καὶ ὁ τρεῖς τὸ ῥῆμα τὸ σημαῖνον τὸ τρέμεις· ἐκ τοῦ τρῶ τρεῖς.

Πᾶν ὄνομα καὶ πᾶν μέρος λόγου, ᾧ ἔγκειται τὸ κρι μόριον, διὰ τοῦ ι γράφεται· οἷον, κριός· κριτής· κρίσις· κριθή· σεσημείωται τὸ κρείσσων, καὶ τὸ κρηοφάγος οὐκ ἐναντιοῦται, κρεοφάγος γάρ· καὶ τὸ κρείων, κρέων γάρ.

Πάντα τὰ παρὰ τὸ κριθὴ διὰ τοῦ ι γράφεται· οἷον, κριθάριον· κριθιῶ· κρίθινος.

Τὰ ἀπὸ τῆς ψι συλλαβῆς ἀρχόμενα οὐ γράφεται διὰ τῆς ει διφθόγγου· οἷον, ψιλὸς, ψιλὴ, ψιλίον· σημαίνει δὲ τὸ ἐπιτιθέμενον ἐν τοῖς ἄκροις τῶν χειλέων, ὅπερ ἐν τῇ συνηθείᾳ ψελίον εἰωθάσι λέγειν διὰ τοῦ ε· ψίω, σημαίνει δὲ τὸ ἐνβρωματίζω.

Πάντα τὰ παρὰ τὴν τιμὴν ἢ τίσιν διὰ τοῦ ι γράφεται· οἷον, τίμιος· Τίμων· τιμητικός· Τίσανδρος· τιμωρία· τίσις· Τίμαρχος.

Πάντα τὰ διὰ τοῦ ιμων κύρια παροξύτονα διὰ τοῦ ι γράφεται· οἷον, Σίμων· Τίμων· Κίμων.

Πᾶσα λέξις ἀπὸ τῆς βρι συλλαβῆς ἀρχόμενη διὰ τοῦ ι γράφεται· οἷον, Βρισηΐς· βρι σημαίνει τὸ μέγα· βριθοσύνη, σημαίνει τὸ βάρος· βριαρὸς ὁ ἰσχυρός· βριάει σημαίνει τὸ αὔξειν, καὶ οὐκ ἔχει δίφθογγον.

Πᾶσα λέξις ἀπὸ τῆς βι συλλαβῆς ἀρχομένη διὰ τοῦ ι γράφεται, εἰ μὴ ἐστὶν κατὰ γλῶσσαν Λακώνων[g], ἢ κατὰ πάθος· οἷον, Βίσαλται ἔστιν δὲ ἔθνος Θράκης· βιὸς ἡ ζωή· βιὸς τὸ

[g] Cod. λακόνων.

τόξον· βιόδωρος· Βιθυνία· βιστάκια, σημαίνει τὰ πιστάκια· ψιττάκια· πρόσκειται εἰ μή ἐστιν κατὰ γλῶσσαν Λακώνων[h], διὰ τὸ βείδιῳ· τοῦτο διὰ τῆς ει διφθόγγου γράφεται· βείδιοι λέγονται οἱ ἄρχοντες παρὰ τοῖς Λακεδαιμονίοις· βειέλοπες οἳ λέγονται οἱ μάνται[i]· τοῦτο ὁ Ὧρος[k] διὰ τῆς ει διφθόγγου γράφει, ὁ δὲ Δίδυμος διὰ τοῦ ι· πρόσκειται εἰ μή ἐστι κατὰ πάθος, ἐπειδή ἐστιν ἐὰν βῶ, ὃ σημαίνει ἐὰν πορευθῶ, καὶ κατὰ πλεονασμὸν τοῦ ε, ἐὰν βέω, καὶ κατὰ προσθήκην τοῦ ι, ἐὰν βείω κατὰ πάθος.

Πάντα τὰ εἰς μων βαρύτονα ὑπὲρ δύο συλλαβὰς παρὰ τὸ εἷμα γενόμενα, τουτέστιν τὸ ἔνδυμα, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, λευχείμων· ἀνείμων· μελανείμων.

Τὰ εἰς σιφρων διὰ μόνου τοῦ ι γράφεται· οἷον, καλλίφρων· μελίφρων· Ἀλκίφρων· περίφρων.

Πᾶσα λέξις ἀπὸ τῆς γρι συλλαβῆς ἀρχομένη διὰ τοῦ ι γράφεται· οἷον, γρίντης ὁ βυρσεύς· γριπεὺς ὁ ῥάπτων τὰ ἁλιευτικὰ δίκτυα, γριφᾶσθαι· οὕτως λέγουσι τὸ γράφειν Λάκωνες· γρῖφος, σημαίνει δὲ τὸ δύσλυτον αἴνιγμα.

Πάντα τὰ παρὰ τὸ φίλος σύνθετα διὰ τοῦ ι γράφονται· οἷον, φιλότιμος· φιλόξενος· φιλόθεος· φιλόγελως.

Πάντα τὰ παρὰ τὸ μισος σύνθετα ὀνόματα διὰ μόνου τοῦ ι γράφεται· οἷον, μισάνθρωπος· μισόφιλος· μισόβουλος· μισόπολις· μισόθεος.

Πάντα τὰ εἰς πος λήγοντα ὀνόματα παρὰ τὸν ἵππον γινόμενα διὰ τοῦ ι γράφονται· οἷον, Χρύσιππος· Ἀρίστιππος· Ἕρμιππος· καὶ τὰ θηλυκὰ ὡσαύτως· οἷον, Ξανθίππη· Λευκίππη· Μελανίππη.

Τὰ διὰ τοῦ ιγμος διὰ τοῦ ι γράφεται· οἷον, φοινιγμός· συριγμός.

Πάντα τὰ εἰς κος σύνθετα ὀνόματα παρὰ τὴν νίκην γινόμενα διὰ τοῦ ι γράφεται· οἷον, Καλλίνικος· Ἐπίνικος· Στρατόνικος· τὸ φιλόνεικος οὐκ ἐναντιοῦται διὰ τῆς ει διφθόγγου γραφόμενον, παρὰ τὸ νεῖκος γινόμενον.

h Cod. λακόνων. i Leg. οἱ ἱμάντες. k Cod. τὸ ὄρος.

Πάντα τὰ εἰς κος κύρια, ἢ ὑποκοριστικὰ, διὰ τοῦ ι γράφεται· οἷον, κραΐσκος· στυλίσκος· παιδαρίσκος· χιτωνίσκος.

Πάντα τὰ εἰς ιλος ἔχοντα πρὸ τέλους τὸν τόνον διὰ τοῦ ι γράφεται, εἰ μὴ ἀπὸ συναιρέσεως εἴη· πίλος· ἐπίλος· κτίλος· φίλος· σεσημείωται τὸ χεῖλος, χέλος γάρ· καὶ τὸ Νεῖλος, νεΐλος γάρ.

Πάντα τὰ εἰς ιλος δισύλλαβα ὀξύτονα διὰ τοῦ ι γράφεται· οἷον, χιλὸς ἡ τροφή· ψιλός· σεσημείωται τὸ δειλὸς, παρὰ τὸ δέος τὸ σημαῖνον τὸν φόβον.

Πάντα τὰ εἰς ιλος λήγοντα ὑπὲρ δύο συλλαβὰς πρὸ τέλους ἔχοντα τὸν τόνον διὰ τοῦ ι γράφονται· οἷον, Ζωΐλος· Μυρσίλος· ὀργίλος· πενθίλος· ναυτίλος· πυρσίλος.

Τὰ διὰ τοῦ ιλος βαρύτονα ἀρσενικὰ, μὴ ὄντα σύνθετα ἀπὸ ὀνόματος ἔχοντα τὴν ει δίφθογγον, διὰ τοῦ ι γράφεται, χωρὶς τοῦ Νεῖλος· οἷον, πάμμιλος· ἀνθόμιλος· ὅμιλος τὸ πλῆθος· Τρωΐλος· Ζωΐλος· πρόσκειται βαρύτονα, διὰ τὸ δειλὸς ὀξυνόμενον· πρόσκειται ἀρσενικὰ, διὰ τὸ χεῖλος· τοῦτο γὰρ βαρύτονον ὂν διὰ τῆς ει διφθόγγου γράφεται· ἀλλ' οὐκ ἔστιν ἀρσενικὸν ἀλλ' οὐδέτερον· πρόσκειται μὴ ὄντα σύνθετα ἀπὸ ὀνόματος ἔχοντα τὴν ει δίφθογγον, ἐπειδὴ ἀπὸ τοῦ χεῖλος καὶ τοῦ δειλὸς γίνεται τρίχειλος· ἀγκυλόχειλος· κροκόδειλος· παρὰ γὰρ τὸ ἄδειλος διὰ τῆς ει διφθόγγου· καὶ πάλιν ἀπὸ τοῦ εἴλη τοῦ σημαίνοντος τὴν θερμασίαν γίνεται εὔειλος διὰ τῆς ει διφθόγγου· σημαίνει δὲ τὸν τόπον ἔχοντα τὴν θερμασίαν.

Τὰ διὰ τοῦ ηλος τρισύλλαβα προπαροξύτονα διὰ τοῦ η γράφεται· οἷον, τράχηλος· στρόβηλος· κίβδηλος· κάμηλος.

Τὰ εἰς μος καθαρὸν οὐ παραλήγεται τῇ διφθόγγῳ, χωρὶς εἰ μὴ ἀπὸ συναιρέσεως σχῶσι τὴν ει δίφθογγον· οἷον, φιμός· κιμός· λιμός· σιμός· μῖμος· τῖμος· ἀγώγιμος· ὄψιμος· ὠφέλιμος· θανάτιμος· γνώριμος· ἄλκιμος· γόνιμος· ἀοίδιμος[1] ὁ περιβόητος· ὄβριμος ὁ ἰσχυρός· εὐδόκιμος· πρόσκειται εἰς μος καθαρὸν, διὰ τὸ εἱρμὸς καὶ σεισμός· ταῦτα γὰρ διὰ τῆς ει

[1] Cod. ἀοίδημος.

διφθόγγου γράφονται, ἀλλ' οὐκ εἰσὶν εἰς μος καθαρὸν, σύμφωνον γὰρ ἔχουσι πρὸ τοῦ μ· πρόσκειται χωρὶς εἰ μὴ ἀπὸ συναιρέσεως σχῶσι τὴν ει δίφθογγον, διὰ τὸ δεῖμος τὸ σημαῖνον τὸν φόβον· δέϊμος διὰ τοῦ ι· καὶ κατὰ συναίρεσιν τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον γίνεται δεῖμος· τὸ δὲ δῆμος τὸ σημαῖνον τὸν λαὸν διὰ μακροῦ α περιλῆγον, καὶ περισπᾶται· οἷον, δᾶμος, ἀπὸ δὲ τοῦ δᾶμος, δῆμος, κατὰ Δωριεῖς.

Τὰ διὰ τοῦ ιος κύρια ὑπὲρ τρεῖς συλλαβὰς ὄντα· ὡς ἐπὶ τὸ πλεῖστον διὰ τοῦ ι γράφεται, χωρὶς τῶν παρὰ τὸ κλέος, καὶ τῶν ἀπὸ τῶν εἰς ευς· οἷον, Προκόπιος· Γεώργιος· Ἀστέριος· Ἀναστάσιος· πρόσκειται ὑπὲρ τρεῖς συλλαβὰς, διὰ τὸ Αἰπεῖος καὶ Δαρεῖος, καὶ Ἀργεῖος· ταῦτα γὰρ ὀνόματα ὄντα κύρια διὰ τῆς ει διφθόγγου γράφεται, ἀλλ' οὐκ εἰσὶν ὑπὲρ τρεῖς συλλαβὰς, ἀλλὰ τρισύλλαβα· πρόσκειται κύρια, διὰ τὰ κτητικά· οἷον, Ἀριστάρχειος· Ἡρωδότειος βίβλος· ταῦτα γὰρ διὰ τῆς ει διφθόγγου γράφεται, ἀλλ' οὐκ εἰσὶ κύρια· πρόσκειται χωρὶς τῶν παρὰ τὸ κλέος καὶ τῶν ἀπὸ τῶν εἰς ευς, ἐπειδὴ ταῦτα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, Ἡρακλῆς, Ἡράκλειος· Ἀνδροκλῆς, Ἀνδρόκλειος· Σοφοκλῆς, Σοφόκλειος· Ἀχιλλεὺς, Ἀχίλλειος· βασιλεὺς, βασίλειος· πρόσκειται ὡς ἐπὶ τὸ πλεῖστον, ἐπειδὴ εἰσὶ τινὰ ὀνόματα κύρια ὑπὲρ τρεῖς συλλαβὰς, ἅτινα διὰ τῆς ει διφθόγγου γράφεται, καὶ οὔτε παρὰ τὸ κλέος εἰσὶν, οὔτε ἀπὸ τῶν εἰς ευς· οἷον, Νυττέρειος· ἔστιν δὲ ὄνομα λιμένος· Πεδεύκειος, ὄνομα ἀνδρός· Δαρδάνειος, ὄνομα ποταμοῦ.

Τὸ τραπεζίτης πρὸς διάφορον σημαινόμενον διάφορον ἔχει γραφήν· ἐπὶ μὲν τοῦ ἐν τῇ συνηθείᾳ λεγομένου τραπεζίτου, διὰ τοῦ ι· ἀπὸ τοῦ τράπεζα γάρ ἐστιν, καὶ οὐκ ἔχει ἀπὸ πρωτοτύπου τὸ ε· ἐπὶ δὲ τοῦ παρισταμένου ἐν τῇ τραπέζῃ, διὰ τῆς ει διφθόγγου· οἷον, τραπεζείτης κοινοῦ· ἀπὸ τοῦ τραπεζεὺς γάρ ἐστιν, καὶ ἔχει τὸ ε ἀπὸ πρωτοτύπου.

Τὰ διὰ τοῦ ιτης παρώνυμα διὰ τὸ ι γράφεται· οἷον, Μεμφίτης· τοπίτης· πολίτης· Ναυκρατίτης· πλὴν τοῦ ἀλείτης ἀλοίτης γάρ· Ἀταρνείτης, Ἀταρνεὺς γάρ· Ζελείτης ἀπὸ τοῦ Ζηλεῖα·

ὀρείτης ἐκ τοῦ ὄρος, ὄρεος· Σαμαρείτης, Σαμαρεὺς γάρ· καὶ πάντα παρὰ τὸ ῥέειν διὰ τῆς ει διφθόγγου γράφεται.

Τὰ διὰ τοῦ ιτος ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, ἄτιτος, σημαίνει τὸν ἀτιμώρητον· ἀκόνιτος ὁ μὴ ἔχων κόνιν· Ἐπαφρόδιτος· σίτος· μίτος· λίτος· δεῖ προσθεῖναι χωρὶς τοῦ κλειτὸς, ὃ σημαίνει τὸν εὔδοξον, καὶ τὰ παρ' αὐτό· ταῦτα γὰρ διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, πολύκλειτος· ἀγάκλειτος· σημαίνει τὸν πάνυ ἔνδοξον· Ἡράκλειτος· περὶ γὰρ τοῦ ῥειτὸς, ῥειτοὶ δὲ εἰσὶ ποταμοὶ δύο διὰ φάραγγος ὑπὸ γῆν ῥέοντες πλησίον Ἐλευσῖνος, διάφοραι δόξαι γεγόνασιν· ὁ μὲν Ἡρωδιανὸς βαρύνει αὐτὰ, καὶ διὰ τοῦ ι γράφει ὁμοίως τὸ σῖτος· ῥῖτος· ὁ δὲ Ὧρος [m] ὀξύνει αὐτὰ, καὶ διὰ τῆς ει διφθόγγου γράφει ὁμοίως τὸ κλειτός· οἷον, ῥειτός· σειτός· σημαίνει δὲ τὸν σειόμενον τόπον· καὶ ἄσειστος· πολύσειστος, οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐκ εἰσὶ διὰ τοῦ ιτος ἀλλὰ διὰ τοῦ ειστος.

Καθόλου τῶν ἐπὶ ἀλόγων ζώων διὰ τοῦ ιος παραληγομένων, μὴ ὄντων τετραπόδων, διὰ τοῦ ι γράφεται· οἷον, ἐρωδιός· βομβυλιός· χαραδριός· αἰγυπτιός· πρόσκειται μὴ ὄντα ἐπὶ τετραπόδων, διὰ τὸ ἀρνειὸς, σημαίνει δὲ τὸν ἀρνόν· κοβιὸς, ἔστιν δὲ εἶδος ἰχθύος· σκορπίος, λέγεται δὲ ὡς ἐκ τοῦ σκορπίζειν πανταχοῦ τὸν ἰόν· ὡσαύτως δὲ καὶ ὁ θαλάσσιος ἀπὸ τοῦ πλήττειν καὶ τὸν ἰὸν ἐπιβάλλειν· ὁ δὲ ἀστρῷος ἀπὸ τῆς πρὸς τὸν χερσέον ὁμοιότητος αὐτὸς λέγεται, ἐπεὶ καὶ ἥλιος ἐν αὐτῷ ἐστιν, ὅτε τὰ σπέρματα ἐπὶ τὴν γῆν σκορπίζονται.

Τὰ διὰ τοῦ ισιος διὰ τοῦ ι γράφονται· χαρίσιος· ἀφροδίσιος· πλὴν τοῦ Ἀρκείσιος· Σιμοείσιος.

Τὰ εἰς ος ἔχοντα ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ τὸ αὐτὸ σύμφωνον δίφθογγον οὐκ ἔχει· οἷον, Νῖνος· μῖμος· βίβλος.

Τὰ διὰ τοῦ φιος κύρια διὰ τοῦ ι γράφονται· Ἄμφιος· Σκύφιος· Σόφιος· Τρόφιος· Χρυσάφιος· χωρὶς τοῦ Ἀλφειὸς καὶ Ὀρφειός· ἔστιν δὲ ὄνομα ποιητοῦ ὃς διὰ στίχων ἐγράφη τὰ κατὰ Ἡρακλέα.

m Cod. ὅρος.

Τὰ εἰς φος λήγοντα οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, γρῖφος· ἔριφος· σέρφος· κίνιφος· σεσημείωται τὸ στειφὸς, ἔστιν δὲ ἄθροισμα ὄχλου· ξίφος· ψίφος.

Τὰ εἰς χος οὐ θέλουσι τῇ ει διφθόγγῳ, παραλήγεσθαι· οἷον, σωτήριχος· Ἰάμβλιχος· βόττιχος· μείλιχος ὁ πρᾶος· δόλιχος τὸ ὄσπρεον· τὸ γὰρ ἐπίθετον ὀξύνεται· οἷον, δολιχὸς ὁ μακρός· τάριχος, λέγεται δὲ καὶ ἀρσενικῶς καὶ οὐδετέρως· σημαίνει δὲ τὸν παστὸν ἰχθύν· δεῖ προσθεῖναι χωρὶς τοῦ τεῖχος καὶ τῶν παρ' αὐτῷ· εὔτειχος· δίτειχος· καλλίτειχος· ταῦτα γὰρ διὰ τῆς ει διφθόγγου γράφεται.

Καθόλου τὰ εἰς ν λήγοντα, εἴτε ἀρσενικὰ, εἴτε θηλυκὰ, οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, Ἕλλην· αὐχήν· Πλάτων· Τρύφων· Σιδών· Χαλκιδών· δελφίν· Σαλαμίν· πρόσκειται ἀρσενικὰ καὶ θηλυκὰ, διὰ τὰ οὐδέτερα· ταῦτα γὰρ πολλάκις πρὸ τοῦ ν ἔχουσι δίφθογγον· οἷον, ὀστοῦν· χρυσοῦν· χαλκοῦν· ἀργυροῦν.

Πᾶν ὄνομα ἀρσενικὸν ἢ θηλυκὸν εἰς δων λῆγον ἐνὶ φωνήεντι θέλει παραλήγεσθαι· οἷον, τηκεδών· Σαρπηδών· σινδών· χελιδών· Ποσειδῶν διφορεῖται.

Ὅσα διὰ τῆς θέας ταύτης εἴρηται διὰ τοῦ ι γράφεται· ἴδον· παρίδον· ἰδού· ὁμοίως καὶ διὰ τοῦ ἱστῶ· ἵσταμαι· παρίσταμαι· καὶ τὸ συνεῖδον ἐκ τοῦ συνοῖδα, ἀλλὰ διὰ τῆς ει διφθόγγου γράφεται.

Τὰ ὑποκοριστικὰ διὰ τοῦ ι γράφονται· οἷον, ἰχθύδιον· δελφάκιον· λαγνίδιον· πινακίδιον· τὸ δὲ προσωπεῖον διὰ τῆς ει διφθόγγου περισπᾶται.

Καθόλου τὰ διὰ τοῦ ιων βαρύτονα, ἤγουν προπαροξύτονα τρέποντα τὸ ω ἐν τῇ γενικῇ εἰς τὸ ο, εἴτε μὴ κύρια, ἀποστρέφονται τὴν ει δίφθογγον κατὰ τὴν παραλήγουσαν· οἷον, Ἐχίων, Ἐχίονος· βραχιὼν, βραχίονος· Ἰξίων, Ἰξίονος· Πανδίων, Πανδίονος· πίων, πίονος, ὁ λιπαρός.

Οὐδέποτε πρὸ τῶν δύο ρρ εὑρίσκεται δίφθογγος· οἷον, ἐπίῤῥημα· ἐπιῤῥεπής· ἀντίῤῥησις· Κίῤῥα· σύῤῥυα.

Οὐδέποτε τὸ β θέλει ἔχειν προηγουμένην δίφθογγον· οἷον,

λίβανον· λίβας· Λιβάνιος· ἀκριβής· Τιβιος· τρίβω· στίλβω· θλίβω· βίβω τὸ βέννω· χωρὶς τοῦ στείβω, ὃ σημαίνει τὸ πατῶ καὶ τὸ ἀμείβω, σημαίνει δὲ τὸ ἀλάσσω· καὶ τὸ λείβω τὸ σημαῖνον τὸ σπένδω, ὅπερ κατὰ ἀποβολὴν τοῦ λ εἴβω.

Τὰ εἰς των μονογενῆ οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· Βίτων· Κρίτων· Ἴτων· Ἀρίστων· Χαρίτων· χίτων· πρόσκειται μονογενῆ διὰ τὸ γείτων· τὸ δὲ βῆτος διὰ τὸ βῆτα στοιχεῖον.

Πάντα τὰ βάρβαρα ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, Δᾶδ· Ἰωσήφ· Δανιήλ· Γαβριήλ· Βενιαμίμ· Ῥουβίμ· Βούσιρις· Σεμήραμις· εἰσὶ δὲ ὀνόματα κύρια καὶ αὐτὰ ὁμοίως.

Τὰ εἰς ας ὀνόματα, εἴτε περισπώμενα, εἴτε ὀξύτονα ἀρσενικά, * * οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, Ξηνᾶς· Μηνᾶς· Μητρᾶς, ὄνομα κύριον· Γλισάς· Κερκιδάς· Πινακιδάς· Κομητάς· Μαρικὰς ὄνομα· ἰλὰς ὁ εὐμενής· Φιλητάς· ἱμὰς ὁ λῶρος· ἀνδριὰς πρόσκειται ὀξύτονα ἀρσενικά, διὰ τὸ Ἡρακλειάς, τοῦτο γὰρ θηλυκόν.

Τὰ ἐπὶ μηνῶν τῶν Ἀθηναίων διὰ τοῦ ι γράφονται κατὰ τὴν παραλήγουσαν· οἷον, Ἐλαφιβολιών· Πυανεψιών· Βοϊδρομιών· Μεταγειτνιών.

Καθόλου τὰ εἰς ις λήγοντα, εἴτε ἀρσενικά, εἴτε θηλυκά, εἴτε κατὰ διάλεκτον, εἴτε ἁπλᾶ, εἴτε σύνθετα· οἷον ἂν τόνον ἐπιδέχονται κατὰ κοινὴν διάλεκτον ὄντα, ἀποστρέφονται τὴν διὰ τῆς ει διφθόγγου γραφήν· εἰ δέ τι διὰ τῆς ει διφθόγγου εὑρεθῇ γραφόμενον, τοῦτο ἔχει ἐν τῇ γενικῇ ἀναφαινόμενον τὸ ε· τὰ δὲ διὰ τοῦ ι· οἷον, Πάρις· ὄφις· μάντις· λιπόπατρις· Εὔπολις· ἄπολις· κνημίς· ἀσπίς· ῥανίς· βολίς· ψιφίς· κρηπίς· Ἐλευσίς· πρόσκειται κατὰ κοινὴν διάλεκτον, ἐπειδὴ οἱ Βοιωτοὶ τὸ λέβης· πένης· παρ' ἡμῖν διὰ τοῦ η γράφονται, παρ' αὐτοῖς δὲ διὰ τῆς ει διφθόγγου· οἷον, λέβεις· πένεις· πρόσκειται εἰ δέ τι εὑρεθῇ διὰ τῆς ει διφθόγγου γραφόμενον τοῦτο ἔχει ἐν τῇ γενικῇ ἀναφαινόμενον τὸ ε, διὰ τὸ χαρίεις, χαρίεντος· τιμήεις, τιμήεντος· εἷς, ἑνός· κτείς, κτενός· ταῦτα γὰρ διὰ τῆς ει διφθόγγου γράφει, καὶ ἔχουσιν ἐν τῇ γενικῇ τὸ ε ἀναφαινό-

μενον· δεῖ σημειώσασθαι τὸ κλεῖς κλειδὸς, ὃ σημαίνει τὸ κλειδίον, καὶ τὰ παρ᾽ αὐτά· οἷον, κατάκλεις, κατάκλειδος· ἀντίρεις, ἀντίρειδος· σημαίνει δὲ πᾶν ὃ ἐπερείδεταί τις· ταῦτα γὰρ διὰ τῆς ει διφθόγγου γράφεται, καὶ οὐκ ἔχουσι το ε ἐν τῇ γενικῇ ἀναφαινόμενον· ἀντιτιθέασι δέ τινες πρὸς τὸν λόγον τὸν λέγοντα, εἰ δέ τι εὑρεθῇ διὰ τῆς ει διφθόγγου γραφόμενον, τοῦτο ἔχει ἐν τῇ γενικῇ τὸ ε· ἰδοὺ γὰρ τὸ ὄφις, ὄφεως, καὶ πόλις, πόλεως, καὶ μάντις, μάντεως, καὶ τὰ ὅμοια, ἔχουσιν ἐν τῇ γενικῇ τὸ ε ἀναφαινόμενον, καὶ οὐ γράφεται διὰ τῆς ει διφθόγγου, ἀλλὰ διὰ τοῦ ι· ἐπειδὴ οὐκ ἔστι κοινὸν τὸ ε, ἀλλὰ κατὰ Ἀττικούς· ἔστι γὰρ ὄφις, ὄφιος, κοινῶς· οἱ Ἀττικοὶ οὖν ἔτρεψαν τὸ ι εἰς ε, καὶ τὸ ο εἰς ω, καὶ ἐγένετο ὄφεως καὶ πόλεως.

Τὰ εἰς ευς ὡς ἐπιτοπλεῖστον οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι, εἰ μὴ ἀπὸ πρωτοτύπου σχῶσι τὴν ει δίφθογγον· οἷον, βασιλεύς· ἱππεύς· Ἱλεὺς ὄνομα κύριον· Ἀχιλλεύς· ἐριθεύς· ἔστιν δὲ εἶδος ὀρνέου· Ἐρετριεύς· ἁλιεύς· Ἰλιεὺς ἀπὸ τοῦ Ἰλίου· τὸ δὲ Ἴλιον πόλις ἐστίν· Κιτιεύς· πρόσκειται ὡς ἐπὶ τὸ πλεῖστον διὰ τὸ νειλεύς· τοῦτο γὰρ διὰ τῆς ει διφθόγγου γράφεται· οὐκ ἐπὶ τοῦ Νηλέως τοῦ πατρὸς τοῦ Νέστορος, ἐκεῖνο γὰρ διὰ τοῦ η γράφεται, ἀλλ᾽ ἐπὶ τοῦ λεγομένου Ἀττικῶς· οἷον, ὁ νείλεως, τοῦ νείλεω· πρόσκειται εἰ μὴ ἀπὸ πρωτοτύπου σχῶσι τὴν ει δίφθογγον, διὰ τὸ Ῥυτειεὺς καὶ Σιγειεύς· ἀπὸ γὰρ τοῦ Ῥύτειον καὶ Σίγειον γεγόνασιν· ἔστιν δὲ ἀκρωτήριον Τροίας.

Πᾶν ὄνομα ἀρσενικὸν, ἢ θηλυκὸν, ἢ οὐδέτερον, καὶ ἁπλῶς πᾶσα λέξις ἀπὸ τῆς κε συλλαβῆς ἀρχομένη, διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, κεραυνός· κεφαλή· κεραστής· κέρας· κεφάλαιον· σεσημείωται ὁ καὶ σύνδεσμος καὶ τὸ καιρὸς, καὶ καίριον, καὶ Καῖσαρ.

Πάντα τὰ εἰς ας λήγοντα ἀρσενικὰ παροξύτονα, ὧν ἡ γενικὴ εἰς ου, περατοῦται τὴν παρατέλευτον διὰ τοῦ ε ψιλοῦ ἔχειν γραφόμενον· οἷον, Ἀνδρέας· Χαρέας, Χαρέου· Μνεσέας· Ἀνδρέου γὰρ καὶ Μνεσέου.

Τὰ εἰς εων λήγοντα ὀξύτονα, ὧν ἡ γενικὴ διὰ τοῦ ωνος ἐκφέρεται, διὰ τοῦ ε ψιλοῦ γράφεται· δίχα τῶν γινομένων περὶ θηλυκῶν εἰς η· οἷον, σφεών· λεγεών· ἀμεών· τὸ λυμαίων καὶ ἀπαταιὼν διὰ τῆς αι διφθόγγου γραφόμενα οὐκ ἐναντιοῦνται· ἐφυλάξατο γὰρ ταῦτα ὁ κανὼν τῶν θηλυκῶν τῶν εἰς η ληγόντων· οἷον, ἀπάτη, ἀπαταιών· λύμη, λυμαιών.

Τὰ εἰς εμων ὀξύτονα ἀρσενικὰ καὶ θηλυκὰ διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, ἡγεμών· κηδεμών· ἀκρεμών.

Πάντα τὰ εἰς εστατος ὑπερθετικὰ διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, εὐτυχέστατος· εὐτελέστατος· ὁμοίως καὶ τὰ συγκριτικά· οἷον, εὐτυχέστερος· εὐτελέστερος.

Πάντα τὰ παρὰ τὸ ἱερὸν ὄνομα γινόμενα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, ἱερός· ἱεροφάντης· ἱερογλυφικός.

Τὰ εἰς τεος λήγοντα ὀνόματα τό τε ψιλῷ παραλήγονται· πλὴν τῶν περὶ ἀριθμῶν γινομένων· οἷον, γραπτεός· ἐπαινετέος· λεκτέος· τὸ τριταῖος καὶ τεταρταῖος περὶ μέτρων καὶ ἀριθμῶν διὰ τῆς ει διφθόγγου.

Πᾶν ὄνομα σύνθετον μετ' ἐπιπλοκῆς συμφώνου εἰς ος λῆγον, οὗ ἐν τῇ ἀρχῇ ἔγκειται τὸ αρχε μόριον, διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, ἀρχέγονος· Ἀρχέμωρος· Ἀρχέλαος· ἀρχέτυπος· ἀρκέκακος· ἀρχέος.

Πάντα τὰ εἰς νης σύνθετα παροξύτονα παρὰ τὸ γένος ἢ σθένος γινόμενα διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, Διογένης· Ἐπιγένης· εὐγενής· Δημοσθένης· Καλλισθένης· Κλεισθένης.

Τὰ διὰ τοῦ ινος βαρύτονα διὰ τοῦ ι γράφονται· οἷον, ξύλινος· δερμάτινος· Κρατῖνος· Ἀκραγαντῖνος· Κωνσταντῖνος.

Τὰ εἰς νος ὀξύτονα παρώνυμα διὰ τῆς ει διφθόγγου γράφονται, εἰ μὴ καιρὸν σημαίνει· οἷον, ἐλεεινός· ὀρεινός· φωτεινός· τὸ δὲ χειμερινός· θερινός· ἐπὶ καιροῦ διὰ τοῦ ι· τὸ ταχινὸς καὶ ἀληθινὸς οὐκ εἰσὶ παρώνυμα, ἀλλ' ἐξ ἐπιῤῥημάτων τοῦ τάχα καὶ ἄληθες.

Τὰ διὰ τοῦ ινος ὀνόματα πρὸ μιᾶς συλλαβῆς τὸν τόνον ἔχοντα, μὴ ἔχοντα ἀπὸ πλεονασμοῦ τὸ ι, διὰ τοῦ ι γράφονται·

καὶ πάντα προπερισπᾶται· οἷον, Μαρτῖνος· Κωνσταντῖνος· Φαιστῖνος· Ἰουστῖνος· Σαβῖνος· Μαρῖνος· Ἐχῖνος· πρόσκειται ἐν τῷ κανόνι διὰ τὴν ἐκεῖνος ἀντωνυμίαν, αὕτη γὰρ διὰ τῆς ει διφθόγγου γράφεται καὶ προπερισπᾶται· ἀντὶ γὰρ τοῦ εἰπεῖν Θεόδωρος λέγω ἐκεῖνος.

Ὁμοίως δὲ καὶ τὰ θηλυκὰ διὰ τοῦ ινα διὰ τοῦ ι γράφονται· οἷον, Ἀρπῖνα· Κωνσταντῖνα· Μαρῖνα· Ἀντωνῖνα· χωρὶς τοῦ πεῖνα καὶ τερεῖνα, ὃ σημαίνει τὴν ἀπειλήν [n].

Τὸ φυζακινὸς λεπτακινὸς διὰ τοῦ ι γραφόμενον οὐκ ἀντίκειται ἡμῖν· ἀπὸ οὖν τοῦ φύζα, τοῦ σημαίνοντος τὴν φυγὴν, γέγονε φυζεινὸς διὰ τῆς ει διφθόγγου, καὶ κατὰ πλεονασμὸν τοῦ ακ γέγονεν φυζακινὸς διὰ τοῦ ι· τὸ λεπτακινὸς καὶ αὐτὸ γέγονεν ἀπὸ τοῦ λεπτὸς, λεπτεινὸς, διὰ διφθόγγου, καὶ κατὰ πλεονασμὸν τοῦ ακ λεπτακινὸς διὰ τοῦ ι.

Τὰ ἀπὸ τῶν εἰς ης παρὰ τὸ κλέος ὄντα διὰ τοῦ ειδης γινόμενα πατρωνυμικὰ διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, Ὀϊκλῆς, Ὀϊκλέος, Ὀϊκλείδης ὁ υἱὸς τοῦ Ὀϊκλέους· Τηλεκλῆς, Τηλεκλέους, Τηλεκλείδης· Ἰφικλῆς, Ἰφικλέους, Ἰφικλείδης.

Τὰ ἀπὸ τῶν εἰς ως Ἀττικὰ διὰ τοῦ ειδης γινόμενα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ὁ Νείλεως τοῦ Νείλεω, Νειλείδης ὁ υἱὸς τοῦ Νειλέως· ὁ Εὐνέως τοῦ Εὐνέω, Εὐνείδης, ὁ υἱὸς τοῦ Εὐνέω.

Πᾶσα γενικὴ εἰς ος ποιεῖ τὸ πατρωνυμικὸν ἐν βραχεῖ τὸ ι· οἷον, Πέλωπος, Πελωπίδης· Φοίνικος, Φοινικίδης.

Τὰ εἰς δης πατρωνυμικὰ, ἢ τύπον ἔχοντα πατρωνυμικοῦ, ἀπρόσληπτον ἔχει τὸ σ ἐπὶ τῆς γενικῆς, πρὸ δὲ τοῦ δ τὸ ι ἔχει προσγεγραμμένον, ἢ μόνον, ἢ μετὰ διφθόγγου, ἢ ἀνεκφωνήτου· οἷον, Μεμνονίδης, Μεμνονίδου· Πελωπίδης, Πελωπίδου.

Τὰ ἀπὸ τῶν εἰς ης εἰς τὴν ου δίφθογγον ἔχοντα τὴν γενικὴν, διὰ τοῦ ιδης γινόμενα, διὰ τοῦ ι γράφονται· οἷον, Λυκάμβης, Λυκάμβου, Λυκαμβίδης· Κουννίτης, Κουννίτου, Κουννιτίδης· Βούτης, Βούτου, Βουτίδης.

[n] Leg. ἀπαλήν.

Πάντα τὰ εἰς δης παροξύτονα παρὰ τὸ εἶδος καὶ τὸ κλέος γινόμενα διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, Ἡρακλείδης· Ἀριστείδης· Εὐκλείδης· Τηλεκλείδης· Ἀρμενείδης· σεσημείωται τὸ Θουκυδίδης καὶ Τημαχίδης καὶ Εὐριπίδης, καὶ πάντα τὰ τύπου ἐχόμενα πατρωνυμικοῦ.

Τὰ παρηγμένα ἀπὸ τῶν εἰς ος, ἢ εἰς ων πατρωνυμικὰ, διὰ τοῦ ι γράφονται· οἷον, Βίβλος, Βιβλίδης· Ἀλέξανδρος, Ἀλεξανδρίδης· Λέων, Λεωνίδης· Ἀπόλλων, Ἀπολλωνίδης.

Τὰ εἰς δης πατρωνυμικὰ διὰ τοῦ ι γράφεται· οἷον, Λητωΐδης ὁ υἱὸς τῆς Λητοῦς· Δαναΐδης ὁ υἱὸς τῆς Δανάης[o] Φιλυρίδης[p] ὁ υἱὸς Φιλύρας[q]· ὅθεν τὸ φιλομείδης τὸ παρ' Ὁμήρῳ οὐ λέγομεν εἶναι πατρωνυμικόν· οὐ δὲ λέγομεν τὸν υἱὸν τῆς Φιλομήλας, ὄνομα κύριόν ἐστιν· εἰ γάρ ἐστι μητρωνυμικὸν, διὰ τοῦ ι ὤφειλεν εἶναι· καὶ ὁ Διονύσιος λέγει ὅτι ἀπὸ μητέρων οὐ χρεῖται πατρωνυμικὸν εἶδος ὁ Ὅμηρος.

ΠΕΡῚ ΘΗΛΥΚΩ͂Ν.

Τὰ ἀπὸ τῶν εἰς ευς διὰ τοῦ εια ἐπὶ πόλεων παρηγμένα θηλυκὰ δίφθογγον ἔχει· ἐπὶ δὲ χώρας διὰ τοῦ ι· οἷον, Ἀλεξανδρεὺς, Ἀλεξάνδρεια· Ἀπαμεὺς, Ἀπάμεια· Καισαρεὺς, Καισάρεια· ἐπὶ δὲ χώρας· οἷον, Λυκία· Πισιδία· Κιλικία[r]· Σικελία· Παφλαγονία.

Τὰ περὶ τὸ παθεῖν καὶ μαθεῖν διφοροῦνται, καὶ προπαροξύνονται· ὁ δὲ Πολιτικὸς διὰ τοῦ ι· οἷον, ἀπάθεια, ἀπάθια· εὐπάθεια καὶ εὐπαθία· εὐμάθεια καὶ εὐμαθία· ἀναίδεια, ἀναίδια.

Τὰ ἐπὶ πραγματίας, ἤγουν συγγράμματος, διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, Ὀδύσσεια ἡ κατὰ Ὀδυσσέα· Ἡράκλεια ἡ κατὰ Ἡρακλέα· Τηλεγόνεια ἡ κατὰ Τηλεγόνα.

Τὰ ἀπὸ τῶν εἰς ης ἀρσενικῶν διὰ τοῦ εια παρηγμένα θηλυκὰ, εἰ μὲν προπαροξύνοιντο, δίφθογγον ἔχει· εἰ δὲ παροξύνοιτο, τὸ ι· οἷον, ἀναιδὴς, ἀναίδεια, καὶ ἀναιδία· συνήθεια καὶ συνηθία· εὐ-

[o] Cod. δαναΐς. [p] Cod. φυλυρίδης. [q] Cod. φυλύρας.
[r] Cod. κηλικία.

γένεια καὶ εὐγενία· τὸ μέντοι ἀμαθία μόνως παροξύνεται, καὶ διὰ βραχέος τοῦ ι γράφεται.

Τὰ ἀπὸ τῶν εἰς ευς ἀρσενικῶν διὰ τοῦ εια παρηγμένα θηλυκὰ δίφθογγον ἔχει· βασιλεὺς, βασίλεια· ἱερεὺς, ἱέρεια.

Τὰ ἀπὸ τῶν εἰς υς ἀρσενικῶν διὰ τοῦ εια παρηγμένα θηλυκὰ δίφθογγον ἔχει· οἷον, ὀξὺς, ὀξεῖα· βαρὺς, βαρεῖα· ἡδὺς, ἡδεῖα.

Τὰ διὰ τοῦ εια παρώνυμα κατὰ τοῦ αὐτοῦ σημαινομένου παρηγμένα θηλυκὰ δίφθογγον ἔχει· οἷον, Πηνελόπη, Πηνελόπεια· χαλκοβαρὴς, χαλκοβάρεια· ἠριγενὴς, ἠριγένεια· ἱπποδασὴς, ἱπποδάσεια.

Τὰ ἀπὸ ἐνεστώτων παρηγμένα θηλυκὰ δίφθογγον ἔχει· οἷον, ἀπόλλω, ἀπώλεια· μήδω, Μήδεια· θέρω, θέρεια· σάφω, σάφεια.

Πάντα τὰ εἰς τειρα παροξύτονα διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, παμμήτειρα· νικήτειρα· δημήτειρα.

Τὰ παρὰ τὸ αὐγὴ καὶ τὸ λω διὰ τῆς ει διφθόγγου γράφονται, καὶ προπαροξύνεται· οἷον, φεραύγεια· διαύγεια· ἐξώλεια· ἀπώλεια.

Πάντα τὰ διὰ τοῦ εια προπαροξύτονα θηλυκὰ διὰ τῆς ει διφθόγγου γράφεται κατὰ τὴν παραλήγουσαν· οἷον, ἀναίδεια· ἀλήθεια· εὐγένεια· ἀδράνεια· ἀπώλεια· ἄνθεια· Μήδεια· κράτεια· πλὴν τοῦ Ὄπνια· Πότνια· Πολύμνια· Λάμια· καὶ τὰ διὰ τοῦ τρια ἐκφερόμενα· οἷον, πολύτρια· μοναστήρια· μονάστρια· ψάλτρια· εὑρέτρια.

Τὰ ἀπὸ τῶν εἰς ος ὀνομάτων ἔχοντα ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ ευω, εἰ μὲν ὦσιν ἁπλᾶ, διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, πόρος, πορεύω, πορεῖα· δοῦλος, δουλεύω, δουλεῖα· ἰατρὸς, ἰατρεύω, ἰατρεῖα· εἰ δὲ ὦσιν σύνθετα, ἢ ἀπὸ τῶν εἰς μων ὀξυτόνων, διὰ τοῦ ι γράφονται· οἷον, φιλάνθρωπος, φιλανθρωπεύω, φιλανθρωπία· παρθένος, παρθενεύω, παρθενία· σύνεδρος, συνεδρεύω, συνεδρία· ἡγεμὼν, ἡγεμονεύω, ἡγεμονία· * * * κηδεμονία.

Πάντα τὰ εἰς υια λήγοντα, εἴτε προπαροξύτονα, εἴτε προπερισπώμενα ὀνόματα θηλυκὰ, διὰ τῆς υι διφθόγγου γράφονται· οἷον, ἅρπυια· εἰδυῖα· ῥυθυῖα· προπερισπωμένως.

Πάντα τὰ διὰ τοῦ ια καθαρεύοντα διὰ μόνου τοῦ ι γράφονται· οἷον, εὐφυΐα· μεγαλοφυΐα· εὐζωΐα· λογοποιΐα· καλοτυχία· μανία· καὶ ἁπλῶς εἰπεῖν πάντα τὰ παροξύτονα διὰ μόνου τοῦ ι· χωρὶς τῶν διὰ τοῦ ευω ῥημάτων καὶ διὰ τὸ ὑγεῖα· προπαροξυτόνως γὰρ λέγεται ὑγίεια.

Πάντα τὰ εἰς εια ἀπὸ τῶν εἰς ξ ἢ εἰς ψ ληγόντων γινόμενα διὰ τοῦ ι γράφονται καὶ παροξύνονται· Βέβρυξ, Βεβρυκία· Φρὺξ, Φρυγία· Κέκρωψ, Κεκρωπία· Καππάδοξ, Καππαδοκία· Λυκία· σεσημείωται τὸ ἀνθρακιὰ ὀξυνόμενον.

Πάντα τὰ εἰς ια ὀξύτονα θηλυκὰ ὑπὲρ δύο συλλαβὰς διὰ μόνου τοῦ ι γράφεται· οἷον, ποδία· πραστία· ἀνδρακία· σεσημείωται τὸ ὑπὲρ δύο συλλαβὰς διὰ τὸ ζεία· καὶ χεία· τὸ δὲ παρειὰ διὰ τῆς ει διφθόγγου γράφεται, ὅτι οἱ Αἰολεῖς παροιὰς λέγουσιν.

Πάντα τὰ εἰς αια λήγοντα θηλυκὰ παροξύτονα διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, ἐλαῖα· Ποτιδαῖα· Ἱστιδαῖα· Πλαταῖα.

Πάντα τὰ εἰς αιρα λήγοντα ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται, καὶ διὰ τῆς αι διφθόγγου γράφεται· οἷον, μάχαιρα· μάκαιρα· νέαιρα· χείμαιρα· προπαροξύνεται εἶπον διὰ τὸ ἡμέρα.

Τὰ εἰς ρα βαρύτονα, ἐὰν ἔχωσι τὸ ι, ἐν διφθόγγῳ αὐτὸ ἔχωσι παραληγόμενον· οἷον, σφαῖρα· ὀλέτειρα· μάχαιρα.

Πάντα τὰ παρὰ τὸ δια ἢ μια τὸ ι παραλήγεται· οἷον, ὀζωδία· δυσωδία· εὐωδία· δυσοσμία.

Πᾶν ὄνομα θηλυκὸν εἰς ια λῆγον ἀπὸ ῥήματος γινόμενα περισπωμένου, μὴ ἑτέρῳ κανόνι κρατούμενον, διὰ τοῦ ι γράφεται· οἷον, ἱστορῶ, ἱστορία· μαρτυρῶ, μαρτυρία· ὀφελῶ δὲ ὠφέλεια διὰ διφθόγγου· ὁ γὰρ τόνος μεταβάλλει τὴν γραφήν.

Τὰ εἰς αξ ἀποστρέφονται τὴν ει δίφθογγον κατὰ τὴν παραλήγουσαν· οἷον, κλίμαξ· θρίδαξ· θρίναξ· χωρὶς τοῦ μείραξ· σημαίνει δὲ τὸ μειρακίον· καὶ τοῦ λείαξ· σημαίνει δὲ τὸν λειμῶνα, ἤγουν τὸ λειβάδιον.

Τὰ εἰς η λήγοντα θηλυκὰ ἔχοντα πρὸ τοῦ η, ἢ τὸ β, ἢ τὸ

γ, ἢ τὸ δ, οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, τριβή· ἐρυσίβη· ἔστιν δὲ ἡ πάχνη ἡ γενομένη ἐν τῇ δυσαερίᾳ· θίβη· στίβη· σημαίνει δὲ τὴν ψυχρίαν· ἥβη ἡ ἀκμή· βλάβη· λώβη· λοιβὴ ἡ σπονδή· στοιβή· ἀμοιβὴ ἡ ἀνταπόδοσις· ταῦτα μὲν δίφθογγον ἔχουσιν· ἀλλ' οὐ τηνεί· τὰ δὲ ἔχοντα τὸ γ· οἷον, σιγή· πηγή· Σίδη· κνίδη ὁ κόσμος καὶ ἡ τρυφή.

Τὰ εἰς η λήγοντα θηλυκὰ ἔχοντα πρὸ τοῦ η, ἢ τὸ θ, ἢ τὸ φ, ἢ τὸ χ, οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· οἷον, τιθὴ ἡ τροφός· κριθή· μεθή· ποθὴ ἡ ἐπιθέτησις· ἀγριφὴ τὸ δίκελλον· σκιδαφὴ ἡ ἀλώπηξ[s] ἐριφή· κορυφή· μαστίχη· πυῤῥίχη· σιμήχη.

Τὰ εἰς η λήγοντα θηλυκὰ ἔχοντα πρὸ τοῦ η, ἢ τὸ λ, ἢ τὸ μ, ἢ τὸ ν, οὐ παραλήγονται τῇ ει διφθόγγῳ· οἷον, ἰσίθμη εἴσοδος· ἠθίμη· τιμή· παλμή· σπιθαμή· αἰχμὴ ἡ λόγχη· πολίχνη ἡ μικρὰ πόλις· λίμνη· κυλίχνη· σημαίνει δὲ φιαλὴν ἰατρικήν· Αἴτνη· χωρὶς τοῦ εὐδείπνη, ἔστιν δὲ ὄνομα θείσου, καὶ τοῦ πείνη, ἀπὸ γὰρ τοῦ πένομαι γέγονεν πεῖνα, καὶ ὥσπερ ἀπὸ τοῦ πεῖνα γέγονεν κατὰ τροπὴν Ἰώνων εἰς τὸ η· κίχλη· τρίγλη· ὁμίχλη· ἔδει γὰρ λέγειν ἡ τρίγλα· ἡ κίχλα· ἡ ὁμίχλα.

Τὰ εἰς κη λήγοντα θηλυκὰ, καὶ τὰ ἐπιστήμην ἢ κλῆσιν δηλοῦντα προπαροξύτονα, διὰ τοῦ ι γράφονται· οἷον, χάλκη· δίκη· νίκη· φρίκη· Φοινίκη· χωρὶς τοῦ Εὐνείκη ὄνομα κύριον, καὶ τοῦ εὐρείκη εἶδος εὐσχίστου ξύλου· τὰ δὲ ἐπιστήμην δηλοῦντα· οἷον, μουσική· ἰατρική· ῥητορική· γενική· δοτική.

Πᾶν μέρος λόγου καὶ πᾶσα λέξις ἀπὸ τῆς ἀμφὶ καὶ διὰ προθέσεων ἀρχομένη διὰ τοῦ ι γράφεται· οἷον, Ἀμφίων· ἀμφίβιος[t]· ἀμφιβολία· ἀμφισβήτησις· διάνοια· διάκρισις· διάστασις· διάκονος· διακρίνω, καὶ ὅσα ὅμοια.

Πάντα τὰ εἰς λα ὀνόματα διὰ τοῦ ι γράφονται· οἷον, Θεονίλλα· Φαλκονίλλα· Μαξιμίλλα· Πραξιμίλλα.

Τὰ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην συλλαβὴν, ἔχοντα

[s] Cod. ἀλώπιξ. [t] Cod. ἀμφύβιος.

δὲ ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ τὸ αὐτὸ σύμφωνον, διὰ τοῦ ι ἔχει τὴν πρώτην ὡς ἐπὶ τὸ πλεῖστον· οἷον, Ἶρις· ἴλυς· δριμύς· βριθύς· Ἶσις· ἶβις· πίτυς.

Τὰ εἰς υς λήγοντα ὀνόματα διὰ τοῦ ι γράφονται κατὰ τὴν παραλήγουσαν, καὶ οὐκ ἔχει δίφθογγον τὴν ει· οἷον, πίτυς, πίτυος· ἴλυς, ἰλύος ὁ πηλός· καὶ οὐχ ὥς τινες ὑπολαμβάνουσιν ὕλη, ὕλεως, ὥσπερ τέχνη, τέχνεως, οὐ δὲ πάχνη, πάχνεως, καὶ πύλη, πύλεως· καὶ τέχνη, τέχνης· ἰλὺς γὰρ ἰλύος· ἰσχὺς, ἰσχύος· νηδὺς, νηδύος· ἰχθὺς, ἰχθύος· δριμὺς, δριμύος· ἥμισυς· ὀϊζὺς ἡ χαλαιπή· Ἐρινὺς τιμωρητικὸς δαίμων· ἰξὺς ἡ ῥάχη· ληγύς· ὀϊδύς· θριθὺς, ὁ ἰσχυρός· χωρὶς τοῦ κλειτὺς σημαίνει δὲ τὰ ἐξέχοντα μέρη τῶν ὀρέων· τοῦτο γὰρ διὰ τῆς ει διφθόγγου ὡς φησὶν Ἡρωδιανός· πρόσκειται τὴν ει δίφθογγον, διὰ τὸ εὐρὺς, σημαίνει δὲ τὸν πλατύν· καὶ αἰπὺς, σημαίνει δὲ τὸν ὑψηλόν[u]· ταῦτα γὰρ διφθόγγῳ παραλήγονται, ἀλλ᾽ οὐ τῇ ει.

Τὰ διὰ τοῦ ιλη, μήτε ἀπὸ κράσεως ἔχοντα, μήτε ἀπὸ πλεονασμοῦ τὸ ι, ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, σμίλη, τὸ σμίλιον· ἴλη, σημαίνει τὴν ἄθροισιν· πατίλη τὸ ἀπόξυσμα τῶν δερμάτων, καὶ τὸ ὑγρὸν διαχώρημα· μυστίλη ὁ κοινὸς ἄρτος· μαρίλη, σημαίνει δὲ τὴν κόνιν τὴν γινομένην ἐκ τοῦ σβεννῦσθαι τοὺς καρπούς· πρόσκειται ἐν τῷ κανόνι μὴ ὄντα ἀπὸ κράσεως, διὰ τὸ δείλη, ὃ σημαίνει τὴν δειληνήν· τοῦτο γὰρ διὰ τῆς ει διφθόγγου γράφεται, ἀλλ᾽ ἀπὸ κράσεως ὄντα, ἀπὸ γὰρ τοῦ ἐνδεῖν τῇ ἕλῃ, ὅ ἐστιν τῇ θερμασίᾳ· τότε γὰρ ἄρχεται ἡ θερμασία τοῦ ἡλίου ἐνδεῖν· γεγονὼς δεέλη, καὶ κατὰ κρᾶσιν τῶν δύο εε εἰς τὴν ει δίφθογγον δείλη· πρόσκειται πάλιν μὴ ἔχοντα ἀπὸ πλεονασμοῦ τὸ ι, ἐπειδὴ ἀπὸ τοῦ ἕλη τοῦ σημαίνοντος τὴν θερμασίαν γίνεται εἵλη διὰ τῆς ει διφθόγγου κατὰ πλεονασμὸν τοῦ ι· δεῖ προσθῆναι χωρὶς τοῦ ὀφειλὴ, σημαίνει δὲ τὸ χρέως· καὶ ἀπειλὴ καὶ τοῦ ὠτειλὴ, σημαίνει δὲ τὸ τραῦμα.

Τὰ διὰ τοῦ νια βαρύτονα, μὴ ἔχοντα ἀντιπαρακείμενον ῥῆμα διὰ τοῦ ευω, διὰ τοῦ ι γράφονται· οἷον, μανία· γωνία· πενία·

[u] Cod. ὑψιλόν.

ξενία· ἀνία ἡ λύπη· βυθηνία· γειτονία· ἁρμονία· ῥοδωνία ὁ τόπος· πρόσκειται παροξύτονα, διὰ τὸ σαφήνεια καὶ εὐμένεια καὶ εὐγένεια· καὶ τὸ μνεῖα διὰ τῆς ει διφθόγγου γραφόμενον[x] οὐκ ἀντίκειντι ἡμῖν, ἐπειδὴ οὐκ ἔστιν διὰ τοῦ νεια, ἀλλὰ διὰ τοῦ μνεῖα· πρὸ γὰρ τοῦ ν ἔχει τὸ μ· ἀπὸ γὰρ τοῦ μένα γεγονὼς μενία διὰ τοῦ ι, καὶ καθ' ὑπερβιβασμὸν τοῦ ν μνεῖα, καὶ κατὰ συναίρεσιν μνεῖα· ἔστιν δὲ ἡ ἀποκειμένη ἔν τινι.

Πάντα τὰ εἰς σσα λήγοντα διὰ τοῦ ι γράφονται· οἷον, κύλισσα· βασίλισσα· Καισάρισσα· Σελεύκισσα.

Οὐδέποτε πρὸ τῶν δύο σσ ἡ ει δίφθογγος εὑρίσκεται· οἷον, μέλισσα· κίσσος· ἑλίσσω· φρίσσω· πλὴν τοῦ κρείσσων, καὶ τοῦ ῥήματος τοῦ ἐξ αὐτοῦ γενομένου κρεισσῶ.

Τὰ εἰς η λήγοντα ὑπὲρ δύο συλλαβὰς βαρύτονα ἑνὶ φωνήεντι παραλήγεται, καὶ οὐκ ἔχουσι δίφθογγον ἐν τῇ πρὸ τέλους συλλαβῇ· οἷον, μελέτη· ἐλάτη· Θεοδότη· Ἀμφιτρίτη, σημαίνει δὲ τὴν θάλασσαν· πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ χαίτη, ὃ σημαίνει τὴν τρίχα, καὶ τὸ κοίτη· ταῦτα γὰρ δίφθογγον ἔχουσιν, ἀλλ' οὐκ εἰσιν ὑπὲρ δύο συλλαβάς· πρόσκειται βαρύτονα, διὰ τὸ τελευτή· τοῦτο γὰρ ὑπὲρ δύο συλλαβὰς ὢν ἔχει τὴν ευ δίφθογγον ἐν τῇ πρὸ τέλους συλλαβῇ, ἀλλ' ὀξύτονόν ἐστιν.

Τὰ ἀπὸ τῶν εἰς ος συνθέτων διὰ τοῦ ια γινόμενα βαρύτονα ὄντα διὰ τοῦ ι γράφονται· οἷον, φιλόσοφος, φιλοσοφία· κακοῦργος, κακουργία· πρόθυμος, προθυμία· ἄσωτος, ἀσωτία· ῥάθυμὸς, ῥαθυμία· ἔστι δὲ σύνθετον παρὰ τὸ ρα, ὃ σημαίνει τὸ εὐχερὲς, καὶ τὸ θυμὸς τὸ σημαῖνον τὴν ψυχήν· ὁ εὐχερῆ ψυχὴν ἔχων, καὶ μὴ στεῤῥάν· ἀσπιδοποιὸς, ἀσπιδοποιΐα· ὀρθογράφος, ὀρθογραφία· εὔκαιρος, εὐκαιρία· ἀργὸς, ἀργία· ἔστιν δὲ σύνθετον παρὰ τὸ α τὸ στερητικὸν ἐπίῤῥημα καὶ τὸ ἔργον· οἱονεὶ ὁ ἐστερημένος τοῦ ἐργάζεσθαι· πρόσκειται βαρύτονα, ἤγουν προπαροξύτονα, διὰ τὸ βοηθὸς, βοήθεια· εὐερὸς, εὐέρεια· ταῦτα γὰρ διὰ τῆς ει διφθόγγου γράφεται, ἀλλ' οὐκ εἰσὶ παροξύτονα ἀλλὰ προπαρόξυτονα· εὐέρεια δέ ἐστιν ἡ καλὸν ἔρειον ἔχουσα· καὶ τὸ βοηθὸς παρὰ τὴν βοὴν, ὃ σημαίνει τὴν κραυγὴν, καὶ

τὸ θοὸς τὸ σημαῖνον τὸ ταχύ· τουτέστιν ὁ τῷ κράζοντι ταχύς.

Τὰ *ἀπὸ τῶν εἰς ος ἁπλῶν, μὴ ἔχοντα ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ ευω, διὰ τοῦ ια γινόμενα θηλυκὰ, διὰ τοῦ ι γράφονται· οἷον, κακὸς, κακία· σοφὸς, σοφία· μωρὸς, μωρία· ἥσυχος, ἡσυχία.*

Καθόλου *τὰ εἰς ις ὀξύτονα θηλυκὰ ὑπὲρ μίαν συλλαβὴν κατὰ κοινὴν διάλεκτον ὄντα ἀποστρέφονται τὴν ει δίφθογγον· οἷον, ἀσπίς· ῥανίς· βολίς· πρόσκειται ὀξύτονα, διὰ τὸ κατάκλεις καὶ ἀντίρεις· ταῦτα γὰρ διὰ τῆς ει διφθόγγου γράφονται, ἀλλ' οὐκ εἰσὶν ὀξύτονα ἀλλὰ παροξύτονα· πρόσκειται θηλυκὰ, διὰ τὸ τυφθεὶς ὁ δαρείς· ταῦτα γὰρ διὰ τῆς ει διφθόγγου γράφονται ὀξύτονα ὄντα· ἀλλ' οὐκ εἰσὶ θηλυκὰ ἀλλ' ἀρσενικά· πρόσκειται ὑπὲρ μίαν συλλαβὴν, διὰ τὸ ἡ κλείς· τοῦτο γὰρ διὰ τῆς ει διφθόγγου γράφεται ὀξύτονον ὂν θηλυκὸν, ἀλλ' οὐκ ἔστιν ὑπὲρ μίαν συλλαβὴν ἀλλὰ μονοσύλλαβον· πρόσκειται κατὰ κοινὴν διάλεκτον, ἐπεὶ τὸ εὐσεβὴς καὶ εὐγενὴς παρ' ἡμῖν διὰ τοῦ η γράφονται, παρὰ δὲ* Βοιωτοῖς[y] *διὰ τῆς ει διφθόγγου· καὶ οὐκ εἰσὶ κατὰ κοινὴν διάλεκτον ἀλλὰ κατὰ* Βοιωτῶν[z].

Τὰ *διὰ τοῦ ια θηλυκὰ μονογενῆ παροξύτονα ὑπὲρ δύο συλλαβὰς ὄντα κατὰ κοινὴν διάλεκτον, μὴ ὄντα σύνθετα ἀπὸ ἁπλοῦ ἔχοντα τὴν ει δίφθογγον, μήτε ἀπὸ ἐθνικῶν γενόμενα κύρια, διὰ τοῦ ι γράφονται· οἷον, κοιλία· ἀγγελία· εὐσπλαγχνία· ἀδοξία· εὐδία· ἁμαρτία· δυσωδία· φαντασία· εὐμορφία· θεωρία· οἰκία· πρόσκειται μονογενῆ διὰ τὸ* Πολυδεύκεια *χείρ·* Ἀγαμεμνόνειος *ναῦς· ταῦτα γὰρ διὰ τῆς ει διφθόγγου γράφονται ὅτι τριγενῆ εἰσιν·* Ἀγαμεμνόνειος, Ἀγαμεμνόνεια· *πρόσκειται παροξύτονα, διὰ τὸ εὐσέβεια καὶ ἀναίδεια· ταῦτα γὰρ διὰ τῆς ει διφθόγγου γράφονται· πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ μνεῖα καὶ χρεῖα· ταῦτα γὰρ ὁμοίως γράφονται· πρόσκειται κατὰ κοινὴν διάλεκτον· ἐπειδὴ πολλάκις οἱ* Ἀθηναῖοι *ἐπὶ τῶν*

y Cod. *βοιοτοῖς.* z Cod. *βοιοτῶν.*

*διὰ τοῦ εια προπαροξυτόνων μακρὸν ποιοῦσι τὸ α, καὶ καταβιβάζουσι τὸν τόνον, καὶ φυλάττουσι τὴν ει δίφθογγον· οἷον, ἀλήθεια κοινῶς, καὶ ἀληθεία Ἀττικῶς· ἱέρεια κοινῶς, καὶ ἱερεία Ἀττικῶς· πρόσκειται μὴ ὄντα σύνθετα ἀπὸ ἁπλῶν ἔχοντα τὴν ει δίφθογγον, διὰ τὸ σιτοδεῖα, ὃ σημαίνει τὴν ἔνδειαν τοῦ σίτου· τοῦτο γὰρ καὶ πρὸ α τὸν τόνον ἔχει, ἀλλ' ἀπὸ ἁπλοῦ γέγονεν ἔχοντα τὴν ει δίφθογγον· ἀπὸ γὰρ τοῦ δεια ὃ σημαίνει τὴν ἔνδειαν, ὅπερ διὰ τῆς ει διφθόγγου γράφεται, ἐφύλαξε τὴν τοῦ δεια τὴν δίφθογγον· πρόσκειται ἀπὸ ἐθνικῶν γινόμενα κύρια, ἐπειδή ἐστιν Ἀργεῖος ἀνὴρ ἀπὸ τοῦ Ἄργους· καὶ Ἀργεῖα γυνὴ ἡ τοῦ Ἄργους· καὶ γίνεται τὸ Ἀργεῖα ὄνομα κύριον, καὶ φυλάττει τὴν ει δίφθογγον τοῦ ἐθνικοῦ· τούτων οὕτως ἐχόντων, * * * * τὸ ὑγεῖα πρὸ μιᾶς τὸν τόνον ἔχον οὐκ ἀντίκειται ἡμῖν γραφόμενον διὰ τῆς ει διφθόγγου· ἐπειδὴ δυνάμει προπαροξύτονά ἐστιν· ὥσπερ γὰρ ἀπὸ τοῦ εὐσεβὴς γέγονεν εὐσέβεια, οὕτως ἀπὸ τοῦ ὑγιὴς, ὑγίεια προπαροξυτόνως, καὶ κατὰ κρᾶσιν τοῦ ι καὶ τῆς ει διφθόγγου γέγονεν ὑγεῖα· δεῖ σημειώσασθαι τὸ ἀνδρεῖα, ὅτι πρὸ μιᾶς τὸν τόνον ἔχον διὰ τῆς ει διφθόγγου γράφεται· λέγω δὲ ἐπὶ τῆς ἀρετῆς· οἷον, ἡ ἀνδρεία, ὥσπερ ἡ δικαιοσύνη· πρόσκειται τὸ ἐπὶ τῆς ἀρετῆς, ἐπειδὴ τὸ τῆς γυναικὸς ὥσπερ ἀνδρεῖος ἀνὴρ, ἀνδρεῖα γυνή.*

Πάντα *τὰ εἰς ψ λήγοντα θηλυκὰ προπαροξύτονα δίχα τοῦ μ γράφεται· οἷον, σύλληψις· ἀντίληψις· ἀνάληψις· πρόσληψις.*

Τὰ *διὰ τοῦ ινη θηλυκὰ διὰ τοῦ ι γράφονται· οἷον, ὑσμίνη·* Αἰγίνη.

Παντὰ *τὰ εἰς εα λήγοντα θηλυκὰ μονογενῆ παροξύτονα διὰ τοῦ ε γράφεται· οἷον, μηλέα· πτελέα· ἰτέα·* Νεμέα· *μαντιέα·* Θυρέα· *σεσημείωται τὸ ἀλιεαῖα· ἐλαῖα· πτελαῖα.*

Πάντα *τὰ εἰς εα λήγοντα προπαροξύτονα θηλυκὰ κατὰ συναίρεσιν δυνάμενα διὰ τοῦ ε γράφεται· οἷον, συκέα· σισαμέα· ἀμυγδαλέα· χολέα λεοντέα· συκῆ γὰρ καὶ ἀμυγδαλῆ.*

Πάντα *τὰ εἰς εσιος λήγοντα προπαροξύτονα τρισύλλαβα καὶ ὑπὲρ τρεῖς συλλαβὰς κατὰ τὴν παρατέλευτον τῆς συλλα-*

βῆς διὰ μόνου τοῦ ε στοιχείου γράφεται· οἷον, εὕρεσις· συναίρεσις[a]· διαίρεσις.

Πάντα τὰ εἰς εστατος ὑπερθετικὰ διὰ μόνου τοῦ ε γράφεται· οἷον, εὐτυχέστατος· εὐτελέστερος.

Πᾶσα γενικὴ εἰς ος τὸ ε παραληγομένη καὶ ἐν τῇ δοτικῇ τῶν ἑνικῶν καὶ ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν δίφθογγον ἔχει· οἷον, τοῦ ταχέος, τῷ ταχεῖ, οἱ ταχεῖς· τοῦ Δημοσθένεος, τῷ Δημοσθένει, οἱ Δημοσθένεις.

Πᾶσα δοτικὴ ἑνικῶν τε καὶ δυϊκῶν καὶ πληθυντικῶν ἐν τῇ ἐσχάτῃ συλλαβῇ ἔχει τὸ ι· ἐὰν μὲν εἴη μετὰ συμφώνου καὶ βραχέων φωνηέντων, ἐξακούεται· τῷ μέλανι· τῷ Ἀχιλλεῖ· τοῖν μελάνοιν, τοῖς μέλασι· εἰ δὲ μετὰ μακροῦ φωνήεντος, οὐκ ἐκφωνεῖται· οἷον, τῷ καλῷ· τῷ Πέρσῃ· τοῖς Μενέλεῳς.

Αἱ εἰς σι πληθυντικαὶ δοτικαὶ ἐπεκτεταμέναι, εἰ μὲν ἔχοιεν ἓν σ, διφθόγγῳ παραλήγονται· καλοῖσι· σοφοῖσι· Ἀτρείδαισι· εἰ δὲ δύο σσ, ἑνὶ φωνήεντι παραλήγονται· οἷον, πάντεσσι· θήρεσσι· σεσημείωται τὸ παρ' ὕεσσι[b], ἢ παρὰ βουσὶ, καὶ τὸ αἰγέσσι[c], ἢ αἴεσσι.

Ὁ τρεῖς ἀριθμὸς πληθυντικὸς ι συντιθέμενος διὰ μόνου τοῦ ι γράφεται· οἷον, τρισάθλιος· τρισχίλιος· τρισμάκαρες.

Ὁ τρεῖς ἀριθμὸς ἀποβάλλει τὸ ε καὶ σ ἐν ταῖς συνθέσεσιν, ἐὰν εἴ συντεθημένη αὐτῷ λέξις ἀπὸ τοῦ σ ἀρχομένη· οἷον, τριστιχία, στίχος γάρ· τρίσχιστοι, σχιστὸς γάρ· τρίσχημος, σχῆμα γάρ· τρίσωμος, σῶμα γάρ.

Τὰ διὰ τοῦ ωτης ἀρσενικὰ διὰ τοῦ ω μεγάλου γράφεται· οἷον, στρατιώτης· ταξιώτης· παιγνιώτης· Χιώτης ἀπηγόρευται ἡ λέξις· Χίος γὰρ λέγεται ἀνήρ· ζηλώτης.

Τὰ διὰ τοῦ οτης θηλυκὰ διὰ τοῦ ο μικροῦ γράφεται· οἷον, ὁσιότης· ἐνδοξότης· λαμπρότης· ἁγιότης.

Τὰ διὰ τοῦ οτατος, ἐὰν ἔχει πρὸ τοῦ οτατος τὸ ξ, ἢ δύο σύμφωνα, ἢ ἓν τῶν διφθόγγων, ἢ τῶν μακρῶν φωνηέντων, διὰ τοῦ ο μικροῦ γράφεται· οἷον, ἐνδοξότατος· λαμπρότατος· γενναιότατος· ἀνδρειότατος· γαληνότατος.

a Cod. συναισις. b Cod. παρυεσσι (αι). c Cod. αἴγαισσι (ε).

Τὰ διὰ τοῦ ωτερος, καὶ διὰ τοῦ οτατος, καὶ διὰ τοῦ οσυνη, ἐάν ἐστιν μακρὰ ἡ παραλήγουσα, διὰ τοῦ ο μικροῦ γράφεται, εἰ δὲ βραχεῖα, διὰ τοῦ ω μεγάλου.

Τὰ ἐπὶ κυρίων ὀνόματα μέσσων δύο ἀμεταβόλων, ἢ ψιλοῦ καὶ ἀμεταβόλου, ἢ δύο συμφώνων τῶν αὐτῶν εὑρισκομένων, διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, ἀγωγὸς συναγωγή· νῶνος· μῶμος· λῶρος· ἠρωνεία· ἐρώτημα· Ἀντώνιος· Βομβωναλλων.

Πάντα τὰ εἰς δος λήγοντα ἀρσενικὰ τὸ ω παραληγόμενα παρὰ τὴν ᾠδὴν γινόμενα διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, κωμῳδός· ψαλμῳδός· τραγῳδός· μελῳδός.

Ἡ τρίτη συζυγία τῶν περισπωμένων εἰς τὸν μέλλοντα τότε παραλήγεται τὸ ὅτε ἔχει προϋπάρχον ο· οἷον, χρυσῶ, χρυσώσω, χρυσὸς γάρ.

Τὰ ὑποτακτικὰ καὶ ὑποθετικὰ διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, ἵνα ἔχωμεν· ὅπως φάγωμεν· ἐὰν ποιήσωμεν· ὑποθετικὰ δὲ σύλληψις πρώτου προσώπου ἐν τάξει τρέπουσα ἰσότιμον πρόσωπον· παραιτούμενος γάρ τις τῷ πλησίον παρακελεύσασθαι ὡς ἰσοτίμῳ προσώπῳ, συλλαμβάνων τὸ ἑαυτοῦ πρόσωπον κελεύει ἑαυτῷ καὶ τὸ πλήσιον, πράξωμεν· ὕσωμεν· γράψωμεν.

ΠΕΡῚ ΟΥ̓ΔΕΤΈΡΩΝ.

Τὰ ἀπὸ τῶν εἰς ευς, καὶ ἀπὸ τῶν εἰς ω ῥημάτων, καὶ τὰ ἀπὸ τῶν διὰ τοῦ ευω διὰ τοῦ ειον γινόμενα οὐδέτερα, διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, κούρευσον, κουρεῖον· γράφω, γραφεῖον· φέρω, φορεῖον· πορνεύω, πορνεῖον· ταῦτα δὲ λέγονται κτητικά.

Τὰ διὰ τοῦ ειον ὀνόματα οὐδέτερα μονογενῆ ὑπὲρ τρεῖς συλλαβὰς πρὸ μιᾶς τὸν τόνον ἔχοντα διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, μαγειρεῖον· ἰατρεῖον· ὀρφανοτροφεῖον· σωματεῖον· πανδοκεῖον· ἐργαλεῖον· ἐπισκοπεῖον· τὸ δὲ ἐναντίον διὰ τοῦ ι ὅτι τριγενῆ ἐστίν· ὁ ἐναντίος καὶ ἡ ἐναντία.

Πάντα τὰ ἀπὸ τῶν εἰς ος ἀρσενικῶν παρηγμένα οὐδέτερα, εἰς ον καθαρὸν λήγοντα, διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, πρῶτος· πρωτεῖον· διδάσκαλος, διδασκαλεῖον· στοῖχος, στοιχεῖον.

Πᾶν ὄνομα οὐδέτερον εἰς ον λῆγον προπερισπώμενον διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, μνημεῖον· στοιχεῖον· σημεῖον.

Τὰ διὰ τοῦ ειον λήγοντα οὐδέτερα ἀπὸ τῶν εἰς μα οὐδετέρων γινόμενα πρὸ τέλους ἔχοντα τὸν τόνον καὶ ὑποκοριστικὴν ἔχοντα σημασίαν διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, σῆμα, σημεῖον· σῶμα, σωματεῖον· γράμμα, γραμματεῖον· τὸ δὲ δομάτιον καὶ χευμάτιον ὑποκοριστικά εἰσι καὶ προπαροξύτονα, καὶ διὰ τοῦ ι γράφονται.

Πᾶν ὄνομα οὐδέτερον εἰς ισμα λῆγον διὰ τοῦ ι γράφεται· οἷον, βάδισμα· ῥάπισμα· σόφισμα· ἀπὸ γὰρ τῶν εἰς ζω ῥημάτων, βαδίζω· ῥαπίζω· σοφίζω· σεσημείωται τὸ ἔρεισμα ἐκ τοῦ ἐρείσσω γενόμενον, ὅ ἐστιν ὑποστήριγμα, καὶ τὸ δάνεισμα.

Πᾶν ὄνομα οὐδέτερον εἰς ιον λῆγον προπαροξύτονον, καὶ τὰ ἐπὶ ἀγέλων ὀνόματα διὰ τοῦ ι γράφονται· οἷον, ἴτριον· οἰκητήριον· ἐργαστήριον· ἐπὶ ἀγέλων· οἷον, συοφόρβιον· βόβλιον· ἱπποφόρβιον.

Πᾶσα εὐθεῖα καὶ κλητικὴ οὐδέτερα, καὶ εἰς ες λῆγον, δίφθογγον οὐκ ἔχει· οἷον, εὐσεβές· εὐμαθές· ἀσεβές.

Πᾶν ὄνομα οὐδέτερον εἰς εαρ λῆγον διὰ τοῦ ε γράφεται· οἷον, νέφος· στέφος· βρέφος· κέφος· σεσημείωται τὸ λαῖφος.

Τὰ εἰς θρον ὑπὲρ δύο συλλαβὰς οὐδέτερα, διὰ τοῦ ε γράφονται· οἷον, βέρεθρον· πτολίεθρον· σεσημείωται τὸ ὕπαιθρον.

Τὰ εἰς α λήγοντα ὀνόματα στοιχείων οὐ θέλουσιν ἔχειν δίφθογγον κατὰ τὴν παραλήγουσαν· οἷον, ἄλφα· βῆτα· ἦτα· θῆτα· ἰῶτα.

Πᾶν ὄνομα στοιχείου εἰς σι καταλῆγον οὐκ ἔχει αὐτὸ ἐν διφθόγγῳ· οἷον, ξῖ· ῥῖ· φῖ· χῖ· ψῖ· χωρὶς τοῦ ε.

Πᾶν ὄνομα οὐδέτερον μονογενὲς τρισύλλαβον εἰς ον καθαρὸν λῆγον τῇ αι διφθόγγῳ παραλήγεται, καὶ προπαροξύνεται· οἷον, νόμαιον· οὔραιον· σκύλαιον· εὔναιον· φύβαιον· Λύκαιον· Νύμφαιον· τρόπαιον.

Τὰ ὑποκοριστικὰ διὰ τοῦ ι γράφονται· οἷον, ἰχθύδιον· δελφάκιον.

ΠΕΡῚ ῬΉΜΑΤΟΣ.

Πάντα τὰ ἀπὸ τῶν εἰς ε ἀρχόμενα ῥήματα ἐν ταῖς παρῳχημέναις τὸ η ἔχει· σεσημειωμένων ἐν μὲν ταῖς ὑπὲρ δύο συλλαβαῖς, τὸ ἐθίζω, εἴθιζον· ἐργάζομαι, εἰργαζόμην· ἔρομαι, εἰρόμην· ὃ σημαίνει τὸ ἠρώτων, ἀφ' οὗ τὸ "ἤρετο δημέας·" ἅτινα Βοιωτικῶς ἔχουσι τὴν τροπὴν τοῦ η εἰς τὴν ει· εἴγε εὕρηται καὶ τὸ ἠρώμην διὰ τοῦ η γραφόμενον· "ἠρώμην δ' ἐγώ·" ἐρίνω, εἴρυον· καὶ ταῦτα μὲν ἐν ταῖς ὑπὲρ δύο συλλαβάς· τῶν δὲ δισυλλάβων σεσημειωμένα ἐστὶ ταῦτα· περισπώμενα μὲν τρία· βαρύτονα δὲ τέσσαρα· ἔχω, εἶχον· ἔπω, εἶπον· τὸ ἔλεγον ψιλοῦται· ἕλκω, εἷλκον· ἕρπω, εἷρπον· περισπώμενα δέ· ἐῶ, εἶον· ἐρῶ, εἴρουν, ἀφ' οὗ τὸ εἴρηκα· ἐλῶ, εἶλουν.

Ἱστέον ὅτι ταῦτα τὰ ῥήματα οὐκ ἔτρεψαν τὴν δίφθογγον αὐτῶν ἐν τοῖς παρῳχημένοις· οἷον, οἰακίζω, οἰάκιζον· οἰονίζομαι, οἰονιζόμην· οἴομαι, οἰόμην· οἰνῶ, οἴνουν· [οἴομαι, οἰόμην·] οἰνίζω, οἴνιζον· οἰμῶ, οἴμουν, διὰ τὸ ἐπιφέρεσθαι φωνῆεν, οὐ τρέπει τὴν οι δίφθογγον ἐν τοῖς παρῳχημένοις διὰ τὸ κακόφωνον.

Πᾶν ῥῆμα εἰς ν λῆγον ἐν πρώτῳ προσώπῳ, τὰ ἴσα φωνήεντα τηρεῖ, καὶ ἐν τῷ δευτέρῳ, ἔν τε τῇ ληγούσῃ, καὶ ἐν τῇ παραληγούσῃ· οἷον, ἐπὶ μὲν τῆς ληγούσης, ἐνόουν, ἐνόεις· ἐπὶ δὲ τῆς παραληγούσης· ἐλέγομεν, ἐλέγετε· ἐνοοῦμεν, ἐνοεῖτε.

Πᾶν ἀπαρέμφατον δίφθογγον ἔχει κατὰ τὴν τελευταίαν, πλὴν τῆς πρώτης συζυγίας τῶν περισπωμένων· νοεῖν· χρυσοῦν· τύπτειν, τύπτεσθαι· βοᾶν μέντοι καὶ γελᾶν οὐκέτι.

Πᾶν εὐκτικὸν διφθόγγῳ παραλήγεται· τύπτοιμι· τύψαιμι· βοῷμι· τυφθείην· δαρείην.

Τὰ διὰ τοῦ εινω δισύλλαβα, εἰ μὲν διὰ τοῦ ε ἐκφέρονται κατὰ τὸν μέλλοντα, διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, κτενῶ, κτείνω· τενῶ, τείνω· εἰ δὲ μὴ ἐκφέρονται διὰ τοῦ ε, διὰ τοῦ ι γράφονται· οἷον, κλίνω, κλινῶ· κρίνω, κρινῶ.

Τὰ διὰ τοῦ εινω ῥήματα ὑπὲρ δύο συλλαβὰς ει δίφθογγον ἔχει· ἐρεείνω· φαείνω· ἀλεείνω· πλὴν τοῦ ὀρίνω· ὠδίνω.

Ὅσα ῥήματα ἐν τῷ μέλλοντι ἔχει τὸ ε, ταῦτα πολὺ πρό-

τερα καὶ ἐν τῷ ἐνεστῶτι εἶχον· οἷον, κερῶ, κείρω· δερῶ, δείρω· φθερῶ, φθείρω.

Ὅσα ῥήματα ἐν κινήσει εὑρίσκονται γεννῶντα τὸ ο, τὸ ε προεῖχον· οἷον, ἀμείβω, ἀμοιβή· λείβω, λοιβή· λείχω, λοιχός.

Πᾶν ῥῆμα εἰς ω λῆγον ἔχει τὸ δεύτερον πρόσωπον διὰ διφθόγγου· οἷον, λέγω, λέγεις· κόπτω, κόπτεις· καὶ τὸ βοῶ οὖν ἔχει τὸ δεύτερον διὰ τῆς αι, βοᾷς· καὶ τὸ ἐὰν λέγῃς μετὰ τοῦ ι· καὶ τὸ ἐὰν δῷ, δῷς, ὁμοίως.

Πᾶν ῥῆμα εἰς μαι λῆγον ἔχει τὸ δεύτερον πρόσωπον εἰς ι λῆγον· ὄψομαι, ὄψῃ· τύπτομαι, τύπτῃ· λέγομαι, λέγῃ.

Οὐδὲν τῶν εἰς μι ῥημάτων ἐπὶ δευτέρου προσώπου ἔχει τὸ ι· τίθημι, τίθης· δίδωμι, δίδως· πλὴν τοῦ φημὶ, φῇς.

Τὰ διὰ τοῦ ειω περισπώμενα διὰ τοῦ ι γράφονται, χωρὶς εἰ μὴ[d] ἀπὸ ὀνόματος προϋποκειμένου σχῶσι τὴν ει δίφθογγον· διὰ τὸ ἀχρειῶ καὶ τελειῶ, ἀπὸ γὰρ τοῦ τέλειος καὶ ἀχρεῖος γέγονεν.

Τὰ διὰ τοῦ ιω ὑπὲρ δύο συλλαβὰς ὄντα βαρύτονα, κλινόμενα εἰς μέλλοντα, διὰ τοῦ ι γράφονται· οἷον, μητίω, μητίσω· κονίω, κονίσω· κυλίω, κυλίσω· μηνίω, μηνίσω, τὸ ὀργίζομαι, ὥσπερ καὶ τὸ μηνιῶ περισπώμενον· δηρίω, δηρίσω· πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ κλείω, κλείσω· τοῦτο γὰρ κλινόμενον εἰς μέλλοντα διὰ τῆς ει διφθόγγου γράφεται· ἀλλ' οὐκ ἔστιν ὑπὲρ δύο συλλαβάς· πρόσκειται βαρύτονα διὰ τὸ ἀχρειῶ, ἀχρειώσω· ταῦτα γὰρ κλινόμενα εἰς μέλλοντα διὰ τῆς ει διφθόγγου γράφονται· ἀλλ' οὐκ εἰσὶ βαρύτονα, ἀλλὰ περισπώμενα· πρόσκειται κλινόμενα εἰς μέλλοντα, διὰ τὸ κιχείω, ὃ σημαίνει τὸ καταλαμβάνω· καὶ τὸ ὀλείω, ὃ σημαίνει τὸ ἀπόλλω· καὶ ὀψείω, ὃ σημαίνει τὸ ἐπιθυμίαν ἔχω τοῦ νεωτερίσαι· ἀλλ' οὐ κλίνονται εἰς μέλλοντα.

Τὰ ἔχοντα τὴν αι δίφθογγον συλλαβὴν, καὶ πεφυκότα ἀποβάλλειν τὸ ι κατὰ διάλεκτον, διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, κλαίω, κλάω· καίω, κάω· αἰετὸς, ἀετός· αἰεὶ, ἀεί· ἑταῖρος· παλαιὸς, παλαός.

[d] Cod. εἶμι.

Τὰ εἰς νω ῥήματα παραλήγομενα τῇ ει διφθόγγῳ, ἐὰν ἔχωσι τὸ α ἐν τῷ μέλλοντι ἀναφαινόμενον, διὰ τῆς ει διφθόγγου γράφονται· οἷον, φανῶ, φαίνω· ῥανῶ, ῥαίνω· τὸ μέντοι μένω διὰ τοῦ ε ψιλοῦ γράφεται, ἐπειδὴ οὐκ ἔχει ἐν τῷ μέλλοντι τὸ α.

Τὰ διὰ τοῦ αιρω ὑπὲρ δύο συλλαβὰς ὄντα διὰ τῆς αι διφθόγγου γράφεται· οἷον, μαρμαίρω τὸ λάμπω· μεγαίρω τὸ φθονῶ· καρκαίρω τὸ κτυπῶ· πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ δέρω καὶ φέρω.

Πάντα τὰ προστακτικὰ οὐ γράφονται διὰ τῆς αι διφθόγγου, ἐπεὶ μὴ ἐκφέρονται διὰ τοῦ αμην, εἴτε ἑνικὰ, εἴτε πληθυντικὰ, διὰ τοῦ ε βραχέος ἐκφωνεῖται· οἷον, φάγε· πίε· δράμε· οὐδὲ γὰρ λέγομεν, ἐφαγάμην, ἐπιάμην.

Τὰ προστακτικὰ τοῦ πρώτου μέσου ἀορίστου διὰ τῆς αι διφθόγγου γράφεται, ἐποιησάμην πεποίησαι· ἠσπασάμην, ἄσπασαι· ἐλουσάμην, λοῦσαι.

Τὰ εἰς πτω δισύλλαβα ῥήματα οὐδέποτε ἔχει δίφθογγον· οἷον, νίπτω· ῥίπτω· πίπτω.

Τὰ διὰ τοῦ ιζω ῥήματα διὰ τοῦ ι γράφεται· οἷον, πορίζω· λυδίζω· λακτίζω· πλὴν τοῦ δανείζω· χρήζω· μείζω· παίζω· τὸ μὲν δανείζω ἀπὸ τοῦ δάνειον οὐδετέρου γέγονεν δανειάζω, ὥσπερ γένειον γενειάζω, καὶ ἐν συγκοπῇ δανείζω· τὸ δὲ χρήζω διὰ τοῦ η γράφεται, καὶ μετὰ τοῦ ι· ἐπειδὴ ἀπὸ τοῦ χρέως γέγονεν χρεΐζω, καὶ κατὰ τροπὴν τοῦ ε εἰς τὸ η, καὶ συναιρέσει τοῦ ι γέγονεν χρήζω· τὸ δὲ μείζω διὰ τῆς ει διφθόγγου, ἐπειδὴ ἀπὸ τοῦ μείζων συγκριτικοῦ γέγονεν· τὸ δὲ μείζων τὸ συγκριτικὸν γράφεται διὰ διφθόγγου, ἐπειδὴ ἀπὸ τοῦ μέγα γέγονεν μεγάτερος ὁ πρῶτος τύπος, καὶ ὁ δεύτερος μεγείων, καὶ ὁ τρίτος μέζων, καὶ ἐν πλεονασμῷ τοῦ ι μείζων.

Πάντα τὰ εἰς ε προστακτικὰ ἔχοντα δύο σσ διὰ τοῦ ε γράφονται· οἷον, νύσσε· πράσσε· πρόστασσε· τὰ δὲ ἔχοντα ἓν σ, ἢ ξ, ἢ ψ, διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, ἄσπασαι· ἄρξαι· εὖξαι· δέξαι.

Τὰ ἔχοντα ὥσπερ ἀναδιπλασιασμόν τινα, ἤγουν πλεονασμὸν

κατὰ τὴν ἄρχουσαν, διὰ τοῦ ι γράφονται· οἷον, στῶ, ἱστῶ· δῶ, διδῶ· θῶ, τιθῶ· χρῶ, κιχρῶ· μνήσκω, μιμνήσκω.

Τὰ προστακτικὰ διὰ μόνου τοῦ ι γράφεται· οἷον, ἴθι· πάριθι· ἄπιθι· ἀνάγνωθι.

Πάντα τὰ εἰς μι λήγοντα ἐνεργητικὰ μακρὰ θέλει παραλήγεσθαι, βραχεῖα δὲ λήγεσθαι· οἷον, δίδωμι· ἵστημι· τίθημι· πήγνυμι[e]· τὰ δὲ τούτων πληθυντικὰ βραχεῖα παραλήγεται, μακρὰ δὲ λήγεται· οἷον, τίθεμαι, ὑπὸ ἄλλων δηλονότι· ἵσταμαι· δίδομαι.

ΠΕΡῚ ἘΠΙΡΡΗΜΆΤΩΝ.

Τὰ καθαρεύοντα ἐπιῤῥήματα, ἤγουν χωρὶς συμφώνου, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀθεεί· αὐτοβοεί· χωρὶς τοῦ πρωΐ.

Τὰ ἔχοντα τὸ θ, ἢ τὸ λ, ἢ τὸ ξ, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀμοχθεί· πανομιλεί· ἀναυλεί· παρήλλακται ἀτρεμεί· αὐτολεξεί· λέγεται δὲ αὐτηλεξεί.

Τὰ διὰ τοῦ ρ, καὶ φ, καὶ χ, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀμερμηρεί· δίχα τοῦ αὐτοχειρὶ, ἴσος ὅτι ἐστὶ δοτική· λέγεται δὲ καὶ αὐτοχειρία· παμψιφεί· τοῦτο γὰρ Ἀρκάδιος διὰ τοῦ ι γράφει· ἀμαχεί· τριστοιχεί· ὁμοίως δὲ τὸ αὐτοψεί· οἱονεί· ὡσπερεί· ἀμαψεί· παμψιφεί· πανδημεί· ἀθεεί· ἀμελεί· ἀγελαστεί· ἀπλευστεὶ, διὰ τῆς ει διφθόγγου.

Τὰ ἐπιῤῥήματα, τὰ ἐπὶ τέλους ἐκφερόμενα διὰ τοῦ ις, διὰ τοῦ ι γράφονται· οἷον, πλειστάκις· ἑξάκις· τετράκις· καὶ τὰ ἐθνικὰ διὰ τοῦ ι γράφονται· οἷον, Συριστί· Ἀρμενιστί· Ἑλληνιστί.

Τὰ ἐπιῤῥήματα ὀξύτονα ὄντα ἀπὸ τῶν εἰς ζω ῥημάτων διὰ τοῦ ι γράφονται· οἷον, ἀλεγίζω, ἀλογιστί· ἀφορίζω, ἀφοριστί· ποδίζω, ποδιστί· ἔτι δὲ καὶ ταῦτα· οἷον, ἀμισθί· ἀπνευστί· ἀμνητί· πανοικί· πρωΐ· νυνί.

Τὰ ἐπιῤῥήματα ὅσα ἔχει ἐν τῇ τελευταίᾳ τὸ σ μετὰ τοῦ τ, ἢ μετὰ τοῦ θ προηγούμενον, διὰ τοῦ ι γράφεται· οἷον, ἀμυσθί· ἀντὶ τοῦ μὴ μύειν· ἀπνευστί· τὸ δὲ ἀπλευστεί· ἀγελαστεί· ἀνοητεὶ διὰ διφθόγγου.

[e] Cod. πίγνυμι.

Πᾶν ἐπίῤῥημα βαρύτονον εἰς θι λῆγον διὰ τοῦ ι γράφεται· οἷον, ἔγγυθι· οὐράνοθι· Ἀβύδοθι· ἄγχοθι· καὶ πάντα τὰ εἰς σι ἄρτι· νόσφι· αὖθι· οὐχί.

Τὰ εἰς κτι καὶ εἰς πτι λήγοντα ἐπιῤῥήματα διὰ τοῦ ι γράφεται· οἷον, ἀτακτί· ἀφρικτί· ἀτρεπτί· σεσημειωμένου τοῦ ἀκηρυκτεί· ἀκαματί· ἀβλαβί· ἀπαταγί· ἀνιδρωτί· ἀκινητί· ἀκατανυκτί.

Ἡ διὰ τοῦ ι ἐπέκτασις διφθόγγου οὐκ ἔχει· ὡδί· δευρί· νυνί· ἐνθαδί· οὑτωσί· ἐκεινοσί· τὸ γὰρ οἱονεί· ὡσπερεί· ἀπὸ τοῦ οἷον . . . ἐστιν καὶ τοῦ συναπτικοῦ συνδέσμου ει τοῦ σημαίνοντος τὸ ἐὰν, καὶ τὸ ὡσπερεὶ ἀπὸ τοῦ ὡς ἐπιῤῥήματος, καὶ τοῦ περ παραπληρωματικοῦ συνδέσμου, καὶ τοῦ ει συναπτικοῦ· καὶ οὐκ ἀντίκειται ἡμῖν.

Τὰ ἀπὸ τροπῆς γινόμενα τοῦ ο, ἢ τοῦ ε, διὰ τοῦ ι γράφεται· οἷον, ἐνθάδε, ἐνθαδί· δεῦρο, δευρί· οὗτος, οὑτοσί.

Τὰ ἐπιῤῥήματα τὰ δοκοῦντα ὡς ἀπὸ δοτικῆς εἰς ι ληγούσης εἶναι διὰ τοῦ ι γράφεται· οἷον, ἀκμὴς[f], ἀκμῆτος, ἀκμητὶ, ὁ χωρὶς κόπου· ἀπτὼς, ἀπτῶτος, ἀπτωτί· τὸ δὲ ἀκλητεὶ, ὃ σημαίνει χωρὶς τοῦ κληθῆναι, ὡς ἀπὸ τοῦ ἄκλητος, ἀκλητί· πανοικί· πανοικεσια δὲ λέγειν.

Πᾶν ἐπίῤῥημα εἰς ιον λῆγον προπαροξύτονον, τύπου ὀνοματικοῦ ὑπάρχων, διὰ τοῦ ι γράφεται· οἷον, ῥᾴδιον· τάχιον· ἔγγιον.

Πᾶν ἐπίῤῥημα τοπικὸν εἰς κα λῆγον τὸ ι παραλήγεται· οἷον, αὐτίκα· ὁπηνίκα· ἡνίκα· πηνίκα.

Τὰ εἰς αι λήγοντα ἐπιῤῥήματα χαίρουσι τῇ αι διφθόγγῳ· οἷον, χαμαί· πάλαι· βαβαί· ἡττᾶται· ἔστιν δὲ ταῦτα θαυμαστικά· παπαὶ σχετλιαστικὸν ἀντὶ τοῦ φεῦ.

Πάντα τὰ εἰς αιτατα λήγοντα ἐπιῤῥήματα, τύπου ὄντα ὀνοματικοῦ, διὰ τῆς αι διφθόγγου γράφεται· οἷον, ἀσμεναίτατα· πρωιαίτατα· βραδιαίτατα.

Πᾶν ἐπίῤῥημα θετικὸν διὰ τοῦ ε γράφεται· οἷον, γραπτέον· πλευστέον.

[f] Cod. ἀκμίς.

Πᾶν ἐπίῤῥημα εἰς ε λῆγον, εἴτε ὀξύτονα, εἴτε βαρύτονα, διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, πότε· τότε· ὅτε· ἄλλοτε· ἐνίοτε· ἑκάστοτε· ἔκτοτε.

Πᾶν ἐπίῤῥημα εἰς θεν λῆγον διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, οὐρανόθεν· Ἀθήνηθεν· ἄλλοθεν.

Δεῖ σημειώσασθαι τὸ δίς· τρίς· τετράκις, διὰ τοῦ ι γραφόμενα.

Τὰ ἐπιῤῥηματικῶς λεγόμενα διὰ τοῦ ι γράφεται· οἷον, ἀψοφητί· ἀλαλητί· ἀσκαρδαμυκτί· ἀμυνητί.

ΠΕΡῚ ΤΗ͂Σ ΑΙ ΔΙΦΘΌΓΓΟΥ.

Τὰ διὰ τοῦ αιος γινόμενα κατὰ διάστασιν διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, Ἰουδαῖος, Ἰουδαϊκά· Μακαβαῖος, Μακαβαικά· Ἑβραῖος, Ἑβραϊκά.

Εἰσί τινα ὀνόματα διὰ τοῦ αιος ἀπὸ ἀπτώτων, ἅτινα διὰ τῆς αι διφθόγγου γράφεται· μάτην, μάταιος· χύδην, χυδαῖος· πάλαι, παλαιός.

Τὰ ἀπὸ τῶν εἰς α καὶ η θηλυκῶν διὰ τοῦ αιος γινόμενα ἀρσενικὰ χαίρουσι τῇ αι διφθόγγῳ· οἷον, Ῥώμη, Ῥωμαῖος· δάφνη, δαφναῖος· Θήβη, Θηβαῖος· τρίτη, τριταῖος· Γάζα, Γαζαῖος· μοῦσα, μουσαῖος· χωρὶς τῶν ἐκ τοῦ ευς, καὶ τῶν εἰς υς, καὶ τῶν εἰς ις ληγόντων· οἷον, Ἀλεξάνδρεως· βραχέος· πανηγύρεως.

Τὰ διὰ τοῦ αιος ὑπὲρ τρεῖς συλλαβὰς πρὸ μιᾶς τὸν τόνον ἔχοντα, μὴ ἔχοντα, τὸ λ, ἢ τὸ τ, διὰ τῆς αι διφθόγγου γράφεται· οἷον, Ἰουδαῖος· ὀβελιαῖος· ἡμισαῖος· Βιθυναῖος· ταλαντιαῖος· ἐνιαυσιαῖος· πρόσκειται πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ τὸ ἀδελφιδεός· θυγατριδεός, ὁ ἀδελφιδοῦς καὶ ὁ θυγατριδοῦς· ταῦτα γὰρ ὀξύνεται, καὶ διὰ τοῦ ε ψιλοῦ γράφεται· τὸ νηφαλέος· ἀργαλέος· σμερδαλέος ὁ καταπληκτικὸς καὶ χαλεπός· ποιητέος· νοητέος· διὰ τοῦ ε ψιλοῦ γράφεται, διότι ἔχουσι τὸ λ καὶ τὸ τ.

Τὰ διὰ τοῦ αδιον ἐκφερόμενα ὑποκοριστικὰ ὄντα πρωτότυπα διὰ τῆς αι διφθόγγου γράφεται· οἷον, σπηλάδιον· ἐλάδιον·

προσκεφαλάδιον· σπήλαιον· ἔλαιον[g] καὶ προσκεφάλαιόν ἐστι τὸ πρωτότυπον.

Εἰσί τινα ὀνόματα ἀπὸ τῶν εἰς ας οὐδετέρων διὰ τοῦ αια γινόμενα, ἅτινα διὰ τῆς αι διφθόγγου γράφεται· οἷον, κέρας, κεραιά· πέρας, περαιά.

Τὰ διὰ τοῦ αινα θηλυκὰ διὰ τῆς αι διφθόγγου γράφεται· οἷον, θέαινα· δράκαινα· λέαινα.

Εἰσί τινα ἀπὸ τῶν εἰς ων διὰ τοῦ αιος γινόμενα, ἅτινα διὰ τοῦ αι γράφονται· οἷον, γέρων, γεραιός· κράτων, κραταιός.

Τὰ παρὰ τὸ γυνὴ διὰ τοῦ αι γράφεται· οἷον, γυναιξὶν, γυναικόφρων· γυναικονίτης.

Τὰ παρὰ τὸ αἴθω, ἤγουν τὸ καίω, διὰ τοῦ αι γράφεται· οἷον, αἰθάλη· αἰθήρ· Αἴτνη· Αἰθιοπία· αἴθουσα ἡ καταφωτιζομένη στοά.

Τὰ παρὰ τὸ αιδος διὰ τοῦ αι γράφεται· οἷον, αἰδοῦμαι· ἀναιδὴς ὁ ἐστερημένος τῆς αἰδοῦς· αἰδοῖα, διότι αἰδούμεθα αὐτὰ γυμνοῦν[h]· αἰδήμων.

Τὰ παρὰ τὸ Αἴγυπτος διὰ τοῦ αι γράφεται· οἷον, αἰγυπτιάζειν τὸ πανοῦργα καὶ ὕποῦλα καὶ δόλια πράττειν· Αἰγυπτογενής· Αἰγυπτιστί.

Τὰ παρὰ τὸ αἷμα διὰ τοῦ αι γράφεται· οἷον, σύναιμος· ὅμαιμος· αἱματώδης· αἱματόῤῥυτος· αἱματόῤῥαντοι θυσίαι.

Τὰ παρὰ τὸ δαίω, ὃ σημαίνει τὸ μερίζω, διὰ τοῦ αι γράφεται· οἷον, δαίμων· δαίδαλος· δαιτρὸς ὁ μάγειρος ὁ μερίζων τὰ ὄψα· δαιτυμὼν ὁ ἀριστητής.

Τὰ παρὰ τὸ ἰαίνω, ὃ σημαίνει τὸ εὐφραίνομαι[i], διὰ τοῦ αι γράφεται· αἶνος εὐφραίνει γὰρ, καὶ θεραπεύει ὁ ἔπαινος· ἀρισταίνω· ὑγιαίνω· αἰνῶ καὶ ἐπαινῶ.

Τὰ παρὰ τὸ αἰνίττομαι διὰ τοῦ αι γράφεται· οἷον, αἴνιγμα· αἰνιγματώδης.

Τὰ παρὰ τὸ αἶξ διὰ τοῦ αι γράφεται· οἷον, αἰγίς· καταιγὶς ἡ μεγάλη πνοή· Αἴγυπτος παρὰ τὸ αἴγας πιαίνειν,

[g] Cod. ἔλεον sed in marg. corr. αι. [h] Cod γυμνοῖν.
[i] Cod. εὐφραίνωμαι.

ἤγουν λιπαρὰς ποιεῖν· αἰγοπόλος, καὶ κατὰ συγκοπὴν αἰπόλος.

Τὰ διὰ τοῦ αιρω διὰ τοῦ αι γράφεται· οἷον, αἵρεσις· ἀναίρεσις· αἱρετός· αἱρετικός· αἴρω.

Τὰ παρὰ τὸ αἰσθάνω διὰ τοῦ αι γράφονται· οἷον, αἴσθησις· αἴσθημα· αἰσθητικόν· τὸ δὲ ἐσθὴς τὸ σημαῖνον τὸ ἱμάτιον, διὰ τοῦ ε γράφεται, ὅτι ἀπὸ τοῦ ἕω ἐγένετο τοῦ σημαίνοντος τὸ ἐνδύομαι.

Τὰ παρὰ τὸ αἶσχος διὰ τοῦ αι γράφεται· οἷον, αἰσχρός· αἰσχρορήμων· αἰσχροκερδής[k]· αἰσχρότης· Αἰσχύλος· αἴσχιστος· γέγονεν δὲ τὸ αἶσχος παρὰ τὸ στερητικὸν α καὶ ἴσχειν, ὃ σημαίνει τὸ παῦσαι.

Τὰ παρὰ τὸ αἰχμὴ, ὃ σημαίνει τὸ δόρυ, διὰ τοῦ αι γράφεται· οἷον, αἰχμαῖος· αἰχμάζειν· αἰχμητὴς ὁ νομικός· εἴρηται δὲ παρὰ τὸ αἷμα χαίρειν[l], αἰχμή.

Τὰ παρὰ τὸ βέβαιος διὰ τοῦ αι γράφεται· οἷον, βεβαιῶ, βεβαιότης.

Τὰ παρὰ τὸ δίαιτα διὰ τοῦ αι γράφεται· οἷον, διαιτῶ, διαίτησις· διαιτητής[m].

Τὰ παρὰ τὸ βία διὰ τοῦ αι γράφεται· οἷον, βίαιος, βιαιότης.

Τὰ παρὰ τὸ παίζω διὰ τοῦ αι γράφεται· οἷον, παίγνιον· ἔμπαιγμα.

Τὰ παρὰ τὸ χαίτη, ὃ σημαίνει τὴν τρίχα, διὰ τοῦ αι γράφεται· οἷον, κυανοχαίτης ὁ μεγάλας τρίχας ἔχων· γλακοχαίτης[n]· αἰολοχαίτης ὁ ποικιλόθριξ.

Τὰ παρὰ τὸ ἡσυχὴ διὰ τοῦ αι γράφεται· οἷον, ἡσυχαῖος· ἡσυχαιότης.

Τὰ παρὰ τὸ Ἥφαιστος διὰ τοῦ αι γράφεται· Ἡφαίστιος· Ἡφαιστόχειρος.

Τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ αιτατα γινομένων, χαίρουσι τῇ αι διφθόγγῳ· οἷον, ἴδιον, ἰδιαίτατα· ἴσως, ἰσαίτατα· σπάνιος, σπανιαίτατα[o].

[k] Cod. ἰσχροκερδὴς, sed supr. scr. αι. [l] Leg. χεῖν.
[m] Cod. διαιτης. [n] Cod. γλαυκοχαίτης. [o] Cod. σπάνος, σπαναίτατα.

Τὰ παρὰ τὸ κεφαλὴ διὰ τοῦ αι γράφεται· κεφάλαιον· ἀνακεφαλαίωσις· περικεφαλαῖα.

Τὰ παρὰ τὸ κίναιδος διὰ τοῦ αι γράφεται· οἷον, κιναίδισμα· κιναιδία· κιναιδογράφος[o]· κιναιδολογία.

Τὰ παρὰ τὸ κρᾶτα διὰ τοῦ αι γράφεται· οἷον, κραταίβιος· κραταίπιλος, ὁ ἰσχυρὸν πίλιον ἔχον παρὰ Αἰσχύλῳ.

Τὰ παρὰ τὸ παιὰν διὰ τοῦ αι γράφεται· οἷον, παιανικός· παιανισμός· εἴρηται δὲ παιὰν ὁ ὕμνος παρὰ τὸ παύειν τὰς ἀνίας.

Τὰ παρὰ τὸ παλαιὸς διὰ τοῦ αι γράφεται, ἐπειδὴ διάλεκτοι τὸ α παλαὸς Αἰολεῖς.

Τὰ παρὰ τὸ παλαιὸς διὰ τοῦ αι γράφεται· παλαιότης· παλαιοσύνη· παλαιόπλητε· παλαιόπλουτος.

Τὰ παρὰ τὸ αἰολῶ, ὃ σημαίνει τὸ κινῶ καὶ ποικίλλω, διὰ τοῦ αι γράφεται· οἷον, αἴολος καὶ κορυθαιόλος, ὁ κατὰ τὴν ἐπικεφαλαῖαν εὐκίνητος· αἰολίζειν σημαίνει τὸ ποικίλλειν· αἴλουρος κατὰ τὸ αἰολᾶν καὶ κινεῖν τὴν οὐράν.

Τὰ παρὰ τὸ αιθος διὰ τοῦ αι γράφεται· γάλαιθος· κύμαιθος· ὀλίγαιθος· Σύμαιθος.

Τὰ παρὰ τὸ σπουδὴ διὰ τοῦ αι γράφεται· σπουδαῖος· σπουδαιολογίας.

Τὰ παρὰ τὸ μάτην διὰ τοῦ αι γράφεται· οἷον, ματαιότης· ματαιόφρων.

Τὰ παρὰ τὸ χύδην διὰ τοῦ αι γράφεται· χυδαῖος· χυδαιότατος.

Τὰ παρὰ τὸ τρέχω διὰ τοῦ αι γράφεται· τροχαῖος, τροχαιότατος.

Τὰ παρὰ τὸ αἶσα, ὃ σημαίνει τὴν μοῖραν, διὰ τοῦ αι γράφεται· αἴσιμος[p]· Αἴσωπος[q]· Αἴσων ὄνομα κύριον.

[o] κιναιθογραφος. [p] Cod. αἰσίσιμος. [q] Cod. αἴσοπος.

[r] ἈΣΤΕΙ͂ΟΣ: ει· τὰ διὰ τοῦ ειος ὀνόματα πρὸ μιᾶς τὸν τόνον ἔχοντα, ἔχοντα ἐν τῇ πρώτῃ συλλαβῇ τὸ α, ὃ ἐπιφέροιτο δύο σύμφωνα ἢ καὶ πλείονα[s], διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀστεῖος· Καδμεῖος· ἀχρεῖος· πλὴν τοῦ ἀντίος.

ἈΡΗ͂ΓΩ: Τὸ ρη η· τὰ διὰ τοῦ ηγω ῥήματα, εἴτε βαρύτονα, εἴτε περισπώμενα, μὴ ὄντα ἀπὸ ὀνομάτων, διὰ τοῦ η γράφεται· οἷον, τμήγω τὸ διαχωρίζω· λήγω· θήγω, τὸ ἀκονῶ· σμήγω, τὸ καθαίρω· κεκλήγω· περισπώμενα δέ· οἷον, στρατηγῶ· ὁδηγῶ· κυνηγῶ· σεσημείωνται θίγω τὸ πλησιάζω·

κανθηρίων θίγῃ τοῦ ὄρους λιθοβολεῖται.

πνίγω, καὶ ἐπείγω· τὸ δὲ μίγω λέγεται καὶ μετὰ τοῦ σ μίσγω· πρόσκειται μὴ ὄντα ἀπὸ ὀνόματος, διὰ τὸ ῥίγος, ῥιγῶ, καὶ σίγος, σιγῶ.

ἌΓΓΕΛΟΣ: Τὸ γε ψιλόν· τὰ διὰ τοῦ ελος ὑπὲρ δύο συλλαβὰς, εἴτε ὀξύτονα, εἴτε προπαροξύτονα, εἴτε ἀρσενικὰ, εἴτε θηλυκὰ, διὰ τοῦ ε ψιλοῦ γράφεται· ὀξύτονα μέν· οἷον, μυελός· ὀβελός· προπαροξύτονα δέ· οἷον, ἄμπελος· πύελος· πέμπελος, ἡ γραῦς, ἡ ἤδη ἐν τῷ Ἅιδῃ πεμπομένη· οὕτως καὶ ἄγγελος.

ἈΓΧΗΣΤΊΝΗ: Τὸ χη η· τὰ παρὰ τὸ ἄγχι συντιθέμενα διὰ τοῦ ι γράφεται· οἷον, ἀγχίμολον· ἀγχίθυρον· πλὴν τοῦ ἀγχήστινος· ἢ κατὰ τροπὴν Αἰολικὴν τοῦ ι εἰς η, ὡς ψιμύθιον[t], ψημύθιον.

ἈΓΓΕΙ͂ΟΝ: Τὰ ἀπὸ τῶν εἰς ω ῥημάτων διὰ τοῦ ειον γινόμενα οὐδέτερα προπερισπώμενα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἄγω, ἀγγεῖον· λέγω, λογεῖον καὶ ἀναλογεῖον· φέρω, φορεῖον.

ἈΔΕΛΦΕΙΌΣ: Τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ειος κατὰ τοῦ αὐτοῦ σημαινομένου παρηγμένα, εἰ μὲν ὀξύνονται, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἀδελφὸς, ἀδελφειός· θαμὸς, θαμειός· εἰ δὲ προπαροξύνονται, διὰ τοῦ ι· οἷον, ἄμβροτος, ἀμβρόσιος· κάπρος, κάπριος.

ἌΓΡΕΙ: Τὸ γρει ει δίφθογγος· τὰ εἰς ει λήγοντα ἐπιῤῥή-

[r] Quæ sequuntur in Cod. ex Ἐπιμερισμῶν videlicet genere, nullum præ se ferunt titulum.

[s] Cod. πλείωνα.

[t] Cod. ψημύθιον.

ματα παραληγόμενα ἢ τὸ ρ, ἢ τὸ λ, ἢ τὸ ξ, ἢ τὸ φ, ἢ τὸ χ, ἢ τὸ ψ, διὰ τοῦ ι γράφεται· οἷον, αὐτολεξί· αὐτοψί· αὐτονυχί· σεσημείωται τὸ ἄγρει καὶ ἀμέλει.

Ἀθανάσιος: Τὰ διὰ τοῦ ιος ὀνόματα ἀπὸ πρωτοτύπου τῶν εἰς τος γινόμενα, εἰ μὲν τρέπουσι τὸ τ εἰς σ, διὰ τοῦ ι γράφεται· οἷον, ἄμβροτος, ἀμβρόσιος· ἀθάνατος, ἀθανάσιος· ἀκήρατος, ἀκηράσιος·

ἀκηράσιον θεῖον ποτόν· (Od. I. 205.)

εἰ δὲ μὴ τρέπουσι τὸ τ, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, Καλίστρατος, Καλιστράτειος· βροτὸς, βρότειος· πλὴν τοῦ ἄντος, ἀντίος, ἐξ οὗ καὶ ἐναντίος· καὶ πλητὸς, πλητίος· ὅτι πρὸ μιᾶς ἔχουσι τὸν τόνον· καὶ πλὴν τῶν ἐθνικῶν διὰ τὸ Βοιωτὸς, Βοιώτιος.

Ἀνία: Τὸ νι ι· τὰ διὰ τοῦ νια θηλυκὰ ἔχοντα μακρὸν τὸ α, μὴ ὄντα ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων, διὰ τοῦ ι γράφεται· οἷον, πενία· γονία· ξενία· πρόσκειται μὴ ὄντα ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων, διὰ τὸ ἑρμηνεύω, ἑρμηνεία· πορνεύω, πορνεία· ἀλαζονεύω, ἀλαζονεῖα· πρόσκειται μακρὸν ἔχοντα τὸ α, διὰ τὸ εὐμένεια, καὶ δυσγένεια.

Αἶπος: Τὸ ἀκροτήριον, τὸ αι δίφθογγος· πρὸς ἀντιδιαστολὴν τοῦ ἔπος τοῦ σημαίνοντος τὸν λόγον.

Ἀεί: Τὰ εἰς ει λήγοντα ἐπιῤῥήματα, εἰ μὲν καθαριεύωσιν, ἢ διπλῷ συμφώνῳ παραλήγονται, διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, αὐτοψεί· αὐτοβοεί· ἀεί.

Ἀλήθω: Τὰ διὰ τοῦ ηθω, εἴτε βαρύτονα, εἴτε περισπώμενα, διὰ τοῦ η γράφεται· βαρύτονα μέν· οἷον, μήθω τὸ μανθάνω· κνήθω· ἀλήθω· λήθω· πλὴν τοῦ βρίθω· περισπώμενα δέ· οἷον, βοηθῶ· γηθῶ· ἠθῶ· ὃ σημαίνει τὸ διυλίζω, ἐξ οὗ καὶ ἠθμὸς τὸ ἱερὸν διὰ τοῦ η.

Αἴτιος: Τὰ ἀπὸ τῶν διὰ τοῦ ιος γινόμενα ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ι γράφεται· οἷον, ἁρμόζω, ἁρμόδιος· ἀρκῶ, ἄρκιος· Ὅμηρος

ἄρκιον ἐσσεῖται· (Il. B. 393.)

πλήσσω, πλάγιος· ἀρτῶ, ἄρτιος· αἰτῶ, αἴτιος.

Ἀκεσσαμενός: Τὰ εἰς μενος ὀνόματα ὑπὲρ δύο συλλαβὰς, μὴ παρὰ τὸ αἶνον συγκείμενα, διὰ τοῦ ε ψιλοῦ γράφεται, εἴτε ὀξύτονα, εἴτε βαρύτονα· ὀξύτονα μέν· οἷον, εἰαμενὸς ὁ κάθυδρος τόπος· ἐξ οὗ καὶ

εἵρατ' ἐν εἰαμενῇ· (Il. Δ. 483.)

Ἀκεσσαμενὸς ὄνομα κύριον·

Ἀκεσσαμένοιο θυγατρῶν. (Il. Φ. 142.)

Τισαμενὸς λέγεται δὲ ὁ Ὀρέστης· βαρύτονα δέ· οἷον, Ἕλενος· ὄρμενος· ἵκμενος· πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ αἰνὸς, ὃ σημαίνει τὸν δεινόν· ἐξ οὗ καὶ τὸ

αἰνόθεν αἰνῶς. (Il. H. 97.)

πρόσκειται μὴ παρὰ τὸ αἶνον συγκείμενα, διὰ τὸ ἔπαινος καὶ πολύαινος.

Ἀστεροπητής: Τὰ διὰ τοῦ ητης ἀπὸ τῶν εἰς η θηλυκῶν γινόμενα ὡς ἐπὶ τὸ πλεῖστον τὸ η παραλήγονται· καὶ εἰ μὲν ὀξύνεται καὶ τὸ ἀρσενικόν· οἷον, ἀστεροπὴ, ἀστεροπητής· εἰ δὲ βαρύνονται, τὰ θηλυκὰ συνβαρύνονται καὶ τὰ ἀρσενικά· οἷον, ὑπήνη, ὑπηνήτης· κορύνη, κορυνήτης· κόμη, κομήτης· πλὴν τοῦ νίκη, νικητής.

Ἀπειλή: Τὰ εἰς η λήγοντα θηλυκὰ παραληγόμενα ἑνὶ τῶν ψιλῶν, ἢ ἑνὶ τῶν δασέων, ἢ τὸ κ λ μ ν οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι· πλὴν τοῦ ἐνδείπνη· πείνη· εἵλη· ὀφειλή· ἀπειλή· ὠτειλή.

Ἀπήνη: Ἡ ἅμαξα· τὰ διὰ τοῦ ηνη θηλυκὰ βαρύτονα μονογενῆ διὰ τοῦ η γράφεται· οἷον, σενήνη· γαλήνη· ἀπήνη ἡ ἅμαξα· εἰρήνη· Μεσήνη· ἔστιν δὲ ὄνομα τόπου· Ἀρήνη ὄνομα τόπου· καὶ Ὅμηρος

ἐγγύθεν Ἀρήνης ὅθι μείναμεν ἠῶ δῖαν· (Il. Λ. 722.)

ὑπήνη ἡ γενειάς· σεσημειωμένων τριῶν· ἀξίνη· ὑσμίνη· δωτίνη·

οἵ κε δωτίνησι θεὸν ὣς τιμήσουσι. (Il. I. 155.)

Αἰώνιος: Τὸ νι ι· τὰ ἀπὸ τῶν εἰς ων ὀξυτόνων διὰ τοῦ ιος παραγόμενα κτητικὰ διὰ τοῦ ι γράφεται· οἷον, Παφλαγὼν, Παφλαγῶνος, Παφλαγώνιος· Καλυδὼν, Καλυδῶνος, Καλιδώνιος· χθὼν, χθονὸς, χθόνιος.

Αἰπόλιον: Τὸ λι ι· τὰ διὰ τοῦ ιον οὐδέτερα ὑπὲρ τρεῖς συλλαβὰς μονογενῆ προπαροξύτονα διὰ τοῦ ι γράφεται· οἷον, Βυζάντιον· παρθένιον· γενέθλιον· θεοφάνιον· συβώσιον· χωρὶς τῶν κτητικῶν, διὰ τὸ Ἀνακτόρειον καὶ Ἡράκλειον.

Βιβλίον: Τὸ βλι ι· τὰ διὰ τοῦ ιον οὐδέτερα πρὸ μιᾶς τὸν τόνον ἔχοντα, μὴ ὄντα κτητικὰ, μηδὲ ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων, ἢ ἀπὸ τῶν εἰς ω ληγόντων ἐνεστώτων, διὰ τοῦ ι γράφεται· οἷον, ἑρκίον· τειχίον· σκαμνίον· τεκνίον· βιβλίον· πρόσκειται μὴ ὄντα κτητικὰ, διὰ * * * * πρόσκειται μὴ ὄντα ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων, * * * * πρόσκειται μὴ ὄντα ἀπὸ τῶν εἰς ω ῥημάτων, διὰ τὸ ἄγω, ἀγγεῖον· λέγω, λογεῖον, καὶ ἀναλογεῖον.

Βρέμω: Τὸ ρε ψιλόν· τὰ διὰ τοῦ εμω, εἴτε βαρύτονα, εἴτε περισπώμενα, διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, δέμω· νέμω· βρέμω· δρέμω· τρέμω· ἠρεμῶ· ἀτρεμῶ· κρεμῶ· πλὴν τοῦ μαιμῶ, ὃ σημαίνει τὸ ὁρμῶ· ἐξ οὗ καὶ τὸ μαιμῶσα, ἡ τοῦ αἵματος γευστικῶς ἔχουσα.

Γερήνιος: Τὸ νι ι· τὰ ἀπὸ τῶν εἰς αν καὶ εἰς ην ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ ιος παραγόμενα κτητικὰ διὰ τοῦ ι γράφεται· οἷον, Τιτὰν, Τιτᾶνος, Τιτάνιος· Παιὰν, Παιᾶνος, Παιάνιος· πυθμὴν, πυθμένος, πυθμένιος· ποιμὴν, ποιμένος, ποιμένιος.

Δεξιός: Τὸ ξι ι· τὰ εἰς ος καθαρὰ ὀξύτονα ὑπὲρ δύο συλλαβὰς ἀπὸ ἀπτώτων γινόμενα διὰ τοῦ ι γράφεται· οἷον, ἔπω, ἔψω, ἐψιὸς, καὶ ἀνεψιός· δέχω, δέξω, δεξιός· καὶ μονιὸς ὁ χαίρων τὸ μονάζειν.

Δαρδάνιος: Τὸ νι ι· τὰ ἀπὸ τῶν εἰς νος ἐχόντων ἔννοιαν τοπικὴν διὰ τοῦ ιος παραγόμενα, διὰ τοῦ ι γράφεται· οἷον, Αἶνος, Αἴνιος· Δάρδανος, Δαρδάνιος.

Εὐρέτης: Τὸ ρε ψιλόν· τὰ εἰς της ὀνόματα βαρύτονα καθαρὰ ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, εὐνέτης· ὠφειλέτης· μητιέτης· ὑπηρέτης· πλὴν τοῦ προσαίτης καὶ εὐχαίτης.

Ἐποτράνιος: Τὸ νι ι· τὰ διὰ τοῦ ιος ὀνόματα ὑπὲρ δύο

συλλαβὰς προπαροξύτονα κτητικὰ κατὰ τὸ αὐτὸ παρηγμένα, διὰ τοῦ ι γράφεται· οἷον, οὐράνιος· θαλάσσιος· Κύπριος· πλὴν τοῦ ὄρειος.

Ἐλαΐα: Τὸ λαι δίφθογγος· τὰ εἰς αια λήγοντα θηλυκὰ μονογενῆ πρὸ μιᾶς τὸν τόνον ἔχοντα ἅπαντα διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, μηλέα· συκέα· ἀπιδέα· σισαμέα· καὶ τὰ ἑξῆς· πλὴν τοῦ μαῖα· πτελαῖα· ῥομφαῖα· Ἀλθαῖα.

Ἑλένη: Τὸ λε ψιλόν· τὰ διὰ τοῦ ενη ὑπὲρ δύο συλλαβὰς μονογενῆ διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, Ἑλένη· Δεξαμενὴ ὄνομα κύριον ὀξύτονον· εἰαμενή· πρόσκειται μονογενῆ, διὰ τὸ κελαινὴ, τοῦτο γὰρ τριγενές· Ὅμηρος.

αἶψα τοι αἷμα κελαινὸν ἐρωήσει. (Il. A. 303.)

Εὐρυάγυια: Τὸ γυ ψιλὸν καὶ ι προσγεγραμμένον· τὰ διὰ τοῦ υια θηλυκὰ ὀνόματα ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα τὸ ι θέλουσι παραλήγεσθαι· οἷον, ἴδυια· ἅρπυια· Ἰλήθυια· αἴθυια· ὀρόθυια· ἀμάθυια· σεσημείωται τὸ μητρυιὰ τὸ ι παραληγόμενον, καὶ ὀξυνόμενον.

Ἐρυσίβη: Τὸ σι ι· τὰ ἀπὸ μελλόντων συντιθέμενα ὀνόματα τὸ ι παραλήγονται· οἷον, τέρπω, τέρψω, τερψίμβροτος· ἵστημι, στήσω, Στησίχορος· οὕτως οὖν ἐρύω, ὁ μέλλων ἐρύσω, καὶ τοῦ βῶ τὸ τρέφω, γίνεται ἐρυσίβη ἡ κωλυτικὴ τῶν τροφῶν.

Ζέφυρος: Τὸ φυ ψιλόν· τὰ διὰ τοῦ υρος ὑπὲρ δύο συλλαβὰς, εἴτε ὀξύτονα, εἴτε προπαροξύτονα, διὰ τοῦ υ ψιλοῦ γράφεται· ὀξύτονα μέν· οἷον, ἁλμυρός· ὀϊζυρός· ἑκυρός· προπαροξύτονα δέ· οἷον, σάτυρος· ψίθυρος· λάθυρος· ἔστιν δὲ εἶδος ὀσπρίου· πάπυρος· Ζέφυρος.

Ἡδονή: Τὰ διὰ τοῦ ονη βαρύτονα, μὴ ὄντα κύρια, μηδὲ διφορούμενα, διὰ τοῦ ω μεγάλου γράφεται * * * * * * βαρύτονα εἶπεν, διὰ τὸ ἡδονή· καλλονή.

Ἡγεμών: Τὸ γε ψιλόν· τὰ εἰς μων ὀξύτονα ἑνὶ φωνήεντι παραλήγεται· οἷον, ἀκρεμών· δαιτυμών· Τελαμών· ἡγεμών.

Ἠέριος: Τὸ ρι ι· τὰ ἀπὸ τῶν εἰς ηρ ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ ιος γινόμενα διὰ τοῦ ι γράφεται· οἷον, συντακτὴρ συντακτῆρος, συντακτήριος· ἀστὴρ, ἀστέρος, ἀστέριος· ὀλετὴρ,

ὀλετῆρος, ὀλετήριος· σωτὴρ, σωτῆρος, σωτήριος· πρόσκειται ὑπὲρ μίαν συλλαβὴν, διὰ τὸ θὴρ, θηρὸς, θήριος.

Θύρετρον: Τὸ ρε ψιλόν· τὰ εἰς ρον οὐδέτερα ὑπὲρ δύο συλλαβὰς μετ' ἐπιπλοκῆς συμφώνου ὄντα ἑνὶ φωνήεντι θέλουσι παραλήγεσθαι· οἷον, πέλεθρον· βέρεθρον· πτολίεθρον· θύρετρον· πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ κλεῖθρον καὶ ῥεῖθρον.

Θέω: Τὸ θε ψιλόν· τὰ διὰ τοῦ εω λήγοντα ῥήματα, συναίρεσιν ἐπιδεχόμενα κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον, διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, ζέω, ζέεις, ζεῖς· ζέει, ζεῖ·

ὡς δὲ λέβεις ζεῖ· (Il. Φ. 362.)

χέω, χέεις, χεῖς· χέει, χεῖ· ῥέω ὁμοίως, πλέω· θέω· τὰ δὲ μὴ ἐπιδεχόμενα συναίρεσιν ἐπὶ δευτέρου καὶ τρίτου προσώπου διὰ τῆς αι διφθόγγου γράφεται· οἷον, παίω, παίεις, παίει· παλαίω, παλαίεις, παλαίει.

Ἰθακήσιος: Τὸ σι ι· τὰ διὰ τοῦ σιος ἅπαντα προπαροξύτονα, μὴ ὄντα μετουσιαστικὰ, διὰ τοῦ ι γράφεται· οἷον, γερούσιος· ἀθανάσιος· ἀμβρόσιος· ἀκηράσιος· πρόσκειται μετουσιαστικὰ, διὰ τὸ χρύσειος.

Κρονίδης: Τὸ νι ι· τὰ εἰς δης πατρωνυμικὰ ἀπὸ τῶν εἰς ος εὐθειῶν γινόμενα, εἰ μὲν καθαριεύωσιν, διὰ τοῦ αδης ποιοῦσι τὸ πατρωνυμικόν· οἷον, Θυέστιος, Θυεστιάδης· Νηλήϊος, Νηληϊάδης· Μενοίτιος, Μενοιτιάδης· εἰ δὲ μὴ καθαριεύωσι, διὰ τοῦ ι· οἷον, Κρόνος, Κρονίδης· Πάτροκλος, Πατροκλίδης· Πρίαμος, Πριαμίδης.

Κενεών: Τὸ νε ψιλόν· τὰ διὰ τοῦ εων ὀξύτονα ὧν ἡ γενικὴ ἐκφέρεται διὰ τοῦ ο, διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, λεγεὼν, λεγέονος· κενεὼν, κενέονος· πρόσκειται ὧν ἡ γενικὴ ἐκφέρεται διὰ τοῦ ο, διὰ τὸ αἰὼν, αἰῶνος· λυμαιὼν, λυμαιῶνος· ἀπαταιὼν, ἀπαταιῶνος.

Κισσηΐς: Τὸ ση η· τὰ ἀπὸ τῶν εἰς ευς ἀρσενικῶν εἰς ις γινόμενα θηλυκὰ διὰ τοῦ η γράφεται· οἷον, Βρισεὺς, Βρισηΐς· Κισσεὺς, Κισσηΐς.

Κοπετός: Τὸ πε ψιλόν· τὰ διὰ τοῦ πετος ὀνόματα ὑπὲρ

δύο συλλαβὰς ἅπαντα διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, νηφετός· κοπετός· αἰετός· χωρὶς τῶν παρὰ τὸ χαίτης συγκειμένων, ὡς τὸ εὔχαιτος.

Κιχῶ: Τὸ κι ι· τὰ διὰ τοῦ ηχω, μὴ ἔχοντα ὄνομα ἀντιπαρακείμενον, εἰ μὲν βαρύνονται διὰ τοῦ η γράφεται· οἷον, τρήχω, ἐξ οὗ ὁ μέσος ὑπερσυντελικὸς,

τετρήχει δ' ἀγορή· (Il. B. 95.)

νήχω· λήχω· σμήχω τὸ καθαίρω· εἰ δὲ περισπῶνται διὰ τοῦ ι γράφεται· ἐξ οὗ ὁ ποιητὴς

διχόωσα σελήνη·

τριχῶ· στιχῶ· κιχῶ· σεσημείωνται δύο διὰ τοῦ η γραφόμενα· βληχῶ καὶ ἠχῶ· πρόσκειται μὴ ἔχοντα ὄνομα ἀντιπαρακείμενον, διὰ τὸ λείχω· τοῦτο γὰρ ἔχει ἀντιπαρακείμενον τὸ ο ἐν τῷ τραπεζολοιχός· σημαίνει δὲ τὸν λαιμαργόν.

Κίβδηλον: Τὸ κι ι· οἱ Ἀθηναῖοι τὸ πρὸς τοὺς Χίους μίσει φερόμενοι, ἐν τοῖς ἀδοκίμοις ἑαυτῶν νομίσμασιν ἐγχαράττοντες τὸν τοῦ χ στοιχείου τύπον, ἀπέριπτον καὶ ἐβδελύσσοντο, καὶ χίβδηλα ταῦτα ἐκάλουν.

Λυκία: Τὸ κι ι· τὰ διὰ τοῦ ια ἐπὶ πόλεων, ἢ ἐπὶ χώρας λαμβανόμενα, διὰ τοῦ ι γράφεται· οἷον, Σικελία· Καππαδοκία· Συρία· Ἀσία· Ἰταλία.

Μέλαινα: Τὸ λαι δίφθογγος· τὰ διὰ τοῦ αινα θηλυκὰ τρισύλλαβα διὰ τῆς αι διφθόγγου γράφεται· οἷον, Λάκαινα· σμύραινα εἶδος θαλαττίου θηρίου· θεράπαινα· τρίαινα· λέαινα· δράκαινα.

Μίσγω: Τὸ μις ι· οὐδέποτε ἡ ει δίφθογγος πρὸ τῶν δύο συμφώνων εὑρίσκεται ἐν συλλήψει· εἰ δὲ ἐγράφετο δίφθογγος, μέμοιγα ἦν ὁ μέσος παρακείμενος· οὐκ ἔστιν δὲ, ἀλλὰ μέμυγα.

Μονώνυξ: Τὰ παρὰ τὸ ὄνυξ συντιθέμενα διὰ τοῦ ω μεγάλου γράφεται· οἷον, μονώνυξ.

Μήδω: Τὸ μη η· τὰ διὰ τοῦ ειδω ῥήματα διὰ τῆς ει διφθόγγου γράφεται· οἷον, ἐρείδω· φείδω· εἴδω· πλὴν τοῦ ἥδω[t] τὸ εὐφραίνομαι· καὶ μήδω τὸ βουλεύομαι· καὶ κήδω τὸ φροντίζω.

[t] Cod. εἴδω.

Νεφέλη: Τὸ φε ψιλόν· τὰ διὰ τοῦ ελη θηλυκὰ βαρύτονα μονογενῆ διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, Θυμέλη· κυψέλη· ἕλη· νεφέλη.

Νέω: Τὸ πορεύομαι, πρὸς ἀντιδιαστολὴν τοῦ ναίω τὸ οἰκῶ.

Οἴχω: Τὸ οι δίφθογγος· δύο κάνονες εἰσὶν οἱ μαχόμενοι[u].

Ὁμοῖος: Τὸ μοι δίφθογγος· τὰ διὰ τοῦ οιος ὑπὲρ δύο συλλαβὰς πρὸ μιᾶς τὸν τόνον ἔχοντα διὰ τῆς οι διφθόγγου γράφεται· οἷον, ὁποῖος· παντοῖος· ἑτεροῖος[x]· αἰδοῖος· ὁμοῖος.

Ὅμιλος: Παρὰ τὸ ὅμου εἰλεῖσθαι καὶ συνανατρέφεσθαι· τὸ λι ι· τὰ διὰ τοῦ ιλος ἀρσενικὰ βαρύτονα, μὴ ὄντα ἀπὸ ὀνομάτων ἐχόντων τὴν ει δίφθογγον, διὰ τοῦ ι γράφεται· οἷον, Τρωΐλος· Κάδμιλος· πλὴν τοῦ Νεῖλος· τοῦτο δὲ πρὸς ἀναπλήρωσιν τῶν τριακοσίων ἑξήκοντα πέντε ἡμερῶν τοῦ ἐνιαυτοῦ· οἱ γὰρ ἐν τόπῳ ἐκείνῳ οἰκοῦντες πρῶτον ἐπενόησαν τὰς ἡμέρας τοῦ χρόνου· πρόσκειται ἀρσενικὰ, διὰ τὸ χεῖλος· πρόσκειται βαρύτονα, διὰ τὸ δειλός· μὴ ὄντα ἀπὸ ὀνομάτων ἐχόντων τὴν ει δίφθογγον, διὰ τὸ κροκόδειλος.

Οἰονοπῶλος: Τὸ πω μέγα· τὰ παρὰ τὸ πολῶ συντιθέμενα, εἰ μὲν μετὰ ἀπτώτων συντίθενται, διὰ τοῦ ο μικροῦ γράφονται· οἷον, ἀμφίπολος· εἰ δὲ μετὰ πτωτικῶν, διὰ τοῦ ω μεγάλου· οἷον, οἰονοπῶλος· πλὴν τοῦ θαλαμηπόλος· ὀνειροπόλος.

Ὀμφή: Τὸ ο μικρόν· τὰ γὰρ εἰς φη θηλυκὰ ὀξύτονα, ἢ τὸ α παραλήγονται· οἷον, ῥαφή· βαβή· ἢ τὸ ο· οἷον, μορφή· ὀροφή· μομφή· ὀμφή.

Ὅμηρος: Τὸ μη η· τὰ διὰ τοῦ ηρος ὑπὲρ δύο συλλαβὰς, εἴτε ὀξύτονα, εἴτε βαρύτονα, μὴ ἔχοντα ἀναφαινόμενον τὸ ο, μηδὲ ἔχοντα ῥῆμα ἀντιπαρακείμενον, διὰ τοῦ η γράφεται· οἷον, Ὅμηρος· Φάληρος· ἐξ οὗ τὸ τετραφάληρος· Ἄβδηρος, ἐξ οὗ καὶ Ἀβδηρίτης ὁ πολίτης· Ἄβληρος· Ὅμηρος·

Ἄβληρον ἐνήρατο δουρὶ φαεινῷ· (Il. Z. 32.)

πενταέτηρος· ὀξύτονα δέ· οἷον, μοχθηρός· πονηρός· τολμηρός·

[u] Est signum lacunæ. [x] Cod. ἑταροῖος. [y] Cod. ονρνοπόλος.

σεσημείωνται βαρύτονα δύο· Κάμιρος [z] ὄνομα πόλεως, καὶ ἄϊρος·

ἢ ταχα Ἶρος [a] ἄϊρος ἐπίπαστον

ὀξύτονα δέ· τὸ καυστειρὸς, ὅπερ γίνεται κατὰ διάλεκτον Βοιωτικὴν κατὰ τροπὴν τοῦ η εἰς τὴν ει δίφθογγον, ὡς τέθηκα τέθεικα· πρόσκειται μὴ ἔχοντα ἀναφαινόμενον τὸ ο, διὰ τὸ ὄνειρος· ὄνοιρος γὰρ λέγουσιν οἱ Αἰολεῖς· πρόσκειται μὴ ἔχοντα ῥῆμα ἀντιπαρακείμενον, διὰ τὸ μάγειρος.

ΟΥ̓ΡΑΝΌΘΙ: Τὸ νο μικρόν· τὰ εἰς θι ἐπιῤῥήματα τὴν παραλήγουσαν θέλουσι φυλάττειν τῶν εἰς θεν· οἷον, ἀγχόθεν, ἀγχόθι· Ἰλιόθεν, Ἰλιόθι· αὐτόθεν, αὐτόθι, καὶ κατὰ συγκοπὴν αὖθι· οὐρανόθεν, οὐρανόθι.

ΟΥ̓ΡΑΝΌΘΕΝ: Τὸ νο μικρόν· τὰ εἰς θεν ἐπιῤῥήματα τὴν τῶν πρωτοτύπων φυλάττουσι γραφήν· οἷον, ἕως, ἕωθεν· ἠὼς, ἠῶθεν.

ΠΥΚΙΝΌΣ: Τὸ νι ι· τὰ εἰς νος ὀνόματα ἀπὸ ἐπιῤῥημάτων γινόμενα διὰ τοῦ ι γράφεται· οἷον, τάχα, ταχινός· ἄληθες, ἀληθινός· πέδοι, ἔστιν ἐπίῤῥημα τοπικὸν, πεδινός· ἄδην, ἀδινός.

ΠΈΔΙΛΑ: Τὸ δι ι· τὰ παρὰ τὸ εἰλῶ συντιθέμενα ὀνόματα κατὰ τὸ τέλος διὰ τοῦ ι γράφεται· οἷον, ὅμιλος· πέδιλον· πρόσκειται κατὰ τὸ τέλος, διὰ τὸ εἰλήπους· τοῦτο γὰρ κατὰ ἀρχὴν συντίθεται, καὶ διὰ τῆς ει διφθόγγου γράφεται.

ΠΡΊΝ: Διὰ τοῦ ι· τὰ εἰς ην ἐπιῤῥήματα διὰ τοῦ η γράφεται· οἷον, ἀνέδην· χύδην· παραβλήδην· πλὴν τοῦ πάλιν, καὶ πρὶν, καὶ κατόπιν.

ΠΑΝΝΎΧΙΟΣ: Τὸ χι ι· τὰ διὰ τοῦ ιος γινόμενα, μὴ σημαίνοντα μέρος σωματικὸν, ἢ μετουσιαστικόν.

ΠΕΡΚΏΤΗ: Τὸ κω μέγα· τὰ διὰ τοῦ ωτη θηλυκὰ, εἴτε βαρύτονα, εἴτε ὀξύτονα, διὰ τοῦ ω μεγάλου γράφεται· βαρύτονα μέν· οἷον, Περκώτη· ὀξύτονα δέ· οἷον, κορσωτή· πτερωτή· μηλωτή· κερωτή· πλὴν τοῦ βιοτή.

ΠΕΛΏΡΙΟΣ: Τὸ ρι ι· τὰ ἀπὸ τῶν εἰς ωρ διὰ τοῦ ιος κτητικὰ, εἰ μὲν φυλάττωσι τὸ ω ἐπὶ τῆς γενικῆς, διὰ τοῦ ι γράφεται· οἷον, πέλωρ, πέλωρος, πελώριος· κέλωρ, κέλωρος, κελώ-

[z] Cod. κάμισος. [a] Cod. ἦρος.

ριος· εἰ δὲ μὴ φυλάττωσι τὸ ω ἐπὶ γενικῆς, διὰ τῆς ει διφθόγγου· οἷον, Νέστωρ, Νέστορος, Νεστόρειος· Ἕκτωρ, Ἕκτορος, Ἑκτόρειος.

Πταίω: αι δίφθογγος· τὰ ἀπὸ τῶν εἰς ω περισπωμένων μονοσυλλάβων κατὰ παραγωγὴν γινόμενα διὰ τῆς αι διφθόγγου γράφεται· οἷον, πτῶ, πταίω· βῶ, βαίω, καὶ βαίνω· μῶ, μαίω.

Πωλῶ: Τὸ πω μέγα· τὰ ποιητικῷ ἔθει μεταγόμενα ἀπὸ βαρυτόνων εἰς περισπώμενα διὰ τοῦ ω μεγάλου γράφεται· νέμω, νωμῶ·

νωμῆσαι βῶν ἀζαλέην[b]. (Il. H. 238.)

στρέφω, στρωφῶ·

ἀλλὰ καταυτοὺς
στρωφᾶται· (Il. N. 556.)

πέλω, πωλῶ· σεσημείωται τὸ πέτω ποτῶ, ἐξ οὗ τὸ "ἀμφεποτᾶτο."

Πλήθω: Διὰ τοῦ η· τὰ ἀπὸ τῶν εἰς ω μονοσυλλάβων διὰ τοῦ ηθω γινόμενα διὰ τοῦ η γράφεται· οἷον, πλῶ, πλήσω, πλήθω· νῶ, νήσω, νήθω, τὸ κλώθω[c]. κνῶ, κνήσω, κνήθω.

Στυγερός: Τό γε ψιλόν· τὰ ἀπὸ τῶν εἰς ναι ἀπαρεμφάτων διὰ τοῦ ερος γινόμενα διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, τακῆναι, τακερός· πενθηθῆναι, πενθερός· μιᾶναι, μιερός· στυγῆναι, στυγερός.

Τελήεις: Τὸ λη η· τὰ εἰς εις παραλήξεις ἐπιδέχονται τρεῖς· ἐπειδὴ κανών ἐστιν ὁ λέγων· ὅτι τὰ εἰς εις ὀνόματα τῇ τοῦ πρωτοτύπου γενικῇ συλλαβῇ βαρύνεται, καὶ ἢ τὸ η παραλήγεται, ἢ τὸ ο, σπανίως δὲ τὸ ω, ὅτε ἐν ἐκτάσει· οἷον, κητώεις· εὐρώεις καὶ κηώεις· τὸ ο· οἷον, αἱματόεις· τερμηόεις· σκιόεις· Ὅμηρος·

εὔοδεα σκιόεντα·

τὸ η· οἷον, φθογγήεις· τελήεις· τιμήεις· ὅθεν τὸ χαρίεις ἀπὸ τοῦ χάρις, χάριτος, χαριτόεις, καὶ κατὰ συγκοπὴν χαρίεις· τὸ δὲ ἀμφιγυήεις, καὶ θυήεις, καὶ τὰ ὅμοια κατὰ τροπὴν ἐγένοντο τοῦ ο εἰς η· ἔστι γὰρ γύον, καὶ σημαίνει τὸ μέλος, καὶ ἐξ αὐ-

[b] Cod. ἀζαλέη. [c] Cod. κλόθω.

τοῦ γνόεις, καὶ τροπῇ τοῦ ο εἰς η γνήεις καὶ ἀμφιγνήεις· καὶ θύον λέγεται τὸ μυρεψικὸν ἄνθος, καὶ τροπῇ τοῦ ο εἰς η γίνεται θυήεις· Ὅμηρος

ἔνθαδέ οἱ τέμενος βωμός τε θυήεις[d]. (Il. Θ. 48.)

ΤΡΟΪΑ: Τὸ τροι δίφθογγος· τὰ διὰ τοῦ οια θηλυκὰ δισύλλαβα μακροκατάληκτα διὰ τῆς οι διφθόγγου γράφεται· ἐπὶ βαρυτόνων καὶ ὀξυτόνων· οἷον, ποία· ὡς παρὰ τῷ ποιητῇ·

ποίη δὲ παρίει· (Od. Σ. 369.)

κοῖα· σημαίνει δὲ τὴν σφαῖραν· ἡ χρῆσις παρὰ Ἀντιμάχῳ[e]·

κοίας ἐκ χειρῶν εἰς κύπελον μεταριπτάζουσιν·

Τροΐα, ἡ πόλις· ὀξύτονα δέ· οἷον, στοιά· ῥοιά· χροιά· τὰ δὲ ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ υ ψιλοῦ γράφεται· οἷον, σικύα· κοδύα· ἰξύα· ἀφύα· σημαίνει δὲ τὴν ἔγγραυλιν.

ΤΊΩ: Τὸ τι ι· τὰ διὰ τοῦ ιω βαρύτονα, μὴ παρ' ἐνεστῶτα ἢ μέλλοντα παρηγμένα, μηδὲ ἀπὸ πλεονασμοῦ ἔχοντα τὸ ι, μηδὲ ἔχοντα ἀντιπαρακείμενον τὸ ο, διὰ τοῦ ι γράφεται· οἷον, κτίω· ἐξ οὗ τὸ εὐκτίμενον πτολίεθρον· δίω τὸ διώκω·

ὡς δ' ἀπὸ σώματος οὔτι λέοντ' αἴθωνα δύνανται
ποιμένες ἄγραυλοι μέγα πεινάοντα διέσθαι· (Il. Σ. 162.)

πίω, ἐξ οὗ τὸ

πίεμεν ἐκ βοτάνης· (Il. N. 493.)

λίω τὸ προθυμοῦμαι· ἔστιν δὲ καὶ περισπώμενον, λιῶ, λιήσω, λελίηκα, λελίημαι, λελιημένος· ἐξ οὗ καὶ τὸ λιαρόν· ψίω τὸ λεπτύνω· τίω· πρόσκειται βαρύτονα, διὰ τὸ ἀχρειῶ καὶ τελειῶ· παρ' ἐνεστῶτα ἢ μέλλοντα παρηγμένα, διὰ τὸ θῶ, θείω, καὶ βῶ, βείω, καὶ βρώσω, βρωσείω· μὴ ἔχοντα ἀπὸ πλεονασμοῦ ι πρόσκειται, διὰ τὸ σῶ, σέω, καὶ σείω· πρόσκειται μὴ ἔχοντα ὄνομα ἀντιπαρακείμενον, διὰ τὸ κλείω, κλοιός.

ΥΠΗΝΩΡ: Τὸ πη η· τὰ εἰς ηρ λήγοντα ἐν συνθέσει, εἰ μὲν ἀπὸ φωνήεντος ἄρχονται, τρέπουσιν αὐτὸ εἰς η· οἷον, ἀνὴρ Ὑπήνωρ· εἰ δὲ ἀπὸ συμφώνου, φυλάττουσιν αὐτό· οἷον, πατὴρ, ἀπάτωρ, καὶ θεοπάτωρ.

d Cod. ἔνθαδέ οιτ cum lacunæ indicio.

e Cit. et Etym. M. p. 770. 11. et Auct. Epim. Hom. p. 401.

ΦΟΒΕΡΌΣ : Τὸ βε ψιλόν· τὰ διὰ τοῦ ερος ὑπὲρ δύο συλλαβὰς ὀξύτονα τριγενῆ διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον γοερός· φοβερός· μυσερός· ἱερός· κρατερός.

ΦΡΗ͂ΤΡΑ : Τὸ φρη η· τὰ διὰ τοῦ ητρα δισύλλαβα διὰ τοῦ η γράφεται· οἷον, μῆτρα, καὶ ἐν συνθέσει ὀρτυγομῆτρα· φρῆτρα· ῥῆτρα ἡ συνθήκη·

ἀλλά γε νῦν ῥήτρην ποιήσομεν· (Od. Ξ. 393.)

σεσημείωται τὸ μίτρα, ὃ σημαίνει τὴν ζώνην· Ὅμηρος·

μίτρης θ' ἣν ἐφόρει· (Il. Δ. 137.)

καὶ λίτρα.

ΧΑΛΚΉΡΗΣ : Τὰ διὰ τοῦ ηρης ἀρσενικὰ βαρύτονα ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ η γράφεται· οἷον, ξιφήρης· ποδήρης· κλινήρης· χαλκήρης.

ὯΜΟΣ : Τὸ ω μέγα· τὰ διὰ τοῦ ωμος δισύλλαβα, μὴ ἔχοντα ῥῆμα ἀντιπαρακείμενον τὸ ε παραληγόμενα, διὰ τοῦ ω μεγάλου γράφεται ἐπὶ βαρυτόνων καὶ ὀξυτόνων· ὀξυτόνα μέν· οἷον, ζωμός· βλωμὸς τὸ δῆγμα· βωμός· ὠμὸς ὁ ἀπηνής· ψωμός· βαρύτονα δέ· οἷον, κῶμος·

μὴ κώμοις καὶ μέθαις·

ὦμος· κρῶμος· πρόσκειται μὴ ἔχοντα ῥῆμα ἀντιπαρακείμενον τὸ ε παραληγόμενον, διὰ τὸ βρέμω, βρόμος· καὶ δρέμω, δρόμος.

ΕΠΙΜΕΡΙΣΜΟΙ

ΚΑΤΑ

ΣΤΟΙΧΕΙΟΝ ΓΡΑΦΙΚΑ.

ΑΙΝΙΓΜΑ· *λέγεται ἡ παραβολὴ καὶ ὁ σκοτεινὸς λόγος· ἐκ τοῦ αἰνίσσω, ἐν ταῖς παραβολαῖς λέγω· καὶ γράφεται τὸ αι δίφθογγος· γίνεται δὲ ἐκ τοῦ αἰνὸς, ὃ σημαίνει τὸν δεινὸν καὶ φοβερόν· τοῦτο ἐκ τοῦ δεινὸς, αἰνός· οἱ γὰρ* Ἴωνες *ἡνίκα ὕφεσιν ποιήσονται τοῦ συμφώνου, τότε καὶ τὸ παραλῆγον φωνῆεν τρέπουσιν εἰς α· οἷον, δεινὸς, αἰνός· μέχρις, ἄχρις· εἰ δὲ σημαίνει τὸ ἐπιπλήσσω, τὸ ε ψιλόν·* Ὅμηρος·

θυγατέρεσσι γάρ τε καὶ υἱάσι κέρδιον εἴη. (Il. O. 197.)

Ἀδράνεια: Ἡ *ἀσθένεια, ἐκ τοῦ ἀδρανὴς ὁ ἀσθενὴς καὶ ἀνίσχυρος· γίνεται ἐκ τοῦ δραίνω τὸ πράττω·* Ὅμηρος·

ἀλλ' εἴ τι δραίνεις· (Il. K. 96.)

ἀντὶ τοῦ διανοεῖς καὶ πρᾶξαι δύνασαι· ὁ β ἀόριστος ἔδρανον, δρανὴς, καὶ ἀδρανής.

Ἄλγος: Παρὰ *τὸ λέγω τὸ φροντίζω, ἔλεγος καὶ ἐν συγκοπῇ ἄλγος· ὅπερ περὶ πολλοῦ ποιούμεθα καὶ φροντίζομεν.*

Ἁπλός: Παρὰ *τὸ α τὸ σημαῖνον τὸ ἓν, καὶ τὸ πέλω τὸ ὑπάρχω, ἅπελος, καὶ συγκοπῇ ἁπλὸς, ὁ πέλων εἷς.*

Ἄροτρα: *λέγεται κυρίως ἡ ἠροτριασμένη γῆ· γίνεται δὲ παρὰ τὸ ἀρῶ, ἀρόσω, ἄρορα καὶ ἄρουρα.*

Ἀμητός: Ἐκ *τοῦ ἀμῶ τὸ θερίζω· τὸ δὲ ἀμῶ δευτέρας ἐστὶ συζυγίας τῶν περισπωμένων· τούτου ὁ μέλλων ἀμήσω, ἐξ αὐτοῦ ἀμητός· καὶ τί διαφέρει ἄμητος καὶ ἀμητός; ἄμητος λέγεται ὁ καιρὸς τοῦ θέρους· ἀμητὸς δὲ ὁ θερισμός· οἱονεὶ αὐ-*

τὸς ὁ καρπὸς ὁ ἀμώμενος· τὸ α μακρὸν διατί; τὸ α πρὸ τοῦ β, ἢ μ συστέλλεται· ῥάβδος· Λάβδακος· βλάβη· ἅμιλλα· ἀμύμων· πλὴν τοῦ ἀμῶ, καὶ ἀμητός.

Ἄνθραξ : *Λέγεται τὸ ἀπό τινος ὕλης μεταβληθὲν καὶ μεταποιηθὲν εἰς πυρὸς φύσιν· ἔχει δὲ ὁ ἄνθραξ φύσεις δύο· τὸ φωτιστικὸν καὶ καυστικόν· καὶ ὕδωρ διφυὰ ἄνθρακα δέχεται, ἤγουν φωτιστικὸν καὶ καυστικόν· φωτιστικὸν μὲν τῶν δικαίων· καυστικὸν δὲ τῶν ἁμαρτωλῶν καὶ ἀνόμων· διφυὴς δὲ ἄνθραξ λέγεται ὁ* Χριστός· *κατὰ ἀναγωγὴν γίνεται παρὰ τὸ θέρω τὸ θερμαίνω, θέραξ, καὶ μετὰ τῆς ἀνὰ προθέσεως ἀναθέραξ, καὶ συγκοπῇ ἄνθραξ.*

Ἀγρός : Παρὰ *τὸ ἀρῶ, ἀρόσω, ἀρὸς καὶ ἀγρός· ὁ ἐπιτήδειος πρὸς τὸ ἀροτριᾶσθαι· καὶ ἀνήροτος, ἐκ τοῦ ἀρῶ, ἀρόσω, ἀροτὸς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀάροτος, καὶ πλεονασμῷ τοῦ ν, καὶ τροπῇ τοῦ α εἰς η, ἀνήροτος.*

Αὐστηρός : Παρὰ *τὸ αὔω τὸ ξηραίνω· ὁ μέλλων αὔσω, ἐξ αὐτοῦ αὐστηρός· τὸ δὲ αὔω γίνεται παρὰ τὸ ὕω, μετὰ τοῦ στερητικοῦ α, αὔω.*

Αἴσθησις : *Γίνεται παρὰ τὸ αἰσθῶ· τὸ δὲ αἰσθῶ παρὰ τὸ ἀΐσθω·*

ὁ δ' ἔβραχε θυμὸν ἀΐσθων· (Il. Π. 468.)

τὸ δ' ἀΐσθω παρὰ τὸ ἀΐω πλεονασμῷ τοῦ σθ.

Αἰπόλιον : Τὸ *λι ι· τὰ διὰ τοῦ ιον οὐδέτερα μονογενῆ ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύτονα διὰ τοῦ ι γράφονται· χωρὶς τῶν κτητικῶν·* Βυζάντιον· *συβότιον· γενέθλιον· θεοφάνιον· παρθένιον· χωρὶς τῶν κτητικῶν εἶπεν διὰ τὸ* Ἡράκλειον, *καὶ* Ἀνακτόρειον· *καὶ διαφέρει· αἰπόλιον λέγεται τὸ πλῆθος τῶν αἰγῶν· ποίμνιον δὲ τὸ τῶν προβάτων.*

Ἀμνός : Ἐτυμολογεῖται *παρὰ τὸ μνοῦς, σημαίνει δὲ τὴν μαλακὴν καὶ ἁπαλὴν τρίχα τὴν γεννητικὴν παντὸς ζώου.*

Αὐθέντης : *Γίνεται ἐκ τοῦ φῶ τὸ φονεύω· φένω διὰ τοῦ ε ψιλοῦ, καὶ κατὰ ἔκθλιψιν τοῦ δασέως ἐνῶ· ὄνομα ῥηματικὸν ἔντης, καὶ μετὰ τῆς αὐτὸς ἀντωνυμίας αὐτοέντης, καὶ κατὰ συγκοπὴν αὐτέντης· καὶ ἐπεὶ ψιλὰ, ψιλῶν ἡγεῖται, καὶ δασέα,*

δασέων, τρέπεται τὸ τ εἰς θ, καὶ γίνεται αὐθέντης, ὁ ἑαυτὸν ἀναιρῶν· τὸ δὲ ἐν τῇ συνηθείᾳ ἔοικεν παρὰ τὸ αὐτὸ καὶ τὸ ἕντης, ὁ ἑαυτὸν ἐπαφιεὶς εἰς πάντα καὶ ὢν αὐτεξούσιος· καὶ μὴ ἄλλου ἀλλ' ἑαυτοῦ ὤν.

Ἀσέλγεια: Ἐκ τοῦ ἀσελγής· τοῦτο παρὰ τὸ θέλγω τὸ ἀπατῶ μετὰ τοῦ ἐπιτατικοῦ α· οἱ δὲ λέγουσιν ἀπὸ τοῦ Σελγὶς πόλεως τινὸς, ἀφ' ἧς οἱ ἄνθρωποι κακῶς διακείμενοι ἀλλήλοις ἐκοινώνουν· μετὰ τοῦ ἐπιτατικοῦ α ἀσελγής.

Ἀκόλουθος: σημαίνει τὸν ὀπίσω τὴν κέλευθον ποιούμενον· τὸ γὰρ α τὸ ὀπίσω σημαίνει· γίνεται δὲ ἐκ τοῦ ἐλεύθω, ἔλευθος, καὶ κέλευθος.

Ἄρτιος: Σημαίνει τὸν ὑγιῆ καὶ ἀποπληρώμενον, καὶ γίνεται παρὰ τὸ ἀρτῶ τὸ ἑδραιῶ, ἄρτιος· ὥσπερ γίνεται παρὰ τὸ ἁρμόζω, ἁρμόδιος· καὶ παρὰ τὸ παυρίζω, παυρίδιος, οὕτως καὶ παρὰ ἀρτῶ, ἄρτιος· σημαίνει ὁ πεπληρωμένος· ἐξ οὗ καὶ ἀπηρτισμένον τὸ πεπληρωμένον.

Ἀπαργμάτων: Σημαίνει τῶν ἀπαρχῶν καὶ τελείων θυσιῶν.

Ἄσπετον: Ὥσπερ γίνεται παρὰ τὸ ἔχω σχῶ, οὕτως καὶ παρὰ τὸ ἔπω τὸ κρατῶ, σπῶ· ῥηματικὸν ὄνομα σπέτος ὁ καταληπτὸς, καὶ μετὰ τοῦ στερητικοῦ α ἄσπετος ὁ ἀκατάληπτος· ἢ παρὰ τὸ ἔπω τὸ λέγω συγκοπῇ σπῶ, σπέτος, καὶ ἄσπετος, ὁ ἄῤῥητος καὶ πολύς.

Ἀνιμῶ· Ἐκ τῆς ἀνὰ προθέσεως καὶ τοῦ ἱμῶ τοῦ ἀναλέγω· τοῦτο ἐκ τοῦ ἱμὰς, ὃ σημαίνει τὸν λῶρον· οἱ γὰρ ἀρχαιοὶ πρὸς τὸ μὴ κλᾶσθαι τὰ ἀγγεῖα αὐτῶν ἐκ δέρματος αὐτὰ, ἤγουν ἀσκοὺς, κατεσκεύαζον· σημαίνει δὲ τὸ ἀντλητήριον.

Ἄττειν: Τὸ ἅλλεσθαι καὶ πηδᾶν· γίνεται παρὰ τὸ ἀΐσσω τὸ ὁρμῶ, ἄσσω, καὶ τροπῇ τῶν δύο σσ εἰς β ττ ἄττω.

Ἀντλῶ: Παρὰ τὸ ἄντλον· τοῦτο ἐκ τοῦ ἀντλᾶν καὶ καρτερεῖν ἐκεῖσε τὸ ὕδωρ, τὸ διὰ τῶν ἐσφιγμένων πόρων εἰσερχόμενον.

Αἰκίζω· Διχῶς λέγεται· οἱ μὲν λέγουσιν ἐκ τοῦ ἀεικὴς, ὃ σημαίνει τὸν σκληρὸν καὶ ἀπότομον, γίνεται ῥῆμα εἰκίζω, καὶ

γράφεται τὸ ει δίφθογγος· ἐκθλίψει γοῦν τοῦ ε, καὶ συναιρέσει τοῦ αϊ εἰς τὴν αι δίφθογγον, αἰκίζω· καὶ Ὅμηρος·

ἀλλὰ μάλα τόφρα Μενοιτίου ἄλκιμος υἱὸς
μυῖαι [a] καδδῦσαι καταχαλκῶ τὰς ὠτειλὰς
εὖ ἐγγίνωνται, ἀϊκίσωσι [b] δὲ νεκρόν· (Il. T. 25.)

τὸ δὲ ἀεικὴς γίνεται ἐκ τοῦ εἴκω τὸ ὑποχωρῶ, εἰκὴς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀεικὴς, ὁ μὴ ὑποχωρῶν νίκος.

Ἀκεσώδυνος: Λέγεται ὁ ἰατρὸς ὁ τὰς ὀδύνας θεραπεύων· ἐκ τοῦ ἀκῶ τὸ θεραπεύω· ὁ μέλλων ἀκέσω, καὶ μετὰ τοῦ ὀδύνη ἀκεσώδυνος· ἐξ οὗ ῥηματικὸν ὄνομα ἀκέστωρ, ὃ σημαίνει τὸν ἰατρόν· τὸ σω μέγα· τὰ γὰρ παρὰ τὸ ὀδύνη συντιθέμενα διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, ἀνώδυνος· ἐπώδυνος· τὸ δὲ ἀκῶ παρὰ τὸ ἄλγος.

Ἀκλόνητος: Τὸ νη η· ἐκ τοῦ ῥήματος τοῦ κλονῶ· τοῦτο ἐκ τοῦ κλόνος· τοῦτο ἐκ τοῦ κλῶ τὸ κλάνω, ὁ μέλλων κλάσω, καὶ τροπῇ κλόνος.

Ἄκος: Παρὰ τὸ ἀκὴ ὃ σημαίνει τὴν ὀξύτητα· κυρίως γὰρ τὸ ἐκ σιδήρου ὑγιανθὲν τραῦμα.

Ἀπρόσιτος [c].

Ἀναβῶ: Διατί οὐκ ἀνεβίβασεν τὸν τόνον; πᾶς ὁριστικὸς ἢ ὑποτακτικὸς μονοσύλλαβος εἰς ω λῆγον ἔχων μετοχὴν εἰς σ ὀξύτονον, τὸν αὐτὸν τόνον φυλάττει καὶ ἐν τῇ συνθέσει· οἷον, βὰς, βῶ καὶ ἐὰν ἀναβῶ, καὶ ἐὰν καταβῶ· δοὺς, ἐὰν δῶ, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου· εἰς ω, καὶ ἐὰν ὦ, οὐ μή σε ἀνῶ· εἰ δὲ μὴ ἔχει τὴν μετοχὴν εἰς σ ὀξύτονον, ἐν τῇ συνθέσει τὸν τόνον ἀναπέμπει· οἷον, σχῶ, κατάσχω, καὶ πρόσχω, καὶ ἐπίσπω·

ὄφρα πρὸς θάνατον καὶ πότμον ἐπίσπει. (Il. B. 359.)

Ἀγριωπόν: Παρὰ τὸ ἄγριος καὶ τὸ ὢψ, ὠπὸς, ὃ σημαίνει τὴν πρόσωψιν· τὸ ἄγριος παρὰ ἀγρός· ἢ παρὰ τὸ ἀγείρω, εἰς ὃν πάντες συναθροίζονται.

Ἀμβλυωπία: Ἐκ τοῦ ἀμβλυωπός· τοῦτο παρὰ τὸ ἀμβλὺ, ὃ σημαίνει τὸ ἀσθενὲς, καὶ τὸ ὢψ, ὠπός· οἱονεὶ ὁ μὴ καθαρὸν φῶς ἔχων ἀλλὰ ἀσθενές.

[a] Cod. μυῖα. [b] Cod. ἀϊκίσω. [c] Est lacunæ indicium.

Ἀφυής: Ἐκ τοῦ φυὴ, ὃ σημαίνει τὸν τρόπον καὶ τὴν θέσιν·

ἀμφοτέρω δὲ φυὴν ἐδάην· (Il. Γ. 128.)

μετὰ τοῦ στερητικοῦ α ἀφυὴς, οἱονεὶ ὁ κακότροπος· * * εὐφυὴς δὲ καὶ εὐμαθὴς διαφέρει· εὐμαθὴς μὲν ὁ καλῶς μανθάνων· εὐφυὴς δὲ ὁ πανοῦργος καὶ σκωπτικός.

Ἀστάρτη: Ἔστιν εἰδώλου ὄνομα· λέγεται δὲ ἀπὸ μεταφορᾶς τοῦ ἄστρου· ἀστὴρ γάρ ἐστιν ἐν τῷ οὐρανῷ, ἀφ' οὗ καὶ τὸ εἴδωλον καλεῖται, ἀνάπλασμα ἔχον τοῦ ἄστρου· λοιπὸν παρὰ τὸ ἄστρον, ἀστράτη, καὶ ἐν ὑπερβιβασμῷ Ἀστάρτη.

Αὖρα: Ἡ λεπτοτάτη τοῦ ἀνέμου πνοή· γίνεται δὲ ἐκ τοῦ ἀὴρ, ἀέρος, ἀέρα, καὶ κράσει τοῦ α καὶ ε εἰς τὴν αυ δίφθογγον, ὡς γράες, γραῦς, καὶ νάες, ναῦς, οὕτως ἀέρα, αὖρα.

Ἀνθωμολογεῖτο: Ἀντὶ τοῦ ηὐχαρίστει· τὸ θω μέγα· παρωχημένος γάρ ἐστιν.

Ἀπρίξ: Ἀντὶ τοῦ ἀσφαλῶς· γίνεται δὲ ἐκ τοῦ πρίζω τὸ σχίζω καὶ διχοτομῶ· ὁ μέλλων πρίξω, πρὶξ, καὶ μετὰ τοῦ στερητικοῦ α ἀπρίξ.

Ἀδολεσχῶ: Ἐκ τοῦ ἄδος καὶ τὸ λέσχης· τοῦτο δὲ ἐκ τοῦ λέσχη, ὃ σημαίνει τὴν φλυαρίαν· τοῦτο παρὰ τὸ λέχος, ὃ σημαίνει τὴν κοίτην· ἐπειδὴ τὸ παλαιὸν ἔθος ἦν, καὶ τῷ χειμῶνι τόπον εἶχον ἀποκεχωρισμένον, ἐν ᾧ πυρκαϊὰς ποιοῦντες, καὶ ἐν αὐταῖς καθεζόμενοι, ὁμιλοῦντες διημέρευον, φλυαροῦντες καὶ ἀδολεσχοῦντες· ἀδολέσχης, ἀδολέσχου ὁ κανών· τὰ ἀπὸ τῶν εἰς η θηλυκῶν εἰς ης γινόμενα ἀρσενικὰ, μὴ ἔχοντα οὐδέτερον εἰς ες, εἰς ο ἔχουσι τὴν γενικήν· οἷον, γυνὴ, μισογύνης· χαίτη, κυανοχαίτης· τέχνη, κλυτοτέχνης· σημαίνει δὲ τρία· τὸ φλυαρῶ·

φεῦ ἄνθρωπέ τι ἠδολέσχησας;

καὶ τὸ φιλοσοφῶ·

ὁ δὲ δοῦλός σου ἠδολέσχησεν ἐν τοῖς δικαιώμασίν σου·

καὶ τὸ παίζω·

ἐξῆλθεν Ἰακὼβ εἰς τὸ πεδίον ἀδολησχῆσαι.

Ἀναδενδράς: Ἡ ἄμπελος ἡ πρὸς τὸ δένδρον ἀνερχομένη· γίνεται ἐκ τοῦ δένδρον, δενδρὰς, καὶ ἀναδενδράς.

Ἀλαλάζω: Ἐκ τοῦ λαλῶ, λαλάζω, καὶ ἀλαλάζω.

Ἀνώνητον: Τὸ νω μέγα· ἐκ τοῦ ὠνητὸς ὁ ἀγοραστὸς, καὶ μετὰ τοῦ στερητικοῦ α, καὶ πλεονασμῷ τοῦ ν γίνεται ἀνώνητον τὸ ἀναγόραστον.

Ἄρκυς: Εἶδος δικτύου παχυσχοίνιον[d], ὃ ἱστᾶσιν πρὸς θῆραν λεόντων, ἢ ἄρκων, ἢ ἐλάφων· καὶ δασύνεται· γίνεται δὲ ἐκ τοῦ εἴργω τὸ κωλύω· ἢ παρὰ τὸ ἁρπάζω, ἅρπυον, καὶ ἅρκυον· ἐπιτήδειον γάρ ἐστιν· ἢ παρὰ τὸ ἕλκω, ἕλκυον, καὶ τροπῇ τοῦ λ εἰς ρ, ἅρκυον.

Ἀναλίσκω: Οἱ μὲν ὅτι οὐδέποτε πρὸ τοῦ σκ εὑρίσκεται δίφθογγος· οἱ δὲ ὅτι τὰ διὰ τοῦ ισκω μὴ παρὰ μέλλοντα παρηγμένα διὰ ταῦτα· ἔστι γὰρ καλῶ, κλῶ, ὁ μέλλων κλήσω, πλεονασμῷ τοῦ κ κλήσκω· γίνεται δὲ ἐκ τοῦ ἀλῶ ἀναλίσκω, καὶ σημαίνει τὸ δαπανῶ, ἀπὸ τοῦ ἀλῶ τὸ ἀθροίζω, ἐξ οὗ καὶ τὸ

χειμέριον ἀλὲν ὕδωρ· (Il. Ψ. 420.)

καὶ μετὰ τοῦ στερητικοῦ α ἀναλῶ, καὶ δηλοῖ τῷ τὰ ἠθροισμένα διαφθείρω· τὸ δὲ ἀλῶ τὸ ἀθροίζω παρὰ τὴν ἁλὸς γενικὴν ἐκταθέντος τοῦ α· ἐν ταύτῃ γὰρ πάντα ἀθροίζεται· τὸ δὲ ἀλῶ τὸ πλανῶ σύνθετον ἐκ τοῦ λῶ τοῦ δηλοῦντος τὸ θέλω· ὥστε προσεληλυθέναι στέρησιν τὴν α· οἱ γὰρ πλανόμενοι οὐ θέλοντες πλανῶνται, οὐ δὲ τυγχάνοντες ὧν βούλονται.

Ἀθροίζω: Θρόος, θροῦς ὁ θόρυβος·

οὐ γὰρ πάντων ἦεν ὁμὼς θρόος· (Il. Δ. 437.)

ἐκ τοῦ θροῦς, θρόος, γίνεται κατὰ παραγωγὴν θρωΐζω, καὶ κατὰ συναίρεσιν, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α, ἀθροίζω.

Ἀφοσιοῦται: Τὸ πληροῦται, ἐκ τοῦ ἀφοσιῶ· τοῦτο παρὰ τὸ ὅσιος, ὁσιῶ, καὶ ἀφοσιῶ, τὸ τὰ νενομισμένα ἐπὶ τῇ ταφῇ πληρῶ.

Ἀποβουκολῶ: Τὸ ἀπετῶ[e].

Ἄγαλμα: Ἐκ τοῦ ἀγάλλω· ἐν ᾧ ἀγάλλεταί τις, κἄν τε ἱμάτιον, κἄν τε εἰκόνα.

[d] Cod. παχυσχύνιον sed corr. rec. man.

[e] Est lacunæ indicium in Cod.

Ἄθρει: Ἐκ τοῦ δρῶ τὸ βλέπω, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀδρῶ, καὶ τροπῇ τοῦ δ εἰς θ ἀθρῶ τὸ βλέπω, καὶ ἀθρῶν ὁ πλάστης.

Ἀλκμέωνας: Τὸ με ψιλόν· ὡς παρὰ Εὐριπίδῃ ἔχει ἡ χρῆσις· συστείλας τὸ ε, φυλάττει τὸ ω, ὡς κύριον, ἐν τῇ γενικῇ.

Ἀμαλθείας κέρας: Τὸ θει δίφθογγος· ἡ Ῥέα τεκοῦσα τὸν Δία ἔδωκεν τῇ Ἀμαλθείᾳ τρέφειν· ἡ δὲ οὐκ ἔχουσα γάλα, αἴγιον ὑπέβαλεν αὐτὸν, ὅθεν Αἰγίσχος ἐκλήθη ὁ τοίνυν Ζεύς· τὴν μὲν αἶγα κατηστέρησεν, τὸ δὲ ἓν τῶν κεράτων ἀφελὼν, τῇ Ἀμαλθείᾳ δέδωκεν παρασκευάσας αὐτῇ γίνεσθαι πᾶν ὅπερ ἂν αἰτήσῃ διὰ τοῦ κέρατος· ὅθεν καὶ τοὺς εὐδαίμονας φαμὲν Ἀμαλθείας κέρας ἔχειν· Ἀμάλθεια προπαροξύτονον, καὶ τὸ θει δίφθογγος.

Ἁπλοῦς: Ὥσπερ διπλὸς, διπλούς· παρὰ τὸ πέλω τὸ ὑπάρχω, καὶ μετὰ τοῦ α τοῦ σημαίνοντος τὸ ἓν γίνεται ἁπλούς.

Ἀκραιφνέστατος: Σημαίνει δὲ τὸν καθαρώτατον καὶ εὔδηλον· γίνεται δὲ παρὰ τὸ ἀκέραιος καὶ τὸ φαίνω· τὸ κε ψιλόν· πᾶσα λέξις καὶ πᾶν μέρος λόγου· * * * * * * τὸ ραι δίφθογγος· ἐκ τοῦ κέραιος· τοῦτο ἐκ τοῦ κερῶ τὸ μιγνύω καὶ κιρνῶ· καὶ ὥσπερ παρὰ τὸ πτῶ, πταίω, καὶ πλεονασμῷ τοῦ ν πταίνω, καὶ κατὰ ἀναδιπλασιασμὸν παπταίνω· καὶ Ὅμηρος,

πάπτηνεν ὅπῃ φύγοι αἰπὺν ὄλεθρον, (Il. Ξ. 507.)

καὶ ὥσπερ παρὰ τὸ περῶ, περαίω, καὶ πλεονασμῷ τοῦ ν περαίνω,

νέον περαίνεις τὸν φθαρέντα τῇ πλάνῃ·

οὕτως καὶ παρὰ τὸ κερῶ, τὸ σημαῖνον τὸ μιγνύω καὶ κιρνῶ, γίνεται κεραίω· ἐξ αὐτοῦ κέραιος, μετὰ τοῦ στερητικοῦ α ἀκέραιος[f], ὁ μὴ κεκραμένος κακοῖς, ἀλλὰ ἁπλοῦς καὶ ἀποίκιλος· καὶ μετὰ τοῦ φαίνω ἀκεραιοφανὴς, καὶ κατὰ συγκοπὴν ἀκραιφνὴς ὁ καθαρός· καὶ ὑπερθετικῷ ἀκραιφνέστατος, ὁ καθαρώτατος καὶ διαδηλότατος.

Ἄντρον: Παρὰ τὸ ἄνω τετρεῖσθαι, ἤγουν τετρυπεῖσθαι.

f Cod. ἀκερεος.

Ἀντίστοιχον: Ἐκ τοῦ στοῖχος τὸ στοι δίφθογγος· ὅσα ῥήματα ἐν κινήσεσιν εὑρίσκονται γενῶντα τὸ ο, ταῦτα τὸ ε προειλήφασιν· ἔστιν τὸ ῥῆμα στείχω· τὸ στει δίφθογγον·

οἱ δ' ἅμ' ἐστειχόωντο δολίχ' ἔγχεα[g]· (Il. I. 86.)

τὸ δὲ στιχῶ περισπώμενον, καὶ διὰ τοῦ ι γράφεται· ἐκ τοῦ στὶξ στιχός· Ὅμηρος·

μᾶλλον δὲ στίχες ἄρθεν ἐπεὶ βασιλῆος[h] ἄκουσαν· (Il. Π. 211.)

ἔστιν δὲ δευτέρας, τῶν περισπωμένων· λοιπόν ἐστιν στείχω, καὶ τὸ ὄνομα στοῖχος, καὶ μετὰ τῆς ἀντὶ προθέσεως γίνεται ἀντίστοιχον.

Ἀνώγεον: Τὸ νω μέγα· ἐκ τοῦ ἄνω καὶ τὸ γαῖα, τὸ ὑψηλὸν ὂν τῆς γῆς· τὸ γε ψιλόν· τὰ παρὰ τὸ γέα συντιθέμενα διὰ τοῦ ε ψιλοῦ γράφεται· γεωμέτρης· γεώλοφος· οὕτως καὶ ἀνώγεον.

Ἀγορετώ: Παρὰ τὸ ἀγείρω· τοῦτο παρὰ τὸ ἄγω καὶ τὸ εἴρω τὸ λέγω· ὁ πρὸς τὸ λέγειν συναθροίζων.

Ἀδηφάγος: Ἄδην τὸ δαψιλῶς καὶ ἱκανῶς, καὶ τὸ φαγεῖν· ὁ δαψιλῶς καὶ ἱκανῶς ἐσθίων.

Ἀγαπώην: Ῥήματος εὐκτικοῦ· * * * * * * * * τὸ τρίτον ἀγαπάοι ἀγαπῷ· καὶ οἱ Ἴωνες ἐν τοῖς τρίτοις προσώποις τῶν εὐκτικῶν εἰώθασιν ἐπαντιθέναι τὸ η.

Ἀπαυθαδιάζω: Ἐκ τοῦ αὐθάδης γίνεται ῥῆμα αὐθαδίζω, καὶ πλεονασμῷ τοῦ α αὐθαδιάζω.

Ἀπαιώρησας: Ἐκ τοῦ αἴρω τὸ κουφίζω, καὶ πλεονασμῷ τοῦ ω, ὡς ἐπὶ ἄλλων· ὥσπερ τὸ εἴωθα· ἔστιν τὸ ῥῆμα ἔθω, ἔσω, εἶκα, εἶθα, πλεονασμῷ τοῦ ω εἴωθα· καὶ τὸ ἀφῆκα πλεονασμῷ τοῦ ε ἀφέηκα, καὶ τὸ μακρὸν εἰς μακρὸν ἀφέωκα, καὶ ἀφέωνται κατὰ πάθος· ὁ Ἡρωδιανὸς ταῦτα ἐν τῷ κατὰ πάθη· ὁ μέλλων ἀπειωρήσω· ὁ ἀόριστος ἀπῃώρησα καὶ ἀπῃώρησας διὰ τοῦ η καὶ ι, ἡ γὰρ αι εἰς ηι τρέπεται.

Ἀμφιέση: Σημαίνει τὸ ἐνδύσῃ· τὸ θέμα ἀμφιέζω, καὶ γί-

[g] Cod. ἔνχεα. [h] Cod. βασιλεῖος.

νεται παρὰ τὸ ἕω τὸ ἐνδύομαι· καὶ τί διαφέρει τὸ ἀμφιέζω τοῦ ἀμφιάζω; διαφέρει· τὸ μὲν ἀμφιέζω ἐστὶ κοινῶς· τὸ δὲ ἀμφιάζω Δωρικὸν, ὥσπερ τὸ ὑποπιέζω καὶ ὑποπιάζω.

Ἀναλῶ: Γίνεται παρὰ τὸ ἅλις ὃ σημαίνει τὸ ἱκανῶς καὶ δαψιλῶς· ἀλῶ ῥῆμα, καὶ μετὰ τῆς παρὰ προθέσεως παραναλῶ, καὶ σημαίνει τὸ τὰ σεσυνηγμένα καὶ συνηρημμένα διασκορπίζω· ἐξ οὗ καὶ ὁ Θεολόγος· "ἢ πόλεμος παρανάλωσεν, ἢ "σεισμὸς συνέχωσεν, ἢ θάλασσα ὑπεδέξατο."

Ἀνία: Σημαίνει τὴν χαλεπωτάτην καὶ δυσίατον λύπην· γίνεται δὲ παρὰ τὸ ἰῶ τὸ θεραπεύω ἴα, καὶ μετὰ τοῦ στερητικοῦ α ἄϊα· καὶ πολλάκις πέφυκεν πλεονάζειν τὸ ν ἐν ταῖς στερήσεσιν· οἷον, ἀαιδὴς καὶ ἀναιδὴς, καὶ ἀαίμων, ἀναίμων· γράφεται δὲ διὰ τοῦ ι ἀνία· τὰ διὰ τοῦ ια θηλυκὰ ἔχοντα μακρὸν τὸ α, μὴ ὄντα ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων, διὰ τοῦ ι γράφεται· οἷον, πενία· γονία· ξενία· πρόσκειται μὴ ὄντα ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων, διὰ τὸ ἑρμηνεύω, ἑρμηνεία· πορνεύω, πορνεία· ἀλαζονεύω, ἀλαζονεία· μακρὸν ἔχοντα τὸ ε, διὰ τὸ εὐμένεια καὶ δυσγένεια· ἀνία τὸ ι μικρὸν, ἐπειδὴ τὰ διὰ τοῦ νια θηλυκὰ τὸ ι παραληγόμενα συστέλλει αὐτό· πενία· ξενία· γονία· σεσημείωται τὸ ἀνία· τὸ δὲ κονία διφορεῖται· σεσημείωται δὲ τὸ ἀνία, ἐπειδὴ ἀπὸ τοῦ ἰῶ γέγονεν τὸ θεραπεύω, ὅπερ ἔχει μακρὸν τὸ ι.

Ἄντικρυς: Σημαίνει τὸ φανερῶς· ἀντικρὺ δὲ, τὸ ἐξ ἐναντίας· τὸ κρυ μακρόν· τὰ εἰς υ λήγοντα ἐπιῤῥήματα βραχὺ ἔχουσι τὸ υ· μεσσηγύ * * * * * χωρὶς τοῦ ἀντικρύ· καὶ ἀσὴν[i] ἄντικρυ καὶ μὴ ἀντικρύ· τὰ εἰς σ λήγοντα ἐπιῤῥήματα, εἰ μὲν φυλάττουσι τὸ αὐτὸ σημαινόμενον, καὶ τὸν αὐτὸν τόνον φυλάττουσιν· οἷον, οὕτως, οὕτω· μέχρις, μέχρι· ἄχρις, ἄχρι· ἐπεὶ οὖν τὸ ἄντικρυς, οὔτε τὸ αὐτὸ σημαινόμενον, οὔτε τὸν αὐτὸν τόνον ἐφύλαξεν, διὰ τοῦτο τὸ μὲν ἓν προπαροξύνεται ἄντικρυς· τὸ δὲ ἕτερον ὀξύνεται, ἤγουν τὸ ἀντικρύ.

Ἀμυδρός: Παρὰ τὸ μυδρὸς, ὃ σημαίνει τὸ πεπυρακτω-

[i] Sic Cod.

μένον σιδήριον· ἀμυδρὸς ὁ ἀλαμπὴς καὶ σκοτεινός· τοῦτο παρὰ τὸ μύω τὸ καμύω.

Ἀμείλικτος: *Ἀπὸ τοῦ μειλίσσω μειλικτός· τοῦτο ἀπὸ μεταφορᾶς τοῦ μέλιτος· καὶ μελίσσω, καὶ πλεονασμῷ τοῦ ι μειλίσσω, μειλικτὸς, καὶ ἀμείλικτος, ὁ ἀσυμπάθητος, καὶ ἀδυσώπητος, καὶ σκληρός.*

Ἀρραβωνίζω: *Ἐκ τοῦ ἀῤῥαβὼν, ἀῤῥαβῶνος· καὶ φυλάσσει τὸ ω· ἐξ αὐτοῦ τὸ ἀῤῥαβωνίζω· τὸ βω μέγα· τοῦτο δὲ οἱονεὶ ἀῤῥαγώντις ὤν· ἀφ' ἧς γὰρ δοθῇ ὁ ἀῤῥαβὼν, τουτέστιν τὸ λογάριν, οὐ μετακινεῖται εἰς ἄλλον· ἐκ τοῦ ἀῤῥαγὼν τροπῇ ἀῤῥαβὼν, ἀῤῥαβῶνος· καὶ φυλάττει τὸ ω ἀῤῥαβωνίζω·*

σήμερον τὸν βρόχον Ἰούδας ἀῤῥαβωνίζεται.

Αἴτιος: *Γίνεται παρὰ τὸ ἄτη, ὃ σημαίνει τὴν βλάβην· ἄτιος, καὶ πλεονασμῷ τοῦ ι αἴτιος· τὸ ι ι· τὰ ἀπὸ ἀπτώτων διὰ τοῦ ιος γινόμενα ὀνόματα ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ ι γράφεται· οἷον, πλήσσω, πλήγιος, καὶ τοπῇ τοῦ η εἰς α πλάγιος· ἀρκῶ, ἄρκιος·*

οὔ οἱ ἄρκιον ἔσσειται. (Il. B. 393.)

Ἄγαν: *Τὸ γαν μακρόν· τὰ εἰς αν λήγοντα ἐπιῤῥήματα μακρὸν ἔχουσι τὸ α· πέραν· λίαν· ἄγαν· εὐάν· πλὴν τοῦ ὅταν καὶ πάν.*

Ἀρχιτέκτων: *Παρὰ τὸ ἄρχω καὶ τὸ τέκτων· τὰ δὲ παρὰ τὸ ἄρχω συντιθέμενα διὰ τοῦ ι γράφεται· ἀρχιστρατηγός· ἀρχιτέκτων· τὸ δὲ τέκτων παρὰ τὸ τεύχω.*

Ἀρρενωπός: *Καὶ δύο ρρ, καὶ ὀξύνεται, καὶ τὸ ω μέγα· ἔστιν γὰρ ἄῤῥην, ἄῤῥενος, καὶ τὸ ὦψ, ὃ σημαίνει τὸ πρόσωπον· ἡ γενικὴ ὠπὸς, καὶ ἐξ αὐτοῦ ἀῤῥενωπὸς, ὁ ἄῤῥενος πρόσωπον ἔχων· ἔστιν δὲ κατὰ συνεκδοχὴν, ἤγουν ἀνδρεῖος καὶ ἰσχυρὸς, καὶ δυνάμενος πρὸς ἐχθρὸν ἀντιταχθῆναι.*

Αὐτάρκης: *Παρὰ τὸ αὐτὸς καὶ τὸ ἀρκῶ τὸ βοηθῶ, ὁ ἑαυτὸν ἐπαρκῶν καὶ βοηθῶν· καὶ τὸ οὐδέτερον αὔταρκες προπαροξυτόνως.*

Ἅλωσις: *Ἐκ τοῦ ἁλῶ τὸ πορθῶ· τοῦτο ἐκ τοῦ ἅλως, ὃ*

σημαίνει τὴν ἅλωνα· εἰς αὐτὴν γὰρ πορθοῦνται καὶ συνθρύπτονται οἱ ἀστάχυες· τοῦτο ἐκ τοῦ ἀλῶ τὸ συναθροίζω, ἐξ οὗ καὶ δασύνεται· τοῦτο ἐκ τοῦ ἅλς, ἀλός.

Ἀτενίζω: Τὸ πανυ βλέπω καὶ ἐκτείνω· ὁ μέλλων τενῶ, καὶ κατὰ παραγωγὴν τενίζω, καὶ μετὰ τοῦ ἐπιτατικοῦ α ἀτενίζω, τὸ λίαν ἐπιτεταμένος βλέπω.

Ἀνενδοιάστως: Ἐκ τοῦ ἀνενδοιάζω τὸ ἀμφιβάλλω καὶ δοκῶ· γράφεται δὲ δίφθογγος· πρὸς ἀντιδιαστολὴν τοῦ συνδυάζω, ὃ σημαίνει τὸ συναυλίζομαι· καὶ ὁ ψαλμῳδός·

οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτοῦ· (Il. N. 458.)

ἀντὶ τοῦ οὐ μὴ συναυλισθῶ· τὸ δὲ ἀνενδοιάζω τὸ ἀμφιβάλλω[k] γράφεται δίφθογγος· ἔστιν γοῦν ῥῆμα δοάσσω, καὶ σημαίνει τὸ ἀμφιβάλλω καὶ δοκῶ· καὶ Ὅμηρος,

ὧδε δέ οἱ φρονέοντι δοάσσετο κέρδιον· (Il. N. 458.)

ἀντὶ τοῦ ἔδοξεν· λοιπὸν οὖν ἐκ τοῦ δοάσσω, δοάζω, καὶ πλεονασμῷ τοῦ ι δοιάζω, καὶ ἐνδοιάζω, καὶ ἀνενδοιάστως, ἀντὶ τοῦ ἀδιστάκτως, καὶ ἀναμφιβόλως, ἀνεντρέπτως.

Ἀντισηκοῦντας: Σημαίνει τὸ ἀντεξισάζοντας, καὶ γίνεται ἐκ τοῦ ἴσος ὀνόματος ἰσῶ ῥῆμα· ὁ μέλλων ἰσώσω, καὶ κατὰ τροπὴν ἰσωκῶ, καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν, ὡς ἐν τῷ ἁμαρτηλὸς, ἁμαρτωλὸς, οὕτως καὶ ἰσηκῶ, καὶ μετὰ τῆς ἀντὶ προθέσεως ἀντισηκῶ· ἢ παρὰ τὸ σωκεῖν λέγεται τὸ ἰσχύειν· ἐξ οὗ καὶ σῶκος ὁ Ἑρμῆς τουτέστιν ὁ ἰσχυρός·

σῶκος Ἐριούνιος[l]. (Il. Υ. 72.)

Ἀκροβυστία: Τὸ ι ι· τὰ ἀπὸ τῶν εἰς ος ἀρσενικῶν διὰ τοῦ ια γινόμενα θηλυκὰ διὰ τοῦ ι γράφεται· τὸ ἀρσενικὸν ἀκρόβυστος, ὃ σημαίνει τὸ κεκαλυμμένον· γίνεται δὲ παρὰ τὸ βύω τὸ καλύπτω, βύσω, βέκυκα, βέβυσμαι, βέβυσται, βυστός· ὅθεν τραπέντος τοῦ τ εἰς σ γίνεται βυσσὸς, καὶ μετὰ τοῦ ἐπιτατικοῦ ἄβυσσος, ὁ τοπὸς ὁ ὑπὸ πλήθους ὑδάτων κεκαλυμμένος.

Αἰδέσιμος: Ἐκ τοῦ αἰδήσω· ἔστιν καὶ αἰδέσω· καὶ ὥσπερ ἐκ τοῦ ὠφελῶ, ὠφέλιμος, οὕτως καὶ αἰδέσω, αἰδέσιμος.

[k] Cod. ἀμφιβάλω.

[l] Cod. ἐριοῦν.

Ἄβυσσος: Δύο σσ ἐκ τοῦ βύω, βύσσω· ὁ παρακείμενος βέβυκα· τὸ παθητικὸν βέβυσμαι, τὸ τρίτον βέβυσται· ὄνομα ῥηματικὸν βυστὸς, καὶ τροπῇ τοῦ τ εἰς σ βυσσὸς δύο σσ, καὶ ἄβυσσος· λέγεται γὰρ τὸ πολὺ καὶ ἀπέραντον ὕδωρ.

Ἀναστεύου καὶ Μετανάστευου: Λέγεται ὁ μέτοικος καὶ φυγεύς· παρὰ τὸ νάσσω τὸ οἰκῶ, ἐξ οὗ καὶ μετὰ τῆς μετὰ προθέσεως μετανάστης.

Ἀσπίς: Γράφεται διὰ τοῦ ι· τὰ εἰς ις ὀξύτονα θηλυκὰ ὑπὲρ μίαν συλλαβὴν κοινολεκτούμενα ἀποστρέφονται τὴν διὰ τῆς ει διφθόγγου γραφήν· οἷον, ἀσπίς· ῥανίς· ἀκτίς· ψηφίς· κρηπίς· πρόσκειται κοινολεκτούμενα, ἐπειδὴ τὸ εὐσεβὴς καὶ εὐγενὴς διὰ τῆς ει διφθόγγου γράφουσιν οἱ Βοιωτοί· πρόσκειται ὀξύτονα, διὰ τὸ κατάκλεις καὶ ἀντήρεις· γίνεται δὲ παρὰ τὸ σπίζω, ὃ σημαίνει τὸ ἐκτείνω καὶ μηκύνω· γίνεται σπὶς καὶ μετὰ τοῦ στερητικοῦ α ἀσπὶς, τὸ μὴ εἰς ἔκτασιν μηκυνόμενον ἀλλ' εἰς περιφέριαν καὶ κύκλον· λέγεται δὲ ἀπὸ μεταφορᾶς καὶ τὸ ζῶον· αὐτὸ γὰρ συστρέψαν ἑαυτῷ πολεμεῖ καὶ μάχεται· ἀσπὶς, ἀσπίδος, ὁ κανών· τὰ εἰς ις θηλυκὰ διὰ τοῦ π ἐκφερόμενα, εἴτε ἁπλᾶ εἴη, εἴτε σύνθετα, διὰ τοῦ δος κλίνονται· ἁπλᾶ μέν· οἷον, κρηπίς· ἐλπίς· σύνθετα δέ· οἷον, βοῶπις· ἑλικῶπις· ἐλπὶς ὀξύνεται· τὰ εἰς ις θηλυκὰ δισύλλαβα, εἰ μὲν ἀπὸ συμφώνου ἄρχονται, βαρύνονται· οἷον, τράμπις, τράμπιδος· ἔστιν δὲ βαρβαρικὸν ὅπλον· κάλπις, κάλπιδος· εἰ δὲ ἀπὸ φωνήεντος, ὀξύνονται· οἷον, ἐλπὶς, ἐλπίδος· ἐμπὶς, ἐμπίδος· σημαίνει δὲ τὸν κόνωπα.

Ἀριθμός: Παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω· Ὅμηρος,

ἄρσαντες κατὰ θύμον· (Il. Λ. 136.)

οπ * * * γίνεται ἁρμὸς, καὶ πλεονασμῷ τοῦ δ ἀρδμὸς, καὶ τροπῇ τοῦ δ εἰς θ ἀρθμὸς, καὶ πλεονασμῷ τοῦ ι ἀριθμός· οὕτως Ἡρωδιανός· ὁ δὲ πατὴρ αὐτοῦ ὁ Ἀπολλώνιος παρὰ τὸ ἀλίζω τὸ συναθροίζω ἀλισμὸς, καὶ τροπῇ τοῦ σ εἰς θ ἀλιθμὸς, καὶ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον ἀριθμός· οἱονεὶ ἡ συνάθροισις τῶν μονάδων.

Ἄπλητα: Ἄπειρα, πολλά· παρὰ τὸ πλῶ τὸ πελάζω, ὁ μέλλων πλήσω, πλητὸς, καὶ ἄπλητος, καὶ ἄπλητα.

Ἀνάσσω: Παρὰ τὸ ἄνω ἀΐσσειν, καὶ ὁρμᾷν, καὶ πηδᾷν.

Ἀῤῥωγός: Ὀξύνεται· τὰ εἰς γος ἀρσενικὰ, εἴτε φύσει μακρὰ παραλήγονται, εἴτε θέσει, μὴ διὰ δισσοῦ τοῦ γ, ὀξύνονται, εἰ μὴ κύριον ὑπάρχει, καὶ ἔχει ἔννοιαν συνθέσεως· οἷον, πελαργός· ἀρηγός· βροτολοιγός· ἀμολγός· οὕτως καὶ ἀῤῥωγός· πρόσκειται ἀρσενικὰ, διὰ τὸ Ἄμοργος ἐπὶ τῆς νήσου.

Ἀμαυρός: Ὁ σκοτεινὸς καὶ ἀλαμπής· παρὰ τὸ μαίρω τὸ λάμπω· τοῦ ι εἰς υ, καὶ μετὰ τοῦ στερητικοῦ α ἀμαυρὸς, καὶ ἀμαυρῶ ῥῆμα.

Ἀγακλυτός: Ἐκ τοῦ ἄγαν καὶ τὸ κλυτὸς ὁ ἔνδοξος· τοῦτο ἐκ τοῦ κλέω τὸ δοξάζω, κατὰ μετάθεσιν τοῦ ε εἰς υ κλύω, καὶ κλυτός.

Ἁγνός: Ἐκ τοῦ ἄγονος κατὰ συγκοπήν· ἢ παρὰ τὸ ἅζω τὸ σέβομαι ἄδνος καὶ ἁγνὸς, ὃν σεβόμεθα.

Ἄχραντος: Ἡ ἀμίαντος παρὰ τὸ χραίνω τὸ μολύνω, χραντὸς καὶ ἄχραντος· ἔστιν δὲ καὶ ἀρσενικὸν καὶ θηλυκὸν καὶ οὐδέτερον· τὸ ἄχραντον κτέαρ· ἐκ τοῦ χραίνω· τοῦτο παρὰ τὸ χρῶ τὸ ἐφάπτομαι, ὅθεν καὶ χρῶμα τὸ βάμμα.

Ἀκήρατος: Ἐκ τοῦ γῆρας, γήρατος, μετὰ τοῦ στερητικοῦ α ἀγήρατος, καὶ τροπῇ ἀκήρατος· ὁ ἄφθαρτος καὶ μὴ γηρῶν.

Αἶσχος: Παρὰ τὸ ἴσχω· ὅμοιον δέ ἐστιν τὸ ἔχω, καὶ μετὰ τοῦ στερητικοῦ α ἄϊσχος, καὶ ἐν συναιρέσει αἶσχος, ὃ οὐκ ἄν τις βούλοιτο ἔχειν.

Ἀνηλίων[m]: Τῶν ἀφεγγῶν δῆλον ὅτι.

Ἀκεύμενον: Μετοχή· ἔστιν τὸ θέμα ἀκῶ τὸ θεραπεύω, καὶ ἀκέομαι· ἡ μετοχὴ ἀκεόμενος, καὶ κράσει Δωρικῇ τοῦ ε καὶ ο εἰς τὴν ευ δίφθογγον, ὡς ἐρέβεος ἐρέβευς, ἀκεύμενος· ἔστιν δὲ καὶ βαρύτονον ἀκέω, ἐξ οὗ καὶ ἐκτάσει τοῦ ε εἰς η γίνεται ἀκήω.

Ἄγραυλος: Ἐκ τοῦ ἀγρὸς καὶ τὸ αὐλίζω ἀγρόαυλος, καὶ

[m] Cod. ἈΝΗΔΙΩΝ.

συγκοπῇ ἄγραυλος, ὁ ἐν τῷ ἀγρῷ αὐλιζόμενος· ἢ ἐκ τοῦ ἀγρὸς γίνεται καὶ τὸ αὐλῶ ἄγραυλος, οἱ γὰρ ἐν τῷ ἀγρῷ αὐλοῦσιν.

Ἄρδην: Ψιλοῦται· γίνεται δὲ παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω ἄρδην· τὸ γὰρ ἐν τῷ ἅμα λεγόμενον ἁρμοζόντως γίνεται.

Ἁλουργίς: Ἐκ τοῦ ἅλς ἁλὸς καὶ τὸ ἔργον· ἡ ἀπὸ θαλασσίου κόχλου γινομένη καὶ ἐργαζομένη, ἡ καλουμένη πορφύρα.

Ἄσεμνα: Ἀπρεπῆ· ὀξύνεται· τὰ εἰς μνον δισύλλαβα ει ἔχει τὴν πρὸ τέλους συλλαβὴν φύσει μακρὰν, μονογενῆ μὲν ὄντα, βαρύνονται, τριγενῆ δὲ ὀξύνονται· ὕμνος· σκύμνος· τὸ μέντοι σεμνὸς τριγενὲς ὢν ὀξύνεται· ὁ σεμνὸς γὰρ, καὶ ἡ σεμνὴ, καὶ τὸ σεμνόν.

Ἄρκτον: Παρὰ τὸ ἁρπάζω, ἄρπυιον, καὶ ἄρκιον· ἐπιτήδειον γάρ ἐστιν πρὸς τὸ ἁρπάζειν· ἢ παρὰ τὸ ἑλκύω, ἕλκυον, καὶ τροπῇ τοῦ ε εἰς α καὶ τοῦ λ εἰς ρ ἄρκυον· προπαροξύνεται· τὰ εἰς ον λήγοντα καθαρὸν παραληγόμενα τὸ υ βαρύνονται, εἴτε δισύλλαβα εἴη, εἴτε ὑπὲρ δύο συλλαβάς· τῶν ὑπὲρ δύο συλλαβὰς προπαροξυτόνων ἁπλῶν ὄντων ἢ συνθέτων· οἷον, κάρυον· κρόμυον· δίκτυον· ἔμβρυον· κρήγυον· ἄρκυον· δισυλλάβων· βρύον· θρύον· πτύον.

Ἀρά: Ἡ κατάρα· οἱ γὰρ καταρώμενοι τὰς χεῖρας ἐπαίρουσιν πρὸς τὸ ἐπακουσθῆναι αὐτούς.

Αἰδῶ καὶ Αἰσχύνη: Διαφέρει· αἰδεῖται γάρ τις τὸν πατέρα σεβασμίως πρὸς αὐτὸν διακείμενον· αἰσχύνεται δέ τις ἐφ' ᾧ ἂν κατὰ συνήθειαν φοραθῇ ἁμαρτάνων.

Ἀπόθωμαι: Ἔστιν τίθημι· ὁ μέλλων θήσω, ὁ παρακείμενος τέθεικα, ὁ δεύτερος ἀόριστος ἔθην· τὸ ὑποτακτικὸν ἐὰν θῶ, ὁ μέσος δεύτερος ἀόριστος ὁ ὑποτακτικὸς ἐὰν θῶμαι· καὶ διατί ἀνεβίβασε τὸν τόνον; ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι πᾶν ὑποτακτικὸν εἰς μαι λῆγον ἐπὶ δευτέρου μέσου ἀορίστου ἐν τῇ συνθέσει προπαροξύνεται· οἷον, θῶμαι, ἀπόθωμαι, καὶ διάθωμαι·

δεῦτε τέκνον καὶ διάθωμαι.

Ἀλῴη: Δεῖ γινώσκειν ὅτι τὸ ἀλῴη ἔχει ἐν τῇ παραληγούσῃ τὸ ι· ἔστιν γὰρ ἐὰν ἀλῷ, ἐὰν ἀλῷς, ἐὰν ἀλῷ, καὶ κατὰ

πλεονασμὸν τοῦ η γίνεται ἐὰν ἀλφῇ· ἔχομεν γὰρ πολλὰ τοιαῦτα· οἷον, ἐὰν στῶ, ἐὰν στῇς, ἐὰν στήῃ ἐπ' ὠκυρόῳ[n] ποταμῷ· καὶ πάλιν ἐὰν φῶ, ἐὰν φῇς, ἐὰν φήῃ· ὡς παρὰ ποιητῇ ἐν τῇ Ὀδυσσείᾳ·

φήῃ ἀθήρη λυγρὸν [τὸ πτυάριον·] (Od. Λ. 127.)

δύναται δὲ τὸ ἐν ἀλώῃ μὴ ἔχειν εἰς τὸ ω τὸ ι, ἀλλ' εἰς τὸ η, ἵνα εἴπωμεν αὐτὸ ἀπὸ τρισυλλάβου· οἷον, ἀπὸ τοῦ ἐὰν ἀλφῶ, ἐὰν ἀλφῇς, ἐὰν ἀλφῇ· ἀλλ' ἐπειδὴ εἰσὶν πολλὰ ἐν τῇ παραληγούσῃ ἔχοντα τὸ ι, καὶ ἀπὸ πλεονασμοῦ τὸ η· οἷον, στήῃ· φήῃ· δείκνυται ὅτι καὶ τὸ ἀλφῇ ἐν τῇ παραληγούσῃ ἔχει τὸ ι, καὶ ἀπὸ πλεονασμοῦ ἐστι τὸ η.

Ἀνήρ: Σημαίνει δ'· ὁ φύσει ὢν καθάπερ ἐγεννήθη, ἤγουν μὴ κοιμηθεὶς μετὰ γυναικός· ἀνήρ· ὁ δυνατός· ἀνήρ· ὁ τέλειος τῇ ἡλικίᾳ· καὶ ἀνήρ· ὁ τῆς γυναικός.

Αἴτιος: Παρὰ τὸ εἴκω τὸ ὑποχωρῶ· γράφεται τὸ αι δίφθογγος, καὶ γὰρ οἱ αἴτιοι ὑποχωροῦσιν· αἴτιος τὸ τι ι· ἐπειδὴ τὰ ἀπὸ ἐνεστώτων ἢ μελλόντων διὰ τοῦ ιος γενόμενα διὰ τοῦ ι γράφεται· οἷον, αἰτῶ, αἴτιος· ἀρκέσω, ἀρκέσιος· σεσημείωται ἐν τόνῳ τὸ δεξιὸς καὶ ἀνεψιός.

Ἀνεψιός: Παρὰ τὸ ἀνάπτω, ἀνάψω, ἀνεψιός.

Αὐτός: Ἡ ἀντωνυμία· ποσαχῶς σεσημείωται; ἑξαχῶς· μόνη ἀναφορική * * * * * καὶ μόνη τῶν ἀπὸ μακρᾶς ἀρχομένων ψιλοῦται· καὶ μόνη μονοπροσώπων ὀξύνεται· καὶ μόνη διαφόρως συντέθειται κατά τε ἀρχὴν καὶ τέλος· καὶ μόνη ἐπιτάττεται.

Ἀντωνυμία: Πάθη τῆς ἀντωνυμίας γ'· ἀφαίρεσις, συγκοπὴ, καὶ ἀποκοπή.

Ἀλάστωρ: Παρὰ τὸ ἄλη τὴν πλάνην, ἀλάζω, ἀλάστωρ.

Ἀμαρεύματα: Λαμπρὰ, λαμπηδόνες.

Ἀπολλωνιάτης: Τὰ εἰς της ὀνόματα παραληγούσας ἔχουσι· τὸ α, ὥσπερ Ἀπόλλων, Ἀπόλλωνος, Ἀπολλωνιάτης· τὸ ε, ὡς φυλὴ, φυλέτης· τὸ ες, ὡς Θυέστης· τὸ ω, ὡς ἥλιος, ἡλιώ-

[n] Cod. ὀκυρόῳ.

*της καὶ ἀπηλιώτης· τὸ η, ὡς τὸ κόμη, κομήτης· καὶ Αἴγινα, Αἰγινήτης· τὸ ι, ὡς τὸ πόλις, πολίτης· * * ἔπαλξις, ἐπαλξίτης· καὶ τὸ η ἐκ πλεονασμοῦ, ὡς τὸ πολιήτης· μυθιήτης· καὶ τὰ σεσημειώμενα τὴν ει δίφθογγον.*

Ἀταρνεὺς, *Ἀταρνείτης· ἀλείτης· Σαμαρείτης.*

Ἀλείτης: *Ὁ πλανείτης· ἀλήτης, ὁ ἁμαρτωλός.*

Α: *Τὰ εἰς α οὐδέτερα ἐν τῇ συνθέσει τετραχῶς ποιοῦσι τὴν τροπήν· ἢ γὰρ φυλάσσουσι τὸ τέλος καὶ τὸ αὐτὸ γένος, ὡς τὸ τάγμα, σύνταγμα· γράμμα, σύγγραμμα· ἢ τρέπουσι τὸ α εἰς ος, ὡς τὸ στόμα, εὔστομος· σῶμα, εὔσωμος· ἡ γενικὴ σώματος, εὐσώματος· ἢ εἰς ων· ὡς τὸ πρᾶγμα, πολυπράγμων· σχῆμα, εὐσχήμων.*

Αὐλίζω: *Παρὰ τὸ αὐλός· τοῦτο δὲ παρὰ τὸ ἄω τὸ πνέω· οἱ γὰρ αὐλοῦντες πνέουσιν.*

Ἀρήγω: *Ἀπὸ τοῦ ἄρης τοῦ πολέμου, ἡ γὰρ βοήθεια ἐν τῷ πολέμῳ γίνεται κυρίως· κλίνεται Ἄρης, Ἄρου, ὡς σπονδιακόν· Ἄρης, Ἄρητος, ὡς ἰαμβικόν· Ἄρης, Ἄρεος, καὶ Ἄρους, ὡς ῥηματικόν· θεοφάντης καὶ θεοφάνης· καὶ Ἄρης, Ἄρεως· ὅθεν καὶ Ἀρειϊάδης, Ἀρεϊάδου.*

Ἄγω: *Τὸ κλάνω, ὁ δεύτερος ἀόριστος ἦγον, καὶ ἐν διαλύσει τοῦ η, ἐάγη, καὶ κατεάγη·*

ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρθῶσιν.

Ἄγω: *Τὸ ἔρχομαι· τροπῇ τοῦ γ εἰς σχ, καὶ πλεονασμῷ τοῦ ρ, ἄρχω, καὶ ἔρχομαι.*

Ἅπαξ: *Πάντα τὰ εἰς αξ ἐπιρρήματα ὀξύνονται, πλὴν τοῦ ἅπαξ.*

Αἱ ἐκθλίψεις καὶ αἱ συγκοπαὶ ἀναβιβάζουσι τοὺς τόνους.

Ἅμα: *Ἐπίρρημα συλλήψεως· σημαίνει δὲ καὶ χρόνον.*

ἅμα δ᾽ ἠελίοιο καταδύντος. (Il. A. 597.)

Ἀρνύμενοι: *Παρὰ τὴν ἀρὰν, ὃ σημαίνει τὴν εὐχὴν καὶ τὸ ἀρνός· ἐκεῖνοι γὰρ ἐδίδουν θυσίαι εἰς ἄφεσιν ἁμαρτιῶν· σημαίνει δὲ ἀντικαταλασσόμενοι * * καὶ ἀριν παρὰ τὴν ἀρὰν τὴν εὐχήν· * * τὰ δὲ ἐπὶ τῆς ἀρνήσεως παρὰ τὴν ἀρὰν τὴν κατάραν· γίνεται ἀρνῶ, ἀρνεῖς.*

Ἀζηχές: Παρὰ τὸ ᾄδειν δαψιλῶς, ἤτοι ἀδιαλείπτως· ὅθεν καὶ

εἰωθότες ἔδμεναι ἄδδην [o]. (Il. E. 203.)

Ἀπούρας: Ἐπαίρω ἐπαύρας, καὶ τροπῇ τοῦ α εἰς ο ἀπούρας.

Ἀμάρα: Λέγεται ἀπὸ τοῦ ἄμη αἴρειν· σημαίνει δὲ τὸν τράφον· ἄμη δέ ἐστιν ἐργαλεῖον μεθ' οὗ ἕλκουσι λίθους.

Ἀπειλή: Τὰ διὰ τοῦ ιλη ὑπὲρ δύο συλλαβὰς μονογενῆ διὰ τοῦ ι γράφεται, πλὴν τοῦ εἴλη· δείλη· ἀπειλή· ὠτειλή· ὀφειλή.

Ἀρπέτισα: Ἵππος, ἔτι δὲ καὶ ἁρπακτική.

Ἄφνω: Ὃ σημαίνει τὸ ἀθρόως· παρὰ τὸ ἀφανὼν, καὶ ἐν συγκοπῇ ἄφνων, καὶ ἀποβολῇ τοῦ ν ἄφνω.

Ἀπαυρόν: Παρὰ τὸ παῦρον, ἀπαυρὸν, καὶ ἀφαυρόν.

Ἀσύφιλος: Παρὰ τὸ ἄσσω ῥῆμα τὸ κοραίνω, ἀσόφιλος, καὶ Αἰολικῇ τροπῇ τοῦ ο εἰς υ, ὡς ὄνομα, ὄνυμα, ἀσύφιλος· τρέπουσι δὲ καὶ τὸ α εἰς ο, ὡς τὸ κρέας, κρέος· γῆρας, γῆρος, τοῦ γήραος καὶ γήρους· ὅθεν

ἐν γήρει πίονι·

τὸ ρει δίφθογγος.

Ἀφύκτοις: Τοῖς δυσλύτοις· φεύγω, φεύξω, πέφευγα, πέφευγμαι, φευκτὸς, καὶ μετὰ τοῦ στερητικοῦ α ἄφευκτος, καὶ ἐκβολῇ τοῦ ε ἄφυκτος.

Ἀρθροί: Παρὰ τὸ ἄρθρον· τοῦτο παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω·

ὃν διαρθροῖ δακτύλοις,

ἀντὶ τοῦ ἀναπλάττει.

Ἀκηράτων: Καὶ "ἐξ ἀκηράτων" παρὰ τὸ κὴρ μετὰ τοῦ ἐπιτατικοῦ α.

Ἀκεύμενον καὶ Ἐξακεύμενον: Ἐξιώμενον· παρὰ τὸ ἀκὴ, ὃ σημαίνει τὴν θεραπείαν.

Αἰγλῆντα: Λάμποντα· ἡ εὐθεῖα αἰγλήεις, αἰγλήεντος, αἰγλήεντα, καὶ συναιρέσει, αἰγλῆντα.

o Cod. αἴδειν.

Ἀγιστίαις: Ἄγος, ἅγιος, ἁγιαστία, καὶ ἐν συγκοπῇ, ἁγιστία.

Ἄλλο: Διατί σεσημείωται τὸ ἄλλο, τοῦτο, ἐκεῖνο; ἐπὶ τῶν οὐδετέρων τῶν παρασχηματιζομένων ἀρσενικῷ, καὶ ὁμοφωνούντων τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ· τὸ ἄρθρον ἐστὶν τὸ διακρῖνον· ἐὰν γὰρ εἴπω τὸν σοφὸν, τοῦτο αἰτιατικὴ ἀρσενικοῦ ἐστίν· ἐὰν δὲ εἴπω τὸ σοφὸν, τοῦτο εὐθεῖα οὐδετέρου· ἐπεὶ οὖν ἄλλο, τοῦτο, ἐκεῖνο, οὐ δέχονται ἄρθρα ὀφείλοντα ποιήσασθαι διάκρισιν ἀρσενικοῦ καὶ οὐδετέρου γένους· τούτου χάριν ἀποβάλλουσι τὸ ν κατὰ τὸ οὐδέτερον.

Ἀρχέτυπος: Τὸ χε ψιλόν· τὰ παρὰ τὸ ἀρχὴ μόριον διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, ἀρχέκακος· ἀρχέτυπος· Ἀρχέλαος.

Ἀνώνυμον: Τὰ παρὰ τὸ ὄνομα διὰ τοῦ ω μεγάλου γράφονται ἐν τῇ συνθέσει.

Ἀνδρομάχη: Ποσαχῶς ποικίλονται τὰ εἰς η θηλυκά; τετραχῶς· ἢ γὰρ φυλάττουσι τὸ τέλος ὁπότε καὶ τὸ γένος, ὡς τὸ μάχη, Ἀνδρομάχη· ἢ προσλαμβάνουσι τὸ σ, ὡς τὸ γυνὴ, μισογύνης· ἢ τρέπουσι τὸ τέλος εἰς ος, ὡς τὸ φωνὴ, ἄφωνος καὶ κεφαλὴ, ἀκέφαλος· ἢ τρέπουσι τὸ τέλος εἰς ον· ὡς τὸ πύλη, τρίπυλον, καὶ τετράπυλον.

Ἀράχνη: Παρὰ τὸ ἀρειαῖχνη ἔχειν, ἤγουν ἀσθενῆ.

Ἄρτος: Παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω.

Ἀλλότριος: Παρὰ τὸ ἄλλος καὶ τὸ ὁρισμὸς, ἀλόριός τις ὢν, καὶ ἀλλότριος.

Ἀκόνη: Παρὰ τὸ ἀκὴ, ὃ σημαίνει τὴν ὀξύτητα· τὸ κο μικρόν· τὰ διὰ τοῦ ωνη θηλυκὰ τρισύλλαβα, μὴ ὄντα κύρια, μήδε διφορούμενα, διὰ τοῦ ω μεγάλα γράφονται· οἷον, κορώνη· Δοδώνη· μελεδώνη· μὴ ὄντα κύρια εἶπεν, διὰ τὸ Ἑρμιόνη καὶ Εὐφρόνη· διφορούμενα εἶπεν, διὰ τὸ ἀγχόνη καὶ ἀγχονή· σεσημείωνται ϛ· βελόνη· περόνη· ὀθόνη· ἀκόνη· σφενδόνη, καὶ ἀμπεχόνη.

Ἀθηναῖος: Τὰ διὰ τοῦ αιος ἐθνικὰ προπερισπώμενα διὰ τῆς αι διφθόγγου γράφονται· Ἰουδαῖος· Σαδουκαῖος· Ἑβραῖος· Ἀθηναῖος.

ΑἸΆΝΤΕΣΣΙ: Ἐπὶ τῶν ἀρσενικῶν καὶ θηλυκῶν ὀνομάτων, ἡνίκα λήγει ἡ εὐθεῖα τῶν πληθυντικῶν εἰς ες, προσθέσει[p] τῆς σι συλλαβῆς ποιοῦσι τὴν δοτικὴν τῶν πληθυντικῶν παρὰ τοῖς Ἴωσι καὶ τοῖς ποιηταῖς· οἷον, Αἴαντες, Αἰάντεσσι[q]· χάριτες, χαρίτεσσι· ἐπὶ δὲ τῶν οὐδετέρων, ἐπειδὴ οὐ λήγει ἡ εὐθεῖα τῶν πληθυντικῶν εἰς ες, ἀπὸ τῆς δοτικῆς κανονίζεται τροπῇ τοῦ ο εἰς ε.

ἈΝΆΣΣΩ: Τὰ εἰς δύο λήγοντα σσ ἓξ φωνήεντα παραλήγονται· ἢ γὰρ κατὰ τὸ α παραλήγονται· οἷον, ἄναξ, ἀνάσσω, καὶ ἄλλος, ἀλλάσσω· ἢ τὸ ε· οἷον, πῦρ, πυρὸς, πυρέσσω· ἢ τὸ η· οἷον, πήσσω· ῥήσσω· ἢ τὸ ι· οἷον, δειδίσσω, καὶ δεδίσσω, καὶ δεδειττόμενος ὁ ἐκφοβῶν· καὶ λίσσω τὸ παρακαλῶ·

ὣς φάτο λισσόμενος μέγα νήπιος. (Il. Π. 46.)

ἢ τὸ υ· οἷον, ἀφύσσω τὸ ἀπαντλῶ, καὶ ὀρύσσω· ἢ τὸ ω· οἷον, ἀγρώσσω τὸ ἀγρεύω· Ὅμηρος,

ἰχθῦς ἀγρώσσων πυκινὰ πτερὰ δεύεται ἅλμῃ· (Od. Ε. 53.)

καὶ κνώσσω τὸ κοιμῶμαι.

ἈΦῆΚΑ: Διατί οὐκ ἐγένετο ἄφηκα; ἐπειδὴ πᾶς παρωχημένος ἀπὸ φωνήεντος, καὶ ἀπὸ φύσει μακρᾶς ἀρχόμενος, τὸν αὐτὸν τόνον φυλάττει καὶ ἐν τῇ συνθέσει· οἷον, ἦλθον, συνῆλθον· ἧγμαι, ἀφῆγμαι, καὶ συνῆγμαι· ἧκα, ἀφῆκα· πλὴν τοῦ ἧκον, ὑπόηκον· καὶ οἶδα σύνοιδα.

ΑὐΤΆΡ: Ποῖον ἐστὶν ἀναλογώτερον[r] τὸ αὐτὰρ ἢ τὸ ἀτάρ; δῆλον ὅτι τὸ αὐτάρ· κανὼν γάρ ἐστιν ὁ λέγων, παρεπόμενόν ἐστι τῇ ἐκ τοῦ α συνεστώσῃ[s] διφθόγγῳ μετὰ τὴν ἀπόστασιν τοῦ ὑποτακτικοῦ φωνήεντος ἐκτείνειν τὸ α, οὐχ ἑτέρου λόγου ἐπικρατοῦντος· οἷον, κεφέλαιον, κεφαλάδιον· οὔραιον, οὐράδιον· εἴπερ οὖν καὶ ὁ αὐτὰρ σύνδεσμος ἔνδειαν εἶχεν τοῦ υ ἐν τῷ ἀτὰρ, παρείπετο οὖν καὶ ἡ τοῦ α ἔκτασις.

ἌΓΗ: Ὃ σημαίνει τὴν ἔκπληξιν, ὡς καὶ ὁ ποιητὴς,

ἄγη μ' ἔχει ὄρχαμε[t] λαῶν· (Il. Φ. 221.)

[p] Cod. προσθέσι. [q] Cod. ἰάντεσσι. [r] Cod. ἀναλογότερον. [s] Cod. συνεστώσει. [t] Cod. ὄρχαμαι.

καὶ διατί ἐστιν ἄκλιτον; κανὼν γάρ ἐστιν ὁ λέγων· ὅτι τὰ εἰς γη ἰαμβικὰ οὐδέποτε ἀπὸ φωνήεντος ἄρχεται· οἷον, στέγη· φαγή· ταγή· πρόσκειται ἰαμβικὰ διὰ τὸ ἄγη, σημαίνει δὲ τὴν ἀπόκλασιν τοῦ κύματος· τοῦτο γὰρ ἀπὸ φωνήεντος ἄρχεται· ἀλλ' οὐκ ἔστιν ἰαμβικὸν ἀλλὰ σπονδιακόν· τὸ γὰρ α μακρὸν ἔχει· ἐπειδὴ οὖν ἄγη ἐστὶν ἰαμβικὸν, καὶ ἀπὸ φωνήεντος ἄρχεται, εἰκότως, ὡς μὴ ἔχον τι μιμήσασθαι, ἄκλιτον ἔμεινεν.

Ἀμυδρότερος: Παρὰ τὸ μαίρω τὸ λάμπω.

Ἀπέθανεν: Ἐτυμολογεῖται, ἀπῆλθεν ὅθεν ἦν.

Ἀθῷος: Ἐκ τοῦ θωή· * * * * * ποσαχῶς συντίθενται τὰ εἰς η θηλυκά; τετραχῶς· ἢ γὰρ φυλάττουσι τὸ αὐτὸ τέλος· ὁπότε καὶ τὸ αὐτὸ γένος φυλάττουσι· οἷον, μάχη, Ἀνδρομάχη· ἢ προσλαμβάνουσι τὸ σ· ὡς τὸ γυνὴ, μισογύνης· ἢ τρέπουσι τὸ τέλος εἰς ος, ὡς τὸ φωνὴ, ἄφωνος· ἢ τρέπουσι τὸ τέλος εἰς τὴν ον κατάληξιν, ὡς τὸ πύλη, τρίπυλον, καὶ τετράπυλον.

Ἀχλύς: Παρὰ τὸ ἄχος, ὃ σημαίνει τὴν λύπην.

Ποσαχῶς ἐπιμερίζονται τὰ ἐπιμεριζόμενα; τετραχῶς· εἷς ἐκ δύο, ὡς ἕτερος τῶν ὀφθαλμῶν· δύο καθὲν, ὡς ἑκάτερος· εἷς ἐκ πολλῶν, ὡς ἄλλος· πολλοὶ καθ' ἑνὰ, ὡς ἕκαστος.

Αἰσχύνω: Ὁ παρακείμενος ᾔσυγκα διὰ τοῦ κ· ἐπειδὴ οἱ μέλλοντες, οἱ δι' ἀμεταβόλου ἐκφερόμενοι, ἢ διὰ τοῦ σ ἐκφέρονται, ὡς ἐπὶ τοῦ φθείρω, φθέρσαι * * * * ἐπεὶ οὖν τὸ σ ἔχει ὁ μέλλων, εἰκότως μετὰ τοῦ ἀμεταβόλου τὸ κ προσέλαβεν.

Ἀνδρεῖος: Τὰ διὰ τοῦ ειος ὑπὲρ δύο συλλαβὰς ἔχοντα ἐν τῇ ἀρχῇ τὸ α μεθό ἐστιν δύο σύμφωνα, ἢ καὶ πλείονα [u], διὰ τῆς ει διφθόγγου γράφεται· ἀνδρεῖος· Καδμεῖος· πλὴν τοῦ ἀντίος.

Βάσανος: Λέγεται ἡ κόλασις, καὶ γίνεται παρὰ τὸ βιάζω, βιάσω, βιάσα, καὶ βάσανος· ἢ παρὰ τὸ βίβημι, βήσω, καὶ τὸ ἀνία, ὃ σημαίνει τὴν λύπην· ἢ ἀπὸ βασάνου τῆς χρυσοχοΐ-

[u] Cod. πλείωνα.

κῆς λίθου, ἐν ᾗ ἐδοκιμάζετο ὁ χρυσὸς, κἄντε εὔρυζός ἐστιν, κἄντε κίβδηλος.

Βόσωρ: *Ἑβραϊκὴ λέξις· σημαίνει δὲ ἱμάτιον ἐκ κοκίνου βεβαμμένον.*

Βλάβη: *Παρὰ τὸ βλάπτω· τοῦτο παρὰ τὸ βάλλω, βάλπτω, καὶ ὑπερβιβασμῷ, βλάπτω.*

Βλάσφημος: *Ἐκ τοῦ φήμη καὶ τοῦ βάλλω, ὁ τὰς φήμας βάλλων, ὁ λοίδωρος.*

Βρέτας: *Παρὰ τὸ βροτὸς, βρότας, καὶ βρέτας, τὸ τῷ βροτῷ ὅμοιον, ἤγουν ξόανον· τουτέστιν ὅμοιον ἀνθρώπῳ· τοῦτο παρὰ τὸ μείρω τὸ μερίζω.*

Βραβεῖον: *Ἐκ τοῦ ῥάβδος, ῥαβδεῖον, καὶ τροπῇ τοῦ δ εἰς μ, καὶ ὑπερβιβασμῷ ἑτέρου μ βραβεῖον· ῥάβδος λέγεται τὸ βασιλικὸν σκῆπτρον, ἐξ οὗ καὶ βραβευταὶ λέγονται, οἱ τὰς βασιλικὰς ῥάβδους βαστάζοντες, καὶ τοῖς νικῶσι τοὺς στεφάνους διδόντες, καὶ βραβεῖον λέγεται ὁ παρὰ τῶν βραβευτῶν διδόμενος στέφανος τῷ νικήσαντι· τὸ μει δίφθογγον· τὰ διὰ τοῦ ειον κτητικὰ προπερισπώμενα δίφθογγον ἔχει· τεκτονεῖον· μουσεῖον· κουρεῖον· βαλανεῖον.*

Βρέμω: *Τὸ βρε ψιλόν· τὰ διὰ τοῦ εμω ῥήματα διὰ τοῦ ε ψιλοῦ γράφεται· πλὴν τοῦ μαιμῶ, σημαίνει δὲ τὸ ὁρμῶ· η ουτ μαιμῶσα, τοῦ αἵματος γευστικῶς ἔχουσα, ὁρμῶσα.*

Βία: *Παρὰ τὸ ἶς, ὃ σημαίνει τὴν δύναμιν· γράφεται δὲ διὰ τοῦ ι· τὰ εἰς ις, δικατάληκτα διὰ τοῦ ι γράφεται· ἔστιν γὰρ καὶ ἴν· ἡ εὐθεῖα τῶν πληθυντικῶν ἶνες, ἡ γενικὴ ἰνῶν· "σπωμένων δὲ τῶν ἰνῶν" ἤγουν τῶν νευρῶν· τοῦτο δὲ παρὰ τὸ ὑπάρχω, ἡ ὑπάρχουσα ἔν τινι· ἐξ αὐτοῦ ἶς ἶα, καὶ πλεονασμῷ τοῦ β βία.*

Βακτηρία: *Λέγεται ἡ ἐπιστηρικτικὴ ἐνὶ ἐπιστηριζόμενοι ἀναπαυομεθα· ῥάβδος δὲ λέγεται ἡ ποιμαντική· γίνεται δὲ βακτηρία παρὰ τὸ τὴν βάσιν τηρεῖν, βατηρία τις οὖσα, καὶ βακτηρία.*

Βορρά: *Παρὰ τὸ βορώτατα τὰ σώματα ἡμῶν ποιεῖν· τοῦτο δὲ πρὸς ἀντιδιαστολὴν τῆς βοῤῥᾶς τῆς θαλάσσης.*

Βδελάσσω: Παρὰ τὸ βδέλλα· τοῦτο παρὰ τὸ βδέλλω τὸ ἀμέλγω· βδέλλειν γὰρ λέγουσιν οἱ Ἀττικοὶ τὸ ἀμέλγειν, ἡ γὰρ βδέλλα ἀμελγούσῃ ἔοικεν.

Βραχίων: Τὰ διὰ τοῦ ιων βαρύτονα τρέποντα τὸ ω εἰς ο ἐπὶ τῆς γενικῆς, εἴτε κοινὰ, εἴτε μὴ κοινὰ, ἀποστρέφονται τὴν ει δίφθογγον κατὰ τὴν παραλήγουσαν· οἷον, Δολίων, Δολίονος· βελτίων, βελτίονος· καλλίων, καλλίονος· Ἀμφίων, Ἀμφίονος· διπλασίων, διπλασίονος.

Βοηθός: Τὰ εἰς η λήγοντα θηλυκὰ ἐν τῇ συνθέσει, ἢ φυλάττουσι τὸ η, ὡς τὸ βουλὴ, βουληφόρος, καὶ βοὴ, βοηθός· ἢ τρέπουσι τὸ η εἰς ο, ὡς τὸ νύμφη, νυμφοστόλος, καὶ τιμὴ, Τιμόθεος.

Βάρεις: Πλοῖα τείχει, στοαὶ, αὐλαὶ, πύργοι, σφυραί τινες αἱ μεγάλαι καὶ ὑπόβαθροι πέτραι λέγονται· ἐτυμολογεῖται δὲ παρὰ τὸ μετὰ βίας πολλῆς ἀρηρέναι καὶ συνηρμόσθαι· κλίνεται δὲ βάρις, βάρεος· ἔτι δὲ καὶ ὅσα τὸ ρ ἔχει· ἔρις, ἔριδος· κίθαρις, κιθάριδος· πλὴν τοῦ ὕβρις, ὕβρεως, καὶ ἄγυρις, ἀγύρεως.

Βέβαιος: Τὰ ἀπὸ τῶν εἰς ω περισπωμένων διὰ τοῦ αιος γινόμενα ὀνόματα διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, πηδῶ, πήδαιος· τιμῶ, Τιμαῖος· ἐν τῇ πρὸς Τιμαῖον βίβλῳ· βιβῶ, βίβαιος, καὶ βέβαιος, τροπῇ τοῦ ι εἰς ε.

Βόθρος: Παρὰ τὸ βῶ, βέω, ἐξ οὗ καὶ πλεονασμῷ τοῦ ι βείω, βέθρος, καὶ βόθρος κατὰ ἀντίφρασιν, ἐφ' ὃν οὐδεὶς βαίνει· ἢ παρὰ τὸ βάθος, βάθρος, καὶ βόθρος.

Βλοσυρός: Γίνεται παρὰ τὸ βλέπω καὶ τὸ ἀρῶ, ὁ διὰ τῶν ὀφθαλμῶν διασύρων τινά.

Βακχεύω: Ἐκ τοῦ βάκχος ὁ μέθυσος, ὁ λεγόμενος Διόνυσσος· ἐτυμολογεῖται δὲ παρὰ τὸ βοᾶν μετὰ ἤχου.

Βρέφος: Παρὰ τὸ τρέφω, τρέφος καὶ τροπῇ βρέφος· ἢ παρὰ τὸ φέρβω τὸ τρέφω φέρβος, καὶ βρέφος.

Βεβυσμένα: Ἀντὶ τοῦ πεφραγμένα, παρὰ τὸ βύω· τοῦτο δὲ παρὰ τὸ δύω [x] τὸ ὑπεισέρχομαι [y].

[x] Cod. δύω. [y] Cod. ὑπησέρχομαι.

Βρότειον: Τὸ τει δίφθογγος, ὡς μετουσιαστικόν· ὁμοίως καὶ τὸ λεόντειον καὶ δρακόντειον· τὰ διὰ τοῦ ειος μετουσιαστικὰ διὰ τῆς ει διφθόγγου γράφεται.

Βροτήσιος: Ἐκ τοῦ βροτὸς, βροτήσιος τροπῇ τοῦ ο εἰς η, ὡς τὸ θεὸς, θεοτόκος, καὶ θεητόκος, γίνεται βροτήσιος· τὸ σι ι, ὡς ἀθανάσιος.

Βάτος: Κατὰ περίφρασιν ἄβατός τις οὖσα, ἐφ' ἧς οὐκ ἔστιν ἐπιβῆναι διὰ τὸ ἀκανθώδην εἶναι.

Βιῴη: Δεῖ γινώσκειν ὅτι τὸ βιῴη ἔχει ἐν τῇ παραληγούσῃ τὸ ι· ἔστιν δὲ εὐκτικόν· οἷον, ὡς παρὰ Ἀριστοφάνει [a],

ἀναβιῴειν νῦν πάλιν·

γέγονεν δὲ τοῦτον τὸν τρόπον· ἔστιν βιῶν βιοῦντος· βιοῖμι, βιοῖς, βιοῖ, καὶ κατὰ πλεονασμὸν τοῦ η βιοίη· ὥσπερ περιπατοῖμι, περιπατοῖς, περιπατοῖ, περιπατοίη, καὶ κατ' ἔκτασιν τοῦ ο εἰς τὸ ω γίνεται βιῴη· ἢ λέγομεν ὅτι ὥσπερ ἀπὸ τοῦ δοὺς, δόντος, γίνεται δοίην, δοίης, δοίη, καὶ κατ' ἔκτασιν τοῦ ο εἰς τὸ ω γίνεται δῴη· οἷον,

δῴη κύδε' ἄρεσθαι· (Il. Π. 88.)

τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ βιοὺς, βιοῦντος γέγονεν βιοίην, βιοῖς, βιοίη, καὶ κατ' ἔκτασιν τοῦ ο εἰς τὸ ω βιῴη.

Βάτραχος: Παρὰ τὸ βοᾶν τραχέως.

Βύσης: Βύω τὸ σφαλίζω καὶ κλείω.

Βόρβορος: Παρὰ τὸ βάρος κατὰ ἀναδιπλασιασμόν.

Βροτησίαι: Τῇ ἀνθρωπίνῃ οὐσίᾳ.

Βακχεύσασαν: Ὀρχουμένην, πλανηθεῖσαν, ἐξεστηκυῖαν.

Βορῶν: Στομάτων· Βάσει· στηρίγματι.

Βρόχων: Ἀγχόνων, δεσμῶν· Βρέτας· εἴδωλον.

Βροτισίων: Βροτείων λόγων.

Γέλως: Ὥσπερ παρὰ τὸ ἐρῶ, ὃ σημαίνει τὸ ἐπιθυμῶ, γίνεται ἔρας καὶ γέρας πλεονασμῷ τοῦ γ, ὅπερ πάντας ἐπιθυμοῦμεν, οὕτως καὶ παρὰ τὸ ἕλη, ὃ σημαίνει τὴν λαμπηδόνα, ἕλος καὶ γέλως.

Γενειάς: Ἐκ τοῦ γένειον· σημαίνει δὲ γένειον τὴν βα-

[a] Ran. 177.

θείαν ὑπήνην· ἐκ τοῦ γένος γένειον· καὶ τί μετέχει πρὸς τὸ γένος; διακρίνει γὰρ τὰ γένη· λέγεται γὰρ ἀπὸ ἱστορίας, ὡς ἔθνος εἴκοσι πέντε χιλιάδων ἐπελθὸν παρεκάθηντο τοὺς Ῥωμαίους· ἐκεῖνοι δὲ ὀλίγοι ὄντες, ἀνοίξαντες ἑτέρας πύλας, ἔφερον τὰς σκλαβηνίας· ἔτι δὲ οἱ σκλάβοι, ὀλίγοι ὄντες, ἔφερον καὶ τὰς γυναίκας αὐτῶν, περιθέντες αὐτοῖς σχῆμα ἀνδρεῖον καὶ γενειάδα ἐξήρχοντο· ἰδόντες δὲ τὸ πλῆθος τὰ ἔθνη ἠρώτων τοὺς Ῥωμαίους τίνες εἰσὶν οὗτοι, καὶ ἔλεγον Λογγίβαρδοι, τουτέστιν βαθεῖαν ὑπήνην καὶ μακρὰν ἔχοντες· παρὰ τὸ λογγιον, ὃ σημαίνει τὸ βαθὺ, καὶ τὸ βαρδον, ὃ σημαίνει τὸ γένειον.

Γίνω: Τὸ *γι μακρὸν διότι γίγνω· καὶ τὰ θέσει μακρὰ ἡνίκα ἀποβάλλει σύμφωνον, εἰς φύσει μακρὰ μεταβαίνουσι.*

Γαῖα: Τὸ *α βραχύ· τὰ διὰ τοῦ αια πανώνυμα ὑπὲρ δύο συλλαβὰς εἰσὶ, καὶ ἐκτείνονται· τὸ δὲ γαῖα· μαῖα· γραῖα· ὡς διαλλάξαντα τοῦ μόνα εἶναι δισύλλαβα, διήλλαξαν καὶ περὶ τὸν χρόνον.*

Γηρωκόμων: Τὸ *ρω μέγα· ἐκ τοῦ γήρας, γήραος, γήρως κατὰ κρᾶσιν· τὸ γὰρ α καὶ ο εἰς ω μέγα κίρναται· καὶ τοῦ κομῶ τὸ ἐπιμελοῦμαι· τὰ δὲ παρ' Ἀττικὴν γενικὴν ὀνόματα συντιθέμενα, διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, κηρωφόρος· γηρωκόμος· γράφεται δὲ καὶ μικρὸν ἀπὸ χρήσεως ποιητικῆς.*

Γράφω: Μετὰ *ποίας πτώσεως συντάσσεται πρὸς διάφορον σημασίαν; εἰ γὰρ εἴπω "γράφω σοι" μετὰ δοτικῆς, σημαίνει ἐπιστέλλω σοι· ἐὰν δὲ εἴπω "γράφω σε" μετὰ αἰτιατικῆς, σημαίνει τὸ ἐκτύπωμά σου ποιῶ· ἂν δὲ εἴπω "γράφομαί σε," σημαίνει τὸ ἐγγραφὰς κατὰ σοῦ εἰς δικαστῇ ἀποτίθημι.*

Γογγύζω: Ἐκ *τοῦ γρύζω τὸ τῇ φωνῇ ὑποκλαίω καὶ παραλαλῶ· καὶ κατὰ ἀναδιπλασιασμὸν γογγρύζω, καὶ ἐκβολῇ τοῦ ρ γογγύζω· γρύζειν γὰρ λέγεται τὸ τῇ φωνῇ παραλαλεῖν.*

Γεννάδας, Γεννάδα: Ὁ *κανών· τὰ εἰς δας ἀρσενικὰ βαρύτονα ὑπὲρ δύο συλλαβὰς ἀποβολῇ τοῦ σ ποιοῦσι τὴν γενικήν·* Πλακίδας, Πλακίδα· Ἰούδας, Ἰούδα· *γεννάδας, γεννάδα.*

Γαῖρος: Παρὰ *τὸ γαίω τὸ γαυριῶ· ἐξ αὐτοῦ γαῖρος, καὶ*

τροπῇ τοῦ ι εἰς υ γαῦρος· προπερισπᾶται· τὰ εἰς ρος δισύλλαβα καθαρὸν τῇ αυ διφθόγγῳ παραληγόμενον ἐπὶ ἀψύχων τιθέμενα, κύρια ἢ προσηγορικὰ, ἢ ἐπιθετικὰ, προπερισπῶνται· σαῦρος· Μαῦρος· ταῦρος, εἴτε ὁ βοῦς, εἴτε τὸ ἔθνος· λαῦρος· πρόσκειται δὲ ἐπὶ ἀψύχων, διὰ τὸ σταυρός.

Γεγῶσα: Μετοχὴ ἐκ τοῦ γῶ τὸ χωρῶ, ὁ μέλλων γήσω, ὁ παρακείμενος γέγηκα, καὶ τὸ Ἰωνικὸν γέγαα· ἐπὶ γὰρ τοῦ παρακειμένου, ἡνίκα ὑφαίρεσιν ποιήσονται τοῦ συμφώνου, τότε καὶ συστολὴ παρακολουθῇ· ἡ μετοχὴ γεγαὼς, γεγὼς, καὶ γεγαότος, γεγῶτος, τὸ θηλυκὸν τὸ μὲν ὑπὲρ τρεῖς συλλαβὰς, γίνεται γεγαυῖα, τὸ δὲ τρισύλλαβον γεγῶσα· ἐπὶ μὲν γὰρ τῶν ὑπὲρ τρεῖς συλλαβὰς ὄντων μετοχῶν τὸ θηλυκὸν διὰ τοῦ υια γίνεται· οἷον ἐστὶν τὸ βεβαυῖα· ἔστιν γὰρ ὑπὲρ τρεῖς συλλαβάς· ἐπὶ δὲ τρισυλλάβου γίνεται μεμῶσα, ὡς γεγῶσα· ἐπὶ δὲ τοῦ ὑπὲρ τρεῖς συλλαβὰς, οὐ γίνεται ἡ μετοχὴ διὰ τοῦ ωσα, ἀλλὰ τοῦ υια.

Γλωσσαλγίαν: Τὴν βλασφημίαν, παρὰ τὸ γλῶσσα καὶ τὸ ἄλγος, ὃ σημαίνει τὴν λύπην· τοῦτο παρὰ τὸ κλώθω, δι' ἧς συγκλωμένης ἀπηχεῖται ἡ φωνή· τὸ ἄλγος ἐκ τοῦ ἄλεγος, ἄλγος, τὸ φροντίδος ἄξιον· βαρύνεται· τὰ εἰς γος δισύλλαβα ἔχοντα πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον καταλήγουσαν, προσηγορικὰ ὄντα ἢ κύρια, βαρύνονται· οἷον, σπόγγος· πύργος· οὕτως οὖν καὶ ἄλγος.

Γωρυτόν: Παρὰ τὸ γῶ τὸ χωρῶ, τὸ πολλὰ χωροῦν.

Γᾶ: Τὸ χωρῶ, ὅθεν γῆ παρὰ τὸ χῶ, καὶ τροπῇ τοῦ χ εἰς γ· γέα, γεοῦχος· τὸ γε ψιλόν· γαιήοχος· τὸ γαι δίφθογγον· γῆ, καὶ διαλύεται, καὶ γίνεται γαῖα, τὸ αι δίφθογγον.

Γέρας: Παρὰ τὸ ἐρῶ τὸ ἐπιθυμῶ.

Γυμνός: Παρὰ τὸ τὰ γύα μόνα ἔχειν, ἤγουν τὰ μέλη.

Γαστήρ: Παρὰ τὸ γῶ τὸ χωρῶ.

Γεγῶσα: Γεγονυῖα· **Γῆρυν**· φωνήν.

Γενάρχην: Τὸν τοῦ γένους ἀρχηγόν.

Γεραίρων: Δοξάζων.

Διηνεκές: Τὸ δι ι, καὶ τὸ ἄλλο η· ἐκ τοῦ ἐνέκω, ἐνεκὴς,

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

Σείσος(?): [illegible] δώσεις, [illegible]

Δοκά καὶ Προσδοκά: Ἀπλοῦν μὲν τὸ ἔστω πρώτης συζυγίας τῶν περισπωμένων· σύνθετον δὲ ἔστω δευτέρας.

Διαβούλιον: Ὄνομα οὐδέτερον ὑποκοριστικόν· γέγονεν δὲ παρὰ τὸ βουλή, βούλιον διὰ τοῦ ι· τῶν οὐδετέρων εἰς ον λήγον προπαροξύνεται, μὴ σημαίνοντα μέρος σωματικὸν, ἢ μετουσιαστικὰ, ἢ κτητικὰ ὑπάρχοντα, διὰ τοῦ ι γράφεται· χωρὶς τοῦ ὕπνειον βρέθειον γένειον ὄστρειον· διατί προπαροξύνεται; πᾶν εἰς ον καθαρὸν οὐδέτερον μονογενὲς, τὸ ι μόνον παραληγόμενον, ὑπὲρ τρεῖς συλλαβὰς, προπαροξύνεται, εἴτε κύρια, εἴτε προσηγορικὰ, εἴτε ὑποκοριστικά· παρθένιον· Διονύσιον· οἰνοπώλιον· ἀρτοπώλιον· κωβώνιον· αὐχένιον.

Δεισιδαιμονία: Λέγεται ἡ πρὸς πονηροὺς θεοὺς ἐπιμέλεια καὶ φόβος· γίνεται δὲ παρὰ τὸ δείδω, ὃ σημαίνει τὸ φοβοῦμαι, καὶ ὁ μέλλων δείσω, καὶ τὸ δαίμων, ὃ σημαίνει τὸν θεόν.

Δυσαλθέσ: Τὸ δυσίατον· ὄνομα οὐδέτερον· τὸ ἀρσενικὸν δυσαλθής· γίνεται δὲ ἐκ τοῦ δυς μόριον, καὶ τοῦ ἄλθω τὸ θεραπεύω· τοῦτο ἐκ τοῦ ἄλδω τὸ αὐξῶ, τὸ γὰρ ὑγιὲς αὔξεται.

Δειμάμενος: Μέσου ἀορίστου α΄ μετοχή· ἐδειμάμην καὶ ἀνεδειμάμην· τὸ θέμα δέμω τὸ οἰκοδομῶ, ἐξ οὗ καὶ δόμος· ε΄ συζυγίας τῶν βαρυτόνων ὁ μέλλων δεμῶ, ὁ ἀόριστος ἔδειμα, ὁ μέλλων ἐδειμάμην, ἡ μετοχὴ δειμάμενος καὶ ἀναδειμάμενος.

Δουλεῖα: Τῶν ὑποπεπτωκότων τῷ ὀνόματι πρός τι ἔχον· πόσοι τρόποι τῆς δουλείας; γ΄· τὸ κατὰ δημιουργόν· "ὅτι τὰ "σύμπαντα δοῦλα σᾶ." καὶ τὸ κατὰ δικαιοσύνην· "ἐλευθερωθέν-" "τες ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ·" καὶ ἐπὶ τῷ ἀργυρωνήτῳ· ὥσπερ τὸ "ἠγόρασα δοῦλον."

Δότε: Δίδωμι, δώσω· ἡ μετοχὴ δοὺς, δόντος· τὸ προστακτικὸν δὸς, δότω, δότον, δότε.

Δραμεῖν: Δρέμω, δραμῶ, ὁ δεύτερος ἀόριστος ἔδαρμον· ἔτι γὰρ ἀπὸ βαρυτόνων θεμάτων ἀεὶ βραχεῖα παραλήγεται ὁ δεύτερος ἀόριστος· καὶ ὑπερβιβασμῷ ἔδραμον.

Διαμπάξ: Ἀντὶ τοῦ διόλου· γίνεται ἐκ τοῦ πᾶς, Δωρικῇ τροπῇ τοῦ σ εἰς ξ πὰξ, καὶ διαμπάξ.

Δεσπότης: Ὄνομα προσηγορικόν· παρὰ τὸ δέος ἐμποιεῖν, ἤγουν φόβον· βαρύνεται· τὰ εἰς της λήγοντα ἀρσενικὰ καθαρὰ βραχεία παραληγόμενα, ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ ὄντα, βαρύνονται· οἷον, ἐργάτης· ἐλάτης· γενέτης· γαμέτης· δεσπότης· τοξότης· δημότης· σεσημείωται τὸ εὑρετὴς ὀξυνόμενον.

Δυσμενής: Παρὰ τὸ δυς μόριον καὶ τὸ μαίνω τὸ ὀργίζομαι, ὁ ἐπὶ κακῷ μαινόμενος.

Δειματουμένη: Μετοχὴ τρίτης συζυγίας τῶν περισπωμένων ἐκ τοῦ δεῖμα οὐδετέρου·

δεῖμα καὶ ετο Δαναοῖσι· (Il. E. 682.)

τοῦτο ἐκ τοῦ δεῖμος ὁ φόβος· τοῦτο ἐκ τοῦ δέα τὸ φοβοῦμαι δέϊμος, καὶ κατὰ συναίρεσιν δεῖμος· ἐξ αὐτοῦ δεῖμα, δείματος, καὶ δειματοῦ, δειματουμένη.

Δεδορκώς: Ἐκ τοῦ δέρκω, δέρξω, δέδερχα, δέδορκα, δεδορκώς· ὁρῶν, ἰδών.

Δοξούμενοι: Ἀντὶ τοῦ δοξάζοντες· ἐκ τοῦ δοξέω, δοξῶ, α' συζυγίας τῶν περισπωμένων· καὶ οὐ λέγομεν δοξόω, δοξῶ· ἡ δὲ σύνθεσις ἐδήλωσεν τὴν ἀκρίβειαν· κενοδοξῶ γὰρ κενοδοξήσω, καὶ οὐ κενοδοξώσω.

Δίνη: Ἡ συστροφή, ἐκ τοῦ εἴλω, ἴλη· πλεονασμῷ τοῦ δ, καὶ μεταθέσει τοῦ λ εἰς ν δίνη.

Δύστηνος: Ἐκ τοῦ στῆναι καὶ τὸ δυς μόριον, ὁ μετὰ κακοπαθείας καὶ κόπου στῆναι δυνάμενος· ἢ παρὰ τὸ στένω, τὸ στενάζω, στένος καὶ στῆνος, καὶ μετὰ τοῦ δυς μορίου δύστηνος, ὁ ἄθλιος καὶ ταλαίπωρος.

Διδάξω: Διατί οὐ γέγονεν ἐκ τοῦ διδάσκω ἀλλ' ἐκ τοῦ διδάχω; διότι ἔχει τὴν διδαχὴν τὸ ῥηματικὸν ὄνομα.

Δαίω: Τὸ καίω·

ὑπὸ δὲ ξύλα δαῖον ἑλοῦσαι. (Il. Σ. 347.)

Δαίω: Τὸ διδάσκω·

δαίδαε φρεσίν.

Δαίω: Τὸ εὑρίσκω·

ἡμεῖς δὲ καὶ ἄλλοθι δήομεν. (Il. Π. 44.)

Δαίω: Τὸ μανθάνω· ἐξ οὗ καὶ δαίμων καὶ αἵμων.

Δαίω: Τὸ κόπτω· ὅθεν καὶ δαιτρός.

Δαίω: Τὸ εὐωχοῦμαι· ἐξ οὗ καὶ δαὶς ἡ εὐωχεῖα, καὶ δαιτυμόνες οἱ φίλοι.

Δέω: Τὸ δεσμεύω· ἐξ οὗ καὶ δεσμός.

Δέω: Τὸ πρέπω· ἐξ οὗ καὶ δέον ἐστί.

Δέω: Τὸ φοβοῦμαι· ἐξ οὗ καὶ δέος ὁ φόβος.

Δέω: Τὸ ἱκετεύω· ἐξ οὗ καὶ δέομαι, ὅπερ λέγεται καὶ δεῶ περισπωμένως.

Δέλη: Παρὰ τὸ δεῖσθαι τῆς ἀλέας.

Δίκαιος: Διαφέρει δίκαιος ὁσίου· ὅτι δίκαιος μέν, ὅταν μερίσει τι ἴσον τοῖς πᾶσι, καὶ ἐπάρῃ κἀκεῖνος ἴσην μοῖραν, μὴ διδοὺς τινὶ πλέον· ὅσιος δέ, ὃς μερίσας ἔδωκεν καὶ τὸ ἴδιον ἑτέρῳ τινί.

Δυνατός: Παρὰ τὸ δύνω τὸ εἰσέρχομαι.

Δασμός: Παρὰ ἐκ τοῦ δαίω τὸ μερίζω.

Δειλός: Παρὰ τὸ εἴλη, ὃ σημαίνει τὴν συστροφὴν, καὶ τὸ δέος, ὃ σημαίνει τὸν φόβον.

Δῆλος: Ἢ παρὰ τὸ δαίω τὸ καίω, ἢ παρὰ τὸ δήω τὸ φαίνομαι.

Δίκτυον: Παρὰ τὸ δίκω τὸ ῥίπτω, ὅθεν καὶ δίσκος· τὸ δήκω σημαίνει γ'· δήκω τὸ δαγκάνω διὰ τοῦ η, ἐξ οὗ καὶ ὁ δεύτερος ἀόριστος ἔδακον· δείκω τὸ δεικνύω ει, ἐξ οὗ καὶ ἀπόδειξις κατὰ Ἡρόδοτον[b]· δίκω τὸ καταβάλλω διὰ τοῦ ι, ἐξ οὗ καὶ δίκτυον[c].

Δόσαν: Τὸ τρίτον τῶν πληθυντικῶν τοῦ δευτέρου ἀορίστου ἔδον, καὶ Δωρικῶς ἔδοσαν, καὶ συστολῇ Ἰωνικῇ δόσαν.

Δαπανῶ: Παρὰ τὸ δάπτω τὸ ἐσθίω.

Δέ: Ὁ δὲ σύνδεσμος διὰ τοῦ ψιλοῦ γράφεται· ἡνίκα δέ ἐστιν μετὰ πνευματικοῦ διὰ τῆς αι διφθόγγου, ὡς τὸ

τί δαι οἱ Μακαβαῖοι;

Δίψα: Παρὰ τὸ ἴπτω τὸ βλάπτω ἴψα, καὶ πλεονασμῷ τοῦ δ δίψα.

Δυσκάθεκτον: Ἐκ τὸ δυς μόριον καὶ τὸ κατέχω· δυσκράτητον.

Δρόσος: Παρὰ τὸ ὕδωρ, καὶ τὸ σεύω τὸ ὁρμῶ.

Διαρτίας: πλάσεως.

Δορύκαττον: Ἔνδοξον μετὰ δόρατος.

Δορυκτήτους δὲ μετὰ δόρατος κτηθέντας.

Διῶσαι: Ἐκβάλαι.

Διαρθροῖ: Διαπλάττει.

Δίναις: Τὰ κοιλώματα τῶν ὑδάτων.

Δρῶσα: Ποιοῦσα.

Δοξούμενοι: Κατοπτρίζομενοι.

Δεδορκότες: Ὁρῶντες, ἰδόντες.

Δόμον: Οἶκον.

[b] Cod. ἠρώδοτον. [c] Cod. δείκτυον.

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

1 Cal. [illegible]

τέλης· ὁ δὲ ἅγιος Γρηγόριος λέγει, ὅτι τὸ μὲν εἰπεῖν ἐνέργεια ψυχῆς κατὰ ἀρετὴν[e] καλοῦ τοῦτο εἴρηκεν, ἤγουν τοῦ πᾶσαν τὴν ἀρετὴν ἔχειν, ἐκεῖνο ἐστὶν εὐδαιμονία· τὸ δὲ εἰπεῖν ἐν βίῳ τελείῳ, καὶ τοῦτο οὐκ ἀσκόπος γινώσκων τὸ εὐόλισθον καὶ εὐμετάτρεπτον· τὸ δὲ μετὰ τῆς ἔξωθεν εὐετηρίας, τοῦτο οὐ καλῶς· εἰ γὰρ οὕτως ἔχει, ἄρα οἱ νοσώδεις[f] καὶ οἱ πένητες καὶ ἀσθενεῖς οὐκ εἰσὶν εὐδαιμονέστατοι, ἀλλὰ κωλύονται ἐξ αὐτῶν· ὅπερ οὕτως οὐκ ἔστιν.

Εὐτυχία: Τί διαφέρει εὐδαιμονία εὐτυχίας; ἡ μὲν γὰρ εὐτυχία ἐπὶ ἑνὸς ἀγαθοῦ παραλαμβάνεται· ἡ δὲ εὐδαιμονία ἐπὶ πάντων τῶν ἀγαθῶν, ἤγουν ἀρετῶν ἢ χρημάτων.

Εἴκαθεν: Ῥήματος ἀντὶ τοῦ ὑποχώρησεν· ὥσπερ ἀπὸ τοῦ διώκω, διωκάθω, οὕτως καὶ παρὰ τὸ εἴκω, εἰκάθω· καὶ οὐχ ὥς τινες ἐκ τοῦ ἑκὰς, τοῦ σημαίνοντος τὸ πόῤῥω, γίνεται ἕκαθεν καὶ εἴκαθεν πλεονασμῷ τοῦ ι· εἰ γὰρ ἐξ αὐτοῦ ἦν, ἐδασύνετο ἄν.

Ἐξορία: Παρὰ τὴν ἐξ πρόθεσιν καὶ τὸ ὅρος, ὃ σημαίνει τὸν ὁρισμόν· καὶ τί ἐστιν ὅρος; λόγος σύντομος δηλωτικὸς[g] τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος, ἤγουν ὁ λόγος ὁ δι' ὀλίγου σημαίνων τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος· ἤγουν ὁ ἔξω τοῦ περιορισμένου τόπου ὤν.

Ἐμμανῶς: Ἐπίῤῥημα ἐκ τοῦ μαίνω τὸ ὀργίζομαι, ὁ μέλλων μανῶ, μανὴς, καὶ μετὰ τῆς ἐν προθέσεως ἐμμανὴς, τροπῇ τοῦ ν εἰς μ· καὶ τὸ ἐπίῤῥημα ἐμμανῶς.

Ἐξίτηλον: Ἀμαυρόν· ἀπὸ μεταφορᾶς τῆς πορφύρας, ἥτις ὅταν μὴ ἔχῃ τὸ βάμμα δευσοποιὸν τῷ χρόνῳ ἐξίησι τὸ τεθηλός· τὸ δὲ δευσοποιὸν τίθεται κυρίως ἡ λέξις ἐπὶ τῶν βαπτομένων ἐρίων· δευσοποιὸς γὰρ λέγεται βαφὴ ἡ ἔμμονον καὶ δυσέκπλυτον ἔχει τὸ ἄνθος· καὶ Πλάτων δὲ "δόξαν δευσοποιὸν" εἴρηκεν τὴν ἔμμονον· καὶ "δευσοποιὸς πονηρία" ἀντὶ τοῦ ἔμμονος καὶ δυσέκπλυτος.

Εὐεργεσία: Ἐκ τοῦ εὐεργέτης, εὐεργεσία, ὡς ἱκέτης, ἱκεσία· καὶ Ἰωνικῇ τροπῇ τοῦ τ εἰς σ εὐεργεσία.

Ἐξείληφα: * * Ἐφ' ὧν οἱ Ἀττικοὶ ἀποβάλλουσι τὸ

[e] Cod. ἀρετεῖν. [f] Cod. νοσώδης. [g] Cod. δηλοτικός.

σύμφωνον κατὰ τὸν παρακείμενον πλεονάζουσι τὸ ι· μέμαρκα, εἵμαρμα.

Ἐγκαλῶ: Τὸ *ἔγκλησιν εἰσάγω καὶ καταδίκην.*

Εἰδωλολατρεία: *Ἐκ τοῦ εἴδωλον καὶ τὸ λατρεία· τοῦτο ἐκ τοῦ λατρεύω· τοῦτο ἐκ τοῦ λάτρης, ὃ σημαίνει τὸν μισθοδοῦλον· τουτέστιν τὸν μισθωτόν· τοῦτο ἐκ τοῦ λάτρον, ὃ σημαίνει τὸν μισθόν· τοῦτο ἐκ τοῦ τηρῶ τὸ βλέπω, καὶ τοῦ λα ἐπιτατικοῦ λατηρον καὶ συγκοπῇ λάτρον, πρὸς ὃν ἀποβλέπει ὁ μισθωτός· λατρεία τὸ α μακρόν· τὰ ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων διὰ τοῦ εια γινόμενα θηλυκὰ ἐκτείνουσι τὸ α· οἷον, πορνεία· λατρεία.*

Ἔμπορος: Ὁ *πραγματευτής, καὶ ὁ τόπος αὐτοῦ ἐμπόριον· τί λέγεται ἐμπόριον ὁ καταβόλος.*

Εὐτελής: Παρὰ *τὸ εὖ μόριον καὶ τὸ τέλος· τὸ δὲ εὖ μόριον πολλάκις ἀντὶ τῆς α στερήσεως.*

Ἔκδικος: Δύο *σημαίνει, ὁ ἐκδικητής, καὶ ὁ ἔξω τοῦ δικαίου· καὶ* Ὅμηρος·

Θέτιος δ' ἐξαίσιον ἄρην[h]
πᾶσαν ἐπικρίνει. (Il. O. 598.)

Ἐνοχλῶ: Ἐκ *τοῦ ὄχλος· τοῦτο ἐκ τοῦ ἀχλύς· τοῦτο παρὰ τὸ ἄγαν καὶ τὸ λύω, ἡ ἄγαν λύουσα, τουτέστιν συγκλείουσα καὶ ἀποκρύπτουσα· λοιπὸν ἐκ τοῦ ἀχλὺς γίνεται ἀχλῶ, καὶ ἐνοχλῶ, καὶ παρενοχλῶ.*

Εὐχερῆ: Ὥσπερ *ἐκ τοῦ ἐναντίου δυσχερής, ὁ μετὰ βίας τινὶ κολλώμενος, οὕτως πάλιν λέγεται εὐχερής, τὸ μετ' εὐκολίας καὶ χωρὶς κόπου τῇ χειρὶ λαμβάνειν καὶ διευθύνειν.*

Ἕως ἐξ οὐρίας πλεῖς φοβήθητι τὸ νατάγιον: Σημαίνει *δὲ τὸ ἐξουρίας τὸ καλῶς· καί ἐστιν ἐπίῤῥημα μεσότητος, καὶ γίνεται παρὰ τὸ οὖρον, ὃ σημαίνει τὸν φόρον ἄνεμον·* Ὅμηρος·

τοῖσι δ' ἴκμενον οὖρον ἵει Ἑκάεργος Ἀπόλλων· (Il. A. 479.)

ἀντὶ τοῦ φόρον ἄνεμον.

[h] Cod. *ἄριν.*

Εἰκάζω: Ὥσπερ παρὰ τὸ μίμνω, μιμνάζω· Ὅμηρος·

μιμνάζων παρὰ νηυσὶ κορώνισι[h]· (Il. B. 392.)

οὕτως καὶ παρὰ τὸ εἴκω, ὃ σημαίνει τὸ ὁμοιῶ, γίνεται εἰκάζω· ὁ μέλλων εἰκάσω, ὁ παθητικὸς παρακείμενος, εἴκασμαι, τὸ τρίτον εἴκασται· ἐξ αὐτοῦ ἀνείκαστος ὄνομα ῥηματικὸν, εἰκαστὸς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀείκαστος, καὶ πλεονασμῷ τοῦ ν ἀνείκαστος· εἰώθασι γὰρ τὸ ν πλεονάζειν πολλάκις ἐν ταῖς στερήσεσιν· ὥσπερ αἷμα, ἀναίμων· καὶ ἀαιδὴς, ἀναιδής.

Ἐδεῖτο: Δέω ἐστὶν τὸ χρήζω, ἐξ οὗ καὶ ἐνδεής· τὸ παθητικὸν δέομαι, ἐδεόμην, ἐδέου, ἐδέετο, ἐδεῖτο.

Εὐωχία: Τὸ ω μέγα· τὰ παρὰ τὸ ὀχὴ καὶ ὀπὴ συντιθέμενα διὰ τοῦ ω μεγάλου γράφεται· οἷον, ὀχὴ, εὐωχῶ· ὀπὴ, περιωπή.

Ἔσχατος: Παρὰ τὸ χάζω, σχατὸς, καὶ ἔσχατος· ἢ παρὰ τὸ ἕπω τὸ ἀκολουθῶ ὁ τοῖς πρώτοις ἀκολουθῶν.

Ἐσθὶς: Παρὰ τὸ ἕω τὸ ἐνδύω[i] ἐξ αὐτοῦ ἔσθος· Ὅμηρος·

τῷ δ' οὔτι μελάντερον ἔπλετο ἔσθος. (Il. Ω. 94.)

Εἴωθα: Ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ ἔθος καὶ ἐν τῷ εὔωθα· οἱ γὰρ Αἰολεῖς τὸ εἴωθα εὔωθα λέγουσι· γέγονεν δὲ τὸ εἴωθα τοῦτον τὸν τρόπον· ἔστιν ἔθω τὸ ἐξ ἔθους τι διαπραττόμενον·

ἔθων Οἰνῆος ἀλωή· (Il. I. 536.)

ὁ μέσος παρακείμενος ἔθα, καὶ πλεονασμῷ τοῦ ω γέγονεν εἴωθα καὶ ἔωθα συναρχομένως· Ὅμηρος·

αἰεὶ γάρ μοι ἔωθεν ἐνικλᾶν ὅτι νοήσω. (Il. Θ. 408.)

Ἕννυται: Ἐξ οὗ καὶ ἀμφιέννυται· ἔστιν ἕω, καὶ σημαίνει τὸ ἐνδύομαι, καὶ πλεονασμῷ τοῦ ν ἐνῶ· ἐξ αὐτοῦ κατὰ παραγωγὴν ἐνύω, καὶ πλεονασμῷ τοῦ ι εἰνύω· καὶ οἱ Αἰολεῖς τρέπουσι τὸ ι πρὸς τὸ ἐπιφερόμενον ἀμετάβολον· ὥσπερ τὸ φθείρω, φθέῤῥω, καὶ δείρω, δέῤῥω· γίνεται ἐννύω διὰ δύο νν.

Ἐπιτήδειος: Τὸ δει δίφθογγον· τὰ ἀπὸ τῶν εἰς ης διὰ τοῦ ειος γινόμενα κτητικὰ, εἴτε περιττοσυλλάβως, εἴτε ἰσοσυλλάβως κλινόμενα, μὴ τρέποντα τὸ τ εἰς σ, διὰ τῆς ει δι-

[h] Cod. κορονῆσι. [i] Cod. ἐνδύο.

φθόγγου γράφεται· Δημοσθένης, Δημοσθένειος· Ἀριστοφάνης, Ἀριστοφάνειος· Ἱπποκράτης, Ἱπποκράτειος· πρόσκειται μὴ τρέποντα τὸ τ εἰς σ, διὰ τὸ δεσπότης, δεσπόσιος, καὶ φιλήτης, φιλήσιος· σημαίνει δὲ τὸν κλέπτην· Ἀγχίσης, Ἀγχίσιος· Ὅμηρος·

παῖς δ' Ἀγχίσιος Αἰνείας θ' ὁμοῦ.

Ἐντόσθια: Παρὰ τὸ ἐντὸς ἐπίῤῥημα καὶ τὸ ἔσω· ἐντόσθια γὰρ τὰ ἔσωθεν τοῦ σώματος κείμενα· λέγεται δὲ καὶ ἐνδόσθια.

Εὐαγγέλιον: Τὸ ἀγαθὸν ἀγγελίας δῶρον· Ὅμηρος·

εὐαγγέλιον δέ τοι ἔστω· (Od. Ξ. 152.)

παρὰ τὸ εὖ μόριον καὶ τὸ ἀγγελία.

Εἷς, Ἑνός: Ὁ κανών· τὰ εἰς σ μονοσύλλαβα ὀνόματα ἀρσενικὰ διὰ τοῦ νος κλίνονται· οἷον, κτεὶς, κτενός· δεῖς, δενός· εἷς, ἑνός· ὅπερ ἰσοδυναμεῖ τὸ τίς· ὅπερ μετὰ τῆς οὐ οὐδεὶς, καὶ μετὰ τῆς μὴ, μηδείς· πρόσκειται μονοσύλλαβα, διὰ τὰ ὑπὲρ μίαν συλλαβήν· οἷον, χαρίεις, χαρίεντος· πρόσκειται ὀνόματα, διὰ τὰς μονοσυλλάβους μετοχάς· αὗται γὰρ διὰ τοῦ ντ κλίνονται· οἷον, θεὶς, θεντός· εἱς, ἑντός· ἐξ οὗ τὸ ἀφεὶς, ἀφεντός, ὁ ἀπολύσας· πρόσκειται ἀρσενικὰ, διὰ τὸ κλεῖς, κλειδὸς, θηλυκόν· τὸ εἷς περισπᾶται· τὰ εἰς εις ὀνόματα κοινολεκτούμενα, ἔχοντα οὐδετέρου παρασχηματισμὸν, ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν· ὀνόματα εἶπεν, διὰ τὰς μετοχάς· οἷον, τυφθείς· δαρείς· κοινολεκτούμενα εἶπεν, διὰ τὸ εὐγενὴς καὶ εὐσεβής· οἱ γὰρ Βοιωτοὶ διὰ τῆς ει διφθόγγου ἐκφέρουσιν· οὐδετέρου παρασχηματισμὸν εἶπεν, διὰ τὸ χαρίεντος· τιμήεντος· ὀξύνεσθαι οὐκ ὤφειλεν διὰ τὸν κανόνα τοῦτον· βαρύνεσθαι οὐκ ὤφειλεν, διότι τὸ μονοσύλλαβον, ἢ ὀξύνεται, ἢ περισπᾶται, οὐδέποτε δὲ βαρύνεται· ἐξ ἀνάγκης περιεσπάσθη· εἷς γίνεται παρὰ τὴν ἐς καὶ ἀφαιρέσει[k] * * τὸ ἀπολελυμένον καὶ μεμονωμένον[l]· διαφέρει τὸ εἷς τοῦ δεὶς κατὰ δ' τρόπους· πρῶτον, ὅτι τὸ μὲν εἷς καὶ δασύνεται καὶ περισπᾶται· τὸ δὲ δεὶς οὔτε δασύνεται, οὔτε περι-

[k] Cod. ἀφερέσει. [l] Cod. μεμονομένον.

σπᾶται· δεύτερον, ὅτι τὸ μὲν εἷς ἀριθμητικόν ἐστιν, τὸ δὲ δεὶς ἀόριστον· τρίτον, ὅτι τὸ μὲν εἷς οὔτε δυϊκὰ ἔχει, οὔτε πληθυντικά· τὸ δὲ δεὶς ἔχει καὶ δυϊκὰ καὶ πληθυντικά· οἱ οὐδένες, τῶν οὐδενῶν· τέταρτον, ὅτι τοῦ μὲν εἷς τὸ θηλυκόν ἐστιν ἡ μία, τὸ δὲ δεις ὁμόφωνος· ἕτερος κανών· τὰ εἰς εις ὀνόματα ἔχοντα οὐδετέρου παρασχηματισμὸν διὰ τοῦ ντ κλίνονται.

Ἔστω: Εἰμὶ τὸ ὑπάρχω· ὁ παρατατικὸς ἦν, ἡ μετοχὴ εἷς ἐντός· τὸ προστακτικὸν ἔθι· τὸ τρίτον ἔτω, καὶ πλεονασμῷ τοῦ σ ἔστω.

Ἕτερος: Τὰ διὰ τοῦ τερος ὀνόματα, εἴτε ὀξύτονα, εἴτε βαρύτονα, διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, ὀξύτερος· ταχύτερος· σοφώτερος· βραδύτερος· ἐνδοξότερος· στεῤῥότερος· πλὴν τοῦ θαιρὸς, ὃ σημαίνει τὸν στρόφιγγα·

ῥῆξαι δ' ἐπ' ἀμφότερα θαιρούς· (Il. M. 549.)

καὶ ἑταῖρος, ὃ σημαίνει τὸν συνήθη φίλον.

Ἕβδομος: Ἐκ τοῦ ἑπτὰ ἕπταμος, καὶ κατὰ τροπὴν τοῦ πτ εἰς β καὶ δ ἕβδομος.

Ἔτι: τὸ τι ι· Τὰ εἰς σι λήγοντα ἐπιῤῥήματα συνεσταλμένα βαρύτονα δισύλλαβα μὲν ὑπάρχοντα διὰ τοῦ ι γράφονται· αὖθι· κεῖθι· νόσφι[m]· μέχρι.

Ἔτι: Ἐπίῤῥημα ἐπιτάσεως δηλωτικὸν, ἢ παρατάσεως· εἰ γὰρ εἴπωμεν τρέχοντός τινος ἔτι δραμεῖν, τοῦτο ἐπίτασις· εἰ δὲ, νυκτὸς οὔσης ἔτι νὺξ, παράτασις· * * βαρύνεται· τὰ εἰς σι συνεσταλμένῳ ἐπιῤῥήματα βαρύνονται· νόσφι[m]· ἶφι.

Ἐρυσίβη: Σημαίνει τὴν πάχνην τὴν γινομένην ἐν τῇ δυσαερίᾳ, καὶ φθείρουσαν τοὺς καρπούς· τὸ σι ι· τὰ ἀπὸ μελλόντων συντιθέμενα ὀνόματα τὸ ι παραλήγονται· οἷον, τέρψω, τερψίμβροτος· ἵστημι, στήσω, Στησίχορος· οὕτως οὖν ἐρύω, καὶ ὁ μέλλων ἐρύσω[n], καὶ μετὰ τοῦ βῶ τὸ τρέφω, ἐρυσίβη, ἡ κωλυτικὴ τῆς τροφῆς· ἢ παρὰ τὸ ἐρύκειν τῇ ἥβῃ.

Εὐεργέτης: Παρὰ τὸ ἔργον γίνεται ἐργέτης, καὶ μετὰ τοῦ εὖ μορίου εὐεργέτης.

Ἑορτή: Τὸ οφ μικρόν· γίνεται παρὰ τὸ ἐρῶ τὸ ἐπιθυμῶ·

m Cod. νόφι.   n Cod. ἐῤῥύσω.

Δεδορκώς: Ἐκ τοῦ δέρκω, δέρξω, δέδερχα, δέδορκα, δεδορκώς· ὁρῶν, ἰδών.

Δοξούμενοι: Ἀντὶ τοῦ δοξάζοντες· ἐκ τοῦ δοξέω, δοξῶ, α′ συζυγίας τῶν περισπωμένων· καὶ οὐ λέγομεν δοξόω, δοξῶ· ἡ δὲ σύνθεσις ἐδήλωσεν τὴν ἀκρίβειαν· κενοδοξῶ γὰρ κενοδοξήσω, καὶ οὐ κενοδοξώσω.

Δίνη: Ἡ συστροφὴ ἐκ τοῦ εἴλω, ἴλη· πλεονασμῷ τοῦ δ, καὶ μεταθέσει τοῦ λ εἰς ν δίνη.

Δύστηνος: Ἐκ τοῦ στῆναι καὶ τὸ δυς μόριον, ὃ μετὰ κακοπαθίας καὶ κόπου στῆναι δυνάμενος· ἢ παρὰ τὸ στένω, τὸ στενάζω, στένος καὶ στῆνος, καὶ μετὰ τοῦ δυς μορίου δύστηνος, ὁ ἄθλιος καὶ ταλαίπωρος.

Διδάξω: Διατί οὐ γέγονεν ἐκ τοῦ διδάσκω ἀλλ' ἐκ τοῦ διδάχω; διότι ἔχει τὴν διδαχὴν τὸ ῥηματικὸν ὄνομα.

Δαίω: Τὸ καίω·

ὑπὸ δὲ ξύλα δαῖον ἑλοῦσαι. (Il. Σ. 347.)

Δαίω: Τὸ διδάσκω·

δαίδαε φρεσίν.

Δαίω: Τὸ εὑρίσκω·

ἡμεῖς δὲ καὶ ἄλλοθι δήομεν. (Il. Π. 44.)

Δαίω: Τὸ μανθάνω· ἐξ οὗ καὶ δαίμων καὶ αἵμων.

Δαίω: Τὸ κόπτω· ὅθεν καὶ δαιτρός.

Δαίω: Τὸ εὐωχοῦμαι· ἐξ οὗ καὶ δαῖς ἡ εὐωχεῖα, καὶ δαιτυμόνες οἱ φίλοι.

Δέω: Τὸ δεσμεύω· ἐξ οὗ καὶ δεσμός.

Δέω: Τὸ πρέπω· ἐξ οὗ καὶ δέον ἐστίν.

Δέω: Τὸ φοβοῦμαι· ἐξ οὗ καὶ δέος ὁ φόβος.

Δέω: Τὸ ἱκετεύω· ἐξ οὗ καὶ δέομαι, ὅπερ λέγεται καὶ δεῶ περισπωμένως.

Δέλη: Παρὰ τὸ δεῖσθαι τῆς ἀλέας.

Δίκαιος: Διαφέρει δίκαιος ὁσίου· ὅτι δίκαιος μέν, ὅταν μερίσει τι ἴσον τοῖς πᾶσι, καὶ ἐπάρῃ κακεῖνος ἴσην μοῖραν, μὴ διδοὺς τινὶ πλέον· ὅσιος δέ, ὃς μερίσας ἔδωκεν καὶ τὸ ἴδιον ἑτέρῳ τινί.

Δυνατός: Παρὰ τὸ δύνω τὸ εἰσέρχομαι.

Δασμός: Παρὰ ἐκ τοῦ δαίω τὸ μερίζω.

Δειλός: Παρὰ τὸ εἴλη, ὃ σημαίνει τὴν συστροφὴν, καὶ τὸ δέος, ὃ σημαίνει τὸν φόβον.

Δῆλος: Ἢ παρὰ τὸ δαίω τὸ καίω, ἢ παρὰ τὸ δήω τὸ φαίνομαι.

Δίκτυον: Παρὰ τὸ δίκω τὸ ῥίπτω, ὅθεν καὶ δίσκος· τὸ δήκω σημαίνει γ'· δήκω τὸ δαγκάνω διὰ τοῦ η, ἐξ οὗ καὶ ὁ δεύτερος ἀόριστος ἔδακον· δείκω τὸ δεικνύω ει, ἐξ οὗ καὶ ἀπόδειξις κατὰ Ἡρόδοτον[b]· δίκω τὸ καταβάλλω διὰ τοῦ ι, ἐξ οὗ καὶ δίκτυον[c].

Δόσαν: Τὸ τρίτον τῶν πληθυντικῶν τοῦ δευτέρου ἀορίστου ἔδον, καὶ Δωρικῶς ἔδοσαν, καὶ συστολῇ Ἰωνικῇ δόσαν.

Δαπανῶ: Παρὰ τὸ δάπτω τὸ ἐσθίω.

Δέ: Ὁ δὲ σύνδεσμος διὰ τοῦ ψιλοῦ γράφεται· ἡνίκα δέ ἐστιν μετὰ πυσματικοῦ διὰ τῆς αι διφθόγγου, ὡς τὸ

τί δαι οἱ Μακαβαῖοι;

Δίψα: Παρὰ τὸ ἴπτω τὸ βλάπτω ἴψα, καὶ πλεονασμῷ τοῦ δ δίψα.

Δυσκάθεκτον: Ἐκ τὸ δυς μόριον καὶ τὸ κατέχω· δυσκράτητον.

Δρόσος: Παρὰ τὸ ὕδωρ, καὶ τὸ σεύω τὸ ὁρμῶ.

Διαρτίας: πλάσεως.

Δορύκαττον: Ἔνδοξον μετὰ δόρατος.

Δορυκτήτους δὲ μετὰ δόρατος κτηθέντας.

Διῶσαι: Ἐκβάλαι.

Διαρθροῖ: Διαπλάττει.

Δίναις: Τὰ κοιλώματα τῶν ὑδάτων.

Δρῶσα: Ποιοῦσα.

Δοξούμενοι: Κατοπτρίζομενοι.

Δεδορκότες: Ὁρῶντες, ἰδόντες.

Δόμον: Οἶκον.

[b] Cod. ἡρώδοτον. [c] Cod. δείκτυον.

Δυσκάθαρτον: Ἀκάθαρτον.

Δυσκάθεκτον: Δυσκράτητον.

Ἔνδεια: Ὄνομά ἐστιν δεῖα ἐκ τοῦ δέω τὸ χρήζω, καὶ πλεονασμῷ τοῦ ι δεῖα, καὶ μετὰ τῆς ἐν προθέσεως ἔνδεια· ἐξ αὐτοῦ ῥῆμα ἐνδέω, καὶ μετοχὴ ἐνδέων· καὶ τὸ οὐδέτερον ἐνδέον, καὶ ἀπὸ μετοχῆς μετήχθη εἰς ὀνοματικὴν σύνταξιν.

Εὐδοκία: Ἔστιν ἡ ἀρίστη καὶ καλλίστη τοῦ Θεοῦ ἑκούσιος θέλησις, ὅθεν καὶ "εὐδοκία εἴη" παρὰ τὸ εὖ καὶ καλῶς δοκεῖν αὐτῷ· οἷον, προηγουμένως γὰρ θέλῃ ὁ Θεὸς πάντας σωθῆναι, καὶ τῆς βασιλείας αὐτοῦ τυχεῖν· τοῦτο εὐδοκίας.

Οἰκονομία: Ἔστιν ἡ ἀπὸ τῶν ὑψηλωτέρων ἐπὶ τὰ ταπεινότερα ἑκούσιος τοῦ Θεοῦ συγκατάβασις· ὥσπερ Θεὸς ὢν ἄνθρωπος γέγονεν· τοῦτο τῆς οἰκονομίας.

Παραχώρησις δέ ἐστιν: Ἑκούσιος τοῦ Θεοῦ θέλησις· οἷον, τὸ ἁμαρτάνειν τὸν ἄνθρωπον οὐ γὰρ θέλει ὁ Θεὸς, παραχωρεῖ δὲ τῷ αὐτεξουσίῳ.

Ξύλον Ζωῆς: Τὸ ἔχειν ἐνέργειαν ζωῆς παρεκτική.

Ἔτνος: Τὸ ὄσπριον, καὶ δασύνεται.

Ἑλλάς: Ἀπὸ Ἕλλης τινὸς τῆς Ξόθου θυγατρός.

Ἐγκωμιάζω: Ἐτυμολογεῖται παρὰ τὸ ἐν κώμῃ ᾄδεσθαι· κώμας δὲ ἔλεγον οἱ παλαιοὶ τοὺς στενοποὺς καὶ τὰ ἄμφοδα· καὶ πόθεν δῆλον ὅτι οὕτως ἐστίν; ἐπειδὴ τὴν νύκτα ἤρχοντο[d] τινὲς, καὶ ἔλεγον ὅστις ἐποίει κακὰ πράγματα, καὶ ἐκακολόγουν αὐτούς.

Εἰκῆ: Ἐκ τοῦ εἴκω τὸ ὑποχωρῶ.

Ἑρπηστικόν: Ἐκ τοῦ ἑρπῶ· καί ἐστιν καὶ περισπώμενον· ὁ μέλλων ἑρπήσω, ἑρπητικὸν, καὶ πλεονασμῷ τοῦ σ, ὡς χηρῶ, χηρώσω, χηρωτὴς, καὶ πλεονασμῷ τοῦ σ, ἑρπηστικόν.

Ἐρεσχελία: Παρὰ τὸ ἔριν τοῖς χείλεσιν ἔχειν.

Εὐδαιμονία: Ἔστιν ἐνέργεια ψυχῆς ἐν βίῳ τελείῳ· τοῦτο δὲ εἶπεν διὰ τὸ εὐμετάτρεπτον τῶν ἀνθρώπων μετὰ τῆς ἔξωθεν εὐετηρίας· τοῦτο εἶπεν εἴτε περὶ πλούτου καὶ σώματος Ἀριστο-

[d] Cod. ἠρ$^{\chi}$.

τέλης· ὁ δὲ ἅγιος Γρηγόριος *λέγει, ὅτι τὸ μὲν εἰπεῖν ἐνέργεια ψυχῆς κατὰ ἀρετὴν*[e] *καλοῦ τοῦτο εἴρηκεν, ἤγουν τοῦ πᾶσαν τὴν ἀρετὴν ἔχειν, ἐκεῖνο ἐστὶν εὐδαιμονία· τὸ δὲ εἰπεῖν ἐν βίῳ τελείῳ, καὶ τοῦτο οὐκ ἄσκοπος γινώσκων τὸ εὐόλισθον καὶ εὐμετάτρεπτον· τὸ δὲ μετὰ τῆς ἔξωθεν εὐετηρίας, τοῦτο οὐ καλῶς· εἰ γὰρ οὕτως ἔχει, ἄρα οἱ νοσώδεις*[f] *καὶ οἱ πένητες καὶ ἀσθενεῖς οὐκ εἰσὶν εὐδαιμονέστατοι, ἀλλὰ κωλύονται ἐξ αὐτῶν· ὅπερ οὕτως οὐκ ἔστιν.*

Εὐτυχία: Τί *διαφέρει εὐδαιμονία εὐτυχίας; ἡ μὲν γὰρ εὐτυχία ἐπὶ ἑνὸς ἀγαθοῦ παραλαμβάνεται· ἡ δὲ εὐδαιμονία ἐπὶ πάντων τῶν ἀγαθῶν, ἤγουν ἀρετῶν ἢ χρημάτων.*

Εἴκαθεν: Ῥήματος *ἀντὶ τοῦ ὑποχώρησεν· ὥσπερ ἀπὸ τοῦ διώκω, διωκάθω, οὕτως καὶ παρὰ τὸ εἴκω, εἰκάθω· καὶ οὐχ ὥς τινες ἐκ τοῦ ἑκὰς, τοῦ σημαίνοντος τὸ πόῤῥω, γίνεται ἕκαθεν καὶ εἴκαθεν πλεονασμῷ τοῦ ι· εἰ γὰρ ἐξ αὐτοῦ ἦν, ἐδασύνετο ἄν.*

Ἐξορία: Παρὰ *τὴν ἐξ πρόθεσιν καὶ τὸ ὅρος, ὃ σημαίνει τὸν ὁρισμόν· καὶ τί ἐστιν ὅρος; λόγος σύντομος δηλωτικὸς*[g] *τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος, ἤγουν ὁ λόγος ὁ δι' ὀλίγου σημαίνων τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος· ἤγουν ὁ ἔξω τοῦ περιορισμένου τόπου ὤν.*

Ἐμμανῶς: Ἐπίῤῥημα *ἐκ τοῦ μαίνω τὸ ὀργίζομαι, ὁ μέλλων μανῶ, μανὴς, καὶ μετὰ τῆς ἐν προθέσεως ἐμμανὴς, τροπῇ τοῦ ν εἰς μ· καὶ τὸ ἐπίῤῥημα ἐμμανῶς.*

Ἐξίτηλον: Ἀμαυρόν· *ἀπὸ μεταφορᾶς τῆς πορφύρας, ἥτις ὅταν μὴ ἔχῃ τὸ βάμμα δευσοποιὸν τῷ χρόνῳ ἐξίησι τὸ τεθηλός· τὸ δὲ δευσοποιὸν τίθεται κυρίως ἡ λέξις ἐπὶ τῶν βαπτομένων ἐρίων· δευσοποιὸς γὰρ λέγεται βαφὴ ἡ ἔμμονον καὶ δυσέκπλυτον ἔχει τὸ ἄνθος· καὶ* Πλάτων *δὲ "δόξαν δευσοποιὸν" εἴρηκεν τὴν ἔμμονον· καὶ "δευσοποιὸς πονηρία" ἀντὶ τοῦ ἔμμονος καὶ δυσέκπλυτος.*

Εὐεργεσία: Ἐκ *τοῦ εὐεργέτης, εὐεργεσία, ὡς ἱκέτης, ἱκεσία· καὶ Ἰωνικῇ τροπῇ τοῦ τ εἰς σ εὐεργεσία.*

Ἐξείληφα: * * Ἐφ' *ὧν οἱ Ἀττικοὶ ἀποβάλλουσι τὸ*

[e] Cod. ἀρετεῖν. [f] Cod. νοσώδης. [g] Cod. δηλοτικός.

σύμφωνον κατὰ τὸν παρακείμενον πλεονάζουσι τὸ ι· μέμαρκα, εἵμαρμα.

Ἐγκαλῶ: Τὸ ἔγκλησιν εἰσάγω καὶ καταδίκην.

Εἰδωλολατρεία: Ἐκ τοῦ εἴδωλον καὶ τὸ λατρεία· τοῦτο ἐκ τοῦ λατρεύω· τοῦτο ἐκ τοῦ λάτρης, ὃ σημαίνει τὸν μισθόδουλον· τουτέστιν τὸν μισθωτόν· τοῦτο ἐκ τοῦ λάτρον, ὃ σημαίνει τὸν μισθόν· τοῦτο ἐκ τοῦ τηρῶ τὸ βλέπω, καὶ τοῦ λα ἐπιτατικοῦ λατηρον καὶ συγκοπῇ λάτρον, πρὸς ὃν ἀποβλέπει ὁ μισθωτός· λατρεία τὸ α μακρόν· τὰ ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων διὰ τοῦ εια γινόμενα θηλυκὰ ἐκτείνουσι τὸ α· οἷον, πορνεία· λατρεία.

Ἔμπορος: Ὁ πραγματευτὴς, καὶ ὁ τόπος αὐτοῦ ἐμπόριον· τί λέγεται ἐμπόριον ὁ καταβόλος.

Εὐτελής: Παρὰ τὸ εὖ μόριον καὶ τὸ τέλος· τὸ δὲ εὖ μόριον πολλάκις ἀντὶ τῆς α στερήσεως.

Ἔκδικος: Δύο σημαίνει, ὁ ἐκδικητὴς, καὶ ὁ ἔξω τοῦ δικαίου· καὶ Ὅμηρος·

Θέτιος δ' ἐξαίσιον ἄρην[h]
πᾶσαν ἐπικρίνει. (Il. O. 598.)

Ἐνοχλῶ: Ἐκ τοῦ ὄχλος· τοῦτο ἐκ τοῦ ἀχλύς· τοῦτο παρὰ τὸ ἄγαν καὶ τὸ λύω, ἡ ἄγαν λύουσα, τουτέστιν συγκλείουσα καὶ ἀποκρύπτουσα· λοιπὸν ἐκ τοῦ ἀχλὺς γίνεται ἀχλῶ, καὶ ἐνοχλῶ, καὶ παρενοχλῶ.

Εὐχερής: Ὥσπερ ἐκ τοῦ ἐναντίου δυσχερὴς, ὁ μετὰ βίας τινὶ κολλώμενος, οὕτως πάλιν λέγεται εὐχερὴς, τὸ μετ' εὐκολίας καὶ χωρὶς κόπου τῇ χειρὶ λαμβάνειν καὶ διευθύνειν.

Ἕως ἐξ οὐρίας πλεῖς φοβήθητι τὸ νατάγιον: Σημαίνει δὲ τὸ ἐξουρίας τὸ καλῶς· καί ἐστιν ἐπίῤῥημα μεσότητος, καὶ γίνεται παρὰ τὸ οὖρον, ὃ σημαίνει τὸν φόρον ἄνεμον· Ὅμηρος·

τοῖσι δ' ἴκμενον οὖρον ἵει Ἑκάεργος Ἀπόλλων· (Il. A. 479.)

ἀντὶ τοῦ φόρον ἄνεμον.

[h] Cod. ἄριν.

Εἰκάζω: Ὥσπερ παρὰ τὸ μίμνω, μιμνάζω· Ὅμηρος·

μιμνάζων παρὰ νηυσὶ κορώνισι[h]· (Il. B. 392.)

οὕτως καὶ παρὰ τὸ εἴκω, ὃ σημαίνει τὸ ὁμοιῶ, γίνεται εἰκάζω· ὁ μέλλων εἰκάσω, ὁ παθητικὸς παρακείμενος, εἴκασμαι, τὸ τρίτον εἴκασται· ἐξ αὐτοῦ ἀνείκαστος ὄνομα ῥηματικὸν, εἰκαστὸς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀείκαστος, καὶ πλεονασμῷ τοῦ ν ἀνείκαστος· εἰώθασι γὰρ τὸ ν πλεονάζειν πολλάκις ἐν ταῖς στερήσεσιν· ὥσπερ αἷμα, ἀναίμων· καὶ ἀαιδὴς, ἀναιδής.

Ἐδεῖτο: Δέω ἐστὶν τὸ χρήζω, ἐξ οὗ καὶ ἐνδεής· τὸ παθητικὸν δέομαι, ἐδεόμην, ἐδέου, ἐδέετο, ἐδεῖτο.

Εὐωχία: Τὸ ω μέγα· τὰ παρὰ τὸ ὀχὴ καὶ ὀπὴ συντιθέμενα διὰ τοῦ ω μεγάλου γράφεται· οἷον, ὀχὴ, εὐωχῶ· ὀπὴ, περιωπή.

Ἔσχατος: Παρὰ τὸ χάζω, σχατὸς, καὶ ἔσχατος· ἢ παρὰ τὸ ἕπω τὸ ἀκολουθῶ ὁ τοῖς πρώτοις ἀκολουθῶν.

Ἐσθὶς: Παρὰ τὸ ἕω τὸ ἐνδύω[i] ἐξ αὐτοῦ ἔσθος· Ὅμηρος·

τῷ δ᾽ οὔτι μελάντερον ἔπλετο ἔσθος. (Il. Ω. 94.)

Εἴωθα: Ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ ἔθος καὶ ἐν τῷ εὔωθα· οἱ γὰρ Αἰολεῖς τὸ εἴωθα εὔωθα λέγουσι· γέγονεν δὲ τὸ εἴωθα τοῦτον τὸν τρόπον· ἔστιν ἔθω τὸ ἐξ ἔθους τι διαπραττόμενον·

ἔθων Οἰνῆος ἀλώη· (Il. I. 536.)

ὁ μέσος παρακείμενος ἔθα, καὶ πλεονασμῷ τοῦ ω γέγονεν εἴωθα καὶ ἔωθα συναρχομένως· Ὅμηρος·

αἰεὶ γάρ μοι ἔωθεν ἐνικλᾷν ὅτι νοήσω. (Il. Θ. 408.)

Ἔννυται: Ἐξ οὗ καὶ ἀμφιέννυται· ἔστιν ἕω, καὶ σημαίνει τὸ ἐνδύομαι, καὶ πλεονασμῷ τοῦ ν ἐνῶ· ἐξ αὐτοῦ κατὰ παραγωγὴν ἐνύω, καὶ πλεονασμῷ τοῦ ι εἰνύω· καὶ οἱ Αἰολεῖς τρέπουσι τὸ ι πρὸς τὸ ἐπιφερόμενον ἀμετάβολον· ὥσπερ τὸ φθείρω, φθέῤῥω, καὶ δείρω, δέῤῥω· γίνεται ἐννύω διὰ δύο νν.

Ἐπιτήδειος: Τὸ δει δίφθογγον· τὰ ἀπὸ τῶν εἰς ης διὰ τοῦ ειος γινόμενα κτητικὰ, εἴτε περιττοσυλλάβως, εἴτε ἰσοσυλλάβως κλινόμενα, μὴ τρέποντα τὸ τ εἰς σ, διὰ τῆς ει δι-

[h] Cod. κορωνῆσι. [i] Cod. ἐνδύο.

φθόγγου γράφεται· Δημοσθένης, Δημοσθένειος· Ἀριστοφάνης, Ἀριστοφάνειος· Ἱπποκράτης, Ἱπποκράτειος· πρόσκειται μὴ τρέποντα τὸ τ εἰς σ, διὰ τὸ δεσπότης, δεσπόσιος, καὶ φιλήτης, φιλήσιος· σημαίνει δὲ τὸν κλέπτην· Ἀγχίσης, Ἀγχίσιος· Ὅμηρος·

παῖς δδ' Ἀγχίσιος Αἰνείας θ' ὁμοῦ.

Ἐντόσθια: Παρὰ τὸ ἐντὸς ἐπίῤῥημα καὶ τὸ ἔσω· ἐντόσθια γὰρ τὰ ἔσωθεν τοῦ σώματος κείμενα· λέγεται δὲ καὶ ἐνδόσθια.

Εὐαγγέλιον: Τὸ ἀγαθὸν ἀγγελίας δῶρον· Ὅμηρος·

εὐαγγέλιον δέ τοι εἴη· (Od. Ξ. 152.)

παρὰ τὸ εὖ μόριον καὶ τὸ ἀγγελία.

Εἷς, Ἑνός: Ὁ κανών· τὰ εἰς σ μονοσύλλαβα ὀνόματα ἀρσενικὰ διὰ τοῦ νος κλίνονται· οἷον, κτεὶς, κτενός· δεῖς, δενός· εἷς, ἑνός· ὅπερ ἰσοδυναμεῖ τὸ τίς· ὅπερ μετὰ τῆς οὐ οὐδεὶς, καὶ μετὰ τῆς μὴ, μηδείς· πρόσκειται μονοσύλλαβα, διὰ τὰ ὑπὲρ μίαν συλλαβήν· οἷον, χαρίεις, χαρίεντος· πρόσκειται ὀνόματα, διὰ τὰς μονοσυλλάβους μετοχάς· αὗται γὰρ διὰ τοῦ ντ κλίνονται· οἷον, θεὶς, θεντός· εἱς, ἑντός· ἐξ οὗ τὸ ἀφεὶς, ἀφεντός, ὁ ἀπολύσας· πρόσκειται ἀρσενικὰ, διὰ τὸ κλεῖς, κλειδὸς, θηλυκόν· τὸ εἷς περισπᾶται· τὰ εἰς εις ὀνόματα κοινολεκτούμενα, ἔχοντα οὐδετέρου παρασχηματισμὸν, ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν· ὀνόματα εἶπεν, διὰ τὰς μετοχάς· οἷον, τυφθείς· δαρείς· κοινολεκτούμενα εἶπεν, διὰ τὸ εὐγενὴς καὶ εὐσεβής· οἱ γὰρ Βοιωτοὶ διὰ τῆς ει διφθόγγου ἐκφέρουσιν· οὐδετέρου παρασχηματισμὸν εἶπεν, διὰ τὸ χαρίεντος· τιμήεντος· ὀξύνεσθαι οὐκ ὤφειλεν διὰ τὸν κανόνα τοῦτον· βαρύνεσθαι οὐκ ὤφειλεν, διότι τὸ μονοσύλλαβον, ἢ ὀξύνεται, ἢ περισπᾶται, οὐδέποτε δὲ βαρύνεται· ἐξ ἀνάγκης περιεσπάσθη· εἷς γίνεται παρὰ τὴν ἐς καὶ ἀφαιρέσει[k] * * τὸ ἀπολελυμένον καὶ μεμονωμένον[l]. διαφέρει τὸ εἷς τοῦ δεὶς κατὰ δʹ τρόπους· πρῶτον, ὅτι τὸ μὲν εἷς καὶ δασύνεται καὶ περισπᾶται· τὸ δὲ δεὶς οὔτε δασύνεται, οὔτε περι-

[k] Cod. ἀφερέσει. [l] Cod. μεμονομένον.

σπᾶται· δεύτερον, ὅτι τὸ μὲν εἷς ἀριθμητικόν ἐστιν, τὸ δὲ δεὶς ἀόριστον· τρίτον, ὅτι τὸ μὲν εἷς οὔτε δυϊκὰ ἔχει, οὔτε πληθυντικά· τὸ δὲ δεὶς ἔχει καὶ δυϊκὰ καὶ πληθυντικά· οἱ οὐδένες, τῶν οὐδενῶν· τέταρτον, ὅτι τοῦ μὲν εἷς τὸ θηλυκόν ἐστιν ἡ μία, τὸ δὲ δεις ὁμόφωνος· ἕτερος κανών· τὰ εἰς εις ὀνόματα ἔχοντα οὐδετέρου παρασχηματισμὸν διὰ τοῦ ντ κλίνονται.

Ἔστω: Εἰμὶ τὸ ὑπάρχω· ὁ παρατατικὸς ἦν, ἡ μετοχὴ εἷς ἐντός· τὸ προστακτικὸν ἔθι· τὸ τρίτον ἔτω, καὶ πλεονασμῷ τοῦ σ ἔστω.

Ἕτερος: Τὰ διὰ τοῦ τερος ὀνόματα, εἴτε ὀξύτονα, εἴτε βαρύτονα, διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, ὀξύτερος· ταχύτερος· σοφώτερος· βραδύτερος· ἐνδοξότερος· στεῤῥότερος· πλὴν τοῦ θαιρὸς, ὃ σημαίνει τὸν στρόφιγγα·

ῥῆξαι δ' ἐπ' ἀμφότερα θαιρούς· (Il. M. 549.)

καὶ ἑταῖρος, ὃ σημαίνει τὸν συνήθη φίλον.

Ἕβδομος: Ἐκ τοῦ ἑπτὰ ἕπταμος, καὶ κατὰ τροπὴν τοῦ πτ εἰς β καὶ δ ἕβδομος.

Ἔτι: τὸ τι ι· Τὰ εἰς σι λήγοντα ἐπιῤῥήματα συνεσταλμένα βαρύτονα δισύλλαβα μὲν ὑπάρχοντα διὰ τοῦ ι γράφονται· αὖθι· κεῖθι· νόσφι[m] μέχρι.

Ἔτι: Ἐπίῤῥημα ἐπιτάσεως δηλωτικὸν, ἢ παρατάσεως· εἰ γὰρ εἴπωμεν τρέχοντός τινος ἔτι δραμεῖν, τοῦτο ἐπίτασις· εἰ δὲ, νυκτὸς οὔσης ἔτι νὺξ, παράτασις· * * βαρύνεται· τὰ εἰς σι συνεσταλμένῳ ἐπιῤῥήματα βαρύνονται· νόσφι[m] ἶφι.

Ἐρυσίβη: Σημαίνει τὴν πάχνην τὴν γινομένην ἐν τῇ δυσαερίᾳ, καὶ φθείρουσαν τοὺς καρπούς· τὸ σι ι· τὰ ἀπὸ μελλόντων συντιθέμενα ὀνόματα τὸ ι παραλήγονται· οἷον, τέρψω, τερψίμβροτος· ἵστημι, στήσω, Στησίχορος· οὕτως οὖν ἐρύω, καὶ ὁ μέλλων ἐρύσω[n], καὶ μετὰ τοῦ βῶ τὸ τρέφω, ἐρυσίβη, ἡ κωλυτικὴ τῆς τροφῆς· ἢ παρὰ τὸ ἐρύκειν τῇ ἥβῃ.

Εὐεργέτης: Παρὰ τὸ ἔργον γίνεται ἐργέτης, καὶ μετὰ τοῦ εὖ μορίου εὐεργέτης.

Ἑορτή: Τὸ ο μικρόν· γίνεται παρὰ τὸ ἐρῶ τὸ ἐπιθυμῶ·

[m] Cod. νόφι. [n] Cod. ἐῤῥύσω.

ὁ μέλλων ἐράσω, ἐρατὴ, καὶ τροπῇ τοῦ α εἰς ο, καὶ ἐν ὑπερβιβασμῷ ἑορτή· εἰς τὸ ε δασεῖα· ἐτυμολογεῖται παρὰ τὸ εἰς τὰ ἐᾶ ὀρούειν, ὅ ἐστιν ἀγαθά.

θεοὶ[o] δωτῆρες ἐάων. (Od. Θ. 325.)

Εἰλικρινής: Παρὰ τὸ *ἕλη καὶ τὸ κρίνω· δοκεῖ δὲ παράλογος εἶναι ἡ σύνθεσις· ὤφειλεν γὰρ γράφεσθαι διὰ τοῦ η, ἐκ τοῦ ἕλη· οὐκ ἔστιν δὲ παράλογος· ἐπειδὴ τὰ εἰς η λήγοντα θηλυκὰ συντιθέμενα μεθ' ἑτέρας λέξεως, ἢ τρέπει τὸ η εἰς τὸ ο, ὡς ἐστιν τὸ βοὴ, βοηθὸς, οὕτως ἐστὶν ἕλη καὶ τὸ κρίνω, ἑλοκρινὴς, καὶ τροπῇ τοῦ ο εἰς ι, καὶ πλεονασμῷ ἑτέρου ι ἐν τῇ ε εἰλικρινής· εἰλικρινὴς γάρ ἐστιν ὁ ἔχων λαμπρὰν καὶ καθαρὰν τὴν ψυχήν.*

Ἐπήρεια: Λέγεται *κυρίως ἡ ἐν τῷ πολέμῳ καταδρομή· ἄρης οὖν ὁ πόλεμος· τὸ θηλυκὸν ἄρεια, καὶ μετὰ τῆς ἐπὶ προθέσεως, ἐπάρεια· καὶ τροπῇ τοῦ α εἰς η ἐπήρεια.*

Ἐτησίους: Τοὺς *κατὰ ἔτος ἐν τῷ καιρῷ τῆς ὀπώρας πνέοντας ἀνέμους· ἡ εὐθεῖα ὁ ἐτησίας, τοῦ ἐτησίου, ὡς κοχλίας, κοχλίου· ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ ἐτήσιαι*[p], *τῶν ἐτησίων· ὁ τόνος σεσημείωται, τὸ χλούνων χρήστων ἐτησίων· γίνεται δὲ ἐκ τοῦ ἔθος, ἐθησίας, καὶ ἐτησίας· οἱ ἔθος ἔχοντες κατὰ ἓν ἔτος ἐν τῷ καιρῷ τῆς ὀπώρας πνέειν ἄνεμοι, ἢ παρὰ τὸ ἔτος· ἄμεινον δὲ τὸ πρῶτον.*

Ἐσθίω: Τὰ *διὰ τοῦ ιω ῥήματα ὑπὲρ δύο συλλαβὰς βαρύτονα κλινόμενα εἰς μέλλοντα διὰ τοῦ ι γράφονται· ὑπὲρ δύο συλλαβὰς εἶπεν, διὰ κλείω· βαρύτονα εἶπεν, διὰ τὸ ἀχρειῶ· κλινόμενα εἰς μέλλοντα εἶπεν, τὸ διὰ τὸ βρόσω, βροσείω, καὶ ὄψω, ὀψείω.*

Ἐκεῖ: Ἐκ *τοῦ ἐκεῖνος κατὰ ἀποκοπήν· * * τὸ κει δίφθογγος κατὰ διάλεκτον· ἐπεὶ οἱ Δωριεῖς ἐκῆνος λέγουσιν διὰ τοῦ η· ὥσπερ πλείων, πλήων, καὶ μείων, μήων· ἐκεῖνος, ἐκείνοθεν, καὶ συγκοπῇ ἐκεῖθεν· εἰς τὸ κει περισπωμένην· αἱ ἀποκοπαὶ ἡνίκα φυλάττωσι τὸ αὐτὸ μέρος τοῦ λόγου, καὶ τὸν αὐτὸν τόνον φυλάττωσιν· οἷον, δῶμα, δῶ.*

[o] Cod. *θοιά.* [p] Cod. *αἰτήσιαι.*

Εἰκοστός: Διατί ὀξύνεται; ἐπειδὴ τὰ εἰς τος λήγοντα ὑπὲρ δύο συλλαβὰς, ἔχοντα πρὸ τοῦ τ τὸ σ, τήν τε παραλήγουσαν εἰς ο περατουμένην, ἐπὶ ποσότητος τασσόμενα ὀξύνονται· οἷον, πολλοστός· εἰκοστός· τριακοστός· πεντηκοστός.

Ἐρευνῶ: Ἐκ τοῦ ἐρέω τῷ ζητῶ· Ὅμηρος·

τοῦ ἐρέων Ὀδυσῆι συνῆντα· (Od. Φ. 31.)

λοιπὸν ἐκ τοῦ ἐρέω πλεονασμῷ τοῦ υ ἐρεύω· πέφυκε τὸ υ πλεονάζειν ἐν τοῖς ῥήμασιν· * * * * σεσημείωται τὸ κίω, κινῶ, καὶ κύω, κυνῶ· ἐρεύω, ἐρευνῶ· ἐκ δὲ τοῦ ἐρευνῶ, ἔρευνα, ἡ ζήτησις.

Ἐρυθρά: Ἀπὸ τοῦ Ἐρυθρὰ βασιλέως πεσόντος ἐκεῖ, καὶ πνιγέντος· ἢ ἀπὸ τῶν παρακειμένων ὀρέων Ἐρυθρῶν.

Ἕτοιμος: Ὁ πρόχειρος· παρὰ τὸ οἶμα, ὃ σημαίνει τὸ ὅρμημα· ὡς Ὅμηρος·

οἶμα λέοντος ἔχων· (Il. Π. 752.)

καὶ τοῦ ἔθος, ἔθοιμος· καὶ ἐπεὶ ψιλὰ, ψιλῶν, ἡγεῖται, καὶ δασέα, δασέων, ἕτοιμος, ὁ εἰς τὸ ὁρμῆσαι καὶ πρᾶξαι ἕτοιμος καὶ πρόχειρος.

Ἐξοιστρῶ: Ἐκ τοῦ οἶστρος· τοῦτο παρὰ τὸν οἴσω μέλλοντα τὸ φέρω, ὁ ἐπὶ κακῷ φερόμενος· ἐξοιστρημένου γὰρ, τοῦ ἐπὶ κακῷ μανέντος.

Ἐλαύνω: Ὥσπερ γὰρ παρὰ τὸ περῶ γίνεται περαίνω, καὶ πτῶ, πταίνω, καὶ παπταίνω μετὰ ἀναδιπλασιασμοῦ, οὕτως καὶ παρὰ τὸ ἐλῶ, ὃ σημαίνει τὸ ἐλαύνω, γίνεται κατὰ παραγωγὴν ἐλαίνω, καὶ τροπῇ τοῦ ι εἰς υ ἐλαύνω· ὥσπερ Ἀφροδίτη, Ἀφροδύτη· δίφρος, δύφρος· οὕτως καὶ ἐλαίνω, ἐλαύνω.

Εἵνεκα: Βαρύνεται· πᾶς αἰτιολογικὸς σύνδεσμος ὑπὲρ μίαν συλλαβὴν βαρύνεται· οἷον, ἕνεκα, χάριν Δίονος ἦλθον· ὁ ἕνεκα, ὄφρα, ὅτι, χάριν· δηλοῖ γὰρ οὐκ ὄνομα μόνον, ἀλλὰ καὶ σύνδεσμον.

Εὐεπίης: Τὸ ἀρσενικὸν εὐεπὴς ὀξυτόνως· τὸ θηλυκὸν εὐέπεια προπαροξυτόνως· ἔστιν δὲ καὶ εὐεπία παροξυτόνως[p] διὰ τοῦ ι· τὸ δὲ προπαροξυτόνως τὸ πει διὰ τῆς ει διφθόγγου.

[p] Cod. παροξύτονος.

ἘΦΥΜΝΙΑ : Τὸ μυι ι· ἐκ τοῦ ἐφύμνιος· τοῦτο ἐκ τοῦ ὕμνος, ὕμνιος, καὶ ἐφύμνιος· ὁ δὲ κανὼν τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιος ἐπὶ τοῦ αὐτοῦ σημαινομένου διὰ τοῦ ι γράφεται· κάπρος, κάπριος· ὕμνος, ὕμνιος· εἰ δὲ ὀξύνεται διὰ τῆς ει διφθόγγου· ἀρνὸς, ἀρνειός· θαμὸς, θαμειός[q].

ἘΠΤΑΙΚΌΤΑ : Πταίσαντα.

ἘΠΙΠΝΟΊΑΣ : Ἐπιπνεύσεως.

ΕὙΤΕΛΟΥ͂Σ : Ταπεινῆς.

ἘΛΙΚΤΌΝ : Ἐκ τοῦ ἑλίσσω, ἑλίξω, ἑλικτὸς, ἐξ οὗ γράφεται καὶ διὰ τοῦ ι.

ΕὐΧΉ : Ἡ καύχησις παρὰ τὸ εὔχω· τοῦτο παρὰ τὸ εὖ ἔχειν.

ἘΞΟΙΣΤΡΩ͂ : Ἐκ τοῦ οἶστρος· τοῦτο παρὰ τὸν οἴσω μέλλοντα, τὸ φέρω, ὁ ἐπὶ κακῷ φερόμενος· ἐξοίσημαι[r] γὰρ τοῦ ἐπὶ κακῷ μανέντος· ἔστιν δὲ πρώτης συζυγίας τῶν περισπωμένων.

ἘΛΘΈΜΕΝΑΙ : Οἱ Αἰολεῖς[s] τὸ ἐλθεῖν οὕτως καλοῦσιν· καὶ τοῦτο διότι τὰς λέξεις ἀγαπῶσιν προπαροξύνειν[t]· οἱ δὲ Δωριεῖς ἔλθέμεν.

ΕἸΡΉΝΗ : Παρὰ τὸ ἠρεμεῖν τὸν νοῦν· τροπῇ τοῦ η εἰς τὴν ει δίφθογγον· ἢ παρὰ τὸ εἰρῶ, εἰρήσω.

ΕὔΓΜΑΤΑ : Καυχήματα.

ἜΡΗΜΟΣ : Παρὰ τὸ ἔραν μόνην ἔχειν, ὅ ἐστιν τὴν γῆν.

ἘΠΤΌΧΕΥΣΑΝ : Παρὰ τὸ ἐκπεπτωκέναι τοῦ ἔχειν.

ἜΧΩ : Τὸ κατέχω· Ἔχω, τὸ κολυμβῶ.

ἔρχομ' ἔχων ἐπὶ νῆας·

* * τὸ συνδυάζω.

ἘΣΜΊ· ἜΣΜΑΙ : Ὁ παρατατικὸς ἤσμην, τὸ προστακτικὸν ἔσσο.

ἘΞΉΤΗΛΑ : Ἀμαυρὰ καὶ σκοτεινά.

ἙΡΠΕΤΌΝ : Παρὰ τὸ ἔρα καὶ τὸ πέτω, ὅ ἐστιν πίπτω.

ἝΣΠΟΜΑΙ : Ἐκ τοῦ ἕπω, καὶ πλεονασμῷ τοῦ σ ἕσπω.

ἘΠΊΣΚΟΠΟΣ : Κατασκόπου διαφέρει· ὅτι ἡ ἐπισκοπὴ ἐπίσκεψίς ἐστι θεραπείας· ἡ δὲ κατασκοπὴ πρὸς βλάβην.

q θαμιός. r Leg. ut supra ἐξοιστρημένου. s Cod. αἰωλεῖς.
t Cod. παροξύνην.

ʽΕρεβοδιφῶ: Παρὰ τὸ ἔρεβος, καὶ τὸ διφῶ τὸ ψηλαφῶ.

ʽΕρηρεισμένος: ʽΕρείδω τὸ ἐπιστηρίζω διὰ τῆς ει διφθόγγου· ἐξ οὗ καὶ

ἔρεισον ἐπὶ πέτραν τοὺς πόδας μου.

ʽΕπεῖδόν με: ʽΕπὶ τῶν πεπονθότων ἔνδειαν δισυλλάβων παρῳχημένων ὁριστικῶν ἡ ἔγκλησις διαλύεται.

Εἰκοστός: Διατί ὀξύνεται; τὰ εἰς τος ὀνόματα ἐπ' ἀριθμοῦ ταττόμενα, ἔχοντα πρὸ τοῦ τ τὸ σ, τήν τε παραλήγουσαν εἰς ο παρατουμένην, ἐπὶ ποσότητος τασσόμενα ὀξύνονται· οἷον, εἰκοστός· τριακοστός· ἐτυμολογεῖται δὲ παρὰ τὸ εἰς ἓν ἥκειν τὰς δύο δεκάδας.

ʽΕπτάχετσεν: Παρὰ τὸ ἐκπεπτωκέναι τοῦ ἔχειν.

ʼΕρημος: Παρὰ τὸ ἔραν μόνην ἔχειν.

ʽΕξήκοστος: Παρὰ τὸ ἓξ δεκάδας ἔχειν· τὰ δὲ διὰ τοῦ κοντα ἀριθμητικὰ ἢ τὸ η παραλήγονται, ἢ τὸ α, καὶ διὰ τοῦ ο μικροῦ γράφει τὴν παραλήγουσαν.

Εὐνάσας: ʽΕκ τοῦ εὐνή· παρὰ τὸ εὖ νενῆσθαι, ἤγουν καλῶς ἐστρῶσθαι.

Εὐκτῶς: Παρὰ τὸ εὔχω.

ʽΕκολλήθη: Παρὰ τὸ τὰ κεκομένα ἑνοῖν.

ʽΕκίσσησέν με: Τὸ μετὰ ἡδονῆς προσελάβετο.

ʽΕταῖρος: Τὸ ται δίφθογγον· τὰ ἀπὸ πρωτοτύπου τῶν εἰς ος διὰ τοῦ αιος γινόμενα ὀνόματα διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, δρόμος, δρομαῖος· ἔθος, ἐθαῖος, καὶ ἑταῖρος· λῆνος, ληναῖος.

ʼΕπω: Σημαίνει δʼ· τὸ λέγω, καὶ τὸ ἀκολουθῶ, τὸ διοικῶ, καὶ τὸ κατασκευάζω· διαφέρει δὲ τὸ ἔπω τὸ λέγω, τὸ ἕπω τὸ ἀκολουθῶ, κατὰ τρόπους δύο· κατὰ πνεῦμα καὶ κατὰ κλίσιν[t]· ὅτι τὸ μὲν ἔπω τὸ λέγω ψιλοῦται· τὸ δὲ ἕπω τὸ ἀκολουθῶ δασύνεται· καὶ ὅτι τὸ μὲν ἔπω τὸ λέγω παθητικὰ οὐκ ἔχει, τὸ δὲ ἕπω τὸ ἀκολουθῶ ἐνεργητικά.

Εἰρήνη: Τὸ ρη η· τὰ διὰ τοῦ ηνη θηλυκὰ ὑπὲρ δύο συλ-

[t] Cod. κλῆσιν.

λαβὰς βαρύτονα διὰ τοῦ η γράφονται· οἷον, εἰρήνη· σελήνη· σαγήνη· πλὴν τοῦ ἀξίνη· τὸ δὲ ὑσμήνη ἀνθιβάλλεται.

Ἐλπὶς Ἐλπίδος: Ὁ κανών· τὰ εἰς ις ὀξύτονα θηλυκὰ διὰ τοῦ π ἐκφερόμενα, εἴτε ἁπλᾶ εἴη, εἴτε σύνθετα, διὰ τοῦ δος κλίνεται· ἁπλᾶ μὲν διὰ τὸ ἐλπὶς, ἐλπίδος· κρηπὶς, κρηπῖδος· ἀσπὶς, ἀσπίδος· σύνθετα δὲ διὰ τὸ εὔελπις, εὐέλπιδος, καὶ ῥίψασπις, ῥιψάσπιδος.

Εἱς: Πόσα σημαίνει· εἱς, εἰ μὲν ψιλοῦται καὶ ὀξύνεται, σημαίνει τὸ ὑπάρχω· εἰ δὲ δασύνεται καὶ ὀξύνεται, σημαίνει τὸ ἀνατείνας καὶ διαπετάσας·

διεὶς τὰς πτέρυγας αὐτοῦ·

εἰ δὲ δασύνεται καὶ περισπᾶται, σημαίνει ἀριθμόν· εἰ δὲ ψιλοῦται καὶ ὀξύνεται, σημαίνει πρόθεσιν.

Εἷς καὶ οὐδέτερον Ἕν: Διατί τῶν εἰς εις μονοσυλλάβων ὀνομάτων μὴ ποιούντων οὐδετέρου παρασχηματισμόν· οἷον, μείς· κτείς· τὸ εἷς ποιεῖ οὐδετέρου παρασχηματισμόν; οἷον, ἕν· καί ἐστιν εἰπεῖν, ὅτι τοῦτο τὸ εἷς ποιεῖ οὐδετέρου παρασχηματισμὸν, ἐπειδὴ ἀριθμητικόν ἐστιν· τὰ δὲ ἀριθμητικὰ πεφύκασι ποιεῖν οὐδετέρου παρασχηματισμόν· οἷον, τρεῖς, τὰ τρία· οἱ τέσσαρες, τὰ τέσσαρα· οὕτως οὖν καὶ τὸ εἷς, τὸ ἕν· ἰστέον δὲ ὅτι τὸ εἷς ὀφείλων[u] διὰ τοῦ ντ κλίνεσθαι, ὡς ἔχον οὐδέτερον τὸ ἕν, τὰ γὰρ εἰς εις ἔχοντα οὐδέτερον εἰς εν διὰ τοῦ ντ θέλουσι κλίνεσθαι· οἷον, χαρίεις, χαρίεντος· οὕτως οὖν ὤφειλεν εἶναι καὶ εἷς, ἕντος· ἀλλ' ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι τὰ πνεύματα τῶν εὐθειῶν φυλάττεσθαι θέλουν καὶ ἐν ταῖς λοιπαῖς[x] πτώσεσι· οἷον, τὸ ἁγνὸς δασύνεται, ἀλλὰ καὶ αἱ λοιπαὶ[y] πτώσεις· τούτου χάριν ἐξ ἀνάγκης ἀπέβαλεν τὸ τ, καὶ ἐγένετο ἡ γενικὴ ἑνός· εἰ γὰρ ἐκλίθη διὰ τοῦ ντ, ἤμελλε τῆς εὐθείας δασυνωμένης ἡ γενικὴ ψιλοῦσθαι, ὅπερ ἐστὶν ἀδύνατον· καὶ δασύνεται μὲν ἡ εὐθεῖα· ἐπειδὴ πᾶς ἀριθμὸς ἀπὸ τοῦ ε ἀρχόμενος δασύνεσθαι θέλει· οἷον, ἕξ· ἑπτα· ἕν· οὕτως οὖν καὶ τὸ εἷς· δεῖ προσθεῖναι χωρὶς τοῦ εἴκοσι, καὶ ἐννέα, καὶ ἐνενήκοντα[z]· πρόσ-

[u] Cod. ὠφίλων. [x] Cod. λυπαῖς. [y] λυπαί. [z] Cod. ἐνινίκοντα.

κειται ἀπὸ τοῦ ε ἀρχόμενος, διὰ τὸν ὀκτὼ ἀριθμόν· χωρὶς εἰ μὴ ἐν ῥήματι, ἢ ἐπιῤῥήματι εὑρέθη, διὰ τὸ ἔντο·

αὐτὰρ ἐπεὶ πόσεως καὶ ἐδητύος[a] ἐξ ἔρον[b] ἔντο· (Il. A. 469.)

πρόσκειται δὲ ἡ ἀπὸ ῥήματος, διὰ τὴν ἔντος μετοχήν· αὕτη γὰρ δασύνεται.

Εἶμαι: Διατί προσέλαβεν ὁ ἔμε παρακείμενος τὸ ι, καὶ γέγονεν εἶμαι; ἐξ οὗ τὸ παρειμένος καὶ ἀνειμένος· διότι πᾶς παρακείμενος ἀπὸ φωνήεντος ἀρχόμενος, πλὴν τῶν κατὰ ἀναδίπλωσιν Ἀττικὴν, ἀπὸ μακρᾶς ἄρχεται.

Ἐλεύθερος: Παρὰ τὸ ἐλεύθεσθαι ὅπου ἐρᾷ.

Εὐτόνως: Τόνος παρὰ τὸ τίνεσθαι πρὸς δρόμον.

Εὐήθης: Ἄφρων.

Ζημία: Ἡ πρὸς τὸ ζῆν μειοῦσα· τὸ ζη η· διατί ἐκ τοῦ ζῆν; καὶ ἐκεῖνο διατί; τὸ αε παρ' ἡμῖν μὲν εἰς α κίρναται, παρὰ δὲ τοῖς Δωριεῦσιν εἰς η· οἷον, πεινάεις, πεινᾶς, κοινῶς· πεινῆς Δωρικῶς· διψάεις, διψᾷς, κοινῶς· διψῇς δὲ Δωρικῶς· οὕτως καὶ ζάεις, ζᾷς ὤφειλεν εἶναι, ἀλλ' ἐπεκράτησεν τοῦτο καὶ παρ' ἡμῖν λέγεσθαι ζῆν διὰ τοῦ η.

Ζῷον Ἐν Πυρὶ Σκαῖρον: Ἡ σαλαμάνδρα· ἥτις ζῶον ἐστὶν ὡσεὶ σαύρας τὰ μέγεθος, ἢ μικροῦ κροκοδείλου[c] χερσέου· ἔστιν δὲ ψυχρότατον ὑπερφυῶς, ὥστε καὶ ἐν πυρὶ εἰσερχόμενον τὴν μὲν φλόγα σβέννυναι, αὐτὸ δὲ μὴ κατακαίεσθαι.

Ζῷον: Γίνεται παρὰ τὸ ζῆν· προσγράφεται δὲ τὸ ι· τὰ διὰ τοῦ ῳον οὐδέτερα μονογενῆ ἔχουσι τὸ ι προσγεγραμμένον, καὶ περισπῶνται· οἷον, ὑπερῷον στῷον, περιστῷον.

Ζάλη: Κυρίως ἐπὶ τῆς θαλάσσης, παρὰ τὸ ζέειν τὴν ἅλα, ἤγουν ὀγκοῦσθαι ὑπὸ τῶν ἀνέμων· ἢ παρὰ τὸ ζέω καὶ τὸ ἀλῶ, τὸ πηδῶ· ἡ ἀγριουμένη, καὶ ὀγκουμένη, καὶ ταρασσομένη θάλασσα· ἢ παρὰ τὸ ἅλς, ἁλὸς, καὶ τὸ ζέω, ἡ διεγειρομένη θάλασσα.

Ζωννύω: Διὰ δύο νν· τὰ εἰς ω περισπώμενα, διὰ τοῦ νυω ποιοῦντα παραγωγὴν, διὰ δύο νν γράφονται· οἷον, χῶ, χωννύω·

[a] Cod. ἐρητύος. [b] Cod. ἔρων. [c] Cod. κροκοδήλου.

ῥῶ, ῥωννύω· ὀμῶ, ὀμοννύω, καὶ ὀμνύω συγκοπῇ· τὸ δὲ περιεζωσμένον ἐκ τοῦ ζώω βαρυτόνου· εἰ γὰρ ἦν ἀπὸ τοῦ ζῶ, ζώσω, οὐκ ὤφειλεν προσλαμβάνειν τὸ σ.

Ζῶ : Τὸ *ἐπὶ τῆς ζωῆς, ὁ μέλλων ζήσω ἐστίν· καὶ τί μετέχει τὸ ζωννύω πρὸς τὸ ζῶ; ἐπειδὴ τὸ ζῆν ἐπὶ τοῦ θερμοῦ λαμβάνεται παρὰ τὸ ζέω, διὰ τὴν ἐν αὐτῷ θερμασίαν, ὥσπερ κατὰ περίφρασιν λέγεται ἀλίβας ὁ νεκρὸς, τουτέστιν μὴ ἔχων λιβάδα, μήτε θερμότητα· ἀπὸ μεταφορᾶς δὲ τοῦ ζῆν καὶ τὸ ζωννύω· ἐπειδὴ κατ' ἐκείνω τῷ τόπῳ ζωννύμεθα, ἐν ᾧ ἐστὶν τὸ τοῦ σώματος θερμὸν, τουτέστιν ἡ καρδία.*

Ζόφος : Βαρύνεται *τὰ εἰς φος δισύλλαβα κύρια ἢ προσηγορικὰ βαρύνονται, εἰ μὴ ἔχοι τὸ υ πρὸ τοῦ τέλους συνεσταλμένον σημαίνοντα τοπικὴν ἔννοιαν· οἷον, τάφος· κέμφος, ἔστιν δὲ εἶδος ὀρνέου· λαῖφος· νέφος· βρέφος· γνόφος· τρόφος· ὄρφος· οὕτως καὶ ζόφος· γίνεται δὲ ζόφος παρὰ τὸ δνόφος.*

Ζοφώδης : Τὸ *φω μέγα· τὰ διὰ τοῦ ωδης μετουσιαστικὰ, διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, ὀξώδης· ζοφώδης· δυσώδης· ἀμμώδης—ζοφώδης, ζοφώδου ὁ κανών· τὰ διὰ τοῦ ωδης μετουσιαστικὰ εἰς ου ἔχει τὴν γενικὴν, χωρὶς τῶν παρὰ τὸ πούς, ὡς ἔχει τὸ τριπόδης· ἑπταπόδης.*

Ζωννύω : *Δύο νν· τὰ ἀπὸ μονοσυλλάβων ῥημάτων διὰ τοῦ νω γινόμενα παράγωγα διὰ δύο νν γράφονται· οἷον, ῥῶ, ῥωννύω· χῶ, χωννύω· ζῶ, ζωννύω.*

Ἡνίον : Τὸ *η η· οἱ μὲν λέγουσι ὅτι πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου· ἔστιν γὰρ καὶ σημαίνει τὸ νεῦρον· τοῦτο δὲ σημαίνει τὸν λῶρον·*

ἰνίῳ ἐνστρέφεται, κοτύλην δέ τέ μιν καλέουσιν· (Il. E. 306.)

οἱ δὲ ὅτι ἐκ τοῦ ἀνύω γίνεται ἀνύον, καὶ τροπῇ τοῦ α εἰς η, καὶ τοῦ υ εἰς ι ἡνίον· καὶ γὰρ διὰ τῶν λώρων τῶν ἵππεων ἀνύομεν τὰς ὁδούς.

Ἥκιστα : Σημαίνει *τὸ οὐδαμῶς· λέγει δὲ ὁ Ἡρωδιανὸς ὅτι παραλόγως δασύνεται Ἀττικῶς· ἐπειδὴ ἐκ τοῦ ἡσσῶ τὸ ἡττῶ· ἐκεῖνο γὰρ δασύνεται· λοιπὸν ἡσσῶ, ἥσσιστα, καὶ*

ἥκιστα· * * * γίνεται δὲ ἐκ τοῦ ἧκα τὸ ἠρέμα, ἐξ οὗ Ὅμηρος·

ἧκα μάλα πρὸς ἀλλήλους· (Il. Γ. 155.)

ἐκ τοῦ ἧκα, ἥκιστα, μετὰ τῆς οὐ ἀρνήσεως, οὐχ ἥκιστα, ἀντὶ τοῦ μάλιστα· ὅτι δασύνεται δείκνυται ἐκ τῆς συναλιφῆς.

Ἡλίου: Καὶ δασύνεται καὶ βαρύνεται ὅταν ἐστὶν ἐν ἀκολουθίᾳ· ὅταν δέ ἐστιν ἐπὶ τέλους ὀξύνεται.

Ἥμην: Ἐκ τοῦ ἕω τὸ παθητικὸν αὐτοῦ τῇ φωνῇ μονῇ ἐστιν· τῇδε σημασίᾳ ἀπέλειψεν· ἕομαι, ὁ παρατατικὸς ἠόμην, καὶ συγκοπῇ ἥμην.

Ἡλικιῶτιν: Χριστοῦ θυσίαν· ἡλικιῶτις, ἡλικιώτιδος καὶ ὅσα ἀπὸ τῶν εἰς ης ἀρσενικῶν μεταπεποίηται· τὸ τις ι· τὰ εἰς ις θηλυκὰ διὰ τοῦ ι γράφεται· τὸ ἀρσενικὸν ἡλικιώτης· τὸ ω μέγα· τὰ εἰς ης ἀρσενικὰ βαρύτονα, εἰ μὲν καθαριεύωσιν, διὰ τοῦ ω μεγάλου γράφεται· ταξεώτης· στρατιώτης· ἡλικιώτης· εἰ δὲ μὴ καθαριεύωσαν, διὰ τοῦ ο· δεσπότης· τοξότης· πλὴν τοῦ δεσμώτης· γίνεται ἐκ τοῦ ἧλιξ, ἥλικος, ἡλικία, καὶ ἐξ αὐτοῦ ἡλικιῶτις· τὸ δὲ ἧλιξ ἐκ τοῦ πάλλω τὸ κινῶ πάλλιξ, καὶ ἀποβολῇ τοῦ π, καὶ τροπῇ τοῦ α εἰς η ἧλιξ· οἱ γὰρ Ἀττικοὶ τοὺς νεωτέρους πάλικας λέγουσιν.

Ἡττῶ: Παρὰ τὸ ἡσσῶ· τοῦτο παρὰ τὸ ἥσσων· τοῦτο παρὰ τὸ ἡδείων· τοῦτο παρὰ τὸ ἡδύτερος· τοῦτο παρὰ τὸ ἡδὺς, ὑπὸ γὰρ τῶν ἡδέων νικώμεθα· ὁ γὰρ πορνεύων, διὰ τὴν ἡδύτητα τοῦ πάθους νικᾶται ὑπὸ τοῦ διαβόλου.

Ἥσυχος· Παρὰ τὸ ἥδω τὸ εὐφραίνομαι· ὁ μέλλων ἥσω, ἥσοχος, καὶ τροπῇ τοῦ βραχέος εἰς βραχὺ, ἥσυχος, ἥδονται γὰρ οἱ ἀσκηταὶ τὴν ἡσυχίαν.

Ἥιεσαν καὶ Προσήιεσαν: Τὸ θεμα εἴω διὰ τῆς ει διφθόγγου, καὶ διὰ τοῦ ι· ἐκ τοῦ ἕω τὸ πορεύομαι, καὶ πλεονασμὸν τοῦ ι εἴω, ὁ μέλλων εἴσω, ὁ παρακείμενος εἶκα, ὁ μέσος εἶα· κοινῶς μὲν διὰ διφθόγγου, Ἀττικῶς δὲ διὰ τοῦ η· οἱ γὰρ Ἀττικοὶ τὸ ε τῶν παρωχημένων εἰς η τρέπουσιν· οὕτως καὶ τὸ εἶα τὸ διὰ διφθόγγου, ἦα λέγουσιν διὰ τοῦ η καὶ ι· ὁ ὑπερ-

συντελικὸς ᾔειν, καὶ τὸ πλυθυντικὸν ᾔειμεν, ᾔειτε, ᾔεισαν, καὶ ἀποβολῇ τοῦ ι ᾔεσαν, καὶ προσῄεσαν.

Ἠπιώτατος: *Λέγεται ὁ ἐν λόγῳ πραότατος· ἔπω οὖν τὸ λέγω, ἔπιος, καὶ τροπῇ τοῦ ε εἰς η, ἤπιος· ὁ ἐν λόγῳ πραότατος· τὸ οὐδέτερον τὸ ἤπιον, καὶ τὰ ἤπια, τῶν ἠπίων· καὶ πλεονασμῷ τοῦ ο ἠπιόων, ὥσπερ βοῶν, βοόων.*

Ἠγκιστρωμένοι: *Παρὰ τὸ ἄγκιστρον· τοῦτο παρὰ τὸ ἄγχω, ἄγκιστρον, καὶ τροπῇ τοῦ χ εἰς κ ἄγκιστρον, τὸ ἄγχον τοὺς ἰχθύας· ἢ παρὰ τὸ ἄγω τὸ φέρω.*

Ἤλασαν: *Παρὰ τὸ ἐλῶ τὸ ἐλαύνω· ἔστιν καὶ ἐλῶ τὸ καταβάλλω, ὅθεν καὶ καθεῖλες· καὶ βαρυτόνως ἄλλω, ὅθεν καὶ*

καθελῶ μου τὰς ἀποθήκας.

Ἠίθεος: *Ὁ ἀκίνητος.*

Ἦν: *Ἀντὶ τοῦ ἐὰν συνδέσμου αἰτιολογικοῦ.*

Ἥκιστα: *Τὸ οὐδαμῶς· παρὰ τὸ ἵημι τὸ πέμπω· ὁ μέλλων ἥσω, ὁ ἀόριστος ἧκα· ὅθεν καὶ*

ἧκα πρὸς ἀλλήλους ἔπεα πτερόεντ' ἀγόρευον· (Il. Γ. 155.)

καὶ ἐξ αὐτοῦ ἥκιστα· οὐχ ἥκιστα δὲ σημαίνει τὸ πάνυ· ἐπειδὴ τὰ δύο ἀποφατικὰ μίαν κατάφασιν ποιοῦσιν· οἷον, λόγος, ἀλογία, καὶ ἀαλογία, καὶ ἀναλογία, ἡ πάνυ ἔχουσα λόγον.

Ἤστην: *Παρὰ τὸ ἔω τὸ ὑπάρχω· ὁ παρατατικὸς ἦον, τὸ τρίτον τῶν δυϊκῶν ἠέτην, καὶ ἐν συγκοπῇ ἤτην, καὶ πλεονασμῷ τοῦ σ ἤστην·*

δύο δὲ υἱέες ἤστην. (Il. E. 10.)

Ἥσυχος: *Παρὰ τὸ ἵημι, ἥσω, καὶ τοῦ ἦχος, καὶ τροπῇ τοῦ η εἰς υ ἥσυχος· ἢ παρὰ τὸ ἰαχὴ, ἤϊχος, ἥσιχος, καὶ ἥσυχος.*

Ἥλιος: *Τὸ η πρὸ τοῦ λ ψιλοῦται· ἠλίβατος· ἠλιαία· ἠλιτόμηνος· πλὴν τοῦ ἥλιος.*

Ἤχω: *Παρὰ τὸ ἄχος.*

Ἤιδη: *Γέγονεν παρὰ τὸ εἴδω τὸ γινώσκω· ὁ μέσος παρακείμενος εἶδα· καὶ κανών ἐστιν ὁ λέγων, ὅτι οἱ Ἴωνες τὸ ε τῶν παρῳχημένων μεταβάλλουσιν εἰς η· οἷον, ἐβουλόμην, ἠβουλό-*

μην λέγουσιν· καὶ τὸ ἐδυνάμην, ἠδυνάμην, καὶ τὸ ἔθελον, ἤθελον· οὕτως καὶ τὸ εἶδα ἦδα διὰ τοῦ η· ὁ ὑπερσυντελικὸς ἤδειν· καὶ πάλιν οἱ Ἀττικοὶ διαλύουσιν τὴν ει δίφθογγον τοῦ πρώτου προσώπου εἰς ε καὶ α· τὸ γὰρ α χαρακτηριστικόν ἐστιν τοῦ πρώτου προσώπου· γίνεται ἤδεα· ἡ δὲ διάλυσις ἀποβάλλει τὸ ν· οἷον,

ἤνεα ηκεν ζωσαμενι νοσεα χαλκύω τυπεῖσι·

Ξέρξειν, Ξέρξεα· Πολυδεύκειν, Πολυδεύκεα· οὕτως οὖν καὶ ἤδειν, ἤδεα· καὶ Ὅμηρος

ἤδεα μὲν γὰρ ὅτι πρόφρων[h] Δαναοῖσιν ἄμυνε· (Il. Ξ. 71.)

τοῦτο δὲ δευτέρου καὶ τρίτου προσώπου διαλύουσιν εἰς δύο εε· ἐρχόμενοι δὲ οἱ Ἀθηναῖοι ταῦτα πάλιν κιρνῶσιν εἰς η, ὡς ἐν τῷ ἕεμαι, ἧμαι, καὶ κάθημαι.

Ἡγεμὼν, Ἡγεμόνος: Ὁ κανών· τὰ εἰς μων ὀνόματα ὀξύτονα, εἰ μὲν τὸ ε παραλήγονται, τρέπουσι τὸ ω εἰς ο ἐπὶ τῆς γενικῆς· οἷον, ἡγεμὼν, ἡγεμόνος· κηδεμὼν, κηδεμόνος· εἰ δὲ τὸ α παραλήγονται, φυλάττουσι τὸ ω· οἷον, πλαταμὼν, πλαταμῶνος· καλαμὼν, καλαμῶνος.

Ἥρως, Ἥρωος: Ὁ κανών· ἰστέον ὅτι τῶν εἰς ος βαρυτόνων τὰ μὲν βραχεῖα παραληγόμενα διὰ τοῦ τος κλίνεται· γέλως, γέλωτος· ἔρωτος· τὰ δὲ μακρὰ διὰ καθαροῦ τοῦ ος· καὶ ἀποροῦσι τινὲς λέγοντες, καὶ πῶς τὸ κάλως, ὃ σημαίνει τὸ σχοινίον[i] βαρύτονον ὢν, καὶ βραχείᾳ παραληγόμενον, οὐ κλίνεται διὰ τοῦ τος, ἀλλὰ διὰ καθαροῦ τοῦ ος· οἷον, κάλως, κάλωος, ὡς μαρτυρεῖ Ἀπολλώνιος ὁ τὰ Ἀργοναυτικὰ γράψας, κάλωας εἰπὼν τὴν αἰτιατικὴν τῶν πληθυντικῶν· οὐδὲ γὰρ δυνάμεθα εἰπεῖν ὡς Ἀττική ἐστιν ἡ κλίσις, οἱ γὰρ Ἀθηναῖοι κατὰ ἀποβολὴν τοῦ σ κλίνουσιν· ὁ κάλως, τοῦ κάλω, ὥσπερ ὁ Μενέλεως, τοῦ Μενέλεω· ἔστιν οὖν εἰπεῖν, ὅτι οὐκ ἔστιν αὕτη ἡ τοῦ κάλως, κάλωος, κλίσις, ἀλλ' ἐπέκτασις· ἔστι γὰρ ὁ κάλως, τοῦ κάλω, Ἀττικῶς, καὶ κατ' ἐπέκτασιν τῆς ος συλλαβῆς κάλωος· ὥσπερ ἡ ἅλω, τῆς ἅλω, ὃ σημαίνει τὸ ἀλώνιον, γέγονεν κατ'

h Cod. πρόφρον. i Cod. σχυνεῖον.

ἐπέκτασιν τῆς ος συλλαβῆς ἅλωος· ἐξ οὗ ἡ αἰτιατικὴ ἅλωα, ὡς παρὰ Καλλιμάχῳ ἐν τῇ Ἑκάλῃ [k].

δεινωμένην περὶ βουσὶν ἐμὴν ἐφύλασσον ἅλωα.

Ἤπειρον : Ἀπερός τις οὖσα, τροπῇ τοῦ α εἰς η.

Ἠπεροπευτής : Ὁ ἡμέρῳ ὀπῇ χρώμενος πρὸς τὸ ἀπατῆσαι.

Θάπτω : Παρὰ τὸ θῶ τὸ τιθῶ, δηλοῖ γὰρ τὴν αἰώνιον ἀπόθεσιν.

Θαλαμίς : Ἡ περὶ τὸν οἶκον, ἤγουν τὸν θάλαμον, ἀναστρεφομένη· γίνεται δὲ ἐκ τοῦ θάλαμος· τοῦτο ἐκ τοῦ θάλπω.

Θετταλικόν : Ὄνομα ἐκ τοῦ Θετταλός· τοῦτο δέ ἐστιν πόλις Θεσσαλίας· Θεσσαλὸς, καὶ Θετταλὸς, καὶ Θετταλικός.

Θρίαμβος : Ἔν τισι πόλεσιν, ὅταν ἤνθουν αἱ συκαῖ, παῖδες περιελόντες σὺν αὐτοῖς τοῖς θρίοις, ἔπαιζον, προφερόμενοι ἰάμβια τετράμετρα· ἔτι νῦν ἐν δήμῳ φησὶν τοῦτο γίνεται· λέγεται δὲ καὶ ὁ Διόνυσος θρίαμβος· ὅτι ἐπὶ θηρῶν, τουτέστιν ἐπὶ λεόντων βέβηκεν· οἷον, θηρίαμβος· τῷ γὰρ ἅρματι αὐτοῦ λέοντας ὑποζευγνύειν φασίν· ἐτυμολογεῖται δὲ παρὰ τὸ ἐνεθριαμβάζεσθαι, ὅ ἐστιν λέγεσθαι· γίνεται δὲ ἐκ τοῦ τρία κατὰ μετάθεσιν τοῦ τ εἰς θ· καὶ γὰρ τὸ φύλλον τῆς συκῆς τριμερές ἐστιν.

Θῶνται : Συνεπίθωνται· διατί ἀνεβίβασεν τὸν τόνον; πᾶν ὑποτακτικὸν δισύλλαβον εἰς μαι λῆγον ἐπὶ δευτέρου μέσου ἀορίστου, ἐν τῇ συνθέσει προπαροξύνεται· οἷον, δῶμαι, ἀπόδωμαι· σχῶμαι, κατάσχωμαι· θῶμαι, διάθωμαι·

φέρε τέκνον διάθωμαι·

σχῶμαι, ἀπόσχωμαι, καὶ

ἀπόσχωνται πολλοί.

Θηρίον : Παρὰ τὸ θὴρ, τὸ δὲ θὴρ παρὰ τὸ φθείρω, φθερῶ, φθὲρ καὶ θήρ· τὸ ρι ι· τὰ διὰ τοῦ ιον οὐδέτερα μονογενῆ διὰ τοῦ ι γράφεται· * * * παροξύνεται· τὰ διὰ τοῦ ιον οὐδέτερα, εἰ μὲν ὦσιν δακτυλικὰ, πρὸ μιᾶς ἔχουσι τὸν τόνον· οἷον, φορτίον·

[k] Cf. Etym. M. p. 74. in v. Ἄλωα.

κλειδίον· τειχίον· ἐρκίον· θηρίον· εἰ δὲ τριβράχεα, προπαροξύνεται· οἷον, φλέβιον· τόπιον.

Θνησιμαῖος: Ἐκ τοῦ θνήσιμος, θνησιμαῖος· τὸ μαι δίφθογγος· τὰ εἰς ος καθαρὸν ἀπὸ πρωτοτύπων τῶν εἰς ος γινόμενα, διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, λινος, λιναῖος.

Θυμοφθόρου: Ἤγουν ψυχοφθόρου· παρὰ τὸ θυμὸς, ὃ σημαίνει τὴν ψυχὴν, καὶ τὸ φθείρω.

Θᾶττον: Ἐκ τοῦ ταχὺς, ταχύτερος, ταχείων, τάσσων, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ θάσσων[l], καὶ θάττων[m]· καὶ τὸ οὐδέτερον τὸ θάττον· εἰς τὸ θα περισπωμένην· τὰ εἰς ον συγκριτικὰ οὐδέτερα ἐκτεταμένῳ διχρόνῳ παραλήγονται· πλὴν τοῦ θᾶσσον καὶ μᾶσσον· τὸ θα μακρὸν φύσει, καὶ περισπᾶται.

Θεός: Ἐκ τοῦ θέω τὸ τρέχω· ὁ πανταχοῦ παρών· ἢ ἐκ τοῦ θῶ τὸ κατασκευάζω καὶ ποιῶ γίνεται θεὸς, καὶ γράφεται τὸ θεὸς μικρόν· καὶ ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι πᾶν ὄνομα μονοσύλλαβον μακροκατάληκτόν ἐστιν φύσει ἢ θέσει, πλὴν τοῦ τις, πλεονάζει τὸ ε, καὶ γίνεται θεός· πλεονάζει δὲ τὸ ε, ἐπειδὴ πᾶσα λέξις βραχυκατάληκτος θέλει εἶναι τῆς ἐνὶ πλεοναζούσης συλλαβῆς· τὸ θε ψιλόν· ὁ κανών· τὰ ἀπὸ τῆς θε συλλαβῆς ἀρχόμενα διὰ τοῦ ε ψιλοῦ γράφεται· πλὴν τοῦ θαιρὸς, ὃ σημαίνει τὴν θύραν, καὶ θαιμάν· τὸ δὲ θαιρὸς παρὰ τὸ θαίρω τὸ καίω.

Θρόνος: Πρωτόθρονος διατί ἀνεβίβασε τὸν τόνον; τὰ εἰς ος δισύλλαβα, εἴτε ὀξύτονα, εἴτε παροξύτονα, ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον· σοφὸς, πάνσοφος· θρόνος, πρωτόθρονος.

Θάλασσα: Ἐτυμολογεῖται οἱονεὶ θέα σαλευομένη, ἐκ τοῦ ἄσσων εἶναι θανάτου· ἢ παρὰ τὸ θᾶττον ἀλάσσεσθαι.

Θεουδεῖς: Θεοειδεῖς, καὶ ἐν συναιρέσει θεουδεῖς.

Ἶος: Ὁ μόνος· τὰ διὰ τοῦ ιος δισύλλαβα διαφόρως τονούμενα διὰ τοῦ ι γράφονται· οἷον, βιὸς, βιὸς τὸ τόξον· Θρῖος ὄνομα τόπου· Χῖος· Δῖος ἔστιν ὄνομα κύριον[n]· ἴος, ὁ μόνος, ἰὸς

[l] Cod. θάσσον. [m] Cod. θάττον. [n] Cod. κυρον.

σημαίνει τὸν ἰὸν τοῦ ὄφεως· κριός· Πιὸς *ὄνομα κύριον· μνιὸς ὁ ἁπαλὸς παρ᾽* Εὐφορίωνι.

ʽΙλιγγιῶ : ʽ*Εκ τοῦ ἴλιγξ, ἴλιγγος· σημαίνει τὴν συστροφήν· τοῦτο παρὰ τὸ εἰλῶ, ἐξ οὗ καὶ ἴλη, καὶ τροπῇ τοῦ ἀμεταβόλου ἴνη, καὶ δίνη.*

ʼΙνες : Τὰ *νεῦρα· παρὰ τὸ ἕω τὸ ὑπάρχω ῥηματικὸν ὄνομα ἴς· ὡς θέω, θίς· ῥήσσω, ῥηγμίς· αἱ δὲ ἶνες τὸ εἶναι καὶ συνεστάναι παρέχουσι τῷ σώματι, ἐξ ὧν ἡ δύναμις.*

ʼΙπτανται : ʽ*Εκ τοῦ ἵπτημι· τοῦτο ἐκ τοῦ ἱπτῶ· τοῦτο πετῶ συγκοπῇ πτῶ· πλεονασμῷ τοῦ ι ἱπτῶ· παράγωγον εἰς μι ἵπτημι, ἵπταμαι, ἱπτάμενος· τὸ τρίτον ἵπτανται.*

ʽΙσχυρός : Τὰ *διὰ τοῦ υρος ὀνόματα ἀρσενικὰ ὑπὲρ δύο συλλαβὰς, ἅπαντα διὰ τοῦ υ ψιλοῦ γράφονται· ἄργυρος· ζέφυρος· ἀνάργυρος· ὀξύνεται* * * * *ἰσχυρός· ὀϊζυρός· τὸ υ μακρόν· τὰ εἰς ρος λήγοντα ὀξύτονα, ἔχοντα τὴν τρίτην ἀπὸ τέλους μακρὰν φύσει, ἢ θέσει, μακρὰν ἔχουσι τὴν πρὸ τέλους· οἷον, ἰσχυρός· ὀκνηρός· τολμηρός.*

ʽΙορδάνης : Τὰ *εἰς νης κύρια, μὴ παρ οὐδέτερον συντεθειμένα, διὰ τοῦ ο κλίνονται·* Μηριόνης, Μηριόνου· ʽΙορδάνης, ʽΙορδάνου.

ʽΙουδαῖος : Τὰ *διὰ τοῦ αιος ὀνόματα ἐθνικὰ, πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ τῆς αι διφθόγγου γράφονται· οἷον,* ʽΙουδαῖος· Σαδουκαῖος· ʽΙδουμαῖοι *ἐκλήθησαν οἱ ἀπόγονοι*[o] *τοῦ* ʼΗσαῦ· ʼΙδουμα *γὰρ λέγεται εἶδος ξανθῆς φακῆς, ἧς λέγεται ἐπιθυμήσαντα φαγεῖν ἀπέδοτο*[p] *τὰ πρωτοτόκια αὐτοῦ· ἐκ τούτου οὖν τοῦ* ʼΗσαῦ *ἐπωνομάσθησαν καὶ οἱ ἀπόγονοι αὐτοῦ* ʽΙδουμαῖοι.

ʼΙλαρύνω : Τὸ *ι πρὸ τοῦ λ, ἐκτεινομένου μὲν ψιλοῦται· οἷον,* ʼΙλος *ὄνομα κύριον·* ʽΟμηρος·

ʼΙλός τ᾽ ʼΑσσάρακος.

ʼΙλος *συνεσταλμένου δὲ δασύνεται· οἷον, ἱλαρός·* ʽΙλαρίων· *σεσημείωται τὸ ἵλαος.*

o Cod. *ἀπόγωνος.* p Cod. *ἀπέδωτο.*

Ἰός: Τὸ βέλος ἀπὸ τοῦ ἵημι τὸ πέμπω· τὸ πρὸς βλάβην πεμπόμενον.

Ἰόν: Ἀντὶ τοῦ φάρμακον· οἱ γὰρ ἀρχαῖοι ἐπὶ ἰοῖς αὐτῶν φάρμακα ἔβαλλον πρὸς τὸ τελευτᾶν ταχέως τοὺς ἀνθρώπους, οὓς ἅψονται τὰ βέλη, καθὼς καὶ ἐν Ὀδυσσείᾳ φησὶν ὁ ποιητὴς * * * * * γίνεται ἐκ τοῦ ἰὸς, ὃ σημαίνει τὸ βέλος· ἐκεῖνο δὲ παρὰ τὸ ἵημι τὸ πέμπω γίνεται ἰὸς τὸ πεμπόμενον.

Ἶος: Ὁ μόνος· ὅθεν καὶ ι τὸ μίαν κερέαν ἔχον.

Ἶσον: Παρὰ τὸ εἴδω τὸ ὁμοιῶ, καὶ γὰρ τὰ ἴσα ὅμοια εἰσὶν ἀλλήλοις.

Ἱστορία: Παρὰ τὸ ἵστωρ, ὁ σημαίνει τὸν ἐπιστήμονα· τὸ δὲ ἵστωρ παρὰ τὸ ἴσημι τὸ γινώσκω.

Ἱόν: Καθάρσει· παρὰ τὸ ἵημι τὸ πέμπω.

Ἱμερτόν: Τὸ ἀληθές· παρὰ τὸ ἥμερος, ὃ σημαίνει τὴν ἐπιθυμίαν· τὴν γὰρ ἀλήθειαν πάντες φίλουσιν.

Ἱκνούμενον καὶ Ἐξικνούμενον: Παρὰ τὸ ἥκω παραγίνομαι[q]· καὶ ἐπὶ μὲν τῶν ἐνεργητικῶν διὰ τοῦ η· ἐπὶ δὲ τῶν παθητικῶν διὰ τοῦ ι.

Ἰδμός: Τί διαφέρει ἰδμὸς καὶ πορθμός; διαφέρει· ἰδμὸς λέγεται γῆ μεταξὺ δύο θαλασσῶν· πορθμὸς δὲ θάλασσα μεταξὺ δύο γαιῶν.

Ἰορδάνης: ιο διατί; πᾶν ὄνομα Ἑλληνικόν τε καὶ βάρβαρον ἀπὸ τῆς ιω συλλαβῆς ἀρχόμενον, μὴ ἐπαγομένων δύο συμφώνων, τὴν μὲν πρώτην συλλαβὴν διὰ τοῦ ι ἔχει, τὴν δὲ μετ' αὐτῆς διὰ τοῦ ω· οἷον, Ἰωσήφ· Ἰωήλ· Ἰωακείμ· μὴ ἐπαγομένων δύο συμφώνων εἶπεν, διὰ τὸ Ἰορδάνης καὶ Ἰόππη.

Καλινδούμενος: Κυλίω, καὶ τροπῇ τοῦ υ εἰς α Αἰολικῶς· οἱ γὰρ Αἰολεῖς τὸ α εἰς υ τρέπουσιν· τὰς γὰρ σάρκας, σύρκας λέγουσιν· ἐπεὶ τρέπεται τὸ α εἰς υ, δῆλον ὅτι τρέπεται καὶ τὸ υ εἰς α· οὕτως γίνεται καλίω, καὶ πλεονασμῷ τοῦ συμφώνου καλινδῶ περισπωμένως.

Κερκίς[r]: Παρὰ τὸ κρέκω τὸ πλήσσω, ἐξ αὐτοῦ κρεκὴ,

q Cod. παραγίνωμαι. r Cod. Κερκίσω.

καὶ ὑπερβιβασμῷ κερκὶς, τοῦ λέοντος ἡ οὐρα, πληκτικὸν γάρ ἐστιν· ἐκ τοῦ κρέκω, κρεκὶς, καὶ ὑπερβιβασμῷ κερκίς.

Κηδεμών: Τὸ δε ψιλόν· τὰ διὰ τοῦ εμων ὀνόματα διὰ τοῦ ε ψιλοῦ γράφονται· ἡγεμών· κηδεμών.

Κομψόν: Παρὰ τὸ κάμπτω, καμψὸν, καὶ κομψόν· τοῦ α εἰς ο τρεπομένου.

Κροαίνω: Τὰ κτυπῶ καὶ ἠχῶ ἐκ τοῦ κρούω· ἐξ αὐτοῦ κατὰ παραγωγὴν κρουαίνω, καὶ ἐκβολῇ τοῦ υ, κροαίνω.

Κείριος: Τὰ ἀπὸ τῶν εἰς ος ὀξυτόνων δισυλλάβων διὰ τοῦ ιος γινόμενα διὰ τοῦ ι γράφεται· οἷον, βωμὸς, βώμιος· δεσμὸς, δέσμιος.

Κενενβατοῦσης: Τὸ κενῶς ἐπιβαίνειν.

Κοινωνός: Τὰ μέσα δύο ἀμεταβόλων, ἢ μέσα δύο συμφώνων τῶν αὐτῶν, ἢ μέσα ψιλοῦ καὶ ἀμεταβόλου, διὰ τοῦ ω μεγάλου γράφεται· γίνεται ἐκ τοῦ κοινῶ, κοινώσω, κοινωνός· ὁ κεκοινωμένος, καὶ ἀναμεμιγμένος τοῖς λοιποῖς.

Κουρόσυνα: Κοῦρος λέγεται παρὰ Ἀθηναίοις ἡλικία τις, ἐν ᾗ ποιοῦντες τραπέζας ἔταττον αὐτὸν μετὰ τῶν νεωτέρων· λέγεται δὲ ἐξύριζον αὐτοῦ τὸ γένειον.

Κορύβαντες: Κατὰ πλεονασμὸν τοῦ ο εἴρηται, παρὰ γὰρ τὸ κρύβω ἐστὶν κρύβης· κρύβητές τινες ὄντες, ἀπὸ τοῦ κρύψαι τὸν Δία, καὶ πλεονασμῷ τοῦ ο Κορύβαντες.

Κάλαθος: Κυρίως εἰς ὃν τὰ κάλη ἀποτίθενται· κάλη δὲ τὰ βεβαμμένα ἔρια· καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ τῶν τυρῶν δεκτικοῦ καὶ σταφυλῶν.

Κοινόν: Σημαίνει δύο· τὸ μεμολυσμένον, καὶ τὸ κοινωνίαν σημαίνει· ὡς ἔχει τὸ "Χριστοῦ αἷμα κοινὸν ἡγησάμενοι" καὶ γίνεται ἐκ τοῦ φοινὸν κατὰ τροπὴν τοῦ δασέος εἰς ψιλόν· τὸ δὲ φοινὸν ἐκ τοῦ φόνος· κυρίως δὲ λέγεται τὸ ἀφ' αἵματος μεμολυσμένον.

Κόμπος: Παρὰ τὸ κενὴν ὄπα ἔχειν, ὅ ἐστιν φωνήν.

Κρήνη: Παρὰ τὸ κερῶ, ὃ σημαίνει τὸ κιρνῶ καὶ ἐπιχέω, καὶ ἐν συγκοπῇ κρῶ· ὁ μέλλων κράσω, κράνη, καὶ κρήνη· ἐξ οὗ καὶ τὸ ἄκρατος· ἐκ τοῦ κρῶ τὸ ἐπιχέω, κράτος, καὶ ἄκρατος.

Κορώνη: Τὸ κο μικρόν· ἐκ τοῦ κράζω γίνεται.

Κένταυρος: Παρὰ τὸ κεντῶ, καὶ τὸ αὖρα, ὅ ἐστιν ἡ πνοὴ τοῦ ἀνέμου.

Καταργῶ: Σημαίνει τὸ ἀποπαύω καὶ πληρῶ· κατηργήθη, ἀντὶ τοῦ ἐπαύθη· καὶ γίνεται ἐκ τῆς κατὰ προθέσεως, καὶ τοῦ ἀργῶ· τοῦτο ἐκ τοῦ ἀργὸς, ὃ σημαίνει τὸν ἄπρακτον· τοῦτο παρὰ τὸ ἄεργος, καὶ συγκοπῇ ἀργός.

Κηρός: Παρὰ τὸ καίω καύσω, ἔκαυσα, ἀποβολῇ τοῦ υ, καὶ τοῦ σ, ἔκαα, ἐξ αὐτοῦ καρὸς, καὶ κηρὸς ὁ καιόμενος· ἐτυμολογεῖται παρὰ τὸ καίεσθαι ῥαδίως.

Κάθου: Ἀττικῶς· ἐκ τοῦ ἕω, ἕημι· ἕεμαι, ἧμαι, ἥμην· ἧσο· "ἧσο παρ' αὐτοῦ·" ἧου, τὸ τρίτον ἧο· καὶ μετὰ τῆς κατὰ κάθηο· ἀνεβίβασεν τὸν τόνον· πᾶν προστακτικὸν βραχυκατάληκτον ἐν τῇ συνθέσει προπαροξύνεται· οἷον, ἐλθὲ, πρόελθε· οὕτως ἧο καὶ κάθηο, καὶ συστολῇ τοῦ η εἰς ε κάθεο, καὶ κατὰ συναλειφὴν Ἀττικὴν τοῦ εο εἰς τὴν ου δίφθογγον γίνεται κάθου.

Κιθάρα: Παρὰ τὸ κινεῖν εἰς ἐρώτητα τοὺς ἀκούοντας αὐτήν· ἢ παρὰ τὸ κινεῖσθαι ῥαδίως· ἢ παρὰ τὸ κινεῖν τοὺς θαιρούς.

Κτῆνος: Τὸ κτη η· τὰ διὰ τοῦ ηνος οὐδέτερα δισύλλαβα μονογενῆ διὰ τοῦ η γράφονται· οἷον, σμῆνος· θρῆνος· οὕτως καὶ κτῆνος.

Κισσῶ: Δευτέρας συζυγίας τῶν περισπωμένων· σημαίνει δὲ τὸ μετὰ ἡδονῆς συλλαμβάνομαι· γίνεται δὲ παρὰ τὸ κίσσα· ἐπειδὴ τὸ ὄρνεον λίχνον ἐστὶν, καὶ πρὸς τὰς συνουσίας καὶ ἡδονὰς καταφερέστατον· ἐτυμολογεῖται γὰρ παρὰ τὸ κίειν, καὶ μετὰ σφοδρότητος σεύεσθαι πρὸς τὸ συνουσιάζειν.

Κατέλευσαν: Ἀντὶ τοῦ ἔχωσαν λίθοις· χρόνου ἀορίστου· ὁ ἐνεστὼς καταλεύω· ὁ μέλλων καταλεύσω· σημαίνει δὲ τὸ καταλεύω, τὸ κατά τινος λάας βάλλω· γίνεται δὲ ἐκ τῆς κατὰ προθέσεως, καὶ τὸ λάας, ὃ σημαίνει τὸν λίθον.

Κυνικὸς[a] Φιλόσοφος: Λέγεται ἀπὸ μεταφορᾶς τοῦ κυ-

[a] Cod. Κοινικός.

νός[t]· διότι ἀναιδεῖς ὑπῆρχον, ὥσπερ καὶ ὁ κύων· οὗτοι γὰρ ὅταν ἤλεγχόν τινα, δημοσίως καὶ οὐ κατ' ἰδίαν ἤλεγχον· καὶ ὅταν ἤσθιον ὁμοίως· καὶ εἴ τι ἄλλο ἔπραττον, ἀναφανδὸν αὐτὸ ἐποίουν, καθὰ καὶ οἱ κύνες.

Κάθημαι: Πᾶν ῥῆμα παθητικὸν εἰς μαι λῆγον, ἀπὸ τῶν εἰς μι κεκλιμένων ὑπὲρ δύο συλλαβὰς, τρίτην ἀπὸ τέλους ποιεῖται τὴν ὀξεῖαν· οἷον, κεῖμαι, παράκειμαι· ἧμαι, κάθημαι· γίνεται ἐκ τοῦ ἕω τοῦ καθέζομαι· τὸ παθητικὸν ἕομαι, ἕῃ, ἕεται, καὶ συναιρέσει ἧται, καὶ μετὰ τῆς κατὰ προθέσεως κάτησαι, καὶ ἐπεὶ ψιλὰ, ψιλῶν ἡγεῖται, καὶ δασέα, δασέων, γίνεται κάθηται, καὶ τὸ ἀπαρέμφατον καθῆσθαι.

Κραιπαλῶ: Δευτέρας συζυγίας τῶν περισπωμένων· γίνεται ἐκ τοῦ κραιπάλη, καὶ σημαίνει τὴν μέθην· τοῦτο δὲ παρὰ τὸ κάρα καὶ τὸ πάλη, καὶ ἐν ὑπερβιβασμῷ, καὶ κατὰ συγκοπὴν κραιπάλη· διαφέρει κραιπάλη καὶ μέθη· μέθη λέγεται ἡ τῆς ἡμέρας οἴνησις· κραιπάλη δὲ ἡ χθεσινὴ μέθη.

Κηδάρ: Σημαίνει τὸ σκοτεινόν· γίνεται παρὰ τὸ κήδω, τὸ λυποῦμαι.

Κλῆτος: Σημαίνει γ'· κλῆτος τὸ κλη η· καὶ σημαίνει τὴν συνέλευσιν καὶ ἄθροισιν τῶν πατέρων· διὰ δὲ τοῦ ι δύο σημαίνει· λέγεται μέρος τι τῆς οἰκίας τὸ καλούμενον παρὰ τέκτοσιν πρόσκλιτον, ὡς ἔχει τὸ "ἐν ταῖς κλίτεσι τῆς οἰκίας "σου·" λέγεται καὶ εὐώνυμος τόπος· "πεσεῖται ἐκ τοῦ κλίτου "σου χιλιάς."

Κόσμος: Σημαίνει τρία· τὸ ἐξ οὐρανοῦ καὶ γῆς, καὶ τὴν πρὸς πλάνην καὶ ἡδονὰς καταφέρειαν, καὶ τὴν μορφήν.

Κλόνος: Παρὰ τὸ κλάνω, κλάνος, καὶ κλόνος· τὸ δὲ κλάνω παρὰ τὸ κλῶ.

Κάρα: Ἡ κεφαλή· παρὰ τὸ κέρα, ὃ σημαίνει τὴν τρίχα, ὡς καὶ παρ' Ὁμήρῳ·

κέρᾳ ἀγλαέ· (Il. Λ. 385.)

διὰ τὸ τετριχῶσθαι αὐτήν.

Κευθμών: Παρὰ τὸ κεύθω τὸ κρύπτω· ὀξύνεται· τὰ εἰς

[t] Cod. κοινός.

μων δισύλλαβα ἐπὶ καιροῦ λαμβανόμενα, ἢ τοπικὰ, εἰ ἔχοι πρὸ τέλους τὸ υ ἐκτεταμμένον, ὀξύνονται· ῥυμών· λειμών· χειμών· θημών.

Κασίγνητος: Παρὰ τὸ κάσις, ὃ σημαίνει τὸν ἀδελφὸν, καὶ τὸ γνῆς γνητὸς, ὁ γνήσιος, ἐξ οὗ καὶ γνητὸς, ὁ γνήσιος Ῥόδιος· λοιπὸν ἐξ αὐτοῦ κασίγνητος ὁ γνήσιος ἀδελφός·

λίπουσα τὸν[u] σὸν ἀμφιμήτριον κάσιν[x].

Κάλλος: Παρὰ τὸ κάζω τὸ κοσμῶ· ἢ κόσμησις καὶ ἡ λαμπρότης.

Κόπρος: Ἐκ τοῦ κόπος· ἥτις περιττὴ ἐν τῷ ἀνθρώπῳ κειμένη[y] κόπον ἐμποιεῖ, εἰ μὴ ἐξέλθοι.

Κτηνώδης: Παρὰ τὸ κτῆνος· τοῦτο παρὰ τὸ κτῶ τὸ φονεύω, ὁ δεύτερος ἀόριστος ἔκτανον, κτᾶνος, καὶ κτῆνος· ἐξ αὐτοῦ κτηνώδης· τὸ νω μέγα· τὰ διὰ τοῦ ωδης ἅπαντα διὰ τοῦ ω μεγάλου γράφεται· οἷον, πετρώδης· κτηνώδης· ἀμμώδης· χώρις τῶν παρὰ τὸ πούς συγκειμένων· οἷον, τριπόδης· τετραπόδης.

Κλαίω: Ἐκ τοῦ κλῶ τὸ κλάνω· κλᾶται γὰρ ἡ φωνὴ τῶν θρηνούντων· ἢ ἐκ τοῦ κλῶ τὸ καλῶ· εἰώθασιν γὰρ οἱ κλαίοντες ἀνακαλεῖσθαι τοὺς τεθνεῶτας· καὶ ὁ ποιητής·

ὤμωξέν τ' ἄρ' ἔπειτα φίλον δ' ὀνόμηνεν ἑταῖρον[z]. (Il. K. 522.)

Κολοσσός: σημαίνει εἴδωλον ἱστάμενον ἐν τῇ Ῥόδῳ, ἔχων λίτρας χαλκοῦ μυρίας· ἐξ οὗ καὶ Κολοσσαεῖς[a] οἱ Ῥόδιοι[b].

Κλέος: Παρὰ τὸ κλέω τὸ δοξάζω· ἢ παρὰ τὸ καλῶ, ὁ μέλλων καλέσω· λοιπὸν ἐκ τοῦ καλέω ἐντελὲς καλέος, καὶ κατὰ συγκοπὴν κλέος, ὃ πάντες προσκαλούμεθα· τὰ δὲ εἰς ος καθαρὸν δισύλλαβα, εἰ μὲν παραλήγοιντο τὸ ε, ἢ τὸ ο, ἀδιαφόρου ὄντος τοῦ σημαινομένου· κόρος· φλέος· πλόος· χρέος· χρόος· ῥόος.

Κῦμα: Παρὰ τὸ κυκῶ τὸ ταράσσω.

Κύκλα: Ἐπίρρημα τοπικὸν ἀντὶ τοῦ κυκλόθεν.

Κόσμος: Παρὰ τὸ κάζω τὸ κοσμῶ.

Κάρα: Παρὰ τὸ ἄκρα, κατὰ ἀντίφρασιν.

[u] Cod. λίπου. [x] Lycophr. v. 19. [y] Cod. κειμαίνει.
[z] Cod. ἕτερον. [a] Cod. Κολοσσαείς. [b] Cod. ῥοδοι.

Κάμινος: Παρὰ τὸ καιομένην ὑπομένειν [c].

Κλείω: Τὸ ἀσφαλίζω· καὶ κλείω τὸ ἔνδοξον ποιῶ· καὶ ὁ παρακείμενος κέκλειμαι· τέσσαρα εἰσὶν ῥήματα τὰ μὴ φυλάττοντα τὴν παραλήγουσαν τοῦ παθητικοῦ παρακειμένου εἰς τὸν ἀόριστον· οἷον, συναιρῶ, συνήρημαι, καὶ συνηρέθην· ὁμοίως καὶ τὸ αἱρῶ καὶ καθαιρῶ, καθήρημαι, καθηρέθην· εὑρῶ, εὑρήσω, εὑρέθην· αἰνῶ καὶ ἐπαινῶ, ἐπαινήσω καὶ ἐπῃνέθην.

Κίρειος: Ὁ κεκομμένος· παρὰ τὸ κείρω τὸ κόπτω.

Κιρεία δὲ λέγονται οἱ ἀρχαῖοι ταῖς θριξὶν ἔπλεκον ὥσπερ σχοινία, καὶ ἐποίουν αὐτὰ ἐν ταῖς κλίναις, καθάπερ ἡμεῖς τοῖς σχοινίοις.

Κρημνός: Τὸ η η· διότι κρεμνὸς λέγομεν.

Καταιγίς: Παρὰ τὸ ἀΐσσω, ἀΐξω, αἰγὶς καὶ καταιγὶς, ὃ σημαίνει τὸ τοῦ Διὸς ξίφος· ἔστιν δὲ καὶ ἀνέμου συστροφή· καταιγὶς, καταιγίδος ὁ κανών· τὰ εἰς ις θηλυκὰ ὀξύτονα διὰ τοῦ δος κλίνονται· κρηπίς· βαλβίς· καταιγίς· καὶ τὰ ἑξῆς.

Κοτταήρρυτον [d]: Παρὰ τὸ κοτύλη καὶ τὸ ἀρύω, καὶ σημαίνει τὸ ῥέον.

Καρκίνος: Παρὰ τὸ κάρα καὶ τὸ κινεῖν· βραχὺ τὸ ι· τὰ διὰ τοῦ ινος παραληγόμενα τὸ ι ὑπὲρ δύο συλλαβὰς βαρύτονα ἐκτείνουσι τὸ ι, πλὴν τοῦ καρκίνος.

Καρὶς, Καρίδος: Παρὰ τὸ τὴν κάραν τὸ λοιπὸν σῶμα ὑπερακοντίζειν, ἢ παρὰ τὸ σκαίρω, σκαρὶς, καὶ καρίς· πηδητικὸν γάρ ἐστιν τὸ ζῶον.

Κόμη: Παρὰ τὸ κόσμος, ἢ παρὰ τὸ κείρω τὸ κόπτω κόρη, καὶ κόμη· ἢ παρὰ τὸ κομῶ, τὸ μετ' ἐπιμελείας ἀξιῶ.

Κάπη: Παρὰ τὸ κάπω τὸ πνέω.

Κέλλη: Σημαίνει δὲ τὴν μικρὰν ναῦν.

Κάλος: σχοινίον πλοίου.

Κυνώπης, Κυνώπου: Ὁ κανών· τὰ εἰς ης ὀνόματα εἰς ου ἔχει τὴν γενικὴν, ὡς τὸ παρθενοπίπης, παρθενοπίπου.

Κάσις· Ὄρνεον πτερωτὸν, ἀλλ' ὃ πετηνὸν, ὅπερ παρ' ἡμῖν

c Cod. ὑπομάνην.   d Cod. κοτιλύῤῥητον.

λέγεται στρουθακάμιλος· τοῦτο τὸ ὄρνεον θεωρεῖ τὸν οὐρανὸν ὅταν μέλλῃ ᾠὰ τίκτειν· τίθησι γὰρ τὰ ᾠὰ ἐπὶ τῆς γῆς πρινὴ[e] τὸ ἄστρον ἡ Πλειὰς ἀνατείλῃ.

Κρημνῶ, καὶ Κρεμῶ, καὶ Κρεμάζω· κεκρέμνημι καὶ κρέμνημι.

Καρκίνος; Παρὰ τὸ κάρα καὶ τὸ κινεῖν.

Κορώνη: Τὸ ρω μέγα· τὰ διὰ τοῦ ωνη θηλυκὰ βαρύτονα, μὴ ὄντα κύρια παρώνυμα, μήδε διφορούμενα, διὰ τοῦ ω μεγάλου γράφονται· βαρύτονα εἶπεν, διὰ τὸ ἡδονή· καλονή· μὴ ὄντα κύρια παρώνυμα εἶπεν, διὰ τὸ Ἑρμιόνη καὶ Εὐφρόνη· διφορούμενα εἶπεν, διὰ τὸ ἀγχονὴ καὶ ἀγχονή· σεσημείωνται πέντε· βελόνη· περόνη· ὀθόνη· σφενδόνη, καὶ ἀκόνη.

Λυγρῶς: Παρὰ τὸ λύπη, λυπηρῶς, καὶ κατὰ συγκοπὴν λυπρῶς, καὶ τροπῇ τοῦ π εἰς γ λυγρῶς, ἀντὶ τοῦ χαλεπῶς.

Λόφος: Ὁ ὑψηλὸς τόπος παρὰ τὸ λίαν φαίνεσθαι· ἢ παρὰ τὸ λέπος γίνεται λέφος, καὶ λόφος, ὁ γυμνὸς τόπος· βαρύνεται· τὰ εἰς φος λήγοντα δισύλλαβα, κύρια ἢ προσηγορικὰ, βαρύνονται, εἰ μὴ ἔχῃ τὸ υ πρὸ τέλους συνεσταλμένον σημαίνοντα τοπικὴν ἔννοιαν· ἢ εἰς τὸ λ καταλήγει· οἷον, τάφος· τρόφος· λόφος·

Λίαν: Τὸ α μακρόν· ἐπειδὴ πᾶν ἐπίρρημα βαρύτονον εἰς αν λῆγον ἐκτείνει τὸ α· πέραν· ἄγαν· λίαν· πλὴν τοῦ πάμπαν· βαρύνεται· τὰ εἰς αν ἐπιρρήματα μακρὸν ἔχοντα τὸ α βαρύνονται· οἷον, πέραν· ἄγαν· λίαν· τὸ δὲ πάμπαν καὶ τάλαν συνεσταλμένον ἔχει τὸ α.

Λεοντοκόμος: Ὁ τὸν λέοντα ἐπιμελούμενος· ἐκ τοῦ κομῶ τὸ ἐπιμελοῦμαι, καὶ τὸ λέων, λέοντος, λεοντοκόμος.

Λαβύρινθος: Ἔστιν σπήλαιον ἀντρῶδη καὶ δύσκωλον περὶ τὴν κάθοδον, καὶ δυσχερὲς πάλιν περὶ τὴν ἄνοδον, ἐν ᾧ λέγεται ὁ Μηνόταυρος ἐμβληθείς· ἐπεὶ οὖν δυσχερὲς τὸ ἐκβῆναι, τοὺς λαβυρίνθους λαμβάνει ἐπὶ τῷ λόγῳ[f] τῶν ἀφύκτων, ὧν οὐδεὶς δύναται ἐκφυγεῖν.

e Cod. πρινί. f Cod. τῶν λ.

Λειαίνω: Τὸ λει δίφθογγον· ἐκ τοῦ λεῖος· τοῦτο ἐκ τοῦ λαύω· τοῦτο παρὰ τὸ λῶ τὸ θέλω, καὶ ἐξ αὐτοῦ λαύω, καὶ ὄνομα λαῦος, καὶ τροπῇ τοῦ α εἰς ε λεῦος, καὶ τοῦ υ εἰς ι λεῖος, καὶ ἐξ αὐτοῦ λειαίνω· τὰ γὰρ λεῖα καὶ ὁμαλὰ θέλομεν, ὥσπερ τὰ κρημνώδη ἐκφεύγομεν.

Λεπτός: Παρὰ τὸ λέπος· τοῦτο παρὰ τὸ λέπω τὸ λεπίζω, ὁ μέλλων λέψω, ὁ παθητικὸς παρακείμενος λέλεμμαι, καὶ τὸ τρίτον λέλεπται, καὶ ἐξ αὐτοῦ λεπτός.

Λυδός: Ἀπὸ τῆς πόλεως Λυδία· τὸ λυ ψιλὸν, ἀπὸ παροιμίας· καὶ Λύδιος, καὶ ἐν συγκοπῇ Λυδὸς, καὶ "Λύδιον "ἅρμα."

Λωφῆσαι: Ἔστιν ἡ λέξις μεταφορικῶς ἀπὸ τῶν βοῶν τῶν ὑπὸ τῶν λόφων ἀναπαυσαμένων, ἡνίκα ἀνεθῶσι τοῦ ζυγοῦ· ἐκ τοῦ οὖν λόφος γίνεται λοφῶ ῥῆμα, καὶ κατ' ἐπαύξησιν τοῦ ο εἰς ω λωφῶ.

Λελυμασμένη: Ἐκ τοῦ λυμαίνω· ὁ παρακείμενος λελύμαγκα· ὁ παθητικὸς λελύμαμμαι, καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς σ λελυμασμένη· ἔστιν δὲ καὶ λυμάζω, ὁ μέλλων λυμάσω, ὁ παρακείμενος λελύμαγκα, λεμυμασμένος· ὥσπερ ἐστὶν ἡδύνω, καὶ ὁ παρακείμενος παθητικὸς ἥδυμμαι, καὶ τροπῇ ἥδυσμαι, καὶ ἡδυσμένος.

Λίχνος: Παρὰ τὸ λίαν ἰχαίνειν ὅ ἐστιν ἐπιθυμεῖν· καὶ ὁ ποιητὴς,

ἰχανόων φιλότητα ἐϋστεφάνου Κυθερείης g. (Od. Θ. 289.)

Λέντιον: Παρὰ τὸ λειαίνω τὸ καθαίρω, λειανῶ, λελείανται, λειάντιον, καὶ κατὰ συγκοπὴν λέντιον, οἱονεὶ τὸ ἀποσφογγίζον καὶ ἐκμάσσον· τὸ τι ι· τὰ διὰ τοῦ ιον οὐδέτερα μονογενῆ προπαροξύτονα διὰ τοῦ ι γράφονται· οἷον, βαλάντιον· λέντιον· ἐμπόριον· εὐαγγέλιον.

Λεγεών: Τὰ διὰ τοῦ εων ὀξύτονα, ὧν ἡ γενικὴ διὰ τοῦ ο ἐκφέρεται, διὰ τοῦ ε ψιλοῦ γράφονται· οἷον, Συμεών· Λεγεών· Συφεών.

Λέπρα: Ἐκ τοῦ λέπος· σημαίνει δὲ τὸν ἐλεφαντιασμόν·

g Cod. στεφ. κυθ.

ἐλεφαντιασμὸς δέ ἐστιν, ὁ ἔχων ἀλλὴ ἄσπρον, ἀλλὴ μέλαν δίκην ἐλέφαντος· ἐκεῖνος γὰρ ἀλλὴ μέν ἐστιν ἄσπρος ὡσεὶ χιὼν, ἀλλὴ μέλας ὡσεὶ πίσσα· γίνεται δὲ παρὰ τὸ λέπος, ὃ σημαίνει τὸ δέρμα· εἰς γὰρ τὴν ἐπιφάνειαν τοῦ δέρματος γίνεται ἐλεφοαναπιασμός· λοιπὸν ἐκ τοῦ λέπος, λέπηρα, καὶ κατὰ συγκοπὴν λέπρα· ἢ παρὰ τὸ λέπος καὶ τὸ ῥαίω τὸ φθείρω, ἡ διεφθαρμένη σάρξ.

Λόβιν: Ἧπατος· λέγονται λωβοὶ τὰ κατώτατα μέρη τῶν ὤτων·

ἐν δ' ἄρα ἕρματα ἧκεν ἐϋτρήτοισι[h] λοβοῖσι· (Il. Ξ. 182.)

καὶ ἀγγεῖον ἐρεβίνθου καὶ κυάμου· καὶ παρὰ τοῖς θυτικοῖς τὰ κατώτερα μέρη τοῦ ἥπατος.

Λύρα: Παρὰ τὸ λύω, οὗ ὁ μέλλων λύσω, λύρα· ἐδόθη[i] γὰρ τῷ Ἀπόλλωνι παρὰ τοῦ Ἑρμοῦ, ὑπὲρ ὧν ἔκλεψε τὰς βοῦς τοῦ Ἀπόλλωνος αὐτὸς ὁ Ἑρμῆς, λύτρα τὶς οὖσα, καὶ λύρα.

Λαίλαψ: Παρὰ τὸ λάπτω, ὁ μέλλων λάψω, λὰψ, ὡς φυλάξω, φύλαξ· ἑλίξω, ἕλιξ· καὶ κατὰ ἀναδιπλασιασμὸν λάλαψ, καὶ λαίλαψ· δηλοῖ δὲ τὴν σφοδρὰν καὶ ἐπιτεταμένην λαμπρότητα τοῦ πνεύματος.

Λάβραξ: Παρὰ τὴν βορὰν, καὶ τὸ λα ἐπιτατικὸν λάβωρος, καὶ κατὰ συγκοπὴν λάβρος καὶ λάβραξ, παρωνύμως, ὡς λίθος, λίθαξ.

Λιμώσσω: Τὰ διὰ τοῦ ωσσω ῥήματα βαρύτονα διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, ὀνειρώσσω· ἀγρώσσω· χωρὶς εἰ μὴ ὦσιν κατὰ διάλεκτον * * * ὡς τὸ ὄσσω ἐκ τοῦ ὄπτω.

Λύχνος: Παρὰ τὸ λύειν τὸ νύχος· ἢ παρὰ τὸ λίαν χέειν.

Λυσιτελές: Ὠφέλιμον· γράφεται τὸ σι ι· τὰ ἀπὸ μελλόντων δισυλλάβων συντιθέμενα ὀνόματα διὰ τοῦ ε γράφονται· οἷον, τέρπω, τέρψω, τερψίμβροτος· δείδω, δείσω, δεισιδαίμων.

Λιγαίνειν: Τοῦτο ἐκ τοῦ λιγῶ· τοῦτο ἐκ τοῦ λιγύς·

h Cod. εὐτρητη et om. λοβοῖσι.

i Cod. ἐδώθι.

τοῦτο ἐκ τοῦ λίαν ἰαίνειν, ὅ ἐστιν εὐφραίνειν· ἢ καὶ ἄλλως· τὰ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην συλλαβὴν, ἔχοντα δὲ ἐν τῇ δευτέρᾳ συλλαβῇ τὸ ι, ἢ τὸ υ, διὰ τοῦ ι γράφεται.

Λύμην: Τὴν φθορὰν, βαρύνεται· τὰ εἰς μη καθαρὸν δισύλλαβα φύσει μακρᾷ παραληγόμενα βαρύνονται· οἷον, μνήμη· φήμη· κλήνη· ὁμοίως τὰ ἔχοντα πρὸ τοῦ μ τὸ η, εἰ καὶ ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ νοσήμη· φιλήμη· καὶ καθόλου ὁποῖα ὑπάρχει φύσει μακρά· οἷον, Κύμη· λύμη· σεσημείωται τὸ τιμὴ ὡς προσηγορικόν.

Λακωνίζειν: Τὸ βραχέως λέγειν, παρὰ τὸ Λάκων· τοῦτο δὲ παρὰ τὸ Λακεδαίμων.

Λέγω: Τὸ κοιμῶμαι· λέγω τὸ λαλῶ· λέγω τὸ συλλέγω· λέγω τὸ ἐκλέγομαι.

Λάχανα: Παρὰ τὸ λαχίζω τὸ σκάπτω· ἢ παρὰ τὸ φλῶ τὸ ἀναδίδωμι, ἡ ἀναπεμπομένη βοτάνη.

Λύπη: Τῶν ὑποπεπτωκότων τῷ ὀνόματι γενικῶν· διαιρεῖται δὲ εἰς δ· εἰς ἄχος, εἰς ἄχθος, εἰς φθόνον, εἰς ἔλεος· καὶ τί ἐστιν ἄχος; λύπη ἀφωνίαν ἐμποιοῦσα· τί ἐστιν ἄχθος; λύπη ἐπὶ ἀδοκήτοις συμβάσεσιν· τί ἐστιν φθόνος; λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς· τί ἐστιν ἔλεος; λύπη ἐπ' ἀλλοτρίοις κακοῖς.

Λάας: Διὰ ποίαν αἰτίαν τὸ Λάας τὸ κύριον πάντα ἔχον τοῦ κανόνος, οὐ κλίνεται διὰ τοῦ ντ, ἀλλ' ἰσοσυλλάβως· οἷον, ὁ Λάας, τοῦ Λάα· καὶ λέγουσί τινες, ὅτι ἀπὸ τοῦ Λᾶς μονοσυλλάβου γέγονεν κατὰ πλεονασμὸν τοῦ α Λάας· καὶ λοιπὸν τὴν αὐτὴν ἐφύλαξεν κλίσιν, φημὶ δὴ τὴν ἰσοσύλλαβον· οὗτοι δὲ οὐκ ἀκριβῶς λέγουσιν· τουναντίον γὰρ τὸ Λᾶς τὸ μονοσύλλαβον ἀπὸ τοῦ Λάας τοῦ δισυλλάβου γέγονεν, κατὰ κρᾶσιν τῶν δύο αα εἰς α μακρὸν, ὡς ἐν τοῖς προλεγομένοις μεμαθήκαμεν· Λύσις· κρεῖττον οὖν ἐστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· ἔστι λάας τὸ προσηγορικὸν, ὅπερ σημαίνει τὸν λίθον· τούτου ἡ γενικὴ λάαος τρισυλλάβως· αὕτη ἡ τρισύλλαβος γενικὴ μετάγεται εἰς εὐθεῖαν, καὶ γίνεται ὁ λάας τρισυλλά-

βως, ὥσπερ ὁ Καπάδωξ, τοῦ Καπάδοκος, καὶ ὁ Καπάδοκος τοῦ Καπαδώκου.

Λευχειμονεῖτω: Παρὰ τὸ λευκὸν καὶ τὸ εἷμα, ὃ σημαίνει τὸ ἱμάτιον.

Μαλάσσω: Ἐκ τοῦ ἀλάσσω· τὸ γὰρ μαλασσόμενον ἀλάσσεται.

Μυδῶντα: Σημαίνει τὸ ὄζοντα· ἔστι γὰρ μυδῶ, καὶ γίνεται παρὰ τὸ μύειν τοὺς μυκτῆρας, ἤγουν κλείειν· ἐξ αὐτοῦ γίνεται μυδῶ δευτέρας συζυγίας τῶν περισπωμένων· μυδᾶς γάρ· ἡ μετοχὴ μυδῶν, καὶ μυδῶντα· τὸ γὰρ αο εἰς ω μέγα κίρναται.

Μελίαι: Ἀπὸ τῆς μελίας τοῦ δένδρου· εἶδος γάρ ἐστιν δένδρου.

Μάγος: Παρὰ τὸ μάσσω τὸ μαλάσσω· ὁ διὰ τῶν μαλακτικῶν καὶ μαγικῶν ἐμπλάστρων τὰ μέλλοντα προλέγων· ἢ παρὰ τὸ ἄγος, ὃ σημαίνει τὸ μύσος, πλεονασμῷ τοῦ μ μάγος, ὁ μυσαρὸς καὶ μισητὸς παρ' ἀνθρώποις.

Μεῖζον: Παρὰ τὸ μέγας, μεγάτερος, μεγίων, μέσσων, καὶ τροπῇ Αἰολικῇ τῶν δύο σσ εἰς ζ γίνεται μέζων, καὶ πλεονασμῷ τοῦ ι μεῖζον· οἱ γὰρ Αἰολεῖς τὸ νίσσω νίζω λέγουσιν.

Μετρίον: Τὸ ταπεινόν· παρὰ τὸ μετρῶ τὸ ὑποταπεινούμενον· τὸ τρι ι· τὰ ἀπὸ ἐνεστώτων ἢ μελλόντων * * * * * τοῦτο παρὰ τὸ μέτρον· τοῦτο παρὰ τὸ μείρω τὸ μερίζω, ὡς παρὰ τὸ δείρω τὸ ἐκδέρω δέρτρον ἔσω δύνοντι· δέρτρον γὰρ σημαίνει τὸ δέρμα· οὕτως παρὰ τὸ μείρω μέτρον· μέτριον καὶ μετρίον διαφέρει· μέτριον τὸ ταπεινόν· μετρίον δὲ τὸ ὑποκοριστικὸν τοῦ μέτρου· τὰ γὰρ διὰ τοῦ ιον ὑποκοριστικὰ, εἰ μὲν ὦσιν δακτυλικὰ, πρὸ μιᾶς ἔχουσι τὸν τόνον· οἷον, κλειδίον· μετρίον· εἰ δὲ τριβράχεα προπαροξύνονται· οἷον, φλέβιον· Θρόνιον· τόπιον.

Μηρυκισμός: Ἐκ τοῦ μηρυκίζω· τοῦτο ἐκ τοῦ μηρυκῶ· μηρυκᾶσθαι γὰρ λέγεται, τὸ ἐκ βάθους ἀρύεσθαι τὴν τροφὴν, καὶ εἰς μικρὰ κόπτειν· τοῦτο παρὰ τὸ μηρύω τὸ ἀναλέγομαι· τοῦτο παρὰ τὸ μέρος, μερύω, καὶ μηρύω, τὸ εἰς μέρη κοπτόμενον.

Μεταμέλεια: Τὸ λει δίφθογγος· τὸ διὰ τοῦ εια προπαροξύτονα θηλυκὰ ἅπαντα διὰ τῆς ει διφθόγγου γράφονται· σχήματος παρασυνθέτου· ἐκ τοῦ μεταμέλομαι τὸ μετανοῶ καὶ μεταγινώσκω.

Μισθαρνία: Παρὰ τὸ μισθαρνῶ· τοῦτο παρὰ τὸ μισθὸς καὶ τὸ ἀρνῶ, ὃ σημαίνει τὸ ἀντικαταλάσσω, ἐξ οὗ κατὰ παραγωγὴν ἀρνύω καὶ ἄρνυμι, καὶ ἡ μετοχὴ ἀρνύμενος· καὶ σημαίνει τὸ ἀντικαταλασσόμενος.

ἀρνύμενος πατρός τε μέγα κλέος· (Il. Z. 446.)

καὶ ἐν Ὀδυσσείᾳ ὁμοίως·

ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων· (Od. A. 5.)

τὸ δὲ ἀρνῶ παρὰ τὸ ἀρνός· οἱ γὰρ ἀρχαῖοι τὰς ἀμοιβὰς διὰ τῶν ἀρνῶν ἐποιοῦντο· γίνεται δὲ ἀρνὸς παρὰ τὸ ῥὴν, ὃ σημαίνει τὸ πρόβατον· ἡ γενικὴ ῥηνὸς, καὶ κατὰ συστολὴν τοῦ η εἰς α ῥανὸς, καὶ ἐν ὑπερβιβασμῷ ἀρνός· τὸ δὲ ῥὴν παρὰ τὸ ἀρὰ, ὃ σημαίνει τὴν εὐχὴν, ῥὰν καὶ ῥήν· οἱ γὰρ ἀρχαῖοι τὰς εὐχὰς διὰ τῶν ἀρνῶν ἐποιοῦντο.

Μήνυμα: Παρὰ τὸ μηνύω· τοῦτο παρὰ τὸ ἀνύω[i], ὃ σημαίνει τὸ διέρχομαι, ἄνυμα, καὶ πλεονασμῷ τοῦ μ· ἐν πολλαῖς γὰρ λέξεσιν πλεονάζει τὸ μ, ὥσπερ ἑστὼς, μεστὼς, καὶ ἀκάριος, μακάριος· γίνεται μάνυμα, καὶ τροπῇ τοῦ α εἰς η μήνυμα, δοκοῦντες γάρ τι ἀνύσαι μηνύουσιν· ἢ παρὰ τὸ μνῶ, μνύω, τὸ ὑπομιμνήσκω, καὶ πλεονασμῷ τοῦ η μήνυμα.

Μηλωτή: Τὸ λω μέγα· τὰ διὰ τοῦ ωτη θηλυκὰ, εἴτε ὀξύτονα, εἴτε βαρύτονα, διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, μηλωτή· πτερωτή· κερωτή· σεσημείωται τὸ βιοτή· βαρύτονα δὲ, οἷον, Περκώτη.

Μαγγανεία: Ἐκ τοῦ μαγγανεύω· τοῦτο παρὰ τὸ μάγγανος· τοῦτο παρὰ τὸ ἄγω τὸ φέρω, ἄγγανον καὶ μάγγανον.

Μακρός: Ἐτυμολογεῖται παρὰ τὸ μέχρις ἄκρου διϊκειν· τουτέστιν ἀρχῆς· ἄκρον δὲ παρὰ τὸ ἄρχω, ἢ ἐκ τοῦ μῆκος· καὶ ὥσπερ ἐκ τοῦ κύδος γίνεται κυδρὸς καὶ κυδρὴ, οὕτως ἐκ τοῦ

[i] In marg. ead. man. scr. ὁ Ἡρωδιανὸς οὕτως.

μῆκος γίνεται μηκερὸς, καὶ συγκοπῇ μηκρὸς καὶ μακρός· ἡνίκα γὰρ ἐπλεόνασεν τὸ σύμφωνον, ἐτράπη τὸ μακρὸν εἰς βραχύ.

Μόνος: Παρὰ τὸ μὴ εἶναι μετὰ ἑτέρου.

Μάννα: Σημαίνει τί τοῦτο; οὐ γὰρ σημαίνει τὴν τροφὴν κυρίως· ἠγείροντο γὰρ τὸ πρωῒ, καὶ ηὕρισκον αὐτὰ ὡς ἦν αὐτοῖς ἀρκέσαι τοῦ φαγεῖν μᾶν λέγοντες, καὶ λοιπὸν ἐλθόντες οἱ Ἕλληνες προσέβαλον τὸ να· καὶ σημαίνει τί τοῦτο; εἶχον γὰρ τοῦτο ὅταν ἤθελον ἀπελθεῖν εἴς τινα τόπον, ἀπήρχοντο καὶ ἀπὸ δισχιλίων πηχῶν ἐποίουν τὴν σκηνήν· καὶ διὰ τοῦτο λέγεται σαββάτου ἔχων ὁδὸν, ἀντὶ τοῦ δισχιλίων πηχῶν ἐποίουν τὴν σκηνήν.

Μαλακισθέντες: Ἀντὶ τοῦ χαυνωθέντες· τὸ θέμα μαλακίζω· γίνεται δὲ παρὰ τὸ μαλακός· τοῦτο παρὰ τὸ μαλάσσω.

Μοχθηρία: Λέγεται ἡ κακία, ἐκ τοῦ μοχθηρὸς, ὃ σημαίνει τὸν κακόν· τοῦτο ἐκ τοῦ μοχθῶ· τοῦτο ἐκ τοῦ μόχθος· τοῦτο ἐκ τοῦ μόγος ὁ κόπος, πλεονασμῷ τοῦ χ μόχθος.

Μυχός: Σημαίνει δύο· τὸν ἐνδότατον τόπον διὰ τοῦ υ ψιλοῦ, καὶ γίνεται παρὰ τὸ νὺξ νυχὸς, καὶ κατὰ τροπὴν τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον μυχός· ἢ παρὰ τὸ μύω[k] τὸ καμμύω, οἱονεὶ ὁ ἐνδότατος καὶ σκοτεννὸς τόπος.

Μοιχὸς δὲ ὁ πόρνος· τὸ μοι δίφθογγον· ἐκ τοῦ εἴκω τὸ σημαῖνον τὸ πρέπω· ὁ παρακείμενος οἶκα, ὄνομα ῥηματικὸν οἶκος, καὶ μετὰ τῆς μὴ ἀπαγορεύσεως μηοῖκος, καὶ συγκοπῇ μοῖκος, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ μοιχός· οἱονεὶ, ὁ τὰ μὴ πρέποντα καὶ μὴ εἴκοντα πράττων.

Μυρίας: Ὀξύνεται· τὰ εἰς ας ὀνόματα διὰ τοῦ δος κλινόμενα, καὶ βραχὺ ἔχοντα τὸ α, ὀξύνονται· οἷον, ἐθάς· φυγάς· χιλιάς· μυριάς.

Μάστιξ: Παρὰ τὸ ἱμάσσω ὁ σημαίνει τὸ πλήττω· τοῦτο παρὰ τὸ ἱμὰς ὃ σημαίνει τὸν λῶρον.

Μῶρος: Παρὰ τὸ ὥρα, ὃ σημαίνει τὴν φροντίδα, καὶ τῆς μὴ ἀπαγορεύσεως μήωρος, καὶ συγκοπῇ μῶρος, ὁ μηδὲν φροντίζων.

k Cod. μύο.

Μέθυσος: Παρὰ τὸ μέθυ, ὃ σημαίνει τὸν οἶνον, καὶ Ὅμηρος·

χωρὶς δ' Ἀτρείδης Ἀγαμέμνων καὶ Μενέλαος
δῶκεν Ἰησονίδης ἀγέμεν[k] μέθυ χίλια μέτρα· (Il. H. 468.)

τὸ δὲ μέθυ παρὰ τὸ μέθη· τοῦτο παρὰ τὸ μεθίω τὸ ἀμελῶ· ἐτυμολογεῖται ἐμεθύειν, ἤγουν σφαγιάζειν.

Μήτηρ: Γίνεται παρὰ τὸ ματῶ τὸ ζητῶ, ματήσω, μάτις, ἐξ οὗ καὶ πλεονασμῷ τοῦ ν μάντις· μάτηρ, καὶ τροπῇ τοῦ α εἰς η μήτηρ.

Μελέεσσι: Δοτικῆς τῶν πληθυντικῶν, καὶ πλεονάζει τὸ ε ποιητικῶς διὰ τὸ μέτρον, καὶ δύο σσ· τὸ μέλος παρὰ τὸ μέρος· τὰ γὰρ μέλη, μέρη εἰσὶ τοῦ σώματος· μεταφορικῶς δὲ λέγεται καὶ ἡ ἐναρμόνιος μελῳδία ὡς ᾠδή[l]· καὶ κλίνεται μέλος, μέλεος, ὡς τεῖχος, τείχεος· καὶ ἡ δοτικὴ τῶν πληθυντικῶν μέλεσι, καὶ ποιητικῶς μελέεσσι διὰ δύο σσ.

Μολεῖν: Τὸ ἐξ ἐναντίας ἐλθεῖν, παρὰ τὸ μέλω τὸ φροντίζω γίνεται μολῶ.

Μείζων: Παρὰ τὸ μέγας, μεγίων, μέσσων, καὶ Αἰολικῶς μέζων· ἐκεῖνοι γὰρ τὰ δύο σσ εἰς ζ τρέπουσιν, καὶ πλεονασμῷ τοῦ ι μείζων.

Μαρναμένων: Ἀπὸ τοῦ μαραίνω, μαρανῶ, μετάγεται εἰς ἐνεστῶτα, καὶ ἐξ αὐτοῦ εἰς μι μάρνημι, μάρναμαι, καὶ ἡ μετοχὴ μαρνάμενος· καὶ ἡ γενικὴ τῶν δυϊκῶν μαρναμένοιν, καὶ κατ' ἐπέκτασιν τοῦ ι μαρναμένοιϊν· διχῶς δὲ γίνεται ἡ ἐπέκτασις· κατὰ πλεονασμὸν, ὡς οὑτοσί· ἐκεινοσί· καὶ κατὰ τροπὴν, ὡς τὸ ὧδε, ᾠδή.

Μόθος: Σημαίνει τὸν πόλεμον· γίνεται δὲ ἀπὸ τοῦ μόγος· καὶ τοῦτο παρὰ τὸ μέγας, ἐν τοῖς μεγάλοις γάρ τις κακοπάθει.

Μυγμός: Ὁ τοῦ μ ἦχος.

Μαμωνᾶς: Ὁ πλοῦτος.

Μόσχος: Παρὰ τὸ μᾶσθαι τῇ μητρί· ἢ παρὰ τὸ τῇ μητρὶ μᾶν.

k Cod. om. ἀγέμεν. l Cod. ὡς ὧδε.

Μέλας: Παρὰ τὸ λάω τὸ βλέπω λας, καὶ μετὰ τῆς μὴ ἀπαγορεύσεως, τροπῇ τοῦ η εἰς ε μέλας.

Μύλας: Παρὰ τὸ λιαίνω.

Μώλωψ: Παρὰ τὸ βοῦς, βόος, κατὰ παραγωγὴν, καὶ ἐκ τοῦ λέπος, ὃ σημαίνει τὸ δέρμα· γίνεται ῥῆμα λέπω, ὁ μέλλων λέψω, καὶ ἀποβολῇ τοῦ ω λέψ· καὶ ἐπεὶ τὰ ἔχοντα τὸ ε ἐγκείμενον ἐν τοῖς ῥήμασιν ἔχουσι τὸ ο ἀντιπαρακείμενον τοῖς ὀνόμασιν, γίνεται λὸψ, καὶ ἐν συνθέσει βοόλοψ, καὶ κράσει τῶν δύο οο εἰς ω μέγα, καὶ ἐπαυξήσει τοῦ ο εἰς ω, καὶ τροπῇ τοῦ β εἰς μ γίνεται μώλωψ· διαφέρει μώλωψ καὶ τραῦμα· τραῦμα λέγεται κυρίως ἡ ἐν πολέμῳ μετὰ ξίφους πληγή· μώλωπες δὲ τὰ ἀπὸ τῶν βουνεύρων τραύματα.

Μανία: Μανὸν λέγεται τὸ ἀρεόν.

Μίγω: Τὸ μι ι· τὰ διὰ τοῦ ιγω ῥήματα, εἴτε δισύλλαβα εἴη, εἴτε ὑπὲρ δύο συλλαβὰς, εἴτε βαρύτονα, εἴτε περισπώμενα, διὰ τοῦ η γράφονται· οἷον, λήγω· θήγω τὸ ἀκονῶ· τμήγω τὸ διαχωρίζω· ἀρήγω τὸ βοηθῶ· περισπώμενα· οἷον, στρατηγῶ· ποδηγῶ· ξυληγῶ· σεσημείωται τὸ πνίγω καὶ θίγω τὸ προσεγγίζω· "κανθήριον θίγῃ λιθοβολήσεται" καὶ μίγω, ὅπερ καὶ μίσγω λέγεται, καὶ τὸ σιγῶ περισπώμενον.

Μονοκερώτων: Τὰ παρὰ τὸ κέρας συγκείμενα διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, αἰγόκερος [m] μονόκερος.

Μίξει: Παρὰ τὸ μίγω.

Νεβρῶν: Σημαίνει τὰ τῶν ἐλάφων γένη παρὰ τὸ νεωστὶ πρὸς βορὰν ἰέναι· ἢ παρὰ τὸ νεωστὶ πρὸς πορείαν ἰέναι.

Νυμφαγωγός: Ὀξυτόνως· τὰ παρὰ τὸ ἄγω συντιθέμενα ἅπαντα ὀξύνονται· οἷον, νυμφαγωγός· μυσταγωγός· προαγωγός· τὸ γω μέγα, τὰ μέσα δύο ἀμεταβόλων, ἢ μέσα δύο συμφώνων τῶν αὐτῶν, ἢ μέσα ψιλοῦ καὶ ἀμεταβόλου, ἅπαντα διὰ τοῦ ω μεγάλου γράφεται· ἀγωγή· μῶμος· λῶρος· ἀντωνυμία.

Νωχελής: Ὁ δυσκίνητος· νωκελής τις ὢν, ὁ μὴ κέλλων· κέλλειν δὲ τὸ ταχέως τρέχειν· ἀφ' οὗ καὶ κέλλης ὁ μονόζυξ ἵππος καὶ δρομικός.

[m] Cod. ἐγώκερος.

ΝΆΝΟΣ: Ἄνω δηλοῦν τὸ αὔξω ἄνος, καὶ μετὰ τοῦ στερητικοῦ νήανος, καὶ νάνος ὁ πίθιξ.

ΝΉΣΤΗΣ: Ἔντερον οὕτω λεγόμενον· οἷον, νησίτης παρὰ τὸ κενὸν εἶναι σιτίων· καὶ ὁ νήστης ἄνθρωπος παρὰ τὸ αὐτὸ καὶ τὸ νηστεύειν παρὰ τὸ στερεῖσθαι σιτίων· τὸ γὰρ νη στερητικόν ἐστιν.

ΝΥΣΤΆΖΕΙΝ: Οἷον, νευστάζειν· παρὰ τὸ ἐπινεύειν διὰ τὴν ἐπιγινομένην ἐκ τοῦ ὕπνου καταφοράν.

ΝΥ͂ΜΦΙΟΣ[n] καὶ ΝΥΜΦΊΟΣ: Διαφέρει· νύμφιος μὲν ὁ παστὸς ἐν ᾧ κάθηται ἡ νύμφη· νυμφίος δὲ ὁ γεγαμηκώς.

ΝΈΟΣ: Ἀπὸ τοῦ νέω τὸ ἔρχομαι, ὁ εἰς αὔξησιν καὶ παιδείαν ἐρχόμενος· ἢ παρὰ τὸ νεωστὶ ὁρμᾶσθαι.

ΝΕΦΈΛΗ: Τὰ διὰ τοῦ ελη θηλυκὰ ὑπὲρ δύο συλλαβὰς βαρύτονα ἑνὶ φωνήεντι παραλήγονται· οἷον, Σεμέλη· ἀγέλη· μακέλλη.

ΝΈΦΟΣ: Τὸ νε ψιλόν· τὰ διὰ τοῦ εφος οὐδέτερα δισύλλαβα μονογενῆ διὰ τοῦ ε ψιλοῦ γράφονται· βρέφος· κέφος· στέφος· νέφος· χωρὶς τοῦ λαῖφος.

ΝΕΟΜΗΝΊΑ: Παρὰ τὸ νέος καὶ τὸ μὴν, μηνός· τὸ νι ι· τὰ διὰ τοῦ ια παροξύτονα θηλυκὰ διὰ τοῦ ι γράφεται.

ΝΕΎΩ: Παρὰ τὸ νῶ τὸ κλίνω.

ΝΕΑΝΙΚΩ͂Σ: Ἐκ τοῦ νεανίας, τὸ κτητικὸν νεανικὸς, καὶ τὸ ἐπίῤῥημα νεανικῶς· τοῦτο παρὰ τὸ νέος· τοῦτο παρὰ τὸ ἔω τὸ περιπατῶ, ἔος καὶ νέος· οἱ γὰρ νέοι εὐχερῶς ὁδεύουσιν· ἢ παρὰ τὸ νέω τὸ πορεύομαι.

ΝΟΜΉΝ: Τὴν τροφὴν, παρὰ τὸ νέμω τὸ βόσκω· ὀξύνεται· τὰ εἰς μη καθαρὸν ἰαμβικὰ τὸ ο παραληγόμενα ὀξύνονται, ὁπότε προϋπάρχει ῥῆμα διὰ τοῦ ε κατὰ τὴν παραλήγουσαν· οἷον, νομή· ἀνατομή· προνομή· τὸ μέντοι Εὐρυνόμη καὶ Ἀμφινόμη βαρύνονται.

ΝΊΚΟΣ: Παρὰ τὸ ἑνὶ εἴκειν.

ΝΥ͂ΜΦΗ: Παρὰ τὸ νεωστὶ φαίνεσθαι.

[n] Cod. ΝΥΝΜΦΙΟΣ.

Νασμός: Ὁ *κατακλυσμός· παρὰ τὸ νάζω· τὸ δὲ νάμα παρὰ τὸ νάω τὸ ῥέω.*

Ναίω: Τὸ *οἰκῶ δίφθογγος· ὅτι καὶ ναὸς ἐξ αὐτοῦ.*

Νυγμός: Ὁ *τοῦ νυ ἦχος.*

Νάουσι: Σημαίνει *τὸ νῶ δ'· νῶ τὸ κλώθω, ἐξ οὗ καὶ νήθω, καὶ νῆμα· νῶ τὸ κολυμβῶ, ἐξ οὗ καὶ νῆσος, ἡ πᾶν μέρος ἐν τῇ θαλάσσῃ ἔχουσα· νῶ τὸ ῥέω, ἐξ οὗ καὶ νάμα, καὶ ναρὸν τὸ ὑγρόν· νῶ τὸ σωρεύω, ἐξ οὗ καὶ νηδύς.*

Νύμφιος *καὶ* Νυμφίος διαφέρει: Νύμφιος *ὁ παστὸς, νυμφίος δὲ ὁ γαμβρός*[o]*· τὸ φι ι· τὰ διὰ τοῦ ιος ὀνόματα διφορούμενα κατὰ τὸν τόνον διὰ τοῦ ι γράφεται· βίος, βιός· νύμφιος, νυμφίος.*

Νέαν Προσορμίσθημεν: Παρὰ *τὸ νέω τὸ πορεύομαι.*

Ξυνωρίς: Σημαίνει *τὴν δυάδα, ἐκ τοῦ ξυνάωρος, καὶ σημαίνει ὁ μετὰ τινὰ συναρμοζόμενος· τοῦτο ἐκ τῆς ξὺν* Ἀττι*κῆς προθέσεως, καὶ ἀρῶ τὸ ἁρμόζω· ἐκ τοῦ οὖν ξυνάορος τὸ θηλυκὸν γίνεται ξυναορὶς*[p]*, καὶ τροπῇ τοῦ α εἰς ω γίνεται ξυνωρὶς, ὃ σημαίνει δυάς.*

Ξένος: Παρὰ *τὸ ἔξω ἰέναι· ἢ ἐκτὸς τῆς ἑνότητος εἶναι· ἢ παρὰ τὸ ἔξω εἶναι τῶν ἰδίων.*

Ξηρανθήσονται *καὶ* Ἀποξηρανθήσονται: Παρὰ *τὸ σκληρὸς, καὶ ἐκβολῇ τοῦ λ, καὶ κράσει τοῦ κσ εἰς ξ.*

Ὄψον: Σημαίνει *τὸ προσφάγιον· ἐκ τοῦ ὀπτῶ γίνεται ὄπτον, καὶ τροπῇ τοῦ τ εἰς σ, καὶ κράσει τοῦ πσ εἰς ψ, γίνεται ὄψον· τὸ δὲ ὀπτῶ, ἐκ τοῦ ὄπτω τὸ βλέπω· δεῖ γὰρ βλέπειν νουνεχῶς πρὸς τὸ μὴ καίεσθαι τὰ ὀπτόμενα.*

Οὔκουν: Ἔστιν *ἐπίῤῥημα ἀρνήσεως· ἀντὶ τοῦ οὐδαμῶς· τὸ δὲ οὐκοῦν ἐστιν σύνδεσμος συλλογιστικός· οὕτως* Ἡρω*διανός.*

Ὄρειον: Ὄνομα *ἐκ τοῦ ὄρος, ὄρειον, ὁ ὁριστικὸς, ἤγουν σπήλαιον, ὡς τὸ τέλος, τέλειος, καὶ ὄρειον τὸ οὐδέτερον.*

Οἶδμα: Τὸ *κῦμα, ἐκ τοῦ οἴδω τὸ ὀγκοῦμαι, καὶ περισπᾶται οἰδῶ.*

o Cod. γαμπρός. p Cod. ξυναρίς.

ʽΟρφεύς: Ὄνομα κύριον· ὁ θεολόγος τῶν Ἑλλήνων.

Ὄργια: Σημαίνει τὰ μυστήρια, παρὰ τὸ ὀρέγω, ὃ σημαίνει τὸ ἐπιθυμῶ· δύο γὰρ σημαίνει τό τε ἐκτείνω τὰς χεῖρας, καὶ τὸ ἐπιθυμῶ· ἐκ τοῦ ὀρέγω, ὀρέγια, καὶ ὄργια· τοῖς γὰρ ἐπιθυμοῦσι τὰ μυστήρια οἱ θεοὶ μυοῦνται.

ʽΟσφύς: Λέγεται τὸ τρίτον μέρος τῆς ῥάχεος· ἡ γὰρ ῥάχη τρεῖς ἐπωνυμίας ἔχει· καὶ ἡ μὲν πρώτη καλεῖται αὐχήν * * * ἰξύη· καὶ ἡ τρίτη ὀσφύς· οἱονεὶ ὀστοφυής τις οὖσα· ὀστώδης γάρ ἐστιν.

Ὀφρύες: Λέγονται ἤτοι ὠπόρυες παρὰ τὸ φρουρεῖν τοὺς ὦπας ὁπότε τῶν ὄμβρων καὶ τῶν ὕπερθεν ἱδρώτων ὁρμὴ ἐπ' αὐτοὺς φέρεται· ἡ ωπ * * * * αἱ ἐπὶ τῶν ὤπων πεφυῖαι· οἷον, ὠπορофοίτων ὤπων· οὕτως Ἡρωδιανός· ἢ παρὰ τὸ φέρω, καὶ κατὰ συγκοπὴν φρῶ, ὅθεν τὸ εἰσφρῶ, ὅπερ γέγονεν ἀπὸ τοῦ προϊῶ φρῶ, φρὺς, καὶ ὀφρύς· δηλοῖ δὲ τὴν προβολὴν ὅτου δήποτε τρόπου καὶ τῷ ὡρῶν ἡμῶν τῶν ὄψεων· ὁ δὲ Ἡρωδιανὸς παρὰ τὸ ὁρῶ, ὁρὺς, καὶ πλεονασμῷ τοῦ φ ὀφρύς.

ʽΟρτυγομήτρα: Τὸ μη η· τὰ διὰ τοῦ ητρα θηλυκὰ δισύλλαβα τὸ η παραλήγονται· οἷον, μήτρα· φρήτρα· ἡ συγγένεια φρήτρη·

ὡς φρήτρη φρήτρηφιν ἀρήγει· (Il. B. 363.)

ῥήτρα, ἡ συνθήκη·

ἀλλ' ἄγε νῦν ῥήτρην ποιήσομεν (Od. Ξ. 393.)

σεσημείωνται β'· μίτρα ἡ ζώνη

μίτρης θ' ἣν ἐφόρει· (Il. Δ. 137.)

καὶ λίτρα· τοῦτο σημαίνει τρία· παρὰ μὲν τοῖς Σικελιώταις τὸ νόμισμα καὶ τὸν ὀβολόν· παρὰ δὲ τῇ κοινῇ συνηθείᾳ τὸν σταθμόν.

Ὄμβρος: Παρὰ τὸ ὁμοῦ ῥέειν ὅμορός τις ὤν, καὶ ὄμβρος, ὁ ὁμοῦ κατερχόμενος· καὶ ἐπειδὴ τὸ μ πρὸ τοῦ β οὐ δύναται εἶναι, οὔτε κατὰ σύλληψιν, οὔτε κατὰ διάστασιν.

Ὄζω, καὶ περισπώμενον ὀζῶ, καὶ ὀζέσω, καὶ προσώζεσαν, ὥσπερ πιέζω καὶ πιεζῶ.

Ὄξος: Παρὰ τὸ ὀξύνειν τὰς αἰσθήσεις ἐν τῷ γεύεσθαι.

Ὀξύνω: Ἐκ τοῦ ὀξύς· τοῦτο δὲ ὥσπερ παρὰ τὸ χέω, χόος, οὕτως καὶ ξόος, ξοῦς, καὶ ὑπερβιβασμῷ ὀξὺς, τὸ ἀντιστελλόμενον τὸ ἀμβλύνον.

Οἴαξ: Γίνεται παρὰ τὸ οἴω τὸ κομίζω· δι' αὐτοῦ γὰρ αἱ ναῦς κομίζεται.

Ὄλβος: Ὁ πλοῦτος· βαρύνεται· τὰ εἰς βος λήγοντα δισύλλαβα κύρια ἢ προσηγορικὰ, μὴ ἐπίθετα, βαρύνονται· οἷον, λέμβος· βόμβος· καὶ τὸ προσηγορικὸν καὶ ὄνομα πόλεως· τύμβος· ῥύμβος· στίβος· τρίβος· τὸ δὲ βαλβὸς ὀξύνεται ὅτε προσηγορικόν ἐστιν, ὁπότε δὲ κύριον, βαρύνεται· φόλβος.

Οὐσία: Ἐκ τοῦ ἔων, ὢν ὄντος, οὖσα καὶ οὐσία, ἡ ὑπάρχουσα ἔν τινι· ὥσπερ καὶ παρὰ τὸ γέρων, γέροντος, γερουσία· καὶ τί ἐστιν οὐσία; πρᾶγμα αὐθύπαρκτον, καὶ μὴ δεόμενον ἑτέρου πρὸς ὕπαρξιν.

Ὄνονται: Μέμφονται.

Ὄσσος: Ἡ εὐθεῖα τῶν δυϊκῶν ὄσσεε· καὶ θέλεις κατὰ ἀποβολὴν, θέλεις κατὰ συγκοπὴν, ὄσσε· ἄδηλον γὰρ τὸ πάθος.

Ὀλίγον: Παρὰ τὸ ὅλον καὶ τὸ λήγω.

Ὀρφανός: Παρὰ τὸ οἶος καὶ τὸ φαίνω, ὀοφανός τις ὤν.

Ὅρος: Ὁ ὁρισμός· ἐξ οὗ ὁρίζω, οὐρίζω, καὶ ἀπουρίζω, καὶ ἀπουρίσαι, ἀπουρίσας, καὶ κατὰ συγκοπὴν ἀπούρας.

Ὀσφύς: Ὀστοφυής τις οὖσα, καὶ ὀσφύς.

Οὐ Μοιχεύσεις: Παρὰ τὸ μὴ τὰ ἐοικότα πράττειν.

Ὄλεθρος καὶ πανώλεθρος: Τὰ παρὰ τὸ ὄλεθρος συγκείμενα ἅπαντα διὰ τοῦ ω μεγάλου γράφονται· οἷον, πανώλεθρος· κακώλεθρος.

Ὀξυγράφος: Διατί ἀπέβαλεν τὸ σ; τὰ εἰς υς ὀνόματα ἀποβάλλουσι τὸ σ· οἷον, ταχὺς ταχυδρόμος· ὀξὺς, ὀξυγράφος· ὠκὺς, ὠκύμορος[q]· πλὴν τοῦ ἥμισυς παντελῶς ἀποβάλλοντος τὴν συς συλλαβήν· οἷον, ἡμίονος καὶ ἡμίφωνον· ὀξυγράφος διατί παροξύνεται; τὰ παρὰ τὸ γράφω ἅπαντα παροξύνονται· οἷον, καλιγράφος· ὀξυγράφος.

[q] Cod. ὠκύμωρος.

Ὁλοκαττώματα: Παρὰ τὸ ὅλον κεκαυμένον εἶναι.

Ὅλην: Παρὰ τὸ εω τὸ πληρῶ.

Ὄρνις, Ὄρνιθος: Τὸ ὄρνιθος τὸ νι μακρόν· οὐδέποτε παραλήγουσα περιττοσυλλάβου γενικῆς μεῖζον εὑρίσκεται χρόνον ἔχουσα τῆς ληγούσης[r] τῆς ἰδίας εὐθείας· πλὴν τοῦ ὄρνις, ὄρνιθος.

Ὀρίγανον: Ἰστέον ὅτι τὸ ὀρίγανον διὰ τοῦ ι γράφεται· ὤφελλεν δὲ διὰ τῆς ει διφθόγγου γράφεσθαι· καὶ δῆλον ἐντεῦθεν τὰ ἀπὸ τῶν δοτικῶν τῶν εἰς ος οὐδετέρων συντιθέμενα γίνονται τοῦτον τὸν τρόπον· εἰ μὲν φωνῆεν ἐπιφέρηται, ἢ ἓν ἁπλοῦν σύμφωνον, φυλάττεται ἡ ει δίφθογγος· οἷον, ὄρει· ὀρείαυλος[s]· ὀρειγένης· οἱονεὶ ὁ ἐν τῷ ὄρει γεννηθεὶς, τὸ γὰρ κύριον ὄνομα τὸ Ὠριγένης, καὶ βαρύνεται, καὶ διὰ τοῦ ω μεγάλου καὶ ι γράφεται· ἔγχει, ἐγχείμαργος· ὄρει, Ὀρειβάσιος[t]· εἰ δὲ δύο σύμφωνα ἐπιφέρονται, ἀποβάλλεται τὸ ε· οἷον, ἔγχει, ἐγχίκτυπος· ὄρει, ὀριβρεμέτης[u].

Παρθενοκομία: Παρὰ τὸ παρθενοκόμος.

Πωλοδαμνεῖν: Παρὰ τὸ πῶλος, καὶ τὸ δαμνῶ, δαμνα· τὸ πῶλος παρὰ τὸ ἐν τῇ πόᾳ ἄλλεσθαι.

Πωλικὰ: Ἐκ τοῦ πῶλος, ὃ σημαίνει τὸ μικρὸν πουλάριον.

Προῖκα: Ἤγουν δωρεὰ χρηστὸς ἦν, τουτέστιν ἀγαθός· τὸ γὰρ χρηστὸς σημαίνει τὸν ἀγαθὸν, ἐξ οὗ καὶ γράφεται διὰ τοῦ η· ἔστιν δὲ τὸ προῖκα ἐπίῤῥημα ποιότητος· ὧδε γὰρ ἐπιῤῥηματικῶς λαμβάνεται.

Πρώην: Ἐκ τοῦ πρωΐα, πρωΐαν, ἡ αἰτιατικὴ, καὶ τροπῇ τοῦ α εἰς η γίνεται πρωΐην, καὶ κατὰ συγκοπὴν πρῴην, ἔχει δὲ καὶ τὸ ι.

Πώποτε: Τὸ πω μέγα· οἱ μὲν ἀπὸ τοῦ ποῦ πόθεν, καὶ ἀποκοπῇ τῆς θεν συλλαβῆς ποῦ, καὶ ἐπεκτάσει τοῦ ου εἰς ω πώποτε· οἱ δὲ ἀπὸ τοῦ που συνδέσμου παραπληρωματικοῦ κατὰ τροπὴν τῆς ου διφθόγγου εἰς ω μέγα· οἱ γὰρ Δωριεῖς τὴν ου

[r] Cod. λιγούσης. [s] Cod. ὀρείαλος. [t] ὀρειβάσειος.
[u] In marg. scr. ead. man. ὀρθώσεως δεῖται ὁ κανών.

δίφθογγον εἰς ω τρέπουσιν· τὸ γὰρ βοῦν, βῶν λέγουσιν· Ὅμηρος·

νωμῆσαι[x] βῶν ἀζαλέην· (Il. Η. 238.)

οὕτως καὶ τὸ ποῦ, τρέποντες τὴν ου δίφθογγον εἰς ω μέγα.

Πανήγυρις: Τάδε σύνθετα ὁμοίως τοῖς ἁπλοῖς· τὸ ἁπλοῦν ἄγυρις· * * * τὸ γυ ψιλὸν Αἰολικῶς, ὥσπερ ὄνομα, ὄνυμα, οὕτως ἀγορὰ, ἄγορις, καὶ ἄγυρις.

Προσῆκον: Τὸ πρέπον· ἐκ τοῦ ἥκω τὸ ἔρχομαι, καὶ μετὰ τῆς πρὸς προθέσεως, προσῆκον· καὶ τί ἁρμόζει; ἐπειδὴ ἡ πρὸς πρόθεσις τὸ πλησιάζον καὶ προσεγγίζων σημαίνει· τὸ γὰρ πρέπον καὶ ἁρμόζον πλησιάζει καὶ προσεγγίζει, ὥσπερ τὸ ἀπαρέσκον πόῤῥω καθίσταται.

Πιμελή: Πιομελή τις οὖσα, ἡ πιαίνουσα τὰ μέλη.

Πόντος: Ἡ θαλάσσα, ἀπὸ τοῦ πνέω, πνότος, καὶ πόντος· ἐν ᾗ αἱ πνοαὶ καὶ οἱ ἄνεμοι φέρονται.

Πλήρης: Τὰ διὰ τοῦ ηρης ἀρσενικὰ βαρύτονα ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ η γράφονται· οἷον, ποδήρης, ἀρχιερατικὴ στολή· φρενήρης· κλινήρης[y]· θυμήρης.

Πλετρά: Τὰ ἀπὸ ἀρσενικῶν, ἢ θηλυκῶν εἰς οὐδέτερον γένος μεταπλασσόμενα, τοῦ αὐτοῦ σημαινομένου μένοντος, τὸν αὐτὸν τόνον φυλάττει· οἷον, οἱ δεσμοὶ, τὰ δεσμά· αἱ πλευραὶ, τὰ πλευρά· ἐτυμολογεῖται πολύευρά τινα ὄντα, τουτέστι πλατεῖα· τοῦτο παρὰ τὸ πολὺς καὶ τὸ εὖρος, ὃ σημαίνει τὸ πλάτος.

Παστός: Ὁ ποικίλος νυμφικὸς οἶκος, παρὰ τὸ πάσσειν, ὅ ἐστιν ποικίλλειν· Ὅμηρος·

πόλεας δ' ἐνέπασσεν ἀέθλους· (Il. Γ. 126.)

ἀντὶ τοῦ ἐνεποίκιλλεν.

Πτερύξ: Ὀξυτόνως, ἡ σὰρξ ἧς ἐκφύονται τὰ πτερά· πτέρυξ δὲ βαρυτόνως, δι' ἧς πέτωνται τὰ πτερά.

Πάχνη: Παρὰ τὸ πήσσω τὸ πηγνύω, πέπηγα, πάγνη καὶ πάχνη.

Πτοῶ: Ἐκ τοῦ πετῶ· καὶ ὥσπερ ἐκ τοῦ νεμῶ, νομῶ,

[x] Cod. νομῆσαι. [y] Cod. κληνήρης.

οὕτως καὶ ἐκ τοῦ πετῶ γίνεται ποτῶ, καὶ ὑπερθέσει τοῦ τ πτοῶ, ὁ μέλλων πτοήσω.

Πέδιον καὶ Πεδίον διαφέρει: Πέδιον λέγεται ἐπὶ τοῦ οἰκήματος, πεδίον δὲ ἐπὶ τοῦ ἀναπεπταμένου καὶ μακροῦ καὶ ἐπιμήκους τόπου.

Πεδῶ: Τὸ πε ψιλόν· τὰ γὰρ διὰ τοῦ εδω ῥήματα, εἴτε βαρύτονα, εἴτε περισπώμενα εἴη, διὰ τοῦ ε ψιλοῦ γράφονται, πλὴν τοῦ αἰδοῦμαι· βαρύτονα· ἕδω· μέδω· ταῦτα γὰρ διφοροῦνται· εἰσὶ γὰρ βαρύτονα καὶ περισπώμενα, ὡς παρὰ ποιητῇ·

Δωδώνης μεδέων· (Il. Π. 234.)

ἔστιν καὶ βαρύτονον ἔδω καὶ περισπώμενον, ἐξ οὗ τὸ ῥηματικὸν αὐτοῦ ἔδεσμα, καὶ τὸ τρίτον ἔδεσται, ἐδέστης, καὶ ἀνέδεστον τὸ μὴ ἐσθιόμενον· σεσημείωται τὸ αἰδοῦμαι γραφόμενον διὰ τῆς αι διφθόγγου.

Πιλᾶτος: Ἐκ τοῦ σπῖλος, ὃ σημαίνει τὸν ῥύπον, γίνεται σπιλᾶτος, καὶ κατὰ ἀφαίρεσιν τοῦ σ Πιλᾶτος· εἰς τὸ λα περισπωμένην· τὸ γὰρ λα μακρόν ἐστι φύσει· μακρὰ πρὸ βραχείας· τὸ δὲ πι γράφεται ι, ὡς τὸ Τρωῖλος· οὕτως καὶ σπῖλος, σπιλᾶτος, καὶ Πιλᾶτος.

Πρυκονησίας· Πρυκόνησος: Ὄνομα νήσου ἡ λεγομένη Προκόνησος, ἐν ᾗ τὰ μάρμαρα πλεῖστα εἰσίν· γίνεται οὖν ἐκ τοῦ πρὺξ, πρυκὸς καὶ τοῦ νῆσος πρυκόνησος, ἡ ἁπάσαις ταῖς νήσοις πρύκα τὴν τῶν μαρμάρων δοῦσα.

Πᾶς, Παντός: Ὁ κανών· τὰ εἰς ας τριγενῆ, εἴτε ὀνόματα, εἴτε μετοχαὶ, διὰ τοῦ ντ κλίνονται· περισπᾶται· τὰ εἰς ας μονοσύλλαβα μονογενῆ διὰ τοῦ ντ κλινόμενα ὀξύνονται· οἷον, Ζὰς, Ζαντός· Πρὰς, Πραντός· * * * * * * διαφέρει τὸ πᾶς τοῦ ὅλος· ὅτι τὸ μὲν ὅλος ἐπὶ πηλικότητος καὶ ἐφ' ἑνὸς σώματος παραλαμβάνεται· οἷον, "οὗτος ὁ ἄνθρωπος ὅλος κατατέτρωται·" τὸ δὲ πᾶς ἐπὶ πλείονος· * * * "πᾶς ἄνθρωπος ψεύστης."

Προσήλυτος: Παρὰ τὸ ἐλεύθω, ἐλεύσω, ἤλευσμαι, ἤλευσαι, ἤλευσται, ἀποβολῇ τοῦ ε καὶ τοῦ σ ἤλυται, ἤλυτος, καὶ προσήλυτος, ὁ μέτοικος καὶ φυγάς.

Πορνεύω: Παρὰ τὸ πόρνος· ἐτυμολογεῖται παρὰ τὸ πεπορωμένον ἔχειν τὸν νοῦν, τουτέστιν ἐσκοτισμένον· ἐκ δὲ τοῦ πόρνος, πορνεύω, καὶ ἡ μετοχὴ τοῦ παρακειμένου πεπορνευκὼς, πεπορνευκότος· ὁ κανών· αἱ εἰς ως μετοχαὶ, εἰ μὴ κατὰ πάθος οὖσαι, διὰ τοῦ ο μικροῦ κλίνονται· τὸ δὲ πόρνη ἐκ τοῦ περνῶ τὸ πιπράσκω, ἡ τὴν μῖξιν πωλοῦσα.

Πίπωμι: Τὸ ῥῆμα· ὁ μέλλων πώσω, πέπωκα, πέπομαι, ἐπόθην, καὶ "κατεπόθην ἐχόμενα βαλλόντων" ἀντὶ τοῦ ἐβυθίσθην ὡς μηδὲ ἴχνος αὐτῶν φανῆναι· "ἐχόμενα βαλλόντων" ἐστιν ἐπίῤῥημα τοπικόν· ἀπὸ γὰρ μετοχῆς μετήχθη εἰς ἐπιῤῥηματικὴν σύνταξιν· σημαίνει δὲ τὸ σύνεγγυς.

Πύργος: Παρὰ τὸ ὑπὲρ γῆν ἵστασθαι· ὅ ἐστιν ὑπεράνω τῆς γῆς.

Πατάσσω: Ἐκ τοῦ πτῶ τὸ φοβοῦμαι· ὁ μέλλων πτήσω συστολῇ τοῦ η εἰς α πτάσω, καὶ πλεονασμῷ ἑτέρου σ, καὶ μεταγωγῇ τοῦ μέλλοντος εἰς ἐνεστῶτα, καὶ μετὰ ἀναδιπλασιασμοῦ πατάσσω.

Πλημμέλεια: Πλημμελῶ παρὰ τὸ πάλιν, ὃ σημαίνει τὸ ἐκ δευτέρου, καὶ τὸ μελῶ τὸ φροντίζω, παλιμμελῶ, καὶ κατὰ συγκοπὴν πλημμελῶ· σημαίνει δὲ τὸ ἐκ δευτέρου τὰ αὐτὰ φροντίζειν, τοῦ λέγειν ἢ ἐπαναλαμβάνειν, ἐξ οὗ καὶ φλύαρος.

Πεῖρα: Παρὰ τὸ πείθω τὸ πιστεύω.

Παλαιστή: Παρὰ τὸ πελάζειν τὰ ὀστᾶ· ἔστιν δὲ τετραδάκτυλον μέτρον.

Πυραμίδες: Σημαίνει ὅρια βασιλικὰ σιτοδόχα ἃ κατεσκεύασε Ἰωσὴφ ἐν Αἰγύπτῳ ἐν τῷ καιρῷ τοῦ λιμοῦ· γίνεται δὲ ἐκ τοῦ πυρός.

Πρῷρα: Γίνεται παρὰ τὸ προορᾷν.

Πίθηξ: Σημαίνει τὴν μιμὼ, καὶ γίνεται παρὰ τὸ πιθῶ.

Πορθμός: Γίνεται παρὰ τὸ πείρω· ὥσπερ γὰρ παρὰ τὸ κείρω τὸ κόπτω γίνεται κορμὸς, οὕτως καὶ παρὰ τὸ πείρω πορμὸς, καὶ πλεονασμῷ τοῦ θ πορθμός.

Πυρπολῶ: Ἐκ τοῦ πῦρ, πυρὸς, καὶ τὸ πολῶ τὸ ἀναστρέφω·

σημαίνει δὲ τὸ πολῶ δύο· τὸ πιπράσκω, καὶ γράφεται μέγα, καὶ τὸ ἀναστρέφω μικρόν· πέλω γάρ ἐστιν, ἐξ οὗ καὶ πόλος, ὁ οὐρανός· τὸ δὲ πῦρ παρὰ τὸ φύω, οὐδὲν γὰρ εὐφυέστερον πυρὸς ἡνίκα ἐπιλάβηται ὕλης· ἢ παρὰ τὸ φύρω τὸ μιγνύω, ὅπερ καὶ λέγεται φυρῶ περισπωμένως· ἐξ οὗ τὸ "ἐφύρασεν τὸ "ἄλευρον."

Παφλάζοτσα: Ἐκ τοῦ φλῶ φλάζω, καὶ μετὰ ἀναδιπλασιασμοῦ παφλάζω.

Πλάνη: Παρὰ τὸ πελάζω, ὅπερ κατὰ συγκοπὴν γίνεται πλάζω· ὁ γὰρ πελαζόμενος πρόδηλον ὅτι ἐπλανήθη· ἢ παρὰ τὸ πλαγιάζειν τὸν νοῦν.

Προσηνής: Ὁ εὐπροσήγορος καὶ πρᾶος· ἡ πρὸς ὧδε τὸ ἐγγὺς σημαίνει, ὁ ἐγγὺς ὢν τοῦ αἰνεῖσθαι· ὥσπερ ἐκ τοῦ ἐναντίον ἀπηνὴς ὁ πόῤῥω ὢν τοῦ αἰνεῖσθαι, καὶ ἐκτὸς ἐπαίνων, καὶ ἐπαινεῖν· ὁ δὲ προσηνὴς ὁ ἄξιος ἐπαίνου ἢ ἐπαινεῖν.

Πταισμάτων: Ἐκ τοῦ πταίω· τοῦτο ἐκ τοῦ πτῶ τὸ πίπτω, κατὰ παραγωγὴν πταίω· ὡς περῶ περαίνω· οὕτως καὶ παρὰ τὸ πτῶ, πταίω, ἐξ οὗ καὶ παπταίνω· λοιπὸν ἐκ τοῦ πτῶ, πταίω γίνεται, ἀπὸ τοῦ τύπτειν πολλοὺς καὶ τοὺς προσπταίοντας.

Παντεπόπτης: Ἐκ τοῦ ἐπόπτης καὶ τοῦ πᾶν, παντὸς, ὁ πανταχόθεν θεωρῶν.

Πανόλβιος: Ἐκ τοῦ ὄλβος· τοῦτο ἐκ τοῦ ὅλος καὶ τὸ βίος, ὁλόβιος, καὶ ἐν συγκοπῇ ὄλβιος· ὁ πάνυ πλούσιος.

Πρόσθεν: Ἐκ τοῦ πρόσω πρόσωθεν, καὶ ἐν συγκοπῇ πρόσθεν.

Προμηθία: Ἡ πρόνοια, ἐκ τοῦ προμηθής· τοῦτο ἐκ τοῦ μήθω τὸ μανθάνω, προμηθὴς καὶ προμήθεια καὶ προμηθία· τὰ γὰρ παρὰ τὸ μαθεῖν σύνθετα ἅπαντα διφοροῦνται, πλὴν τοῦ ἀμαθία.

Πολυρρύτοισι: Ἐκ τοῦ πολὺς καὶ τὸ ῥέω γίνεται ῥύω κατὰ τροπὴν τοῦ ε εἰς υ, ἐξ οὗ ῥυτὸς, καὶ μετὰ τοῦ πολὺς, πολύῤῥυτος, καὶ ἡ δοτικὴ πολυῤῥύτοις, καὶ πλεονασμῷ πολυῤῥύτοισι.

Παρθένος: Παρὰ τὸ παραθέειν καὶ παρατρέχειν τὴν παιδικὴν ἡλικίαν· ἢ παρὰ τὸ πῦρ θανατοῦν τῆς σαρκός.

Πρόφρον: Παρὰ τὴν πρὸ πρόθεσιν καὶ τὴν φρένα.

Πέτρος: Παρὰ τὸ πέτρα· τοῦτο δὲ παρὰ τὸ πέτω.

Πολεμίζειν: Ἔστιν τὸ εὐτρεπίζεσθαι καὶ ὁπλίζεσθαι· πολεμεῖν δὲ τὸ μάχεσθαι.

Παρήπαφεν: Ἔστιν φῶ τὸ ἀπατῶ φάφω, ἢ πω πάφω· ὁ δεύτερος ἀόριστος ἤπαφον, καὶ παρήπαφον, καὶ παρήπαφεν.

Παρῴκαλλεν: Ἐξέδραμεν.

Παρείσθω: Παρὰ τὸ ἵημι ἵεμαι παριέμην, παρίεσο, καὶ προστακτικὸν παρίεσο, τὸ τρίτον παριέσθω· καὶ ἐν ὑπερθέσει παρείσθω, καὶ ὑφείσθω· καὶ σημαίνει τὸ πεμφθήτω.

Προΐη: Ἐκ τοῦ ἰῶ τὸ πέμπω· ὁ παρατατικὸς ἴεον, ἴουν, ἴεε, ἴει τὸ τρίτον, καὶ προΐει καὶ ἀφίει.

Πέρας: Παρὰ τὸ πείρω, καὶ τοῦτο παρὰ τὸ τείρω τὸ καταπονῶ.

Παρήπαφεν: Ἔστιν φῶ τὸ ἀπατῶ, καὶ μετὰ τοῦ ἐπιτατικοῦ ἀάφω, καὶ ἀπάφω, καὶ παραπάφω, καὶ ὁ παρατατικὸς παρήπαφεν, ὅθεν καὶ φῆλος, εἰτοῦν ὁ κλέπτης καὶ φηλίτης.

Πέρθω: Τὸ πορθῶ· τοῦτο δὲ παρὰ τὸ περῶ, καὶ τοῦτο παρὰ τὸ πείρω.

Πόλις: Σημαίνει δύο, τὸ κάστρον καὶ τὸν λαὸν, ὡς τὸ

ἐξῆλθεν πᾶσα ἡ πόλις εἰς συνάντησιν τοῦ Ἰησοῦ.

Πορετῶ: Οὐκ εἴρηται διατί ἐν ᾧ ἂν ῥήματι ἐναντίως ἔχει τὸ σημαινόμενον τῷ τῆς φωνῆς χαρακτῆρι, ἐν τούτῳ ἂν ἀπολείποιτο τοῦ ἑτέρου προσώπου χαρακτῆρος ἡ φωνή.

Πλήθω: η· τὰ διὰ τοῦ ηθω ῥήματα, μὴ ἐν κινήσεσι γενῶντα τὸ ο, διὰ τοῦ η γράφεται, χωρὶς τοῦ βρίθω· οἷον, νήθω τὸ κλώθω· μήθω τὸ μανθάνω· πλήθω τὸ πληρῶ· μὴ ἐν κινήσεσι γενῶντα τὸ ο εἶπεν, διὰ τὸ πείθω τὸ σημαῖνον τὸ κατὰ πείθω· τοῦτο γὰρ διὰ τῆς ει διφθόγγου γράφεται, διότι εὑρέθη τὸ ο ἐν τῷ μέσω παρακειμένῳ, πέποιθα γάρ· πήθω δὲ τὸ πάσχω

διὰ τοῦ η· διότι ἀνεφάνη τὸ α ἐν τῷ δευτέρῳ ἀορίστῳ, ἔπαθον γάρ.

Πλατύνω: *Ἐκ τοῦ πλάτος· τοῦτο ἐκ τοῦ πέλω τὸ ὑπάρχω.*

Παμπήδην[1]: *Ἐπίρρημα μεσότητος, ἀντὶ τοῦ παντελῶς.*

Πτέρνω: *Παρὰ τὸ πατεῖν τὴν ἔραν, ἤγουν τὴν γῆν.*

Περαίνω: *Παρὰ τὸ πέρας περαίω, καὶ πλεονασμῷ τοῦ ν περαίνω.*

Ποσαπῶς Σοι: *Ἐπίρρημα χρόνου δηλωτικόν.*

Πταίω: *Ἐκ τοῦ πτῶ· τὰ ἀπὸ περισπωμένων ῥημάτων διὰ τοῦ αιω παραγόμενα ῥήματα διὰ τῆς αι διφθόγγου γράφεται· οἷον, περῶ, περαίω· πτῶ, πταίω.*

Πλάστης: *Παρὰ τὸ πλάττω· τὸ δὲ πλάττω παρὰ τὸ πλῶ τὸ ποιῶ.*

Πέλεια: Περιστερά[a].

Πόλοιο: *Ὁ κανών· οἱ Ἴωνες καὶ οἱ Θετταλοὶ τὰς εἰς ου ληγούσας γενικὰς, τὰς ἀπὸ τῶν εἰς ος εὐθειῶν γινομένας, διὰ τοῦ οιο προφέρουσιν· οἷον, καλὸς, καλοῦ, καλοῖο· σοφὸς, σοφοῦ, σοφοῖο· πόλος, πόλου, πόλοιο· τὸ ο μικρὸν διατί; πᾶσα ἑνικὴ εἰς φωνῆεν λήγουσα, καὶ περιττοσυλλαβοῦσα τῆς ἰδίας εὐθείας, ἢ ἐκτείνει τὴν λήγουσαν, καὶ συστέλλει τὴν παραλήγουσαν, ὡς τὸ Ἀτρείδεω· Πριαμείδεω· ἢ συστέλλει τὴν λήγουσαν, καὶ ἐκτείνει τὴν παραλήγουσαν, ὡς τὸ καλοῖο· σοφοῖο· ὁ τόνος· αἱ διὰ τοῦ οιο Θετταλικαὶ γενικαὶ, εἰ μὲν ὦσιν ἀπὸ περισπωμένων γενικῶν, προπερισπῶνται· οἷον, καλὸς, καλοῦ, καλοῖο· σοφὸς, σοφοῦ, σοφοῖο· εἰ δὲ ἀπὸ βαρυτόνων, βαρύνονται· οἷον, πόλος, πόλου, πολοιο.*

Πυρσός: *Παρὰ τὸ πῦρ καὶ τὸ σεύω τὸ ὁρμῶ.*

Πρωτότοκος: *Τὰ εἰς ος σύνθετα εἰς ἐνέργειαν καὶ εἰς πάθος ἀναλυόμενα δύο τόνους ἀναδέχονται· καὶ εἰ μὲν εἰς ἐνέργειαν, προπαροξύνονται, εἰ δὲ εἰς πάθος, παροξύνονται· οἷον, καράτομος καὶ καρατόμος· καράτομος λέγεται ὁ τὴν κάραν*

[1] Cod. *παντῆδην*. [a] Cod. *περιστελλά*.

τμηθείς· καρατόμος δὲ ὁ τὴν κάραν τέμνων, ὁ λεγόμενος δήμιος.

Παίζω: Παρὰ τὸ παῖς, παιδὸς, παιδίζω, καὶ ἐν συγκοπῇ παίζω.

Πύργος: Παρὰ τὸ ὑπεράνω γῆς ἵστασθαι.

Παῖς: Δίφθογγος· διατί; τρία εἰσὶν εἰς αις μονοσύλλαβα ὀνόματα διὰ τῆς αι διφθόγγου γραφόμενα· ἀρσενικὸν παῖς, παιδός· σημαίνει δὲ τὸν παῖδα· θηλυκὸν τὸ δαῖς, δαιτός· σημαίνει δὲ τὴν εὐωχίαν· ἅτινα καὶ κλίνονται· οὐδέτερον τὸ σταῖς, σημαίνει δὲ τὸ ἄλευρον, ὅπερ ἐστὶν ἄκλιτον.

Πᾶσι: Διατί βαρύνεται; πᾶσα δοτικὴ πληθυντικὴ δισύλλαβος εἰς ι ἐφωνούμενον λήγουσα, ἐπὶ μὲν ὀνομάτων ὀξύνεται· οἷον, βουσί· πλευσί· ποσί· ἁλσί· πλὴν τοῦ πᾶσι· ἐπὶ δὲ μετοχῶν βαρύνεται· οἷον, βᾶσι· στᾶσι· φᾶσι· οὕτως οὖν συνεξηκολούθησε τὸ πᾶσι, καὶ συνεβαρύνθη.

Πρωΐ: Τὸ ϊ ι· διατί; τὰ εἰς η λήγοντα ἐπιῤῥήματα, εἰ μὲν καθαριεύωσιν ἢ διπλῷ παραλήγονται, διὰ τῆς ει διφθόγγῳ γράφεται· οἷον, ἀθεεί· αὐτοβοεί· ἀεί· αὐτολεξεί· αὐτοψεί· πλὴν τοῦ πρωΐ.

Πρόσχες: Ἀνεβίβασε τὸν τόνον διατί; πᾶν προστακτικὸν μονοσύλλαβον ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον.

Πλήν: Ἐπίῤῥημα τάξεως διὰ τοῦ η· τὰ γὰρ εἰς ην ἐπιῤῥήματα διὰ τοῦ η γράφονται, πλὴν τοῦ πάλιν καὶ κατόπιν, καὶ πρὶν μονοσυλλάβου.

Πούς: Κλίνεται ποδός * * καὶ εἰ ἄρα τὰ εἰς ους ἀπαθῆ διὰ καθαροῦ τοῦ ος κλίνεται· οἷον, βοῦς, βοός· χροῦς, χροός· διατί τὸ πούς καὶ ὀδοὺς οὐ κλίνονται διὰ καθαροῦ τοῦ ος, ἀλλὰ ποδὸς καὶ ὀδόντος; ἔστιν οὖν εἰπεῖν ὅτι, ὡς ἐμάθομεν, τὰ εἰς ους λήγοντα ὀνόματα οὐδέποτε ὀξύνονται, χωρὶς τοῦ πούς καὶ ὀδούς· ταῦτα δὲ ὀξύνονται· ἐπειδὴ οὖν διήλαξαν περὶ τὸν τόνον, τούτου χάριν καὶ περὶ τὴν κλίσιν διήλαξαν, καὶ οὐ κλίνονται διὰ καθαροῦ τοῦ ος· τὸ δὲ ὀδοὺς, ὀδόντος διὰ τοῦ ντ κλίνεται· ἐπειδὴ, ὡς εἴρηται μετοχικόν ἐστιν, αἱ δὲ μετοχαὶ διὰ τοῦ ντ κλίνονται· οἷον, βιοὺς, βιοῦντος· διδοὺς, διδόντος· οὕτως οὖν

καὶ ὀδοὺς, ὀδόντος· τὸ δὲ πούς, ποδὸς, καὶ κατὰ τοῦτο παράλογόν ἐστιν, ὅτι ὀξυνθὲν ὁμοίως ταῖς εἰς ους μετοχαῖς οὐκ ἐκλίθη διὰ τοῦ ντ· ΠΟΥ͂Σ, ΠΟΔΟ͂Σ, *ὁ κανών· τὰ ἀπὸ μελλόντων κατὰ ἀποβολὴν τοῦ ω γινόμενα ὀνόματα μονοσύλλαβα διὰ τοῦ δος κλίνεται· παύω, παύσω· παὺς καὶ πούς, ποδός· κλείω, κλείσω, κλεὶς, κλειδός· διατί σεσημείωται τὸ πούς καὶ ὀδούς; κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι ἐπειδὴ τὰ εἰς ους ὀνόματα διὰ καθαροῦ τοῦ ος κλινόμενα περισπῶνται, ὅθεν τὸ πούς καὶ ὀδοὺς ὡς ἐναλάξαντα κατὰ τὸν τόνον διήλαξαν καὶ κατὰ τὴν κλίσιν· πόθεν γίνεται τὸ πούς, καὶ διατί ὀξύνεται; τὰ ἀπὸ μελλόντων δισυλλάβων κατὰ ἀποβολὴν τοῦ ω γινόμενα ὀνόματα ὀξύνονται· οἷον, παύω, παύσω, παὺς, καὶ πούς· κλείω, κλείσω, κλείς· θερίζω, θερίσω, θερὶς, καὶ θρίξ·* ΤῸΝ ΠΌΔΑ· *καὶ κατὰ συναίρεσιν οὐκ ἔχει διατί; δύο κανόνες εἰσὶν οἱ μαχόμενοι· ὁ μὲν εἷς λέγει, ὅτι πᾶσα αἰτιατικὴ εἰς ν λήγουσα τῇ ἰδίᾳ εὐθείᾳ ὁμοτονεῖ· ὁ δὲ ἕτερος λέγει· πᾶσα αἰτιατικὴ μονοσύλλαβος εἰς ν λήγουσα περισπᾶται· τῶν δύο κανόνων*[b] *μαχομένων, καὶ τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος ὀξεῖαν, τοῦ δὲ ἑτέρου περισπωμένην, ἀπέλειψεν·* ΠΌΔΕΣ, ΠΟΔΩ͂Ν, *περισπᾶται διατί; ἐπειδὴ τὰ εἰς σ λήγοντα μονοσύλλαβα ταύτην ἔχουσιν τὴν παρατήρησιν· τὰ ὀξυνόμενα, εἰ μὲν διὰ συμφώνου κλίνονται, περισπῶσιν τὴν γενικὴν τῶν πληθυντικῶν· οἷον, πούς, ποδὸς, πόδες, ποδῶν· σὴς, σητὸς, σῆτες, σητῶν·* Κρὴς, Κρητὸς, Κρῆτες, Κρητῶν· *εἰ δὲ διὰ καθαροῦ τοῦ ος, βαρύνουσι· οἷον,* Τρὼς, Τρωὸς, Τρῶες, Τρωῶν· *τὰ δὲ περισπώμενα ἐκ τοῦ ἐναντίου· εἰ μὲν διὰ συμφώνου κλίνονται, βαρύνουσι τὴν γενικὴν τῶν πληθυντικῶν· οἷον, πᾶς, παντὸς, πάντες, πάντων· εἰ δὲ διὰ καθαροῦ τοῦ ος, περισπῶσιν· οἷον, βοῦς, βόος, βόες, βοῶν.*

ΠΡΟΣΗΝΩ͂Σ: Πράως *καὶ ἡμέρως· ἡ εὐθεῖα προσηνὴς παρὰ τὴν πρὸς πρόθεσιν καὶ τὸ ἀνύω.*

ʽΡΊΖΑ: ʽΗ *κάτω τὸ ζῆν ῥέουσα τοῖς κλάδοις, ἢ παρὰ τὸ ἵζω τὸ καθέζομαι· ἡ ἐγκαθιμένη τῇ γῇ, ἐξ οὗ ἔχει τὸ ρι ι· "ἔκριζον ἥκεις."*

[b] Cod. *κανώνων.*

Ῥάκκιον: Βαρυτόνως, ὡς ὑποκοριστικὸν καὶ δακτυλικὸν, καὶ γίνεται ἐκ τοῦ ῥάκκος· τοῦτο ἐκ τοῦ ῥήσσω, ῥάκκος διὰ δύο κκ.

Ῥόθιον: Σημαίνει τὸ ὁρμητικόν· τὸ ρο μικρὸν ἀπὸ παραδόσεως.

Ῥάιδιον: ι προσγεγραμμένον, διότι εὑρέθη κατὰ διάστασιν. ῥηΐδίως συνέαξε.

Ῥυθμός: Ἐκ τοῦ ἐρύω τὸ ἑλκύω ἐρυσμὸς, καὶ κατ' ἀφαίρεσιν τοῦ ε ῥυσμὸς, καὶ τροπῇ τοῦ σ εἰς θ ῥυθμός.

Ῥάμνος: Εἶδος ἀκανθώδους φυτοῦ, καὶ γίνεται παρὰ τὸ ῥάπτω· δύο γὰρ σημαίνει, τό τε πλήττω, καὶ τὸ τὰ διεστῶτα ἑνῶ· λοιπὸν ἐκ τοῦ ῥάπτω τὸ πλήττω, ὁ παρακείμενος παθητικὸς ἔῤῥαμμαι τὸ πέπληγμαι, γίνεται ῥάμμος, καὶ μεταθέσει τοῦ μ εἰς ν ῥάμνος.

Ῥάθυμος: Παρὰ τὸ ῥᾶον τὸ εὔκολον, καὶ τὸ θυμὸς, ὁ ἁπαλὴν τὴν ψυχὴν ἔχων, οὐχὶ δὲ λυπούμενος.

Ῥοιζηδόν: Ἐπίῤῥημα ποιότητος ἐκ τοῦ ῥοῖζος· τοῦτο ἐκ τοῦ τρίζω, τροῖζος, καὶ ῥοῖζος ὁ τοῦ πυρὸς ἦχος· ὅθεν καὶ γράφεται τὸ ροι δίφθογγον· πλεονάζει γὰρ τὸ ο.

Ῥομφαία: Τὸ φαι δίφθογγον· τὰ εἰς εα λήγοντα μονογενῆ παροξύτονα διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, μηλέα· συκέα· σισαμέα· πλὴν τοῦ ἀλθαία· πτελαία· ῥομφαία· ἐλαία.

Σεμέλη: παρὰ τὸ σέλας μέλλειν, ἤγουν φροντίζειν· σέλας γὰρ σημαίνει τὴν ἀστραπὴν, καὶ μέλλω τὸ φροντίζω· ἡ τοῦ Διὸς γὰρ γυνὴ ὑπῆρχεν.

Σιτώνης: Σημαίνει ὁ τὸν σίτον ἀγοράζων, καὶ κλίνεται σιτώνου· τὰ γὰρ διὰ τοῦ ωνης, καὶ ηνης, καὶ ωλης μονογενῆ ὀνόματα εἰς ου ἔχουσι τὴν γενικήν· οἷον, τελώνης· Κεβριώνης· διὰ τοῦ ηνης· Αἰσχίνης· Φιλοκρίνης· μενώλης· πανώλης· ταῦτα γὰρ ὡς ἔχοντα οὐδέτερον, εἰς ους ἔχουσι τὴν γενικήν.

Σμῆνος: Τὸ πλῆγμα, ἐκ τοῦ σμῶ τὸ σημαῖνον [c] τὸ πλήσσω· ἐξ οὗ καὶ σμήγω κατὰ παραγωγὴν, καὶ τὸ μακρὸν

[c] Cod. σημαῖον.

εἰς μακρὸν γίνεται σμώγω, καὶ ὁ μέλλων σμώξω, καὶ σμῶδιξ ἐξ αὐτοῦ· ἐκ τοῦ σμῶ τὸ πατάσσω καὶ πλήσσω γίνεται ὁ μέλλων σμήσω, καὶ σμῶδιξ· ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν σμῆνος τὸ πλῆγμα.

Σχεδίος: Ἐκ τοῦ σχεδὸν ἐπιῤῥήματος, καὶ γράφεται διὰ τοῦ ι, ὥσπερ τὸ μινυνθάδιος· τὰ γὰρ διὰ τοῦ ιος γινόμενα προπαροξύτονα παρ' ἐπίῤῥημα γινόμενα διὰ τοῦ ι· οἷον, σχεδὸν, σχέδιος, σχεδιάζω, σχεδιασθείς.

Σχοινοφόρος: Ἐκ τοῦ σχοῖνος καὶ τὸ φέρω· σημαίνει τρία· τὴν πόαν·

Ἄσωπον ἧκον τὸ βαθύσχοινον· (Il. Δ. 383.)

σημαίνει δὲ καὶ μέτρον Περσικὸν ὁ παρὰ τοῖς Πέρσαις πασάγγαις καλούμενος· λέγεται δὲ καὶ ἀπὸ μεταφορᾶς ἡ κατ' εὐθυντηρία, καθὼς καὶ ὁ ψαλμῳδός φησιν·

τὴν τρίβον μου καὶ τὴν σχοῖνον τῶν ποδῶν συ ἐξιχνίασας.

Σκαίροντα: Τὸ σκαι δίφθογγος· διότι ἀνεφάνη τὸ α ἐν τῷ μέλλοντι, ἔστιν γὰρ σκαίρω καὶ σπαίρω, καὶ τὸ μὲν σπαίρω ἐκ τοῦ * * * * * * *.

Σ * *[d]: Ἐπὶ τῶν λίθων τὸ σω μέγα· ἐπὶ δὲ τῶν τάφων τὸ σο μικρόν· πρὸς ἀντιδιαστολὴν τοῦ ἐπὶ τῶν λίθων, καὶ ἐκείνω ἐκ τούτου.

Στέργω: Εἰ μὲν συντίθεται μετὰ δοτικῆς σημαίνει τὸ ἀρκοῦμαι· ὅταν δὲ συντίθεται μετὰ αἰτιατικῆς σημαίνει τὸ ἀγαπῶ, ὡς λέγει ὁ ἅγιος Ἰωάννης·

στέργειν μὲν ἡμᾶς ὡς ἀκίνδυνον φόβῳ.

Στοαί: Λέγονται αἱ καμάραι· ἐξ αὐτοῦ λέγονται καὶ στωϊκοὶ φιλόσοφοι ἀπὸ τῆς στοᾶς τῆς καμάρας· στοὰ τὸ στο μικρόν· Στωϊκοὶ τὸ στω μέγα, τὸ λεγόμενον πρόσκλητον.

Σφετεριαζόμενος: Τὸ ἰδιοποιούμενος, ἐκ τοῦ σφέτερος, σφετερίζω· τὸ δὲ σφέτερος ἐκ τοῦ σφῶν γενικῆς τῶν πρωτοτύπων.

Σφενδόνη: Παρὰ τὸ σπένδω τὸ ἀναιρῶ·

ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμ' * *

[d] Leg. Σωρός.

σπενδόνη καὶ σφενδόνη· ἢ παρὰ τὸ σφάζω, ἢ παρὰ τὸ σπεύδω, σπευδόνη, καὶ σφενδόνη.

Σκῆψις: Ἡ ἐκ μελέτης ψευδομαρτυρία παρὰ τὸ σκήπτω, ὃ σημαίνει τὸ προφασίζομαι· τοῦτο ἐκ τοῦ σκέπτω, οἱονεὶ ὁ σκεπτόμενός τι εἰπεῖν.

Στηλιτεύω: Τὸ θριαμβεύω, ἐκ τοῦ στηλίτης· τοῦτο παρὰ τὸ στήλη, ὃ σημαίνει τὸν λίθον τὸν κείμενον ἐν τῇ κεφαλῇ τοῦ τεθνεῶτος· καὶ ὥσπερ ἀπὸ τοῦ πολίτης γίνεται πολιτεύω, οὕτως καὶ ἀπὸ τοῦ στηλίτης στηλιτεύω.

Σπάνιον: σημαίνει τὸ ὀλίγον· τὸ ρι ι, ἐκ τοῦ σπάνιος· τὰ ἀπὸ ἐνεστώτων ἢ μελλόντων διὰ τοῦ ιος γινόμενα ὀνόματα προπαροξύτονα διὰ τοῦ ε γράφονται· τοῦτο ἐκ τοῦ σπανίζω, ὃ σημαίνει τὸ ἐλαττῶ καὶ φθείρω· γίνεται ἐκ τοῦ σπάνις ἡ λεῖψις· τοῦτο παρὰ τὸ πένω· ἢ παρὰ τὸ πένης, καὶ κατὰ παρασχηματισμὸν πάνις, καὶ πλεονασμῷ τοῦ σ σπάνις.

Σολομόντειον: Τὰ διὰ τοῦ ειος ὀνόματα σημαίνοντα μέρος σωματικὸν, ἢ μετουσιαστικὰ, ἢ κτητικὰ ὑπάρχοντα, διὰ τῆς ει διφθόγγου γράφονται· σημαίνει μέρος σωματικὸν, ὡς τὸ ἀνθρώπειος πούς· μετουσιαστικὸν, ὡς τὸ φλὸξ, φλογὸς, φλόγειος· χρυσὸς, χρύσειος· κτητικὸν, ὡς τὸ Αἰάντειος· Ἑκτόρειος· Ἀγαμεμνόνειος· οὕτως καὶ Σολομόντειος.

Σύριγξ: Σημαίνει δ'· τὴν ὀπὴν τῶν μουσικῶν αὐλῶν, καὶ τὸ πάθος καὶ τὴν δουρατοθήκην.

Σαθρός: Ἐκ τοῦ σαπρὸς, σημαίνει δὲ τὸν σεσημμένον· ἐτυμολογεῖται παρὰ τὸ σεσημμένα ἔχειν τὰ ἄρθρα.

Στοχάζω: Ἐκ τοῦ στείχω τὸ κατὰ τάξιν σκοπῶ καὶ βλέπω, καὶ ἐν τάξει βαδίζω· στοχάζειν λέγεται τὸ πρὸς εὐθείαν τοὺς λόγους ἀπευθύνειν.

Σκίμπους: Παρὰ τὸ σκηνὴ καὶ τὸ πούς, ποδὸς, σκηνίπους, καὶ κατὰ συγκοπὴν σκίνπους· σκίνπους δὲ λέγεται τὸ μέρος τοῦ κράβατος· μεταφορικῶς δὲ ὅλος ὁ κράβατος· λέγεται δὲ καὶ σκίπους χωρὶς τοῦ ν, ὡς ἀρτίπους καὶ ἀελλόπους· σκηνίπους τις ὢν, ὁ σκηνῇ ὅμοιος.

Σκολιός: Παρὰ τὸ σκάζω τὸ χωλαίνω, ὁ μὴ εὐθείαν ὁδὸν

πορευόμενος, ἀλλὰ διεστραμμένον· ἢ παρὰ τὸ σκαιὸς, ἢ παρὰ τὸ σκόλον, ὃ σημαίνει τὸ ἀποξυμμένον ξύλον.

Στηθύνιον: Ἔστιν μέρος τι τοῦ στήθους· ἐκ τοῦ στήθους γίνεται τὸ ὑποκοριστικὸν στηθύνιον.

Σταυρός: Παρὰ τὸ στα καὶ τὸ εὖρος, ὃ σημαίνει τὸ πλάτος· οἱονεὶ ὁ μῆκος καὶ πλάτος ἔχων· παρὰ δὲ τῷ ποιητῇ στροια λέγονται τὰ ἀποξυμμένα ξύλα, ἅπερ καὶ σκόλοπας καλεῖ σταυροῖσι ποικίλας.

Σκύλα: Παρὰ τὸ συλῶ, σύλον, καὶ σκῦλον· ἔστιν δὲ ἀπὸ χρήσεως μακρὸν τὸ υ·

αὐτὰρ ὁ σύλα πόμα φαρέτρης. (Il. Δ. 116.)

Συκέα: Τὸ κε ψίλον· τὰ διὰ τοῦ εα παροξύτονα θηλυκὰ, μὴ ἐπιδεχόμενα συναίρεσιν, διὰ τῆς αι διφθόγγου γράφεται· * * * πρόσκειται μὴ ἐπιδεχόμενα συναίρεσιν, διὰ τὸ συκέα, συκῆ· καὶ ἀμυγδαλέα, ἀμυγδαλῆ.

Στῖφος: Τὸ πλῆθος, καὶ ἡ τάξις τῶν ἀνδρῶν· γίνεται δὲ ἐκ τοῦ στὶξ, στιχὸς, ὃ σημαίνει τὴν τάξιν· Ὅμηρος

τῆς μὲν ἴῆς στιχὸς ἦρχε Μενεσθεὺς αἰολοθώρηξ· (Il. Π. 173.)

καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθείαν, καὶ βαρύνεται, καὶ γίνεται τὸ στῖχος, καὶ τροπῇ στῖφος· εἰς τὸ στι περισπωμένην· φύσει γάρ ἐστι μακρόν.

Σκάνδαλον: Παρὰ τὸ σκάζω, ὃ σημαίνει τὸ χωλαίνω·

τὼ δὲ δύο σκάζοντε[e] βάτην παρὰ θῖν' ἁλός· (Il. Τ. 47.)

σκάνδαλον λέγεται ἡ διαστροφή.

Σολόμων, Σολόμωνος: Ὁ κανών· τὰ εἰς μων βαρύτονα κύρια φυλάττει τὸ ω· οἷον, Τίμων, Τίμωνος.

Συκοφαντία: Συκοφάντης λέγεται ὁ ψευδοκατήγορος· τὰ εἰς της ὀνόματα, μὴ ὄντα σύνθετα παρὰ τὸ κρατῶ ἢ κράτος.

Συσσείοντες: Ἐκ τοῦ συσσείω· σείω τὸ σει δίφθογγος· τοῦτο ἐκ τοῦ σῶ τὸ κινῶ· ἐξ οὗ καὶ σήθω κατὰ παραγωγὴν, καὶ σημαίνει τὸ κοσκηνίζω· τὸ ἐντελὲς σέω, καὶ πλεονασμῷ τοῦ ι σείω.

Σαλπίζω: Παρὰ τὸ ἔπω τὸ λέγω, ὁ μέλλων ἔψω, ἀπο-

[e] Cod. σκαζονται.

βολῇ τοῦ ω εἰς ε, καὶ τροπῇ τοῦ ε εἰς ο ὄψ, καὶ κλίνεται ὀπός· ἐξ αὐτοῦ ῥῆμα ὀπίζω, καὶ μετὰ τοῦ σέλας, ὃ σημαίνει τὴν λαμπρότητα τοῦ πυρὸς, ἤγουν τῆς λαμπηδόνος, γίνεται σελαπίζω, καὶ κατὰ συγκοπὴν σαλπίζω.

Στερεός: Ἐκ τοῦ στεῤῥός· τοῦτο ἐκ τοῦ στῆναι στερεὸς, καὶ συγκοπῇ στεῤῥός.

Σχοῖνος: Τὰ διὰ τοῦ υνος δισύλλαβα διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, φρύνος· θρύνος· πλύνος· σεσημείωται τὸ σχοῖνος.

Συχνόν: Γίνεται παρὰ τὸ συνέχω καὶ τὸ συσφίγγω.

Σάρξ, Σαρκός: Ὁ κανών· τὰ εἰς αξ ἁπλᾶ μονοσύλλαβα διὰ τοῦ κ κλίνονται· πλὰξ, πλακός· σὰρξ, σαρκός.

Σκώψ: Σημαίνει μιμητικὸν ὄρνεον τὴν κίσσαν, καὶ γίνεται παρὰ τὸ σκαιὰν καὶ ἐξουδενημένην ὄπα ἔχειν· γράφεται δὲ τὸ ω μέγα ἀπὸ χρήσεως.

Σέλας: Παρὰ τὸ σεύω τὸ ὁρμῶ, καὶ τὸ ἕλη, ὃ σημαίνει τὴν λαμπρότητα, παρὰ τὸ σεύεσθαι ἐξ αὐτοῦ τὴν ἕλην καὶ ὁρμᾶν· ἡ δὲ κλίσις αὐτοῦ ἀπέλειψεν.

Σθένος: Παρὰ τὸ στένω, στένος, καὶ σθένος.

Σπήλαιον: Ἐκ τοῦ σπῶ, σπήσω, καὶ τοῦ λάας γίνεται σπήλαιον, καὶ πλεονασμῷ τοῦ ι σπήλαιον, ὁ ἀποσπασμένος λίθος.

Σφραγίς: Ἐκ τοῦ ἀσφαλὴς, καὶ μεταθέσει τοῦ λ εἰς ρ, καὶ ἐν ὑπερβιβασμῷ, καὶ πλεονασμῷ τοῦ γ σφραγίς· τοῦτο ἐκ τοῦ σφάλω, σφαλὶς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀσφαλὴς, ὁ μὴ σφαλόμενος.

Σαφῶς: Ἐπίῤῥημα· σαφής· τοῦτο ἐκ τοῦ σαφῶ· τοῦτο ἐκ τοῦ σοφῶ ῥῆμα, καὶ σαφῶ, σαφής.

Στολή: Παρὰ τὸ στέλλω τὸ κοσμῷ, ἐξ οὗ καὶ ἀποστέλλω τοῦ ἅπαντα διεθετῆσαι καὶ κοσμῆσαι· μετὰ δὲ τῆς πρὸ προθέσεως ἄλλο σημαίνει.

Σβέσαι: ἀπὸ τοῦ σβῶ, σβέσω, σβέσαι, ὡς πτῶ, πετῶ, πρώτης συζυγίας τῶν περισπωμένων.

Στέργει: Παρὰ τὸ στῶ τὸ σημαῖνον τὸ ἱστῶ κατὰ παρα-

διὰ τοῦ η· διότι ἀνεφάνη τὸ α ἐν τῷ δευτέρῳ ἀορίστῳ, ἔπαθον γάρ.

Πλατύνω: Ἐκ τοῦ πλάτος· τοῦτο ἐκ τοῦ πέλω τὸ ὑπάρχω.

Παμπήδην[z]: Ἐπίῤῥημα μεσότητος, ἀντὶ τοῦ παντελῶς.

Πτέρνω: Παρὰ τὸ πατεῖν τὴν ἔραν, ἤγουν τὴν γῆν.

Περαίνω: Παρὰ τὸ πέρας περαίω, καὶ πλεονασμῷ τοῦ ν περαίνω.

Ποσαπῶς Σοι: Ἐπίῤῥημα χρόνου δηλωτικόν.

Πταίω: Ἐκ τοῦ πτῶ· τὰ ἀπὸ περισπωμένων ῥημάτων διὰ τοῦ αιω παραγόμενα ῥήματα διὰ τῆς αι διφθόγγου γράφεται· οἷον, περῶ, περαίω· πτῶ, πταίω.

Πλάστης: Παρὰ τὸ πλάττω· τὸ δὲ πλάττω παρὰ τὸ πλῶ τὸ ποιῶ.

Πέλεια: Περιστερά[a].

Πόλοιο: Ὁ κανών· οἱ Ἴωνες καὶ οἱ Θετταλοὶ τὰς εἰς ου ληγούσας γενικὰς, τὰς ἀπὸ τῶν εἰς ος εὐθειῶν γινομένας, διὰ τοῦ οιο προφέρουσιν· οἷον, καλὸς, καλοῦ, καλοῖο· σοφὸς, σοφοῦ, σοφοῖο· πόλος, πόλου, πόλοιο· τὸ ο μικρόν· διατί; πᾶσα ἑνικὴ εἰς φωνῆεν λήγουσα, καὶ περιττοσυλλαβοῦσα τῆς ἰδίας εὐθείας, ἢ ἐκτείνει τὴν λήγουσαν, καὶ συστέλλει τὴν παραλήγουσαν, ὡς τὸ Ἀτρείδεω· Πριαμείδεω· ἢ συστέλλει τὴν λήγουσαν, καὶ ἐκτείνει τὴν παραλήγουσαν, ὡς τὸ καλοῖο· σοφοῖο· ὁ τόνος· αἱ διὰ τοῦ οιο Θετταλικαὶ γενικαὶ, εἰ μὲν ὦσιν ἀπὸ περισπωμένων γενικῶν, προπερισπῶνται· οἷον, καλὸς, καλοῦ, καλοῖο· σοφὸς, σοφοῦ, σοφοῖο· εἰ δὲ ἀπὸ βαρυτόνων, βαρύνονται· οἷον, πόλος, πόλου, πόλοιο.

Πτρσός: Παρὰ τὸ πῦρ καὶ τὸ σεύω τὸ ὁρμῶ.

Πρωτότοκος: Τὰ εἰς ος σύνθετα εἰς ἐνέργειαν καὶ εἰς πάθος ἀναλυόμενα δύο τόνους ἀναδέχονται· καὶ εἰ μὲν εἰς ἐνέργειαν, προπαροξύνονται, εἰ δὲ εἰς πάθος, παροξύνονται· οἷον, καράτομος καὶ καρατόμος· καράτομος λέγεται ὁ τὴν κάραν

[z] Cod. παντήδην. [a] Cod. περιστεῤῥά.

τμηθείς· καρατόμος δὲ ὁ τὴν κάραν τέμνων, ὁ λεγόμενος δήμιος.

Παίζω: Παρὰ τὸ παῖς, παιδὸς, παιδίζω, καὶ ἐν συγκοπῇ παίζω.

Πύργος: Παρὰ τὸ ὑπεράνω γῆς ἵστασθαι.

Παῖς: Δίφθογγος· διατί; τρία εἰσὶν εἰς αις μονοσύλλαβα ὀνόματα διὰ τῆς αι διφθόγγου γραφόμενα· ἀρσενικὸν παῖς, παιδός· σημαίνει δὲ τὸν παῖδα· θηλυκὸν τὸ δαῖς, δαιτός· σημαίνει δὲ τὴν εὐωχίαν· ἅτινα καὶ κλίνονται· οὐδέτερον τὸ σταῖς, σημαίνει δὲ τὸ ἄλευρον, ὅπερ ἐστὶν ἄκλιτον.

Πᾶσι: Διατί βαρύνεται; πᾶσα δοτικὴ πληθυντικὴ δισύλλαβος εἰς ι ἐφωνούμενον λήγουσα, ἐπὶ μὲν ὀνομάτων ὀξύνεται· οἷον, βουσί· πλευσί· ποσί· ἀλσί· πλὴν τοῦ πᾶσι· ἐπὶ δὲ μετοχῶν βαρύνεται· οἷον, βᾶσι· στᾶσι· φᾶσι· οὕτως οὖν συνεξηκολούθησε τὸ πᾶσι, καὶ συνεβαρύνθη.

Πρωΐ: Τὸ ϊ ι· διατί; τὰ εἰς η λήγοντα ἐπιῤῥήματα, εἰ μὲν καθαριεύωσιν ἢ διπλῷ παραλήγονται, διὰ τῆς ει διφθόγγῳ γράφεται· οἷον, ἀθεεί· αὐτοβοεί· ἀεί· αὐτολεξεί· αὐτοψεί· πλὴν τοῦ πρωΐ.

Πρόσχες: Ἀνεβίβασε τὸν τόνον διατί; πᾶν προστακτικὸν μονοσύλλαβον ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον.

Πλήν: Ἐπίῤῥημα τάξεως διὰ τοῦ η· τὰ γὰρ εἰς ην ἐπιῤῥήματα διὰ τοῦ η γράφονται, πλὴν τοῦ πάλιν καὶ κατόπιν, καὶ πρὶν μονοσυλλάβου.

Πούς: Κλίνεται ποδός * * καὶ εἰ ἄρα τὰ εἰς ους ἀπαθῆ διὰ καθαροῦ τοῦ ος κλίνεται· οἷον, βοῦς, βοός· χροῦς, χροός· διατί τὸ ποὺς καὶ ὀδοὺς οὐ κλίνονται διὰ καθαροῦ τοῦ ος, ἀλλὰ ποδὸς καὶ ὀδόντος; ἔστιν οὖν εἰπεῖν ὅτι, ὡς ἐμάθομεν, τὰ εἰς ους λήγοντα ὀνόματα οὐδέποτε ὀξύνονται, χωρὶς τοῦ πούς καὶ ὀδούς· ταῦτα δὲ ὀξύνονται· ἐπειδὴ οὖν διήλλαξαν περὶ τὸν τόνον, τούτου χάριν καὶ περὶ τὴν κλίσιν διήλλαξαν, καὶ οὐ κλίνονται διὰ καθαροῦ τοῦ ος· τὸ δὲ ὀδοὺς, ὀδόντος διὰ τοῦ ντ κλίνεται· ἐπειδὴ, ὡς εἴρηται μετοχικόν ἐστιν, αἱ δὲ μετοχαὶ διὰ τοῦ ντ κλίνονται· οἷον, βιοὺς, βιοῦντος· διδοὺς, διδόντος· οὕτως οὖν

καὶ ὀδοὺς, ὀδόντος· τὸ δὲ πούς, ποδὸς, καὶ κατὰ τοῦτο παράλογόν ἐστιν, ὅτι ὀξυνθὲν ὁμοίως ταῖς εἰς ους μετοχαῖς οὐκ ἐκλίθη διὰ τοῦ ντ· ΠΟΥΣ, ΠΟΔΟΣ, ὁ κανών· τὰ ἀπὸ μελλόντων κατὰ ἀποβολὴν τοῦ ω γινόμενα ὀνόματα μονοσύλλαβα διὰ τοῦ δος κλίνεται· παύω, παύσω· παὺς καὶ πούς, ποδός· κλείω, κλείσω, κλεὶς, κλειδός· διατί σεσημείωται τὸ πούς καὶ ὀδούς; κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι ἐπειδὴ τὰ εἰς ους ὀνόματα διὰ καθαροῦ τοῦ ος κλινόμενα περισπῶνται, ὅθεν τὸ πούς καὶ ὀδοὺς ὡς ἐναλλάξαντα κατὰ τὸν τόνον διήλλαξαν καὶ κατὰ τὴν κλίσιν· πόθεν γίνεται τὸ πούς, καὶ διατί ὀξύνεται; τὰ ἀπὸ μελλόντων δισυλλάβων κατὰ ἀποβολὴν τοῦ ω γινόμενα ὀνόματα ὀξύνονται· οἷον, παύω, παύσω, παὺς, καὶ πούς· κλείω, κλείσω, κλείς· θερίζω, θερίσω, θερὶς, καὶ θρίξ· ΤῸΝ ΠΌΔΑ· καὶ κατὰ συναίρεσιν οὐκ ἔχει διατί; δύο κανόνες εἰσὶν οἱ μαχόμενοι· ὁ μὲν εἷς λέγει, ὅτι πᾶσα αἰτιατικὴ εἰς ν λήγουσα τῇ ἰδίᾳ εὐθείᾳ ὁμοτονεῖ· ὁ δὲ ἕτερος λέγει· πᾶσα αἰτιατικὴ μονοσύλλαβος εἰς ν λήγουσα περισπᾶται· τῶν δύο κανόνων[b] μαχομένων, καὶ τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος ὀξεῖαν, τοῦ δὲ ἑτέρου περισπωμένην, ἀπέλειψεν· ΠΌΔΕΣ, ΠΟΔΩ͂Ν, περισπᾶται διατί; ἐπειδὴ τὰ εἰς σ λήγοντα μονοσύλλαβα ταύτην ἔχουσιν τὴν παρατήρησιν· τὰ ὀξυνόμενα, εἰ μὲν διὰ συμφώνου κλίνονται, περισπῶσιν τὴν γενικὴν τῶν πληθυντικῶν· οἷον, πούς, ποδὸς, πόδες, ποδῶν· σής, σητὸς, σῆτες, σητῶν· Κρὴς, Κρητὸς, Κρῆτες, Κρητῶν· εἰ δὲ διὰ καθαροῦ τοῦ ος, βαρύνουσι· οἷον, Τρὼς, Τρωὸς, Τρῶες, Τρωῶν· τὰ δὲ περισπώμενα ἐκ τοῦ ἐναντίου· εἰ μὲν διὰ συμφώνου κλίνονται, βαρύνουσι τὴν γενικὴν τῶν πληθυντικῶν· οἷον, πᾶς, παντὸς, πάντες, πάντων· εἰ δὲ διὰ καθαροῦ τοῦ ος, περισπῶσιν· οἷον, βοῦς, βόος, βόες, βοῶν.

ΠΡΟΣΗΝΩ͂Σ: Πράως καὶ ἡμέρως· ἡ εὐθεῖα προσηνὴς παρὰ τὴν πρὸς πρόθεσιν καὶ τὸ ἀνύω.

ῬΊΖΑ: Ἡ κάτω τὸ ζῆν ῥέουσα τοῖς κλάδοις, ἢ παρὰ τὸ ἵζω τὸ καθέζομαι· ἡ ἐγκαθιμένη τῇ γῇ, ἐξ οὗ ἔχει τὸ ρι ι· "ἔκριζον ἥκεις."

[b] Cod. κανώνων.

Ῥάκκιον : Βαρυτόνως, ὡς ὑποκοριστικὸν καὶ δακτυλικὸν, καὶ γίνεται ἐκ τοῦ ῥάκκος· τοῦτο ἐκ τοῦ ῥήσσω, ῥάκκος διὰ δύο κκ.

Ῥόθιον : Σημαίνει τὸ ὁρμητικόν· τὸ ρο μικρὸν ἀπὸ παραδόσεως.

Ῥάιδιον : ι προσγεγραμμένον, διότι εὑρέθη κατὰ διάστασιν. ῥηΐδίως συνέαξε.

Ῥυθμός : Ἐκ τοῦ ἐρύω τὸ ἑλκύω ἐρυσμὸς, καὶ κατ' ἀφαίρεσιν τοῦ ε ῥυσμὸς, καὶ τροπῇ τοῦ σ εἰς θ ῥυθμός.

Ῥάμνος : Εἶδος ἀκανθώδους φυτοῦ, καὶ γίνεται παρὰ τὸ ῥάπτω· δύο γὰρ σημαίνει, τό τε πλήττω, καὶ τὸ τὰ διεστῶτα ἑνῶ· λοιπὸν ἐκ τοῦ ῥάπτω τὸ πλήττω, ὁ παρακείμενος παθητικὸς ἔῤῥαμμαι τὸ πέπληγμαι, γίνεται ῥάμμος, καὶ μεταθέσει τοῦ μ εἰς ν ῥάμνος.

Ῥάθυμος : Παρὰ τὸ ῥᾶον τὸ εὔκολον, καὶ τὸ θυμὸς, ὁ ἁπαλὴν τὴν ψυχὴν ἔχων, οὐχὶ δὲ λυπούμενος.

Ῥοιζηδόν : Ἐπίῤῥημα ποιότητος ἐκ τοῦ ῥοῖζος· τοῦτο ἐκ τοῦ τρίζω, τροῖζος, καὶ ῥοῖζος ὁ τοῦ πυρὸς ἦχος· ὅθεν καὶ γράφεται τὸ ροι δίφθογγον· πλεονάζει γὰρ τὸ ο.

Ῥομφαία : Τὸ φαι δίφθογγον· τὰ εἰς εα λήγοντα μονογενῆ παροξύτονα διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, μηλέα· συκέα· σισαμέα· πλὴν τοῦ ἀλθαία· πτελαία· ῥομφαία· ἐλαία.

Σεμέλη : παρὰ τὸ σέλας μέλλειν, ἤγουν φροντίζειν· σέλας γὰρ σημαίνει τὴν ἀστραπὴν, καὶ μέλλω τὸ φροντίζω· ἡ τοῦ Διὸς γὰρ γυνὴ ὑπῆρχεν.

Σιτώνης : Σημαίνει ὁ τὸν σίτον ἀγοράζων, καὶ κλίνεται σιτώνου· τὰ γὰρ διὰ τοῦ ωνης, καὶ ηνης, καὶ ωλης μονογενῆ ὀνόματα εἰς ου ἔχουσι τὴν γενικήν· οἷον, τελώνης· Κεβριώνης· διὰ τοῦ ηνης· Αἰσχίνης· Φιλοκρίνης· μενώλης· πανώλης· ταῦτα γὰρ ὡς ἔχοντα οὐδέτερον, εἰς ους ἔχουσι τὴν γενικήν.

Σμῆνος : Τὸ πλῆγμα, ἐκ τοῦ σμῶ τὸ σημαῖνον [c] τὸ πλήσσω· ἐξ οὗ καὶ σμήγω κατὰ παραγωγὴν, καὶ τὸ μακρὸν

c Cod. σημαῖον.

εἰς μακρὸν γίνεται σμώγω, καὶ ὁ μέλλων σμώξω, καὶ σμῶδιξ ἐξ αὐτοῦ· ἐκ τοῦ σμῶ τὸ πατάσσω καὶ πλήσσω γίνεται ὁ μέλλων σμήσω, καὶ σμῶδιξ· ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν σμῆνος τὸ πλῆγμα.

Σχεδίος: Ἐκ τοῦ σχεδὸν ἐπιρρήματος, καὶ γράφεται διὰ τοῦ ι, ὥσπερ τὸ μινυνθάδιος· τὰ γὰρ διὰ τοῦ ιος γινόμενα προπαροξύτονα παρ' ἐπίρρημα γινόμενα διὰ τοῦ ι· οἷον, σχεδὸν, σχέδιος, σχεδιάζω, σχεδιασθείς.

Σχοινοφόρος: Ἐκ τοῦ σχοῖνος καὶ τὸ φέρω· σημαίνει τρία· τὴν πόαν·

Ἄσωπον ἧκον τὸ βαθύσχοινον· (Il. Δ. 383.)

σημαίνει δὲ καὶ μέτρον Περσικὸν ὁ παρὰ τοῖς Πέρσαις πασάγγαις καλούμενος· λέγεται δὲ καὶ ἀπὸ μεταφορᾶς ἡ κατ' εὐθυντηρία, καθὼς καὶ ὁ ψαλμῳδός φησιν·

τὴν τρίβον μου καὶ τὴν σχοῖνον τῶν ποδῶν συ ἐξιχνίασας.

Σκαίροντα: Τὸ σκαι δίφθογγος· διότι ἀνεφάνη τὸ α ἐν τῷ μέλλοντι, ἔστιν γὰρ σκαίρω καὶ σπαίρω, καὶ τὸ μὲν σπαίρω ἐκ τοῦ * * * * * * *.

Σ * *[d]: Ἐπὶ τῶν λίθων τὸ σω μέγα· ἐπὶ δὲ τῶν τάφων τὸ σο μικρόν· πρὸς ἀντιδιαστολὴν τοῦ ἐπὶ τῶν λίθων, καὶ ἐκείνω ἐκ τούτου.

Στέργω: Εἰ μὲν συντίθεται μετὰ δοτικῆς σημαίνει τὸ ἀρκοῦμαι· ὅταν δὲ συντίθεται μετὰ αἰτιατικῆς σημαίνει τὸ ἀγαπῶ, ὡς λέγει ὁ ἅγιος Ἰωάννης·

στέργειν μὲν ἡμᾶς ὡς ἀκίνδυνον φόβῳ.

Στοαί: Λέγονται αἱ καμάραι· ἐξ αὐτοῦ λέγονται καὶ στωϊκοὶ φιλόσοφοι ἀπὸ τῆς στοᾶς τῆς καμάρας· στοὰ τὸ στο μικρόν· Στωϊκοὶ τὸ στω μέγα, τὸ λεγόμενον πρόσκλητον.

Σφετεριαζόμενος: Τὸ ἰδιοποιούμενος, ἐκ τοῦ σφέτερος, σφετερίζω· τὸ δὲ σφέτερος ἐκ τοῦ σφῶν γενικῆς τῶν πρωτοτύπων.

Σφενδόνη: Παρὰ τὸ σπένδω τὸ ἀναιρῶ·

ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμ' * *

d Leg. Σωρός.

σπενδόνη καὶ σφενδόνη· ἢ παρὰ τὸ σφάζω, ἢ παρὰ τὸ σπεύδω, σπευδόνη, καὶ σφενδόνη.

Σκῆψις: Ἡ ἐκ μελέτης ψευδομαρτυρία παρὰ τὸ σκήπτω, ὃ σημαίνει τὸ προφασίζομαι· τοῦτο ἐκ τοῦ σκέπτω, οἱονεὶ ὁ σκεπτόμενός τι εἰπεῖν.

Στηλιτεύω: Τὸ θριαμβεύω, ἐκ τοῦ στηλίτης· τοῦτο παρὰ τὸ στήλη, ὃ σημαίνει τὸν λίθον τὸν κείμενον ἐν τῇ κεφαλῇ τοῦ τεθνεῶτος· καὶ ὥσπερ ἀπὸ τοῦ πολίτης γίνεται πολιτεύω, οὕτως καὶ ἀπὸ τοῦ στηλίτης στηλιτεύω.

Σπάνιον: σημαίνει τὸ ὀλίγον· τὸ ρι ι, ἐκ τοῦ σπάνιος· τὰ ἀπὸ ἐνεστώτων ἢ μελλόντων διὰ τοῦ ιος γινόμενα ὀνόματα προπαροξύτονα διὰ τοῦ ε γράφονται· τοῦτο ἐκ τοῦ σπανίζω, ὃ σημαίνει τὸ ἐλαττῶ καὶ φθείρω· γίνεται ἐκ τοῦ σπάνις ἡ λεῖψις· τοῦτο παρὰ τὸ πένω· ἢ παρὰ τὸ πένης, καὶ κατὰ παρασχηματισμὸν πάνις, καὶ πλεονασμῷ τοῦ σ σπάνις.

Σολομόντειον: Τὰ διὰ τοῦ ειος ὀνόματα σημαίνοντα μέρος σωματικὸν, ἢ μετουσιαστικὰ, ἢ κτητικὰ ὑπάρχοντα, διὰ τῆς ει διφθόγγου γράφονται· σημαίνει μέρος σωματικὸν, ὡς τὸ ἀνθρώπειος πούς· μετουσιαστικὸν, ὡς τὸ φλὸξ, φλογὸς, φλόγειος· χρυσὸς, χρύσειος· κτητικὸν, ὡς τὸ Αἰάντειος· Ἑκτόρειος· Ἀγαμεμνόνειος· οὕτως καὶ Σολομόντειος.

Σύριγξ: Σημαίνει δ'· τὴν ὀπὴν τῶν μουσικῶν αὐλῶν, καὶ τὸ πάθος καὶ τὴν δουρατοθήκην.

Σαθρός: Ἐκ τοῦ σαπρὸς, σημαίνει δὲ τὸν σεσημμένον· ἐτυμολογεῖται παρὰ τὸ σεσημμένα ἔχειν τὰ ἄρθρα.

Στοχάζω: Ἐκ τοῦ στείχω τὸ κατὰ τάξιν σκοπῶ καὶ βλέπω, καὶ ἐν τάξει βαδίζω· στοχάζειν λέγεται τὸ πρὸς εὐθείαν τοὺς λόγους ἀπευθύνειν.

Σκίμπους: Παρὰ τὸ σκηνὴ καὶ τὸ πούς, ποδὸς, σκηνίπους, καὶ κατὰ συγκοπὴν σκίνπους· σκίνπους δὲ λέγεται τὸ μέρος τοῦ κράβατος· μεταφορικῶς δὲ ὅλος ὁ κράβατος· λέγεται δὲ καὶ σκίπους χωρὶς τοῦ ν, ὡς ἀρτίπους καὶ ἀελλόπους· σκηνίπους τις ὢν, ὁ σκηνῇ ὅμοιος.

Σκολιός: Παρὰ τὸ σκάζω τὸ χωλαίνω, ὁ μὴ εὐθείαν ὁδὸν

πορευόμενος, ἀλλὰ διεστραμμένον· ἢ παρὰ τὸ σκαιὸς, ἢ παρὰ τὸ σκόλον, ὃ σημαίνει τὸ ἀποξυμμένον ξύλον.

Στηθύνιον : Ἔστιν μέρος τι τοῦ στήθους· ἐκ τοῦ στήθους γίνεται τὸ ὑποκοριστικὸν στηθύνιον.

Σταυρός : Παρὰ τὸ στα καὶ τὸ εὖρος, ὃ σημαίνει τὸ πλάτος· οἱονεὶ ὁ μῆκος καὶ πλάτος ἔχων· παρὰ δὲ τῷ ποιητῇ στροια λέγονται τὰ ἀποξυμμένα ξύλα, ἅπερ καὶ σκόλοπας καλεῖ σταυροῖσι ποικίλας.

Σκύλα : Παρὰ τὸ συλῶ, σύλον, καὶ σκῦλον· ἔστιν δὲ ἀπὸ χρήσεως μακρὸν τὸ υ·

αὐτὰρ ὁ σύλα πῶμα φαρέτρης. (Il. Δ. 116.)

Συκέα : Τὸ κε ψίλον· τὰ διὰ τοῦ εα παροξύτονα θηλυκὰ, μὴ ἐπιδεχόμενα συναίρεσιν, διὰ τῆς αι διφθόγγου γράφεται· * * * πρόσκειται μὴ ἐπιδεχόμενα συναίρεσιν, διὰ τὸ συκέα, συκῆ· καὶ ἀμυγδαλέα, ἀμυγδαλῆ.

Στῖφος : Τὸ πλῆθος, καὶ ἡ τάξις τῶν ἀνδρῶν· γίνεται δὲ ἐκ τοῦ στὶξ, στιχὸς, ὃ σημαίνει τὴν τάξιν· Ὅμηρος

τῆς μὲν ἴῆς στιχὸς ἦρχε Μενεσθεὺς αἰολοθώρηξ· (Il. Π. 173.)

καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθείαν, καὶ βαρύνεται, καὶ γίνεται τὸ στῖχος, καὶ τροπῇ στῖφος· εἰς τὸ στι περισπωμένην· φύσει γάρ ἐστι μακρόν.

Σκάνδαλον : Παρὰ τὸ σκάζω, ὃ σημαίνει τὸ χωλαίνω·

τὼ δὲ δύο σκάζοντε [e] βάτην παρὰ θῖν' ἁλός· (Il. Τ. 47.)

σκάνδαλον λέγεται ἡ διαστροφή.

Σολόμων, Σολόμωνος : Ὁ κανών· τὰ εἰς μων βαρύτονα κύρια φυλάττει τὸ ω· οἷον, Τίμων, Τίμωνος.

Συκοφαντία : Συκοφάντης λέγεται ὁ ψευδοκατήγορος· τὰ εἰς της ὀνόματα, μὴ ὄντα σύνθετα παρὰ τὸ κρατῶ ἢ κράτος.

Συσσείοντες : Ἐκ τοῦ συσσείω· σείω τὸ σει δίφθογγος· τοῦτο ἐκ τοῦ σῶ τὸ κινῶ· ἐξ οὗ καὶ σήθω κατὰ παραγωγὴν, καὶ σημαίνει τὸ κοσκηνίζω· τὸ ἐντελὲς σέω, καὶ πλεονασμῷ τοῦ ι σείω.

Σαλπίζω : Παρὰ τὸ ἔπω τὸ λέγω, ὁ μέλλων ἔψω, ἀπο-

[e] Cod. σκαζονται.

βολῇ τοῦ ω εἰψ, καὶ τροπῇ τοῦ ε εἰς ο ὄψ, καὶ κλίνεται ὀπός· ἐξ αὐτοῦ ῥῆμα ὀπίζω, καὶ μετὰ τοῦ σέλας, ὃ σημαίνει τὴν λαμπρότητα τοῦ πυρὸς, ἤγουν τῆς λαμπηδόνος, γίνεται σελαπίζω, καὶ κατὰ συγκοπὴν σαλπίζω.

Στερεός: Ἐκ τοῦ στεῤῥός· τοῦτο ἐκ τοῦ στῆναι στερεὸς, καὶ συγκοπῇ στεῤῥός.

Σχοῖνος: Τὰ διὰ τοῦ υνος δισύλλαβα διὰ τοῦ υ ψιλοῦ γράφονται· οἷον, φρύνος· θρύνος· πλύνος· σεσημείωται τὸ σχοῖνος.

Στχνόν: Γίνεται παρὰ τὸ συνέχω καὶ τὸ συσφίγγω.

Σὰρξ, Σαρκός: Ὁ κανών· τὰ εἰς αξ ἁπλᾶ μονοσύλλαβα διὰ τοῦ κ κλίνονται· πλὰξ, πλακός· σὰρξ, σαρκός.

Σκώψ: Σημαίνει μιμητικὸν ὄρνεον τὴν κίσσαν, καὶ γίνεται παρὰ τὸ σκαιὰν καὶ ἐξουδενημένην ὄπα ἔχειν· γράφεται δὲ τὸ ω μέγα ἀπὸ χρήσεως.

Σέλας: Παρὰ τὸ σεύω τὸ ὁρμῶ, καὶ τὸ ἕλη, ὃ σημαίνει τὴν λαμπρότητα, παρὰ τὸ σεύεσθαι ἐξ αὐτοῦ τὴν ἕλην καὶ ὁρμᾶν· ἡ δὲ κλίσις αὐτοῦ ἀπέλειψεν.

Σθένος: Παρὰ τὸ στένω, στένος, καὶ σθένος.

Σπήλαιον: Ἐκ τοῦ σπῶ, σπήσω, καὶ τοῦ λάας γίνεται σπήλαιον, καὶ πλεονασμῷ τοῦ ι σπήλαιον, ὁ ἀποσπασμένος λίθος.

Σφραγίς: Ἐκ τοῦ ἀσφαλὴς, καὶ μεταθέσει τοῦ λ εἰς ρ, καὶ ἐν ὑπερβιβασμῷ, καὶ πλεονασμῷ τοῦ γ σφραγίς· τοῦτο ἐκ τοῦ σφάλω, σφαλὶς, καὶ μετὰ τοῦ στερητικοῦ α ἀσφαλὴς, ὁ μὴ σφαλόμενος.

Σαφῶς: Ἐπίῤῥημα· σαφής· τοῦτο ἐκ τοῦ σαφῶ· τοῦτο ἐκ τοῦ σοφῶ ῥῆμα, καὶ σαφῶ, σαφής.

Στολή: Παρὰ τὸ στέλλω τὸ κοσμῷ, ἐξ οὗ καὶ ἀποστέλλω τοῦ ἅπαντα διεθετῆσαι καὶ κοσμῆσαι· μετὰ δὲ τῆς πρὸ προθέσεως ἄλλο σημαίνει.

Σβέσαι: ἀπὸ τοῦ σβῶ, σβέσω, σβέσαι, ὡς πτῶ, πετῶ, πρώτης συζυγίας τῶν περισπωμένων.

Στέργει: Παρὰ τὸ στῶ τὸ σημαῖνον τὸ ἱστῶ κατὰ παρα-

γωγὴν στέγω τὸ καρτερῶ, καὶ πλεονασμῷ τοῦ ρ στέργω· λοιπὸν ἀπὸ τοῦ στῶ τὸ ἱστῶ, ὁ γὰρ ἀγαπῶν τινὰ ἐνίσταται ἐπ' αὐτόν.

Σιγή: Ὀξύτονον· τὰ εἰς γη δισύλλαβα συναλειπτὰ ὄντα φύσει μακρᾷ παραληγόμενα ὀξύνονται, εἰ μὴ διαστολή τις γένοιτο ἐπὶ κυρίου· οἷον, πηγή· πληγή· κραυγή· οὕτως καὶ σιγή.

Σιγμός: Ὁ τοῦ σ ἦχος· σίγμα ἄσημον[f] διατί; διότι σημασίαν οὐκ ἔχει· καὶ διότι οὔτε μετὰ τῶν ἡμιφώνων, οὔτε μετὰ τῶν ἀφώνων.

Σκορπίος: Παρὰ τὸ σκεῶς ἕρπειν.

Σφόδρα: Βαρύνεται διατί; τὰ εἰς α λήγοντα ἐπιῤῥήματα βαρύνονται, χωρὶς τῶν εἰς θα καταλήξεως· οἷον, δηθὰ καὶ θαμά.

Σοφός: Παρὰ τὸ σόα φάσκειν.

Σκέλος: Παρὰ τὸ ἐσκλήκεναι, ἤγουν ἐξηράνθαι τὸ κατάξηρον μέρος.

Στέβει: Τὰ εἰς βω λήγοντα ῥήματα τὸ ε παραληγόμενα, ἢ μόνῳ, ἢ μετὰ συμφώνου, ἄχρι τοῦ παρατατικοῦ κλίνονται.

Σάλον: Παρὰ τὸ σείεσθαι τὴν ἅλα, ἤγουν ὀγκοῦσθαι.

Σειραῖς: Ἐκ τοῦ σεύω τὸ ὁρμῶ, κατὰ ἀντίφρασιν ἡ κωλυτική.

Σέσοστο: Διατί ἀπέβαλεν τὸ κατ' ἀρχὴν φωνῆεν τὸ ε; οἱ Ἴωνες καὶ οἱ ποιηταὶ συναρχομένως ποιοῦσι τοὺς παρῳχημένους τοῖς ἰδίοις ἐνεστῶσι διὰ τὸ συνάρχεσθαι ταῖς μετοχαῖς.

Σκυθρωπός: Παρὰ τὸ σκυθικοὺς ὦπας ἔχειν, ἤγουν ὀργίλους.

Σκάνδαλον: Παρὰ τὸ σκάζω, ὃ σημαίνει τὸ χωλαίνω.

Στρουθίον: Τὸ θι ι διατί; τὰ ἀπὸ τῶν εἰς ος ἀρσενικῶν δισυλλάβων μακρᾷ παραληγομένων φύσει, ἢ θεσει, διὰ τοῦ ιον γινόμενα οὐδέτερα μονογενῆ, διὰ τοῦ ι γράφεται· οἷον, στρουθὸς, στρουθίον· χρυσὸς, χρύσιον· σταυρὸς, σταυρίον.

[f] Cod. ἄσιμον.

Στίμμι: Διατί τὸ στίμμι θηλυκῶς λεγόμενον; οἷον, ἡ στίμμι τῆς στίμμεως[g]· Ἴων[h] Ὀμφάλῃ·

καὶ τὰν μέλαιναν[i] στίμμιν ὀμματογράφον·

καὶ ἀποροῦσι τινὲς λέγοντες διατί ταῦτα βάρβαρα ὄντα, καὶ μὴ ὄντα Ἑλληνικὰ κλίνονται, τὰ δὲ ὀνόματα τῶν στοιχείων εἰρήκαμεν μὴ κλίνεσθαι ὡς βάρβαρα, ἤγουν ὡς βαρβάρων εὑρήματα; δεῖ οὖν εἰπεῖν, ὅτι οὐ διὰ τοῦτο μόνον εἰρήκαμεν τὰ ὀνόματα τῶν στοιχείων μὴ κλίνεσθαι, ἀλλὰ καὶ δι' ἄλλας διαφόρους αἰτίας· * * * Πάλιν ἀποροῦσι τινὲς λέγοντες ὅτι διατί, ὥσπερ τὸ Ξέρξης βάρβαρον ὄνομα ὄν, ὅμοιον γενόμενον τῷ Χρύσῃ καὶ Πέρσῃ, ὁμοίως αὐτοῖς ἐκλίθη· Ξέρξου γὰρ, ὡς Χρύσου καὶ Πέρσου· τὸν αὐτὸν τρόπον καὶ ταῦτα, φημὶ δὴ τὸ πέπερι καὶ τὰ ὅμοια βάρβαρα ὄντα, καὶ ὅμοια τῷ μέλι, οὐκ ἐκλίθησαν διὰ τοῦ τος ὁμοίως αὐτῷ; ἔστιν οὖν εἰπεῖν ὅτι τῶν βαρβάρων καὶ ἐχόντων χαρακτῆρα Ἑλληνικὸν, τὰ μὲν ἀλόγως κλίνονται, τὰ δὲ οὔ· ἰδοὺ γὰρ Μέμφις καὶ Ταμιάθις, εἰσὶ δὲ ταῦτα ὀνόματα πόλεων Αἰγυπτίων· καὶ τὸ μὲν Μέμφις ἀναλόγως[k] κλίνεται· Μέμφιδος γὰρ, ὡς Θέτιδος· τὸ δὲ Ταμιάθις, Ταμιάθεως· ἰστέον δὲ ὅτι μονῆρες ἐστὶ τὸ μέλι· οὐκ ἔστιν γὰρ εἰς ι λῆγον οὐδέτερον διὰ τοῦ τος κλινόμενον, εἰ μὴ[l] τοῦτο μόνον, καὶ τὰ παρ' αὐτῷ σύνθετα[m].

Τιθασευμένος: Ἐκ τοῦ τιθῶ γράφεται διὰ τοῦ ι καὶ δύο σσ· ἐκ τοῦ τιθῶ γίνεται τιθάσσω· σημαίνει δὲ τὸ χειροηθῆ ποιῶ, καὶ κατὰ παραγωγὴν τιθασσεύω τὸ καταπραΰνω, καὶ τῇ χειρὶ ἐπιψῶ καὶ χειροηθῆ ποιῶ.

Ταριχεύς: Τὸ ὄνομα, ταριχεύω, τοῦτο ἐκ τοῦ τάριχος τὸ ρι ι· τὰ εἰς χος οὐ θέλει[n] τῇ ει διφθόγγῳ παραλήγεσθαι· σωτήριχος· Ἰάμβλιχος· δόλιχος τὸ ὄσπριον· οὕτως καὶ τάριχος· γίνεται δὲ παρὰ τὸ γάρον, γάριχον, καὶ τροπῇ τοῦ γ εἰς τ[o] γίνεται τάριχος· σημαίνει δὲ τὸ πεπασμένον λαρδήν.

[g] Cod. στίμεως. [h] Cod. ἤων. [i] Cod. μελαιαν.
[k] Cod. ἀναλόγος. [l] Cod. εἰμὶ.
[m] Quæ seq. in Cod. e sede exturbata in proprium locum revocavimus.
[n] Cod. θέλῃ. [o] Cod. χ.

Τραχύς: Ἀπὸ μεταφορᾶς τῆς ῥάχης· αὕτη γὰρ ὀστώδης καὶ τραχεῖα ἐστίν.

Τῆιδε: Ἀντὶ τοῦ ἐκεῖσε· καί ἐστιν ἐπίῤῥημα τοπικόν.

Τονθάζω: Σημαίνει τὸ ἐνπαίζω καὶ ἀπατῶ, ἐκ τοῦ θὼψ, ὃ σημαίνει τὸ κολυμα· τὸ θὼψ μέγα ἐκ τῆς χρήσεως·

μισῶ παρ' ἐχθρῶν θῶπας εὐειδεῖς λόγῳ·

ἐκ τούτου γίνεται ῥῆμα θωπάζω, καὶ ὑπερβιβασμῷ τοῦ ψιλοῦ καὶ τοῦ θ εἰς τὸ α γίνεται τονθάζω· θωπάζω, ὁ παρατατικὸς ἐθώπαζον.

Τονθορύζω: Ὡς ἡ χρῆσις,

γυναικῶν τινῶν γραΐδων ὑποκοθωνιζομένων καὶ ὑποτονθορυζόντων·

καὶ Αἰσχύλος,

ἐτονθόρυζε[p] ταῦρος ὡς[q] νεοσφαγής.

γίνεται δὲ παρὰ τὸ θρόος, ὃ σημαίνει τὸν τάραχον καὶ τὸν θόρυβον, κατὰ παραγωγὴν ῥῆμα θρούζω, καὶ ἐν ὑπερθέσει θωρύζω, καὶ κατὰ ἀναδιπλασιασμὸν τονθωρύζω.

Τετρυχωμένος: Μετοχή· τρυχόω, τρυχῶ γ' συζυγίας τῶν περισπωμένων· τοῦτο ἐκ τοῦ τρύχω βαρυτόνου· τοῦτο ἐκ τοῦ τρῶ τὸ καταπονῶ· τρῶ οὖν τρύω κατὰ παραγωγὴν, καὶ πλεονασμῷ τοῦ χ τρύχω, καὶ τρυχῶ, καὶ τετρυχωμένος ὁ καταπεπονημένος, ἐξ οὗ ἔχει καὶ τὸ χω μέγα.

Τελώνης, Τελώνου: Τὸ λω μέγα· τὰ μέσα δύο ἀμεταβόλων, ἢ μέσα δύο συμφώνων, ἢ μέσα ψιλοῦ καὶ ἀμεταβόλου, διὰ τοῦ ω μεγάλου γράφεται, καὶ διὰ τοῦ ωνης καὶ ωλης.

Τρανός: Παρὰ τὸ στεῤῥὸς εἶναι· μακρὸν τὸ α· τὰ εἰς νος ὀξύτονα δισύλλαβα τὸ α παραληγόμενα ἐκτείνει αὐτό· τρανός· φανός· πανός· Ἀττικοὶ δὲ ἐνίοτε συστέλλουσι.

Ταμίας: Ὁ φύλαξ· κυρίως δὲ ὁ κελλάριος παρὰ τὸ τέμνω, ἔταμον, ταμίας· οἱονεὶ παρὰ τὸ ἀποτετμῆσθαι καὶ ἀποκεχωρῆσθαι καὶ ἀφορεῖσθαι αὐτῷ τὴν τοῦ οἴκου ἐξουσίαν, καὶ ὁ ποιητὴς φησίν.

Τυφλώττω: Τὸ φλω μέγα· τὰ διὰ τοῦ ωσσω ῥήματα, μὴ

[p] Cod. ἐτονθώρυζεν. [q] Cod. om. ὡς.

κατὰ διάλεκτον τρέποντα τὰ δύο σσ εἰς ττ, διὰ τὸ ὄσσω ἐκ τοῦ ὄπτω.

Τμηθείς: Ἐκ τοῦ τμῶ, ὅπερ ἀπὸ τοῦ τέμνω, ὁ β' ἀόριστος ἔταμον, ὁ β' μέλλων ταμῶ, καὶ κατὰ συγκοπὴν τμῶ.

Τέρας: Τὰ εἰς ας οὐδέτερον τὸ ε ψιλὸν παραλήγονται· οἷον, τέρας· δέρας· κέρας [r]· πέρας· γίνεται δὲ παρὰ τὸ εἴρω τὸ λέγω, ὁ μέλλων ἐρῶ, ἔρας, καὶ τέρας· διὰ γὰρ τῶν σημείων τῶν τεράτων ἔλεγον οἱ μαντεῖς τὰ μέλλοντα· ὅθεν καὶ γράφεται τὸ τε ψιλόν· διαφέρει τέρας καὶ σημεῖον· τέρας μὲν λέγεται τὸ παρὰ φύσιν γινόμενον πρᾶγμα· σημεῖον δὲ λέγεται τὸ παρὰ τὴν κοινὴν συνήθειαν λεγόμενον.

Τράχηλος: Τὰ διὰ τοῦ ηλος ὀνόματα ὑπὲρ δύο συλλαβὰς, εἴτε ὀξύτονα, εἴτε προπαροξύτονα, διὰ τοῦ η γράφεται· ὀξύτονα μὲν, οἷον, ὑψηλός [s]· χαμηλός· προπαροξύτονα δὲ, οἷον, κίβδηλος· κάμηλος· στρίβηλος· βέβηλος· σεσημείωται τὸ ὅμιλος· πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τὸ δειλὸς, τοῦτο γὰρ δισύλλαβόν ἐστιν.

Τρικυμία: Λέγεται ἡ σφοδροτάτη καὶ δεινοτάτη τῆς θαλάσσης ταραχή· γίνεται δὲ ἐκ τοῦ τρεῖς, ὃ σημαίνει τὸ πολὺ, καὶ τὸ κῦμα· τὸ τρις ι· τὸ γὰρ τρὶς συντιθέμενον μετά τινος ἑτέρας λέξεως ἀποβάλλει [t] τὸ ε ἐν τῇ συνθέσει· οἷον, τρισόλβιος· τρισμέγιστος· τρικυμία.

Τέμενος: Ἐκ τοῦ τέμνω, τέμνος, καὶ πλεονασμῷ τοῦ ε τέμενος, ὁ ἀποτετμημένος καὶ ἀποκεχωρισμένος τοῖς θεοῖς τόπος.

Ταῦρος: Παρὰ τὸ γαίω τὸ γαυριῶ, γαῦρος, καὶ ἐπεὶ ψιλὰ ψιλῶν προήγει, καὶ μέσα μέσων [u], τρέπεται τὸ γ εἰς τ, καὶ * * διατί βαρύνεται; τὰ εἰς ος ὀνόματα διφθόγγῳ παραληγόμενα βαρύνονται· οἷον, ταῦρος· Παῦλος· γαῦρος· δοῦλος· πλὴν τοῦ σταυρός.

Τράγος: Παρὰ τὸ τρώγω, ἔτραγον, τράγος, πολύφαγον γὰρ τὸ ζῶον.

r Cod. κρέας. s Cod. ὑψιλός. t Cod. ἀποβάλει.
u Cod. μέσον.

Τυφλός: *Σημαίνει τὴν στέρησιν τοῦ φωτός· τυφλὸς γὰρ κυρίως ὁ μετὰ τὸ γεννηθῆναι αὐτὸν τυφλωθείς· γίνεται δὲ παρὰ τὸ ἀπολελωκέναι τὸ φῶς· ἢ παρὰ τὸ τύπους ἔχειν ποτὲ τοῦ φωτός.*

Τύμπανον: *Ὥσπερ παρὰ τὸ τήκω, τήκανον, τήγανον, τὸ τῆκον τοὺς ἰχθύας, οὕτως καὶ τύπτω, τύπανον, καὶ τύμπανον.*

Τερπνός: *Παρὰ τὸ τέρπω, τερπὸς, καὶ πλεονασμῷ τοῦ ν τερπνός.*

Τροφή: *Παρὰ τὸ τρέφω τὸ πηγνύω.*

ἡμίσυ μὲν θρέψας λευκοῖο γάλακτος. (Od. I. 246.)

τρυφὴ δὲ παρὰ τὸ θρύπτω τὸ διακλῶ, ἡ διακλῶσα καὶ ἀφανίζουσα ἡμῶν τὸ σῶμα·

τριχθά τε καὶ τετραχθὰ διατρυφέν. (Il. Γ. 363.)

Τάλανα: *Παρὰ τὸ τάλας γίνεται τάλαντος· ὁ κανών· τὰ εἰς ας ὀνόματα περιττοσολλάβως κλινόμενα τριγενῆ διὰ τοῦ ντ κλίνονται· μέλας, μέλαντος· ἐξ οὗ καὶ μελάντερος· καὶ τάλας, τάλαντος· ἡ δὲ συνήθεια ἐπεκράτησεν διὰ τοῦ ν μόνου ἐκφέρειν.*

Παραδιαζευκτικὰ εἰσὶ τῶν μὴ μαχομένων, ὡς ὅταν εἴπῃς· ἢ εἰς τὸν φόρον ἀγοράσαι ἔχω "ἢ εἰς τὰς Σοφίας·" οἱ δὲ διαζευκτικοὶ τῶν μαχομένων, ὡς ὅταν εἴπῃς· "ἡμέρα ἐστὶν ἢ νύξ·" ὁ δὲ παραδιαζευκτικὸς λαμβάνεται καὶ ἀντὶ τοῦ καὶ συνδέσμου.

Τυμβοφάντης[x]· *Παρὰ τὸ τύμβος καὶ φαίνω.*

Τυμβώρυχος: *Τὸ ω μέγα διατί; ἀπὸ τοῦ ὀρύσσω γίνεται· τὰ γὰρ παρὰ τὸ ὀρύσσω διὰ τοῦ ω μεγάλου γράφεται.*

Τοξότης, Τοξότου: *Ὁ κανών· τὰ εἰς της ὀνόματα ῥηματικὰ, εἰ μὲν ἔχοιεν ἀπὸ κλίσεως τὸ τ, εἰς ου ἔχει τὴν γενικὴν, ὡς τοξότης, τοξότου· ὀρχίστης, ὀρχιστοῦ· εἰ δὲ ἀπὸ θέματος, εἰς ους ἔχει τὴν γενικὴν, ὡς τὸ Σωκράτους· Ἱπποκράτους.*

Τραπεζείτης: *Ὁ κύων δίφθογγος· Τραπεζίτης δὲ ὁ ἄνθρωπος.*

[x] Ap. Greg. Naz. II. p. 202. leg. *τυμβοφόντης.*

Τεταγών: Τάζω, ὁ β' ἀόριστος ἔταγον, καὶ ἡ μετοχὴ τεταγών.

Τίω: Σημαίνει γ'· τὸ τιμῶ, ἐξ οὗ καὶ ὁ ποιητής·

τίω δέ μιν καρὸς αἴσῃ· (Il. I. 378.)

τίω τὸ τιμωρῶ, ἐξ οὗ καὶ τὸ,

τίησαν Δαναοὶ ἐμὰ δάκρυα· (Il. A. 42.)

τίω τὸ ἀποδίδωμι, ἐξ οὗ καὶ τὸ,

δανείζεται ὁ ἁμαρτωλὸς, καὶ οὐκ ἀποτίσει.

Τείνω: Τὸ ταυρίζω· τὰ διὰ τοῦ εινω ῥήματα ὑπὲρ δύο συλλαβὰς διὰ τῆς ει διφθόγγου γράφεται, εἰ μὴ ἀπὸ δισυλλάβων συντεθῶσιν· πλὴν τοῦ τείνω τὸ ταυρίζω τὸ δέεται διὰ τοῦ ι· καὶ σημαίνει τὸ ἀποδίδωμι.

Τρυφή: Ἀπὸ τοῦ φύπτω ῥήματος, τοῦ διακλῶ καὶ διαμαλάσσω, φυφὴ καὶ τρυφή.

Τρόφιμος: Τὰ διὰ τοῦ ιμος παράγωγα διὰ τοῦ ι γράφεται· ἄνθιμος· κύδιμος· τρόφιμος.

Τάφος: Παρὰ τὸ θήπτω τὸ σήπω, θάπος, καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν, καὶ τοῦ ψιλοῦ εἰς δασὺ, γίνεται τάφος.

Τόλμη: Βαρύνεται· τὰ εἰς μη λήγοντα ἔχοντα κατὰ διάστασιν σύμφωνον, ὁπότε μὴ τὸ αὐτὸ σύμφωνον εἴη, βαρύνεται· τὸ δὲ γραμμὴ ὀξύνεται διότι τὸ αὐτὸ σύμφωνον παραλήγεται.

Τάλαινα: Τάλας, παρὰ τὸ τλῶ τὸ καρτερῶ.

Τριττοί: Τρισσός.

Τέτιξ, Τέττιγος: Ὁ κανών· τὰ εἰς ξ λήγοντα ὀνόματα ἔχοντα ῥῆμα ἀντιπαρακείμενον εἰς ζω διὰ τοῦ γ κλίνεται· ἅρπαξ, ἁρπάζω, ἅρπαγος· τέτιξ, τετίζω, τέτιγος· τὸ ιξ ι· τὰ εἰς ιξ ὀνόματα, μὴ λεγόμενα Δωρικῶς διὰ τοῦ α, διὰ τοῦ ι γράφονται· τὰ δὲ εἰς ηξ ὀνόματα παρὰ τὸ πλήσσω, ἢ πήσσω, ἢ τήκω, ἢ θήγω [y] συγκείμενα, διὰ τοῦ η γράφονται.

Τρὼς, Τρωός: Ὁ κανών· πᾶν ὄνομα μονοσύλλαβον εἰς σ λῆγον, εἰ μὲν ἔχει σύμφωνον τῆς τρίτης συζυγίας τῶν βαρυτόνων, διὰ καθαροῦ τοῦ ος κλίνεται· οἷον, Τρὼς, Τρωός· δμὼς, δμωός· εἰ δὲ μὴ, διὰ τοῦ τος· οἷον, χρὼς, χρωτός.

[y] Cod. θήκω.

Τρέχω: Ὁ μέλλων θρέξω· τρέφω, θρέψω· ἔχω, ἕξω· διατί οὐ συνάρχονται τῷ ἐνεστῶτι; ἐπειδὴ οὐδέποτε λέξις Ἑλληνικὴ ἀπὸ δύο δασέων ἀρχομένη εὕρηται ἐν χρήσει, τῆς ἑτέρας συλλαβῆς ἀπὸ δασέος ἀρχομένης· * * καὶ ἐπείδη τὸ ρ μετὰ τῶν ψιλῶν ψιλόν ἐστι, καὶ μετὰ τῶν δασέων, δασύ.

Τίς: Τὰ πυσματικὰ παραγωγὰς οὐκ ἔχει· τίς· σημαίνει ιδ΄· ἐρώτησιν, ὡς τὸ,

τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης;

καὶ,

τίς εἶ συ; ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς·

καὶ ἀπόφασιν, ὡς τὸ,

εἴτις αὐτὸ μάλιστα μάχεται·

ἤτοι οὐδείς.

καὶ,

τίς ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;

καὶ,

τίς ἐστιν ἄνθρωπος ὃς ζήσεται καὶ οὐχ ὄψεται θάνατον;

καὶ ἀόριστον, ὡς τὸ,

ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι·

καὶ,

ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἰερουσαλὴμ εἰς Ἰεριχῶ·

καὶ προδιορισμὸν, ὡς τὸ,

εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵ τινες οὐ μὴ γεύσονται θανάτου·

καὶ, ἀγανάκτησιν καὶ ἐπιτίμησιν, ὡς τὸ

τίς ἀνήγγειλεν ὅτι γυμνὸς εἶ;

καὶ,

τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ᾽ ἡμᾶς;

καὶ,

τίς ἐστιν ὁ κρύπτων με βουλήν·

εἰ δέ τις ἐρωτηματικὸν τοῦτο λάβοι ἄγνοιαν τοῦ θείου κατηγοήσειεν καὶ εὐτέλειαν, ὡς τὸ,

τίς εἰμὶ ἐγὼ Κύριε·

καὶ,

τίς ἐστιν ὁ οἶκος τοῦ πατρός μοῦ·

καὶ σπάνιον, ὡς τὸ,

τίς σοφὸς καὶ φυλάξει ταῦτα·

καὶ,

τίς ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν·

εἰ καὶ μὴ πάντες, ἀλλ' οὖν γε [z] *τινές· καὶ θαυμασμὸν, ὡς τὸ*

τίς ἐστιν οὗτος ὅτι καὶ οἱ ἄγγελοι ἐπακούουσιν αὐτό;

καὶ,

τίς ἐστιν οὗτος ὁ παραγενόμενος ἐξ 'Εδώμ;

καὶ ἐξ ἀμηχανίας εὐχὴν, ὡς τὸ

τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ καὶ τοὺς ὀφθαλμούς μου πηγὰς δακρύων;

Ταλαίπωρος: *'Εκ τοῦ τάλας καὶ τὸ πηρὸς, ὃ σημαίνει τὸν τυφλόν· ταλάπηρός τις ὢν καὶ ταλαίπωρος· τροπῇ τοῦ μακροῦ εἰς μακρὸν, καὶ πλεονασμῷ τοῦ ι.*

Τοσαῦτα: *Πτώσεως αἰτιατικῆς πληθυντικῆς τῶν οὐδετέρων· πῶς δέ ἐστιν ἡ εὐθεῖα τῶν ἑνικῶν; καὶ λέγομεν ὅτι εὐθεῖαν τῶν ἑνικῶν οὐκ ἔχει· πόθεν δὲ γίνεται; γέγονεν ἐκ τοῦ τόσα κατὰ παραγωγὴν τοσαῦτα, παραλήγουσαν ἔχον τὴν αυ δίφθογγον· κανὼν γάρ ἐστιν ὁ λέγων· ἡ πρὸ τέλους συλλαβὴ ἐπὶ ταύτης τῆς παραγωγῆς βούλεται τὸ υ ἔχειν προκειμένου φωνήεντος, ὁποῖον ὁρᾶται ἐν τῇ ληγούσῃ συλλαβῇ· ἔστιν οἱ 'μος* [a]*· τοῦτο ο ἔχει ἐν τῇ ληγούσῃ συλλαβῇ, τὸ τοιοῦτος παράγωγον ἕξει τὸ α προηγουμένου τοῦ υ· ὁμοίως ἔνθα, ἐνταῦθα· ἔνθεν, ἐνταῦθεν· τὸ αὐτὸ καὶ ἐπὶ ὀνομάτων· τόσος, τοσοῦτος· τόσοι, τοσοῦτοι· τόσαι, τοσαῦται· τόσα, τοσαῦτα· κατὰ γένη γὰρ καὶ ἀριθμὸν αἱ παραγωγαὶ γίνονται· τηλίκος, τηλικοῦτος, τηλίκα, τηλικαῦτα.*

Ὑψηγόρος: *'Εκ τοῦ ὕψος καὶ τὸ ἀγορῶ γίνεται ὑψαγόρος, ὁ τὰ ὑψηλὰ καὶ μεγάλα δημηγορῶν, καὶ τροπῇ ὑψηγόρως· λέγεται δὲ παροξυτόνως.*

Ὑφάντης: *Παροξυτόνως· ἐπειδὴ τὰ εἰς της ἀρσενικὰ ἔχοντα τὴν παραλήγουσαν εἰς ἀμετάβολον λήγουσαν παροξυτόνως· οἷον, Λαέρτης· ὑφάντης· σεσημείωται τὸ ποικιλτής.*

Ὑφορῶμαι: *Ἀντὶ τοῦ κρυπτῶς βλέπω.*

[z] Cod. *ἀλοῦν γε.*

[a] Sic Cod.

Ὑετός: Τὸ ε ψιλόν· τὰ διὰ τοῦ ετος ὀνόματα ὑπὲρ δύο συλλαβὰς ἅπαντα διὰ τοῦ ε ψιλοῦ γράφεται· οἷον, ἀετός * * * * πλὴν τῶν παρὰ τὸ χαίτη συγκειμένων· οἷον, εὔχαιτος, ὁ καλὴν χαίτην ἔχων.

Ὑψιστάριος: Αἵρεσίς ἐστιν αὕτη· ἄνθρωποι γάρ τινες αἱρετικοὶ οὔτε Πατέρα, οὔτε Υἱὸν ὡμολόγουν, ἀλλ' ἢ μόνον Ὕψιστον, διὸ καὶ Ὑψιστάριοι ἐκλήθησαν.

Ὕμνος: Παρὰ τὸ ὑμένεος ὁ ἐπιθαλάμιος ὕμνος, ὃ σημαίνει τὴν ἐπιθαλάμιον ᾠδήν· ἢ παρὰ τὸ ὑπομένω.

Ὕαλος: Ἡ εὐθεῖα ὕλις, κατὰ μεταπλασμὸν ἀπὸ τοῦ ὕλη· τὸ υ μακρὸν, καὶ τὸ ἴλυος· γίνεται δὲ παρὰ τὸ εἰλῶ τὸ συστρέφω.

Ὑπηρέτης: Ὄνομα ἐπίθετον, ἐκ τῆς ὑπὲρ προθέσεως καὶ τὸ αἴρω τὸ ἐπαίρω γίνεται ὑπαιρέτης, καὶ τροπῇ ὑπηρέτης, ὃ πρὸς τὸ αἴρειν ἐπιτήδειος.

Ὑπερέτελλεν: Σημαίνει δύο, τὸ ὑφερεφαίνετο, καὶ τὴν κακοπάθειαν.

Ὕστερος: Ἐκ τοῦ ὑπότερος.

Φιλαίτατος: Τὸ λαι δίφθογγος· τὰ γὰρ διὰ τοῦ αιτατος διὰ τῆς αι διφθόγγου γράφεται· πλησιαίτατος· γεραίτατος· φιλαίτατος.

Φρυκτωρία: Ἡ λαμπηδὼν, κυρίως ἡ ἐν τῷ πύργῳ· παρὰ οὖν τὸ πύργος καὶ τὸ οὐρῶ τὸ φυλάττω γίνεται πρυτουρία, καὶ τὴν ου εἰς ω, ὥσπερ βοῦν, βῶν,

νωμῆσαι βῶν ἀζαλέην[b]. (Il. H. 238.)

καὶ τοῦ ψιλοῦ εἰς δασὺ φρυκτωρία· ἡ ἐν πύργοις γινομένη λαμπηδὼν, ἥνπερ λέγουσι φανόν.

Φαῦλος: Σημαίνει ε΄· γίνεται παρὰ τὸ φαύω τὸ λάμπω, φαύσω, φαῦλος, ὁ φανερούμενος εἰς πάντα α ἐργάζεται.

Φορτικός: Ἐκ τοῦ φορτίς· τοῦτο ἐκ τοῦ φέρω φορτὶς καὶ ὑπερβιβασμῷ καὶ πλεονασμῷ τοῦ ν φροντίς.

Φοιτητής: Ὁ μαθήτης καὶ διδάσκαλος, ἐκ τοῦ φοιτῶ, φοι-

[b] Cod. ἀζελέην.

τήσω, τοῦτο παρὰ τὴν πρὸ πρόθεσιν καὶ τὸ εἶμι τὸ πορεύομαι, ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν ἰτὸς, καὶ μετὰ τῆς πρὸ προθέσεως προιτὸς, καὶ μετὰ τῆς προσιτός·

μόνοις προσιτὴν οἷς θεὸς κατηλάγη·

καὶ ἐξ αὐτοῦ ῥῆμα προϊτῶ, καὶ κατὰ συγκοπὴν προτῶ, καὶ ἐκβολῇ τοῦ ρ ποτῶ, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, καὶ πλεονασμῷ τοῦ ι φοιτῶ.

Φοινικόν: Τὸ μέλαν· γίνεται παρὰ τὸ φοινίσσω, ὃ σημαίνει τὸ βάπτω· τοῦτο παρὰ τὸ φοινὸν, ἐξ οὗ καὶ μετὰ τοῦ δα ἐπιτατικοῦ δαφοινὸν τὸ πάνυ μέλαν· τοῦτο παρὰ τὸ φόνος πλεονασμῷ τοῦ ι, καὶ καταβιβασμῷ τοῦ τόνου.

Φραγελλῶ: Γίνεται ἐκ τοῦ φράγελλιον· σημαίνει δὲ σηρὰν ἐκ σχοινίων πεπλεγμένην· γίνεται δὲ ἐκ τοῦ ἔθνους· Φράγελλοι γάρ τινες ἔθνος.

Φρενήρης: Ὁ φρόνιμος[c], παρὰ τὸ τὰς φρένας ἔχειν ἀραρυίας· ἐπὶ δὲ τοῦ ἐναντίου σημαίνει τὸν καλούμενον φρενίτην.

Φενακισθέντες: Ἀντὶ τοῦ ἀπατηθέντας· γίνεται δὲ παρὰ τὸ φενακή· φενακὴ δέ ἐστιν κόσμος γυναικεῖος· ἡ λεγομένη οὐρά· * * τὸ φε ψιλόν.

Φαρμακεία: Τὸ κει δίφθογγος· ἐκ τοῦ φαρμακεύω· τοῦτο ἐκ τοῦ φάρμακος· τοῦτο ἐκ τοῦ φέρειν τὸ ἄκος, τουτέστιν τὸ ἴαμα· φαρμακεία γὰρ λέγεται ἡ θεραπεία· φάρμακον καὶ δηλητήριον διαφέρει· ὅτι τὸ μὲν δηλητήριον λαμβάνεται ἐπὶ θανάτου· τὸ δὲ φάρμακον ἐπὶ ζωῆς.

Φίλος: Τὸ φι ι· ἐκ τοῦ φίλλω βαρυτόνου, ἐξ οὗ καὶ τὸ,

νῦν αὖ τέ με Ἀθηνᾶ·

ἐκεῖνο δὲ τὰ διὰ τοῦ ειλω ῥήματα δισύλλαβα διὰ δύο λλ ἐκφερόμενα διὰ τοῦ ι γράφεται· οἷον, ποικίλλω· ναυτίλλω· τίλλω τὸ ἀνασπῶ.

Φροντίς: Γίνεται παρὰ τὸ φόρτος, φορτὶς, καὶ ἐν ὑπερβιβασμῷ καὶ πλεονασμῷ τοῦ ν φροντίς· δίκην γὰρ φόρτου ἔγκειται ἡ φροντὶς ἐν τῇ ψυχῇ.

c Cod. φρόνημος.

Φέγγω: *Διὰ τοῦ ε ψιλοῦ· τὰ γὰρ εἰς ω ῥήματα μετ᾽ ἐπιπλοκῆς συμφώνου διὰ τοῦ ε ψιλοῦ γράφεται· ἕρδω· στέργω· ἕρπω· οὕτως καὶ φέγγω παρὰ τὸ φέγγειν, ἢ παρὰ τὸ φωνῶ.*

Φλυδούμενος: Τὸ *θέμα φλυδῶ, ἐκ τοῦ φλύω τὸ ἀναζέω·* Ὅμηρος,

ἀνὰ δ᾽ ἔφλυε καλὰ ῥέεθρα· (Il. Φ. 361.)

ἐκ τοῦ φλύω περισπώμενον ῥῆμα φλυῶ, πλεονασμῷ τοῦ δ φλυδῶ, καὶ φλυδούμενος α᾽ συζυγίας τῶν περισπωμένων.

Φώταυγος: Παρὰ *τὸ φῶς, φωτὸς, καὶ τὸ αὐγὴ, φώταυγος· τὰ γὰρ ἐκ τῶν εἰς α καὶ η θηλυκῶν εἰς ος γινόμενα ἀρσενικὰ ὀνόματα προπαροξύνονται· ὥρα, ἄωρος· φωνὴ, ἄφωνος.*

Φέρτερον: Ἐκ *τοῦ φέρω, καὶ βέλτερον ἐκ τοῦ βάλλω.*

Φυγαδεύω: Παρὰ *τὸ φυγὰς, φυγάδος· τοῦτο παρὰ τὸ ἔφυγον· τοῦτο παρὰ τὸ φεύγω· τοῦτο παρὰ τὸ φέβω τὸ φοβοῦμαι, ὅθεν καὶ φείδω· οἱ γὰρ Δωριεῖς τὸ β εἰς δ τρέπουσιν.*

Φλόξ: Τὰ *εἰς ωξ μονοσύλλαβα, εἴτε ἀρσενικοῦ, εἴτε θηλυκοῦ γένους ὦσιν, διὰ τοῦ ω μεγάλου γράφεται· οἷον, βῶξ· ῥώξ· πτώξ· πλὴν τοῦ φλόξ.*

Φόβος: Εἰς *πόσα διαιρεῖται; εἰς ϛ· εἰς ὄκνον, εἰς ἔκπληξιν, εἰς κατάπληξιν, εἰς αἰδῶ, εἰς αἰσχύνην, καὶ εἰς ἀγωνίαν· καὶ τί ἐστιν ὄκνος; φόβος μελλούσης ἐνεργείας· τί ἐστιν ἔκπληξις; φόβος ἐξ ἀσυνήθους φαντασίας γενόμενος· τί ἐστιν κατάπληξις; φόβος ἐκ μεγάλης φαντασίας γενόμενος· τί ἐστιν αἰδώς; φόβος ἐπὶ προσδοκείᾳ λόγων· τί ἐστιν αἰσχύνη; φόβος ἐπὶ αἰσχρῷ*[d] *πράγματι πεπραγμένος· τί ἐστιν ἀγωνία; φόβος διαπτωσέως, τουτέστιν ἀποτυχίας· φοβούμενοι γὰρ ἀποτυχεῖν τῆς πράξεως ἀγωνιοῦμεν.*

Φάτνη: Παρὰ *τὸ ἔφαγον φάγνη, καὶ φάτνη.*

Χεῖλος: Παρὰ *τὸ χέειν τὴν ἰλύν· ἢ παρὰ τὸ χέειν λόγους.*

Χλιδή: Ἡ *τροφή· τὸ χλι ι· τὰ γὰρ εἰς δη θηλυκὰ ἐνὶ*

d Cod. *ἐσχρῷ.*

φωνήεντι παραλήγονται· οἷον, κνίδη· Ἴδη· πέδη· οὕτως καὶ χλιδὴ, καὶ χλίδω βαρυτόνως, καὶ χλιδῶ δευτέρας συζυγίας τῶν περισπωμένων.

Χρυσέας Κίονας: Ἡ προκαταβαλλομένη παντὶ πράγματι λαμπρὰ ὑπόθεσις "χρυσέας κίονας" λέγεται κατὰ Πίνδαρον.

Χρῆμα: Παρὰ τὸ χρῶ, χρήσω, ὃ σημαίνει τὸ κτῶμαι, ἐξ οὗ καὶ ὁ μέσος ἀόριστος ἐχρησάμην, ἀντὶ τοῦ ἔλαβον, ἐκτησάμην.

Χαλινός: Τὸ λι ι' τὰ διὰ τοῦ ινος ὀνόματα ὀξύτονα, μὴ ὄντα παρώνυμα, διὰ βραχέως τοῦ ι γράφεται· οἷον, πυκινός· ἀληθινός· πλὴν τοῦ χαλινός· τοῦτο δὲ ὅτι ἐστὶν καὶ οὐδέτερον τὰ χαλινὰ, λεῖον· ὡς οὖν διάλλαξαν κατὰ ἄλλα, διήλλαξεν καὶ κατὰ τὸν χρόνον.

Χῆρα: Παρὰ τὸ χω τὸ χωρῶ, ὁ μέλλων χήσω, χῆρα, ἡ χωρητικὴ τῶν κακῶν· ἢ παρὰ χαρὰ κατὰ ἀντίφρασιν· ὥσπερ παρὰ τὸ ὅλος, ὃ σημαίνει τὸ ὁλόκληρος, ὀλίγος τὸ μικρὸν, καὶ παρὰ τὸ πλῶ τὸ πλησιάζω πλὴν ἐπίῤῥημα τάξεως, καὶ σημαίνει τὸ χωρὶς, οὕτως καὶ παρὰ τὸ χαρὰ, χῆρα, κατὰ ἀντίφρασιν.

Χλευασμόν: Ἐκ τοῦ χλευάζω· τοῦτο ἐκ τοῦ χλεύη, ὃ σημαίνει τὴν ἀπάτην, κλέπτω, κλέπτη, καὶ χλεύη, ὁ γὰρ χλευάζων τινὰ ὑποκλέπτη αὐτόν.

Χαίρω: Τὸ εὐφραίνω παρὰ τὸ χέω, καὶ κατὰ συγκοπὴν χῶ, καὶ ὥσπερ παρὰ τὸ σκῶ, σκαίρω, καὶ σπῶ, σπαίρω, οὕτως καὶ χῶ, χαίρω.

Χιτὼν, Χιτῶνος: Ὁ κανών· τὰ εἰς ων ἰαμβικὰ, ἔχοντα ἐν τῇ παραληγούσῃ τὸ ι, φυλάττει [e] τὸ ω καὶ ἐπὶ γενικῆς, ἐπὶ βαρυτόνων καὶ ὀξυτόνων· ἐπὶ βαρυτόνων μὲν, Σίμων, Σίμωνος· τρίβων, τρίβωνος· σημαίνει δὲ τὸ διδασκαλικὸν ἱμάτιον· ἐξ οὗ καὶ τρίβω· ἐπὶ ὀξυτόνων δέ· οἷον, Πιθὼν, Πιθῶνος, ὄνομα πόλεως· κιθὼν, κιθῶνος.

[e] Cod. φυλάττη.

Χίμαρος: Παρὰ τὸ χίμαιρα· τὸ χι ι, πρὸς ἀντιδιαστολὴν τοῦ ποταμοῦ τοῦ χειμῶνι ῥέοντος.

Χόρος: Ἐκ τοῦ χῶρος, ὃ σημαίνει τὸν τόπον, ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον· ἐκ τοῦ οὖν χῶρος, ὃ σημαίνει τὸν τόπον, κατὰ συστολὴν τοῦ ω εἰς ο, καὶ καταβιβάσει τοῦ τόνου, χορὸς ὁ λαὸς ὁ περιεχόμενος ὑπὸ τοῦ τόπου.

Χρεώστης: Τὸ ω μέγα· τὰ παρὰ τὸ χρέως γινόμενα ἅπαντα διὰ τοῦ ω μεγάλου γράφεται· χρεωφειλέτης· χρεωστῶ.

Χέρσος: Ἡ ξηρὰ, παρὰ τὸ κείρω τὸ κόπτω, ὁ μέλλων κερῶ, Αἰολικῶς κέρσω, καὶ ἐξ αὐτοῦ κέρσος καὶ χέρσος, ἡ κεκομμένη γῆ, καὶ ξηρὰ, καὶ ἄδενδρος.

Χέρνιψ, Χέρνιβος: Τὰ εἰς ψ λήγοντα ὑπὲρ δύο συλλαβὰς σύνθετα διὰ τοῦ π κλίνεται· εἰ μὴ ἔχουσι ῥῆμα εἰς βω, ὡς τὸ νίβω τὸ νίπτω· παιδοτρὶψ, τρίβω· χοιροθλὶψ, θλίβω.

Χόρτος: Παρὰ τὸ κείρω τὸ κόπτω.

Χῆρος: Παρὰ τὸ χαίρειν κατ' εὐφημίαν· ἢ παρὰ τὸ χεῖρον.

Χθόνιος: Πᾶν ὄνομα μονοσύλλαβον εἰς ἀμετάβολον λῆγον προσθέσει τοῦ ος κλίνεται, πλὴν τοῦ φρὴν, φρενὸς, καὶ χθὼν, χθονός.

Χειμὼν, Χειμῶνος: Ὁ κανών· τὰ εἰς μων ὀξύτονα τῇ ει διφθόγγῳ παραληγόμενα φυλάττουσι τὸ ω καὶ ἐπὶ γενικῆς· χειμὼν, χειμῶνος· λειμὼν, λειμῶνος.

Ψίξ: Παρὰ τὸ ψίχω τὸ ἐνβροματίζω.

Ψῆφος: Τὸ ψη η· ἐκ τοῦ ψῶ τὸ προσεγγίζω.

Ψαλτήριον: Ἐτυμολογεῖται παρὰ τὸ τὰ ψαλλόμενα τηρεῖν· τὸ τη η· παρὰ τὸ οὐρῶ τὸ φυλάττω· πλεονασμῷ τοῦ τ τουρῶ, καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν τηρῶ· τὸ ρι ι· τὰ διὰ τοῦ ιον οὐδέτερα τῇ ρι συλλαβῇ παραληγόμενα διὰ τοῦ ι γράφεται· οἷον, ποτήριον, παρὰ τὸ τὴν πόσιν τηρεῖν· θυσιαστήριον, παρὰ τὸ τὰς θυσίας τηρεῖν, ἤγουν φυλάττειν· θυμιατήριον· σωτήριον.

Ψιθυρισμός: Λέγεται ἡ λεπτολογία, ἐκ τοῦ ψιθυρίζω· τοῦτο παρὰ τὸ ψίθυρος· τοῦτο ἐκ τοῦ ψίω τὸ λεπτύνω, καὶ τοῦ θύρα· σημαίνει περιφραστικῶς τὰ χείλη.

Ψυχή: Τὸ ψυ μακρὸν, ὡς μιμησάμενον τὸ σημαινόμενον· γίνεται δὲ παρὰ τὸ θύω τὸ ὁρμῶ· ἢ παρὰ τὸ ψύχω τὸ ζωογονῶ· ἐτυμολογεῖται ψυχὴ φυσιοχή τις οὖσα, ἡ τὴν φύσιν συνέχουσα.

Ὠρίων: Τὸ ω μέγα τὸ πρῶτον· καί ἐστιν κατὰ τροπὴν τοῦ ου εἰς ω, ὡς βοῦν, βῶν, οὕτως οὐρίων, Ὠρίων· καὶ τοῦτο ἀπὸ ἱστορίας, καὶ φυλάττει τὸ ω ἐπὶ γενικῆς· συστέλλει γὰρ τὸ δίχρονον· Ὠρίων ἐστὶν ἡ εὐθεῖα τῶν ἑνικῶν· τὸ ὥριον καὶ γράφεται τὸ ρι ι, ἐκ τοῦ ωριος ἀρσενικοῦ· τοῦτο ἐκ τοῦ ὡρινὸς, ὥριος, κατὰ ἀποβολὴν τοῦ ν, καὶ ἀναπέμψει τοῦ τόνου, ὥσπερ ἑσπερινὸς, ἑσπέριος·

> ἑσπέριος δ' ἂν ἔπειτα λοεσσάμενος ποταμοῖο
> ἱδρῶτα ἀποψυχθεὶς προτὶ Ἴλιον ἀπονεοίμην· (Il. Φ. 560.)

χειμερινὸς, χειμέριος·

> ὅνπερ ἀέλλαι
> χειμέριαι εἰλέωσι· (Il. B. 293.)

οὕτως καὶ ὡρινὸς, ὥριος· ἡ δὲ ἀποβολὴ τοῦ ν ἀνεβίβασε τὸν τόνον· τὸ δὲ ὡρινὸς ἐκ τοῦ ωρα, ὃ σημαίνει τὸν καιρόν· τὸ ρι ι· τὰ εἰς νος ὀξύτονα ἐπὶ καιροῦ τιθέμενα διὰ τοῦ ι γράφεται· ἑσπερινός· μεσημβρινός· μετοπωρινός· τὸ δὲ Ὠρίων σημαίνει τὸν καρπὸν τὸν πρὸς καιροὺς ἐπιτηδείους γινόμενον.

Ὤρουσεν καὶ Ἐξώρουσεν: Ὁρούω τὸ ὁρμῶ· τὸ δὲ ὁρμῶ παρὰ ὄρω τὸ διεγείρω.

Ὤθω: Σημαίνει τρία· α' διὰ τοῦ ω μεγάλου, τὸ προώθω· διὰ τοῦ ο μικροῦ, τὸ ἐπιστροφὴν ποιοῦμαι·

> οὐδ' ὄθομαι κοτέοντος· (Il. A. 181.)

καὶ ἔτι διὰ τοῦ ο μικροῦ, ἐξ οὗ καὶ τὸ ὀθόνη.

Ὡραῖος: Παρὰ τὸ ὥρα, ὃ σημαίνει τὸ κάλλος.

Ὡρμίσθημεν· Παρὰ τὸ ὁρμίζω· τοῦτο ἐκ τοῦ ὅρμος· τοῦτο ἐκ τοῦ ὄρω τὸ διεγείρω.

ὨΙΑΝ: Παρὰ τὸ οἶς, ὃ σημαίνει τὸ πρόβατον, διαλύσει τοῦ ο καὶ ι ὄϊς, καὶ ἐπαυξήσει τοῦ ο εἰς ω, καὶ τὸ θηλυκὸν ᾦα, μένει δὲ τὸ ι· κλίνεται ᾦα, ᾤας· οἱ γὰρ παλαιοὶ εἰς τὰς ἀνακλάσεις τῶν ἱματίων αὐτῶν προβάτων δέρμα ἔβαλον· τὸ α μακρόν· τὰ γὰρ εἰς α θηλυκὰ παραληγόμενα τὸ ω ἐκτείνει τὸ α· ἑώα ἡ ἀνατολή· ὑπερῷα ὁ οὐρανίσκος· οὕτως οὖν καὶ ᾦα, σημαίνει δὲ τὴν ἀνάκλασιν τοῦ χιτῶνος.

ΕΚΛΟΓΑΙ ΔΙΑΦΟΡΩΝ ΛΕΞΕΩΝ

ΣΥΝΗΛΕΓΜΕΝΩΝ ΕΚ ΤΕ ΤΗΣ ΓΡΑΦΗΣ

ΚΑΙ

ΤΩΝ ΘΥΡΑΘΕΝ ΠΡΑΓΜΑΤΕΙΩΝ.

Ἄρκυς: Τὸ δίκτυον παρὰ τὸ ἕλκω τροπῇ τοῦ λ εἰς ρ· ἢ παρὰ τὸ ἀγρεύειν· ἢ παρὰ τὸ εἴργειν τὸ κωλύειν τοὺς ἰχθύς.

Αὐθάδης: Παρὰ τὸ ἑαυτῷ ἅδειν καὶ ἀρέσκειν, αὐτοάδης αὐτώδης, καὶ τροπῇ τοῦ ω εἰς α αὐθάδης· κλίνεται δὲ αὐθάδους, τῷ λόγῳ τῶν διὰ τοῦ ωδης· οἷον, ὀζώδης· ἔστιν δὲ αὐτοῦ ἡ κλητικὴ αὔθαδες, παραλόγως δὲ τὸ αὔθαδες.

Αἴττω: * * Ἀΐσσω, ἀΐττω, αἴττω.

Ἀλῴη: Πλεονασμός ἐστιν τοῦ η· ὡς δῷ δῷσι πλεονασμῷ τοῦ η δῴησιν.

Ἀμφοτέρηισι: Διαβατὸς ἐγένετο, ἀντὶ τοῦ ἀμφοτέρως.

Ἀλώπηξ: Πάθος τῆς κεφαλῆς· ἐπειδὴ τὸ ζῷον ἔνθα οὐρήσει οὐκ ἔτι ἀνίησι τὰς τρίχας· ἴσμεν δὲ ἐκεῖνο, ὅτι ἀρσενικοῦ καὶ θηλυκοῦ συνημμένων, κἂν πλεῖον εἶ τὸ θηλυκὸν, ἓν δὲ τὸ ἀρσενικὸν, τὸ ἄρσεν ἐπικρατεῖ.

Ἀδολεσχία: Ἡ συνεχὴς μελέτη, καὶ ὅσα πράττομεν παρὰ τὸν ὀρθὸν λογισμόν· οἷον, "ἐξαργυρίσαντες τὴν οὐσίαν," καρδία γὰρ τῆς ἀρετῆς ἐστὶν ἡ ἐλεημοσύνη.

Ἀλφάνουσιν: Εὑρίσκουσιν.

Αἰκάλλων: Κολακεύων.

Ἀνειμένον:

Τι χρῆμα πρεσβυτῶν γένος
καὶ δυσφύλακτον ὀξυθυμίας[a] ἄπο
ἄγαν προνωπὴς εἰς τὸ λοιδορεῖν[b] φέρει[c].

[a] Cod. ὀξοθυμίας. [b] Cod. λοιδωρεῖν. [c] Eur. Andr. 728.

ἌΝΑΛΤΟΝ: Ἀπλήρωτον.
ἈΝΤΙΝόοσθε: Συγκατατίθεσθε.

ΛΈΞΕΙΣ ΤΗ͂Σ ΓΡΑΜΜΑΤΙΚΗ͂Σ.

ΑἸΗΤΊΝΗ: Ἡ τοῦ Αἰήτου θυγάτηρ.
ἌΛΚΙΜΟΣ: Ὁ δυνατός.
ἌΒΥΔΟΣ: Ὄνομα πόλεως.
ἍΜΙΛΛΑ: Συστροφή.
ἈΜΎΜΩΝ: Ἄψογος, ἀγαθός.
ἈΜΩ͂: Συνάγω.
ἈΜΗΤΌΣ: Ὁ θερισμός.
ἉΝΔΆΝΩ: Ἀρέσκω, ἐξ οὗ τὸ ἥνδανε θυμῷ. (Il. A. 24.)
ἈΤΊΩ: Ἀτιμάζω, ἀπὸ τοῦ τίω τὸ τιμῶ, μετὰ τοῦ στερητικοῦ α ἀτίω.
ἈΝΔΡΕΙΆΣ: Στήλη ἀνδρός.
ἈΓΟΡΆ: Ἐκκλησία.
ἈΓΥΙΆ: Ἡ στενὴ ὁδὸς, ἡ ῥύμη.
ἌΓΚΥΡΑ: Ὄνομα πόλεως.
ἌΡΓΟΣ: Ἡ Πελοπόννησος.

ΛΈΞΕΙΣ ΤΟΥ͂ ΨΑΛΤΗ͂ΡΟΣ.

ἈΛΛΗΛΟΎΪΑ: Αἰνεῖται τὸν ὄντα, ἤτοι τὸν κύριον.
ἈΣΕΒΩ͂Ν: Τῶν[d] τὸν Θεὸν ἀγνοούντων.
ἈΝΤΙΛΉΠΤΩΡ: Ἀντιλαμβανόμενος.
ΑἾΝΟΣ: Ἔπαινος.
ἌΜΩΜΟΣ: Ἄμεμπτος.
ἈΛΑΛΑΓΜΌΣ: Ὕψωμα φωνῆς.
ἈΛΑΛΆΞΑΤΕ: Σημάνατε, κροτήσατε.
ἌΒΥΣΣΟΣ: Ὑδάτων πλῆθος ἀπέραντον.
ἈΔΟΛΕΣΧΊΑ: Μετεωρισμὸς, μέριμνα.
ἌΝΕΣ: Ἄφες, συγχώρησον.
ἈΝΑΨΎΧΩ: Ἀναπαύσομαι.

[d] Cod. τόν.

Ἀβάτωι : Ἀπορεύτῳ.
Ἀνοίσω : Ἀνάξω, ἀνενέγκω.
Ἄλσος : Σύσκιος τόπος.
Ἀπῶσω : Ἀπεβάλου.
Ἀπῆρεν : Ὥρμησεν.
Ἀπηνήνατο : Ἀπηρνήσατο, ἀπείπατο[e], οὐκ ἠθέλησεν.
Ἀλλοίωσις : Παρατροπὴ, μεταβολή.
Ἀπὸ Ὄρους Μικροῦ : Τῆς σαρκὸς τοῦ Κυρίου.
Ἀροῦσιν : Ἐπαροῦσιν, ὑψώσουσιν.
Ἀθῷον : Ἀναίτιον.
Ἄβυσσος : Ἡ θεωρία τῆς θείας γραφῆς.
Ἀνεβάλετο : Ὑπερέθετο, ἐχολώθη.
Ἀήρ : Ὁ οὐρανός.
Ἀντάμειψιν : Ἀνταπόδοσιν[f].
Ἀγαλλιάματι : Χαροποιῷ.
Ἀντιστηρίζει : Ἀντιλαμβάνεται.
Ἄρσεων : Βασταγμάτων, φορτίων.

ΛΕΞΕΙΣ ἘΚ ΤΗ͂Σ ἹΣΤΟΡΙΑΣ ΤΟΥ͂ ἉΓΙΟΥ ΝΙΚΗΦΟΡΟΥ.

Ἀπόμωτον : Ἀπηρνημένον.
Ἀκρεφνή : Καθαρόν.
Ἀσμενῶς : Περιχαρῶς.
Αἱμύλα : Ἀπατητικά.
Ἄλκιμοι : Ἰσχυροί.
Ἀμφιλαφῆ : Ἀμφοτέρωθεν δάση.
Ἄθεσμα : Ἄνομα, ἀπρεπῆ.
Ἀνήνασθαι : Ἀρνήσασθαι.
Ἄμφιον : Χιτόνα.
Ἀπειπόντες : Ἀπαρνησάμενοι.
Ἀνέπαφα : Ἀνεγχείρητα.
Ἀκροβολισάμενοι : Διὰ βελῶν μαχησάμενοι.
Αἰκισωμένων : Τιμωρηθησωμένων.
Ἀντικρύ : Ἐξ ἐναντίας.

[e] Cod. ἀπήπατο.   [f] ἀνταπόδωσιν.

Ἀδείας : Εὐκαιρίας, ἀφοβίας.
Ἄμυναν : Ἀποσόβησιν καὶ ἀποστροφήν.
Ἀνήρουν : Ἐφόνευον, ἐτραυμάτιζον, ἔπλητον.
Ἄστυ : Πόλιν.
Ἀστῶν : Πολιτῶν.
Αὐθημερόν[g] : Ἐν αὐτῇ τῇ ἡμέρᾳ.
Ἀπιδιάσας : Ἡσυχάσας.
Ἀνήρτισεν : Ἐκρέμασεν.
Ἀφικνεῖται : Σφάζειν.
Ἀφειδῶς : Ἀνηλεῶς.
Ἀπένοντο : Ἀπηρνήσαντο.
Ἀσέμνως : Ὑπερηφάνως.
Ἀπαίρουσιν : Ἀναχώρουσιν.
Ἀδείας : Ἀφοβίας, εὐκαιρίας.
Ἀποιχομένων : Τελευτώντων.
Ἀπώχοντο : Ἔφευγον.
Ἀπέθανεν : Ἀπῆλθεν ὅθεν ἦν.

Ἀχώρ : Παρὰ τὸ ἄχνη, ἀχνὼρ, καὶ ἀχώρ· σημαίνει δὲ τὸ πιτυρῶδες τῆς κεφαλῆς· κλίνεται δὲ ἀχῶρος, τὸ ω μέγα· τὰ γὰρ εἰς ωρ ὀξύτονα ἀρσενικὰ διὰ τοῦ ω κλίνεται· οἷον, ἰχὼρ, ἰχῶρος· τὸ ω μέγα ἀχὼρ, ἀχῶρος.

Αὐτάρ : Ποῖον ἐστὶν ἀναλογώτερον τὸ ἀτὰρ ἢ τὸ αὐτάρ; καὶ λέγομεν ὅτι τὸ αὐτὰρ κατὰ πλεονασμὸν γέγονεν· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὸ ἀτὰρ οὐ δύναται γένεσθαι ἐκ τοῦ αὐτάρ· λέγει γὰρ ὁ κανὼν, ὅτι παρεπόμενόν ἐστιν τῇ ἐκ τοῦ α συνεστώσῃ[h] διφθόγγῳ μετὰ τὴν ἀπόστασιν τοῦ ὑποτακτικοῦ φωνήεντος ἐκτείνειν τὸ α, οὐχ ἑτέρου λόγου ἐπικρατοῦντος· οἷον, κλαίω, κλάω· αἰετὸς, ἀετός· κεφάλαιον, κεφαλάδιον, καὶ προσκεφαλάδιον· εἴπερ οὖν ὁ αὐτὰρ σύνδεσμος ἔνδειαν εἶχε τοῦ υ ἐν τῷ ἀτὰρ, παρείπετο ἂν καὶ τοῦ α ἡ ἔκτασις.

Ἀγήνωρ : Γίνεται παρὰ τὸ ἄγαν καὶ τὸ ἀνὴρ, ἀγάνηρ· καὶ ἀποροῦσι τινὲς λέγοντες ὅτι τροπὴν ἔπαθεν ἢ ἴδιον σχηματι-

[g] Cod. αὐθημερῶν. [h] Cod. συνεστώσει.

σμόν· τὸ γὰρ ἀνὴρ κατ' ἀρχὴν συντιθέμενον τρέπει τὸ α εἰς η, καὶ τὸ η εἰς ω· οἷον, ἀγήνωρ· Εὐήνωρ· Ἀντήνωρ· Ὑπήνωρ· τὸ δὲ Νικάνωρ κατὰ τροπὴν Βοιωτικὴν γέγονεν τοῦ η εἰς α· σημαίνει δὲ τὸ ἀγήνωρ τρία· τὸν αὐθάδη·

Ἀτρείδη[i] μὴ ὄφελες λίσσεσθαι ἀμύμονα[k] Πηλείωνα
μύρια δῶρα διδούς· ὁ δ' ἀγήνωρ ἐστὶ καὶ ἄλλος· (Il. I. 695.)

καὶ τὸν ἀνδρεῖον,

ἡμῖν δ' αὖτ' ἐπεπίθετο θυμὸς ἀγήνωρ· (Od. B. 103.)

τουτέστιν ἡ ἀνδρεῖα ψυχή· ἔστι δὲ καὶ ὄνομα κύριον.

Βίβλος: Τὸ γεγραμμένον· Βύβλος τὸ ἄγραφον,

καὶ ἐπὶ τῶν βιβλίων σου πάντες γραφήσονται.

Βαττολογία: Ἡ πολυλογία, ἀπὸ Βάττου τινὸς Ἕλληνος μακροὺς καὶ πολυστίχους ὕμνους ποιήσαντος εἰς τὰ εἴδωλα ταυτολογίαν ἔχοντας.

Βοσόρ: Τὸ ἱμάτιον ἑβραιστὶ[l] ἀπὸ κόκκου βαπτόν.

Βούλιμος[m]: Ἡ μεγάλη λιμός.

Βαλβίς: Ἡ ἀφετηρία.

Βόθυνος: Ἡ τάφρος.

Βύνη: Ὄνομα κύριον.

Βριθοσύνη: Βαρεῖα.

Βδελύσσεται[n]: Ἀποστρέφεται.

Βεβηλοῦνται: Μιαίνονται.

Βολίδες: Ἀκόντια, λογχάρια.

Βύουσης: Καλυπτούσης.

Βροῦχος: Ἡ κάμπη.

Βεελφεγώρ: Βὴλ ἐν τόπῳ τοῦ φεγὼρ, τοῦ εἰδώλου.

Βουλή: Γνώμη.

Βασάν: Αἰσχύνη.

Βρέτας: Ἴνδαλμα.

Βόσπορον: Ὄνομα τόπου· δύο γὰρ Βόσποροι, ὅ τε τῶν Βυζαντίων, ὅ τε τῶν Κιμμερίων.

Γέρας[o]: Τιμή.

[i] Cod. ἀτρίδη. [k] Cod. ἀμύμωνα. [l] Cod. ἑβραϊστή. [m] In marg. ΓΡΑΜΜΑΤΙΚΗΣ. [n] In marg. ΨΑΛΤ. [o] In marg. ΨΑΛΤ.

ΓΛΥΦΆΛΟΥ : Γεγλυμένου.

ΓΝΌΦΟΣ : Σκότος βαθύ.

ΓΗΓΕΝΕΙ͂Σ : Οἱ τὰ γηϊνὰ φρονοῦντες.

ΓΑΙΩ͂Ν : Γηϊνῶν πραγμάτων.

ΓΛΥΠΤΌΝ : Εἴδωλον.

ΔΙΩ͂ΚΕΤΟ : Εἰς τὴν φαιδρὰν οἰκείαν, ἀντὶ τοῦ μετῴκιστο. ἀπὸ τοῦ διοικίζω "διῳκισμέναι κατὰ κώμας[p]."

ΔΡΥ͂Σ : Δρυνὸς καὶ γρυνὸς ὁ κορμός.

ΔΥΣΘΥΜΊΑ : Ῥαθυμία.

ΔΆΜΑΡ : Γυνή.

ΔΕΣΠΌΣΥΝΟΣ[q] : Δεσπότης.

ΔΡΥΜΌΣ : Ὕλη.

ΔΥΣΚΛΈΑ : Ἄδοξον.

ΔΆΟΣ : Ἡ μάθησις.

ΔΙΕΞΌΔΟΥΣ ὙΔΆΤΩΝ[r] : Διεκβολὰς, ἐκχύσεις.

ΔΙΑΡΡΉΞΟΜΕΝ : Διακόψωμεν.

ΔΡΆΞΑΣΘΑΙ ΠΑΙΔΕΊΑΣ : Ἐπιλάβεσθαι ἐπιστήμης.

ΔΌΞΑ : Τιμὴ, ἔπαινος, ὑπόληψις.

ΔΕΔΙΏΣ : Φοβούμενος.

ΔΙΕΣΚΈΔΑΣΑΝ : Διεσκόρπισαν.

ΔΙΑΒΟΥΛΊΩΝ : Δυσκέψεων.

ΔΙΑΦΘΟΡΆΝ : Θάνατον.

ΔΡΥΜΩ͂Ι : Ὕλῃ.

ΔΈΡΡΙΝ : Δέρμα, σκηνήν.

ΔΙΈΣΤΕΙΛΕΝ : Διεχώρισεν.

ΔΙΕΛΈΣΘΑΙ : Διαμερίζειν.

ΔΙΚΑΙΏΜΑΤΑ : Προστάγματα.

ΔΙΆΨΑΛΜΑ : Μουσικοῦ μέλους, ἢ ῥυθμοῦ, τροπῆς γενομένης ἢ διανοίας καὶ δυνάμεως λόγου ἐναλλαγή.

ΔΟΜΗΣΆΜΕΝΟΙ : Κατασκευάσαντες.

ΔΙΑΒΙΒΆΣΑΣ : Διαπεράσας.

ΔΙΈΘΕΕΝ[s] : Διέτρεχεν.

[p] Cod. κόμας. [q] In marg. ΓΡΑΜ. [r] In Marg. ΨΑΛΤ.
[s] In Marg. ΝΙΚ.

Δεδογμένα : Δόξαντα.

Διώλοντο : Διεφθείροντο, ἀπώλοντο.

Διαπορθμεύεται : Διαπερᾷ.

Ἐτέλειον Ἐπαράς[t] : Παρέλκει ἢ ἐπιφυλαχθήσεται· ὁ τόνος ὁ αὐτὸς, ὡς ἐπιβουκόλος ἀνὴρ, καὶ ἐπιμυγερός· εἶτα τὸ ἑξῆς ἐπετέλουν, οὐκ ἀναστραφήσεται πάλιν, καθότι αἱ συλλαβαὶ ἀναλειμμέναι οὐκ ἀναστραφήσονται, σεσημειωμένου ἐκείνου·

στεῦτο γὰρ Ἡφαιστοῖο[u] παρ' οἰσέμεν ἔντεα καλά.

Ἐκέχρωστο : Ἀπὸ τοῦ χρωΐζω.

Ἐλάδιον : Τὸ ὑποκοριστικὸν τῆς ἐλαίας.

Ἐνώδιον : Τὸ ἐνώτιον· παρὰ τὸ οἰδεῖν τὰ ὦτα.

Ἐγκύκλια : Τὰ εἰς πᾶσαν τὴν γῆν, ἢ τὰ ἐπὶ τῆς γῆς.

Ἑά : Τὰ ἀγαθὰ, ἢ τὰ ἴδια.

Ἔνατσμά τι μικρόν : Ἀποσπινθήρισμα πυρὸς, ὅτι μὴ πῦρ ἐπὶ πῦρ ὀχετεύειν φησί τις τῶν σοφῶν· τὸ σῶμα βαρύνεται αἱ ἀκρότητες καὶ κατὰ τοῦτο ἰσότητες· ὡς γὰρ διὰ πλήθους τροφῶν τὸ σῶμα βαρύνεται, οὕτως καὶ δι' ὑπερβάλλουσαν ἔνδειαν.

Εἴ μ' ἐκφοβοῖεν μανιάσιν λυσσήμασιν[x] : Σχῆμα ἐστὶν περὶ τὴν φράσιν ταῖς μανίαις λυσσήμασιν, ὡς τὸ φοίνικι λίνῳ, ἀρσενικὸν μετὰ οὐδετέρου.

Ἑσμός : Ἡ καθέδρα ἀπὸ τοῦ ἧσθαι· καὶ τὰ ἕδνα δὲ τὰ ὑπὸ τῆς νύμφης διδόμενα ὑπὸ τῶν μνηστήρων.

Ἔχις : Ὅτι μόνον τῶν ὄφεων μὴ ᾠοφορῆσαν παρ' ἑαυτῷ κατέχει, καὶ ζωοφορῆσαν τίκτει οὐκ ᾠὸν ἀλλὰ τέλεια τὰ ἑρπετά· ἀπὸ τοῦ κατέχειν οὖν.

Ἑκαμήδη : Ἡ Νέτορος παλλακίς[y]· ἀπὸ τοῦ ἕκαθεν βουλεύεσθαι.

Ἐξάδιος : Ὁ ἐξοχὴν ἐν τῷ διώκειν ἔχων.

Εὐθηνία : Εὔθαλω, εὐθαλία, εὐθηλία καὶ εὐθηνία· ὡς καὶ γαλαθηνὸν ἀντὶ τοῦ γαλατηλόν.

Ἐχθρός : Ὁ ἀπὸ τῆς φιλίας ἐκτεθωρηκώς.

[t] Il. I. 456 quæ seq. desumpta sunt e Schol. Ven. A.

[u] Cod. ἡφεστοῖο. [x] Eur. Or. 270. [y] Cod παλακὶς.

Ἐνύω: Ἀπὸ τοῦ ἐνίειν τοῖς πολεμίοις μάχην, ὅθεν ὑσμίνη.

Ἐναίρειν: Τὸ φονεύειν· παρὰ τὸ Ἄρης ἢ ὁ σίδηρος, ὁ πολεμικὸς θεός.

Ἐπιδαίσιον οἶκον[y]: Τὸ ἐπίκοινον καὶ ἀμέριστον ὅτ' ἂν μερίσῃ κληρονόμος· κυρίως δὲ ὁ ἐξ ἴσου καταλειφθεὶς δύο τισίν.

Ἔρανος: Ἀπὸ τοῦ ἐρᾶν καὶ ἐπιθυμεῖν συνεισφέρειν τι καὶ εὐωχεῖσθαι.

Εἰλαπίνη: Ἡ εὐωχία, ἀπὸ τοῦ δαψιλῶς δαπανᾶν· λάπτειν γὰρ τὸ ἐκκενοῦν ἀφ' οὗ καὶ λάπαθος κενωτικὴ βοτάνη, καὶ λαγόνες· ἐκκενωμέναι γάρ εἰσιν, ὡς πλευραὶ ἀπὸ τοῦ πληροῦσθαι.

Ἐνιαυτός: Ὅτι ἐν ἑαυτῷ πάντα ἔχει.

Εὐωχία: Ἀπὸ τοῦ εὖ ἔχειν ὅτε ἐπὶ τὰς τῶν θεῶν παραγίνονται τιμάς· βέλτιον δὲ ἀπὸ τοῦ τὴν τροφὴν ἡμῖν εὖ ἔχειν· καὶ γὰρ ἡ παροχὴ ἐπὶ πολλῇ ὀχῇ πρόκειται.

Εἰλείθυια: Ἀπὸ τοῦ κατὰ τὴν εἴλησιν τῆς πορείας θύειν· οἱ δὲ εἰς ἔλευσιν ἄγουσα τὰ βρέφη.

Εἰλιγγιᾶν: Τὸ σκοτοδινιᾶν, ἀπὸ τοῦ δοκεῖν εἰλεῖσθαι πάντα· ἔστι δὲ καὶ ἔλλειψις ψυχῆς.

Εὔβοια: Εὔους καὶ καλοὺς βοῦς ἔχει· Ὅμηρος δὲ Ἄβαντας αὐτοὺς καλεῖ, ὡς καὶ τοὺς ἐξ Ἰλίου οὐκ Ἰλιεῖς ἀλλὰ Τρῶας, καὶ τοὺς ἐκ Ζελείας Τρῶας.

Ἔλαφος: Ὅτι ἕλκει ὄφεις, τάχα δὲ ὅτι ἐλαφρά ἐστιν.

Ἐλέφας: Ἐλέβας· ἐπιβαίνει γὰρ ἐπὶ τῇ θηλείᾳ, οὐκ ἐπὶ γῆς διὰ τὸν ὄγκον, ἀλλ' ἐπὶ ὕδατος ἑλώδους ὅπου νέμονται, καὶ γίνεται εἰκότως κοῦφος.

Ἐλεοὶ καὶ Εἰλεοί: Οἱ ἀπὸ τῆς πιμελῆς ἠλαιωμένοι, ἢ ἐξ ἐλείων κατασκευασμένοι.

Ἕλκος: Ἀπὸ τοῦ μετὰ τὴν τρῶσιν ἕλκεσθαι τὸ σῶμα.

Ἔτης: Πολίτης· ἀπὸ τοῦ ἔθους ἢ τῆς συνηθείας, ὅθεν καὶ ἑταῖρος παρῆκται, ὡς ὁ ξένος ὁ ἔκτος τῆς ἑνότητος ὤν· ἢ παρὰ τὸ ἔξω εἶναι ἁπλῶς.

[y] Callim. Hymn. in Jov. v. 59.

Ἐά: Τὰ ἀγαθὰ τὰ εἰς ἄνεσιν καὶ διάχυσιν ἡμᾶς φέροντα.

Ἐξίτηλον: Τὸ ἐκβεβηκὸς καὶ ἀλλοῖον, ὅθεν καὶ ὤκειλεν[z].

Ἐλπίς: Ἡ τὰ ἐλλείποντα προσαναπληροῦσα τῇ προσδοκίᾳ· ἢ ἕλκω ἑλκὶς ἡ εἰς ὑπόνοιαν ἀγαθὴν ἡμᾶς ἑλκοῦσα.

Ἐνεός: Ἀπὸ τοῦ τὴν ἰωὴν παρ' ἑαυτῷ ἔχειν.

Εἵρερος: Ἡ δουλεία ἡ εἵργουσα, ἢ ἠέρια ποιοῦσα ἐργάζεσθαι.

Ἐλεύθερος: Παρὰ τὸ ἐλεύθεσθαι ὅπου ἐρᾷ.

Ἐπιεικής: Οἱ μὲν ἐπεοικῶς, οἱ δὲ παρὰ τὸ εἴκειν καὶ ὑποχωρεῖν.

Ἐνάργεια: Ἡ λόγων λευκότης καὶ φανότης.

Ἐνέργεια: Ἡ ἐν τοῖς λόγοις ταχύτης.

Ἑλίκη: Ἡ ἄρκτος ἀπὸ τοῦ ἐν αὐτῇ εἱλεῖσθαι· περιγράφει γὰρ τὸν ἀρκτικὸν κύκλον.

Εὐφρόνη: Παρὰ τὸ εὖ φρονεῖν· οἱ μὲν διὰ τὸ δοκεῖν τοὺς ἐν αὐτῇ βουλευομένους κατορθοῦν· οἱ δὲ ἀπὸ τῆς εὐφροσύνης, ἐπεὶ ἐν αὐτῇ καὶ εὐωχίαι γίνονται.

Ἐρσήεις: Ὁ ἐν ὕδατι πεπνιγμένος· παρὰ τὸ εἵργειν καὶ ἐπέχειν τὴν ἀναπνοήν.

Ἑλένη: Διὰ τὸ ἑλεῖν τοὺς νέους.

Ἔρως: Ἔλως παρὰ τὸ ἑλεῖν.

Ἔφεσος: Ἀπὸ τοῦ τὰ τόξα μὴ ἔχειν ἐκεῖ ὑπὲρ τοῦ μὴ βάλλειν τινά· ἱκεσία γὰρ ἡ θεὸς στεφάνους δὲ διὰ θαλῶν· διὰ θαλῶν γὰρ τὰς ἱκεσίας ποιούμεθα· ὅθεν οὐδὲ πρόβατον αὐτῇ θύουσιν διὰ τὸ τὰς ἱκέτας μαλλοὺς προσφέρειν.

Ἑκάτη: Ἡ Ἄρτεμις ἡ ἕκαθεν τῶν ἀποθνησκόντων.

Εὐμαῖος: Ἀπὸ τῆς εὐνοίας· ὁ Ὀδυσσέως δοῦλος, ἀπὸ τῆς πρὸς τὸν δεσπότην εὐμενείας.

Ἐρεμβοί: Οἱ Ἄραβες οὐ καλῶς· εἰσὶ γὰρ ἀπὸ Ἀρβαίου τινὸς βασιλέως Βαβυλῶνος.

Ἐσθλά: Τὰ ἀγαθὰ εἰς ἃ θέλει τις ἐλθεῖν.

[z] In marg. ἐπὶ τῶν βαπτῶν διὰ τὸ ἐξιέναι τὸ τεθηλός.

Ἑρμῖνες: Παρὰ τὸ ἐνείρεσθαι τοῖς ποσίν· οἱ κλινόποδες, οἱονεὶ, ἑρματάονες.

Ἑρμῆς: Ἕρμα τοῦ βίου ἢ εὕρημα· ἀπὸ τῆς ἑρμηνείας γὰρ εὑρέθη ἡ οἴκησις· ὁ κοινὸς κοινὴ εὕρεσις.

Ἔπος: Κυρίως μὲν τὸ ἑξάμετρον, ἀπὸ τοῦ ἔπειν, ὅ ἐστι λέγειν.

Ἑπταπέκτιος: Ἡ τὴν βαθεῖαν ἔχουσα κόμην, ἢ ὁμοίως ἑπτάκις δυναμένη καρῆναι· πέξαι γὰρ τὸ κεῖραι ἢ κτενίσαι ὁμοίως.

Ἑκάλη: Ἡ πρὸς ἑαυτὴν καλοῦσα· ἔσχε γὰρ τέγος ἀκλήϊστον.

Ἑκάβη: Ἡ ἑκάθεν βεβηκυῖα πρὸς τὸν ἄνδρα· ὁ γὰρ πατὴρ Δυμὰς ὁ Φρὺξ εἰς Ἴλιον Πριάμῳ ἐξέδοτο· ὅθεν Πρίαμος Φρυξὶ συμμαχεῖ·

ἤδη καὶ Φρυγίην εἰσήλυθον ἀμπελόεσσαν. (Il. Γ. 184.)

Ἔρα: Ἡ γῆ παρὰ τὸ ἐρίσαι· ὅ ἐστι περὶ ἴσης φιλονεικῆσαι.

Ἔγκατα: Ἀπὸ τοῦ ἐγκατέχειν τὴν τροφήν· λέγει δὲ τὸ ἧπαρ καὶ τὸν σπλῆνα καὶ τὰ περὶ τὸν πνεύμονα.

Ἔντερον δὲ καὶ οὐκ ἔγκατον· τὸ δὲ ἔντερον οἱονεὶ ἕτερον καὶ οὐχ ὅμοιον, ἢ παρὰ τὸ ἐντὸς ῥέειν.

Ἐριχθόνιος: Τῇ Ἀθηνᾷ ἐρᾷ τὸν θρόνον τοῦ Ἡφαίστου καὶ Ἀθήνας, ὅθεν ἡ γονὴ προσεχύθη· οἱ δὲ ὅτι ἔρρηξε τὴν γῆν ὁ θορός· ἔστιν δὲ τῆς γῆς παῖς.

Ἐπικύλλωμα: Τὸ μετὰ τὴν τῶν ἄρτων διάρτησιν περισσευόμενον· κόλιξ γὰρ ὁ ἄρτος, ὅθεν καὶ τὸ ἰατρικὸν κολλούριον ἀπὸ τοῦ κολοβόν· καλοῦσι δὲ κυλληστὴν τὸν Αἰγύπτιον.

Ἐξωμίς: Ἀττικὸν τὸ λεξείδιον· σημαίνει δὲ καὶ χιτῶνα ἐλευθέριον οὐκ ἐπισκεπάζοντα τοὺς βραχίονας.

Ἑλλωτία: Ἑορτὴ Ἀθηναίων ἀπὸ τοῦ ἕλους Μαραθῶνος[a].

Εἰρεσιώνη: Κλάδος εὐμεγέθης ἔχων ἐξ ἐρείων στεμμάτων κολλύρας καὶ ἰσχάδας, καὶ τῶν καθαρῶν ἀκροδρύων ὁρμάθους· καλεῖται δὲ εἰρεσιώνη ἢ ἀπὸ τοῦ τοῖς κλάδοις ἐνῆρχθαι

[a] Cod. μαραθόνος.

τὰ ἐξ αὐτῆς κρεμάμενα, ἢ ἀπὸ τῶν στεμμάτων· στέμματα γὰρ τὰ ἔρια λέγουσιν Ἀττικοί· Λυκοῦργος δέ φησιν· ἀφορίας γενομένης Ἀθηναίοις τοῦτο ἐπιτελεσθῆναι κατὰ χρησμόν· οἷον, ἱκετηρίας.

Ἔνθους: Συναλειφὴ τοῦ ἔνθεος.

Ἐριούνιος: Ὁ μεγαλοφελής· ὀνῆσαι γὰρ τὸ ὀφελῆσαι.

Ἐπικυνεῖν: Τὸ τῷ στόματι φιλεῖν, λέγειν δὲ ἐπικυλλεῖν κάλλιον· κύλοι γὰρ τὰ βλέφαρα· ὅθεν καὶ κυλοιδιᾶν λέγεται τὸ ἐπῆρθαι τοὺς ὀφθαλμοὺς, καὶ,

Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο· (Od. Ω. 1)

ἐπειδὴ ἡ ῥάβδος αὐτοῦ ἀνδρὸς ὄμματα θέλγει· ἀπὸ τοῦ ἐπιπολὺ καθεύδοντας οἰδεῖν τοὺς ὀφθαλμούς· Φαίακες δὲ θύουσιν αὐτὸ ἑσπέραν οὐ διὰ τὸ καθεύδειν, ὡς Ὅμηρός φησιν,

ὅτε μνησαίατο[b] κοίτου· (Od. H. 138.)

οὐχ ὅτι ὀνειροπόμπος ἦν, ἀλλ' ὅτι ὕπνου ἡδέος αἴτιος· ὅθεν ἐπισκύνιον τὸν περὶ τὸν κύκλον τόπον καλοῦσιν.

Ἔθνους: Ἀπὸ τοῦ ἔθους.

Ἐρίπναι: Οἱ συριγγώδεις καὶ παρατεταμένοι τόποι δι' ὧν μεγάλαι πνοαὶ εἰσδύουσιν.

Ἐλεδώνη: Εἶδος πολύποδος· ἔστιν δὲ τὸ λ περισσόν· καλεῖται γὰρ ἐλεδώνη ἀπὸ τοῦ ἑαυτὴν ἔδειν, ὅ ἐστιν ἐσθίειν· Ἡσίοδος·

ὀστανόστεος ὃν πόδα τένθει. (Opp. II. 142.)

Ἔψια: Τὰ ἀπὸ λόγων παίγνια, καὶ φιλέψιος ὁ φιλοπαίγμων ἐστίν· ψιλούμενον δὲ φιλολόγος ἐστίν.

Εὐλαβής: Ὁ εὖ τῶν πραγμάτων ἐπιλαμβανόμενος, ὁ μὴ προχείρως τι ποιῶν, ἢ καὶ ὁ εἰς λαβεῖν ἐπιτήδειος[c]· οἷον, εὐλαβὴς μάχαιρα, καὶ εὐλαβὴς λίθος· τινὲς δὲ τὸν δειλόν· καὶ δειλὸς μὲν ὁ κακὸς καὶ δείλεός ἐστιν· εὐλαβὴς δὲ ὁ εὖ προσλαμβάνων τὸ μέλλον· δύσληπτος δὲ ὁ δυσχερὴς ἀπὸ τῶν χειρῶν.

Εὐμενής: Ὁ εὖ τῇ ψυχῇ διακείμενος, ὅπερ ἐστὶν μένος· ἀντίκειται δὲ αὐτὸ τὸ δυσμενής.

[b] Cod. μνησέατο. [c] Cod. ἐπιτίδειος.

ἝΡΚΟΣ: Περίφραγμα, τεῖχος· ἀπὸ τοῦ ἐρύκειν ἢ εἴργειν.

ἘΡΥΣΊΒΗΝ: Καλοῦσιν τὴν τοῖς στάχυσιν ἐπανθοῦσαν ὀχρίαν καὶ συγκονοῦσαν τοὺς καρποὺς, ἥν τινες αἰθαλίδα καλοῦσιν.

ἜΣΧΑΤΟΣ: Παρὰ τὴν σχέσιν καὶ κώλυσιν ὁ τελευταῖος· καὶ ὕστατος δὲ, ὑπ' αὐτόν ἐστιν ἡ στάσις, καὶ οὐκ ἔτι προβῆναι δύναται· ἀλλὰ ὕστερος ἠστήκει τοῦ πρώτου μὴ ἐόντος· καὶ τὸ πύματος ἀπὸ τοῦ πεπαῦσθαι· καὶ τέρμιον τὸ ἔσχατον, ἀπὸ τοῦ τέρματος, ὅ ἐστιν τέλους.

ἙΚΑΤΌΜΒΟΙΟΣ: Οἱ μὲν πολύτιμος, καὶ μεγαλότιμος· οἱ δὲ περισσῶς τιμία ἀπὸ τῆς βοός· πρὸς γὰρ τὰς βοῦς τὰ ὤνια, ὡς ἐπὶ λέβητος·

> τὸν δὲ δυωδεκάβοιον ἐνὶ σφίσι τῖον Ἀχαιοί·
> ἀνδρὶ δὲ νικηθέντι γυναῖκ' ἐς μέσσον ἔθηκαν·
> πόλλ' ἐπίστατο ἔργα, τῖον δέ τε τεσσαράβοιον· (Il. Ψ. 703.)

καὶ

> ἑκατόμβοι ἐννεαβοίων. (Il. Z. 236.)

ἜΠΙΑΤΝ[d]: Τὸν ἐπιξενούμενον.

ΕἸΣΙΔΌΝΤΕΣ: Εἰσβλέψαντες.

ἘΣΘΟΜΈΝΗ: Νοήσασα.

ἜΣΘΗΜΑ: Ἱμάτιον.

ἘΝΔΊΚΩΣ: Ἀξίως, δικαίως.

ἘΤΑΙΝΊΩΣΕΝ: Ἐστεφάνωσεν.

ΕὐΝΟΜΟΎΜΕΝΟΣ: Δικαιοπραγῶν.

ἘΦΆΜΙΛΟΣ: Συνόμιλος.

ἘΠΈΠΥΣΤΟ: Ἤκουσεν.

ἘΠΕΎΣΤΩ: Ἤκουσεν.

ἘΚΣΤΌΝ: Φορητὸν, εὔκολον.

ἘΝΣΚΊΨΑΣΑ: Ἐνπαγῆσα καὶ ἐνπελασθῆσα.

ἘΤΕΚΝΏΣΑΝΤΟ: Ἐτεκνωποιήσαντο.

ἘΓΓΥΉΣΑΤΟ: Ἠραβονίσατο.

ἘΛΗΐΖΟΝΤΟ: Ἐπόρθουν, ἔφθειρον.

K

[d] In marg. NI.

Ἐκβραΐζον : Ἐπόρθουν.
Ἐπικρατέστερα : Ἰσχυρότερα.
Ἐτέκταινον : Κατεσκεύαζον.
Ἐξαπινέως : Ἐξέφνης.
Ἐκιζομένους : Τιμωρημένους.
Ἐπιφορωτάτοις : Ἐπιτηδίοις.
Ἐπιών : Ἐπιδραμών.
Ἐκθετεῖσθαι : Ἐκρίπτεσθαι.
Εἰαίρωσαι : Ἄλλως ἄλλα.
Εὐδόκιμον : Εὐτυχῆ.
Εἶργουν : Ἐκώλυον.
Ἐδυσφήμει : Ἐκακοφήμει.
Ἐπέσκηψεν : Ἐπεισῆλθεν.
Ἐκλιπαροῦν : Παρακαλοῦν.
Ἐν εἱρκτῆι : Ἐν φυλακῇ.
Εὐθαρσέστερον : Ἄφοβον.
Ἐπαμυνόμενος : Βοηθῶν.
Ἐσκεταγώγουν : Ἐδωρυφόρουν.
Ἐσίνετο : Ἐφθείρετο.
Ἐκδηματούμενοι : Φοβούμενοι.
Ἐρυμνότατον : Μελανώτατον.
Εὐζώνους : Ἀνδρείους.
Ἐξάψαντες : Δείσαντες.
Εἰς Συμβάσεις : Εἰς συμφωνίας.
Ἐλαπίνη : Ἡ εὐωχία[e].
Ἔχις : Ἡ ἔχιδνα.
Εὐκνήμις : Εὔοπλος.
Ἐθάς : Φιλὸς, συνήθης.
Ἐλικράς : Ὁ ἐλαίῳ κεκραμένος.
Ἐφύρα : Ὄνομα πόλεως.
Ἐνέδρα : Ἔγκρυμα.
Εὐφυᾶ : Εὐφυῆ.
Εὐκλεᾶ : Ἔνδοξον.

e Cod. εὐοχία.

Εἶμαι: *Διατί προσέλαβεν ὁ ἔμε παρακείμενος τὸ ι καὶ γέγονεν εἶμαι· ἐξ οὗ τὸ παρειμένος καὶ ἀνειμένος; διότι πᾶς παρακείμενος ἀπὸ φωνήεντος ἀρχόμενος τῶν κατὰ ἀναδίπλωσιν Ἀττικὴν ἀπὸ μακρᾶς ἄρχεται.*

Ἔσχαλεν[g]: Ἠρεῦνα, ἀνεζήτει.

Ἐλτμήνατο: Κατενεμήσατο· διέφθειρεν.

Ἐν Γήρει Πίονι: Ἐν πλήθει ἐτῶν.

Ἐτδόκησεν: Ἠθέλησεν, ἐπεθύμησεν.

Ἐρημικῶι: Ἐν ἐρήμοις διάγοντι.

Ἐμπιπλῶντα: Κορεννῦντα, ἐμπλήσκοντα.

Ἐκτίλαι σε: Ἐκκόψαι σε, ἐκριζῶσαι σε.

Ἐξώσθησαν: Ἐξεβλήθησαν, ἀπώσθησαν.

Ἐλεγμοὺς: Ἐλέγχους.

Ἐχόμενοι: Ἐγγίζοντες.

Ἐκσπάσας: Ἐξελκύσας.

Ἐμπυρίζεται: Ἐκκαίεται.

Ἐκλέλοιπεν: Ἐξέλειπεν.

Ἐξόδους Πρωΐας καὶ Ἑσπέρας: Τὴν ἐκ πατρὸς καὶ μητρός.

Ἐξάρξατε: Κατάρξασθε, καταλέξατε.

Ἐνωτίσαι: Ἄκουσον.

Ἐτάζων: Ἐρευνῶν.

Ἐπαίδευσεν: Ἐκόλασεν.

Ἐρεῖτε: Λέγετε.

Ἐπιλήσῃ: Ἐπιλανθάνῃ.

Ἐστερεώθησαν: Ἴσχυσαν.

Ἐνεκότουν: Ὠργίζοντο, ἐμήνιζον, ἐμνησικάκουν.

Ἐπιτίμησις: Ἀποστροφή.

Ἐρωδιοῦ: Ὀρνέου τινός.

Ἐτελέσθησαν: Ἐκοινώνησαν, μετέσχον τῆς μιαρότητος.

Ἐκόπασεν: Ἐπαύσατο.

Ἐδάφει: Τῇ γῇ.

g In marg. ΨΑΛ.

Ἐυτρώθη: Ἐσκληρύνθη, ἐπορώθη.
Ἐμπαγῆναι: Περιπαρῆναι, ἐνεισελθεῖν.
Ἐπεστήριξας: Ἐπέθηκας, ἐσκέπασας.
Ἔξωσον: Ἄπωσον, ἔκβαλε.
Ἐν ταῖς Κλίτεσι: Ἐν ταῖς γωνίαις.
Ἐνπαιγμάτων: Βασταγμάτων.
Ἐνέδρα: Ἔγκρυμα δολερόν.
Ἐπολτώρησας: Πολὺ ἐφύλαξας, ἐμετεώρισας.
Ἐν Βουλῇ Δικαίων: Ἐν ὁδῷ δικαίων.
Ἐβδελύχθησαν: Ἐξουδενώθησαν, ἀπεῤῥίφησαν.
Εὐρίζων Ἀγαλλιάματι: Καλὰς ῥίζας ἔχοντι, χαροποιοῦ.
Ἐξίλασμα: Ἀντίλυτρον, ἀνακλητικόν.
Εὐπαθοῦντες: Ὑγιαίνοντες, εὐφραινόμενοι.
Ἐκμυκτηριεῖ: Βδελύσσεται.
Ἐφρύαξαν: Ὑπερηφανεύσαντο, ἐμεγαλοφρόνησαν.
Ἐκκαυθῇ: Ἐκκακῇ, ἐξαφθῇ.
Ἐπήγαγε Λίβα: Ἐπήγαγεν ἄνεμον.
Ἐνοδῷ: Ἐν ἔργοις, ἐν πίστει, ἐν βίῳ.
Ἑρμονιεὶμ: Ὁδὸς πεφωτισμένη.
Ἕως τῶν Πατέρων: Ἕως τοῦ τέλους.
Ἐν Εὐσήμῳ Ἡμέρᾳ: Ἐν ἐπισήμῳ, ἐν καλῇ, ἐν ἀγαθῇ.
Ἐξάπινα: Πάντοθεν, κυκλόθεν, ἐξαίφνης.
Εἴδωλον: Τί Διαφέρει; Διαφέρει.

Εἴδωλον	Βρέτας Ξόανον	Στήλη Εἰκὼν Ἀνδριὰς	Κνώδαλον
Εἴδωλον λέγεται τὸ εἶδος ἔχοντα δούλου· οἷον, ἱπποκένταυρος καὶ τὰ ὅμοια.	Βρέτας καὶ Ξόανον λέγεται τὸ ὅμοιον βροτοῖς ἔχον εἶδος, ἤγουν τὸ ἐλατομημένον· οἷον, οἱ ἄρχοντες ὅτε ἴδον λίθον εὐμορφότατον, ἔλεγον αὐτὸ εἶναι τοῦ Θεοῦ, καὶ ἐτίμουν αὐτὸ ὡς τοῦ Θεοῦ· οἱ δὲ μετέπειτα ἔλεγον αὐτὸ Θεόν.	Στήλη, Εἰκὼν, καὶ Ἀνδριὰς, ὁ ἐκ χαλκοῦ καὶ ἀργύρου καὶ χρυσοῦ χυτὸς ἢ ἐλατός.	Κνώδαλα δὲ λέγονται τὰ τῶν σμικροτάτων ζώων εἴδη, ἅπερ εἰσὶν μῦες, κώνωπες, καὶ τὰ ὅμοια.

Ἕωλα : Λέγεται τὰ εἰς τὴν ἐπερχομένην ἠῶ λειπόμενα.

Εὐρυάγυια[h]: Τὸ ὑψιλὸν καὶ ι προσγεγραμμένον· τὰ διὰ τοῦ υια θηλυκὰ ὀνόματα ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα τὸ ι θέλει παραλήγεσθαι· οἷον, ἴδυια· ἅρπυια· Εἰλήθυια[i]· αἴθυια· ἄγυια· Ὀρείθυια[k]· ἀμάθυια· σεσημείωται τὸ μητρυιὰ τὸ ι παραληγόμενον καὶ ὀξυνόμενον.

Ἐννέα : Διατί σεσημείωται κατὰ πνεῦμα; εἰ ἐδασύνετο τὸ ἐννέα, λόγῳ ἀνεφίκτῳ καθίστατο· αἱ γὰρ ἁπλαῖ φωναὶ τῶν ἀριθμῶν θεματικαὶ οὖσαι οὐ παραδέχονται ἑτέρου ἀριθμοῦ ἔννοιαν, καθότι αἱ σύνθετοι τὸ τοιοῦτον ἀναδέχονται· ὡς ἔχει ἐν μὲν ἁπλαῖς φωναῖς, τὸ δύο, τρεῖς, τέσσαρες, πέντε, ἑπτά· ἐν δὲ συνθέτοις, τὸ δυόδεκα, τρισκαίδεκα, καὶ τὰ ἑξῆς· εἴπερ οὖν ὁ ἐννέα ἀριθμὸς ἐδασύνετο, καὶ ἔννοιαν εἶχε κατ' ἀρχὴν συνθέσεως ὁμοίως τὸ ἕνδεκα.

Ἐκεῖνος : Ποῖον ἐστὶν ἀναλογώτερον τὸ ἐκεῖνος ἢ τὸ κεῖνος; καὶ κατά τι μὲν τὸ ἐκεῖνος ἀναλογώτερόν ἐστιν, κατά τι δὲ τὸ κεῖνος· καθὸ μέν ἐστιν λέγειν ὅτι οὐδέποτε πρωτότυπος ἀντωνυμία ἀπαθὴς οὖσα ὑπερβαίνει τὴν δισυλλαβίαν· οἷον, ἐγώ· αὐτός· οὗτος· τὸ κεῖνος ἐστὶν ἀναλογώτερον· πρόσκειται πρωτότυπος, διὰ τὸ νωΐτερος· σφωΐτερος· παράγωγοι γὰρ αὗται αἱ ἀντωνυμίαι· ἀπαθὲς εἴπομεν, διὰ τὸ οὑτοσί· ἐκεινοσί· καθὸ δὲ αἱ μονοπρόσωποι ἀντωνυμίαι ἀπὸ φωνήεντος θέλουσιν ἄρχεσθαι· οἷον, οὗτος· αὐτός· ὧδε ἀναλογότερον πέρ ἐστι τὸ ἐκεῖνος, ἵνα ἀπὸ φωνήεντος ἄρξηται.

Ζώνη : Ὅτι ζωννύμεθα τὸν ζωτικὸν ἡμῶν τόπον.

Ζέφυρος : Ὁ τὸ ζῆν ἡμῖν φέρων· κατὰ γὰρ τὴν τοῦ ἔαρος ὥραν·

ζεφυρίη πνείουσα τὰ μὲν φύει, ἄλλα δὲ πέσσει· (Od. Η. 119.)

τινὲς δὲ, ὁ μεγάλως φυσῶν· παρὰ τὸ ζα ἐπιτατικόν.

Ζῆλος : Παρὰ τὸ ζῆν· φλέγεται γὰρ ἐν τῷ βάθει.

Ζωή : Παρὰ τὸ ζέω, ὡς

ὡς τοῦ καλὰ ῥέεθρα πυρὶ φλέγετο, ζέε δ' ὕδωρ· (Il. Φ. 365.)

[h] Cod. εὐριάγυια. [i] Cod. ἰλάθυια. [k] Cod. ὀρίθυια.

καὶ ζωρότερον, τὸ ἀκρατότερον· οἷον, ἔτι ζῶν, καὶ μηδέπω ὑπὸ τοῦ πλήθους τοῦ ὕδατος νενεκρωμένος.

Ζυγός: Ἐτυμώτερον δυγός· ὅτι δύο ἄγει πλάστιγγας, ὅταν τὰ στάθμια σημαίνωσιν· καὶ τὸ ζεῦγος ὅτι δύο ἄγει.

Ζεύς: Ὁ αἰθὴρ, παρὰ τὸ ζέω, ὅτι ἔμπυρός ἐστιν καὶ ζῇ.

ἀλλ' αἰθὴρ τίκτει σε κόρα,
Ζεὺς ὃς ἀνθρώποισιν ὀνομάζεται[l].

Ζάγρευς: Ὁ μεγάλως ἀγρεύων·

ὦ πότνια γῆ Ζάγρευ τε θεῶν πανυπέρτατε[m]·

τινὲς δὲ τὸν Ζαγρέα υἱὸν Ἅδου φασὶν, ὡς Αἰσχύλος·

Ζαγρεῖ τε νῦν μοι καὶ πολυξένῳ χαίρειν·

ἐν δὲ Αἰγυπτίοις[n]· "τὸν Πλούτωνα" καλεῖ "τὸν ἀγραῖον, "τὸν πολυξενώτατον, τὸν Δία τῶν κεκμηκότων."

Ζημία: Ἡ τὰ πρὸς τὸ ζεῖν μειοῦσα.

Ζωπυρεῖν: Τὸ ἄνθρακας φυσᾶν·

ὦ τρισκατάρατε ζωπύρει τοὺς ἄνθρακας.

Ζυγομαχεῖν: Οἱ μὲν ἀπὸ τῶν πωλούντων σταθμῷ, καὶ διαφέρομεν πρὸς τοὺς ὠνουμένους, οἱ δὲ ἀπὸ τῶν ὑπὸ ζυγὸν ἢ βοῶν, ἢ ἵππων, ἢ τινῶν τοιούτων μὴ συμφώνως ἐργαζομένων· Ἡσίοδος·

βοε δ' ἐννέ' ἀγήρω·
ἄρσενε κεκτῆσθαι, τῶν γὰρ σθένος οὐκ ἀλαπαδνόν.
οὐκ ἂν τώ γ' ἐρίσαντες ἐν αὔλακι κάμμεν ἄροτρον
ἄξειαν, τὸ δ' ἔργον ἐτώσιον αὖθι λίποιεν. (Opp. II. 54.)

Ἡρόδοτος δὲ ἀπὸ τῶν ἐν τοῖς πλοίοις[o] ζυγῶν δύνασθαι φησὶν εἶναι τὴν λέξιν, ὅταν περὶ τῆς καθέδρας διαφέρονται οἱ ἔρεται.

Ζωάς: Ζωαὶ πολλαί.

Ζυγόν: Τὴν βαρύτητα τοῦ νόμου.

Ἤισαν: Ἀντὶ τοῦ ᾔδεισαν ῥήσω οὐδ' ἀφιγμένον τὸ πάμπαν ᾖσαν.

[l] Hoc fragm. ex Euripide esse desumptum nos docet Auct. Epimerism. Hom. p. 182. [m] Cf. Etym. Gud. p. 227, 38.
[n] Etym. Gud. loc. cit. Αἰγύπτι. [o] Cod. πλύοις.

Ἤιομεν ὡς Ἐκέλευσας: (Od. K. 251.) Ἀπὸ τοῦ εἴω, εἴομεν, καὶ Δωρικῶς τροπῇ τῆς ει διφθόγγου εἰς η, εἴομεν.

Ἤικαλλον: Ἐθώπευον, ἀπὸ τοῦ αἰκάλλω.

Ἤικει: Ἀντὶ τοῦ ἐῴκει· "ὄρτυξ καλεῖτο, καὶ γὰρ ᾔκει "ὄρτυγι·" ἀπὸ τοῦ εἴκω τὸ ὁμοιῶ.

Ἡ Τοῦ Σαββάτου Ὁδός: Διὰ χιλίων πήχεων ἦν· καὶ μᾶλλον ἡ κιβωτὸς τοσοῦτον διάστημα προελάμβανεν τὴν παρεμβολὴν, καὶ ἀπὸ τοσούτου διαστήματος ἐσκήνουν, ὃ ἐξῆν τοῖς προσκυνοῦσι τὴν σκήνην ἐν σαββάτῳ βαδίζειν.

Ἠνορέη: Ἀνὴρ, ἀνέρος, ἀνέρι γὰρ ἐγίνετο· ἀλλὰ τὸ ἀνὴρ ὄνομα ἐν τῇ συνθέσει τὸ η εἰς ω καὶ τὸ α εἰς η μεταβάλλει· οἷον, Εὐήνωρ· Ἀντήνωρ· παράγωγον ὄνομα κτητικῷ τύπῳ εὐηνορεῖα καὶ ἀποβολῇ τοῦ υ, εὐηνορέα, καὶ πάλιν ἀποβολῇ τοῦ ευ μορίου ἠνορέη, ὡς τὸ

δόμοις ἐνὶ ποιητοῖσιν.

Ἠώς: Ἤτοι ὅτι ἡ νὺξ ἕως ταύτης, ἢ ἀπὸ τοῦ διεξιέναι τοὺς ἀνθρώπους· Σαπφώ[p]·

ὅσα φαινωλης ἐσκέδασ' αὔως·

ἕωλα δὲ λέγεται τὰ εἰς τὴν ἐπερχομένην ἠῶ λειπόμενα.

Ἠλακάτη: Ἢ ὅτι τοῦτο ἠλάκατον τῆς θεοῦ τὸ βέλος.

Ἥρωες: Ἢ ἀπὸ τῆς ἔρας, τῆς γῆς, ὅτι ἐκ πηλοῦ γεγόνασιν· ἢ ἔρωες παρὰ τὸ εἴρειν καὶ λέγειν· ἢ ἀπὸ τῆς Ἥρας.

Ἥφαιστος: Ἀπὸ τοῦ ἅπτειν· ἢ ἀπὸ τοῦ φάους.

Ἥλιος. Ἀπὸ τοῦ ἀολλίζεσθαι[q] ἡμᾶς ἐν ταῖς ἡμέραις· καὶ ἐν Ἀθήναις Ἡλίαια δικαστήριον· ἀπὸ τῆς συναγωγῆς τῶν ἀνθρώπων· οἱ δὲ ἀπὸ τοῦ ἐλεαίνειν, ὅ ἐστιν θερμαίνειν καὶ διαχεῖν· τινὲς δὲ ἀπὸ τῆς γινομένης προσπνεύσεως ἐκ τοῦ στόματος ἡμῶν πρὸς τοὺς δακτύλους, ὃ λέγεται αὔειν καὶ ἄζειν κατὰ μίμησιν τῆς φωνῆς τῆς θάλψεως τοῦ στόματος· Ἐμπεδοκλῆς·

ἀλλ' ὁ μὲν ἀλεῖσθαι μέγαν οὐρανὸν ἀμφιπολεῖ·

λέγεται δὲ καὶ ἠλέκτωρ, ὅτι ἄληκτός ἐστιν καὶ ἀκάμας·

[p] Cod σαφώ.

[q] In marg. συνάγεσθαι, ἢ ἐκ τοῦ ἡλιάζεσθαι ὕπεθρον γὰρ ἦν.

ἀλλ' ἡ ἐτυμότης ὅλης σφαιρική ἐστιν· ἔνιοι δὲ ἀπὸ τῆς λαμπρότητος τοῦ ἠλέκτρου, ἢ ἀλέκτωρ, ὅτι ἐγείρει ἡμᾶς ἐκ τοῦ ὕπνου.

Ἥρα: Ἀναγραμματιζομένη ἀήρ·

Ζεὺς γὰρ Ἥρη τε φερέσβιος.

Ἠρεμία: Ἀτρεμία τις οὖσα καὶ ἡσυχία κατὰ στέρησιν τοῦ τρέμειν· οἱονεὶ, ἀκινησία.

Ἠλύσιον: Ἐπλάσατο τοῦτο Ὅμηρος· μήποτε ἀθανατοποιόν ἐστιν ἐπεὶ οὐ διαλύει τὰ σώματα· ἐγὼ δὲ ὑπονοῶ, ὅτι οὐκ οἶδεν Ὅμηρος ἀθανατοποιὸν, ἀλλ' ἡδεῖαν παρέχων ζωήν· οὕτως γὰρ λέγει ὁ Πρωτεὺς τῷ Μενελάῳ, ὅτι οὐκ ἥμαρταί σοι ἀποθανεῖν ἐν τῷ καθόλου· ἀλλ' ὅτι ἐν Ἄργει οὐ πέπρωται ἀποθανεῖν· ὁ δὲ τοῦτο λέγων οὐ λέγει ὅτι ἀθάνατος ἔσῃ, ἀλλ' ὅτι ἐν ἑτέρῳ τόπῳ·

σοὶ δ' οὐ θέσφατόν ἐστι διοτρεφὲς ὦ Μενέλαε,
Ἄργει ἐν ἱπποβότῳ θάνατον καὶ πότμον ἐπισπεῖν·
ἀλλ' ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης
ἀθάνατοι πέμψουσιν ὅθι ξανθὸς Ῥαδάμανθυς· (Od. Δ. 561.)

ὅπου ἀποθάνῃ· οὔτε γὰρ τὸν Ῥαδάμανθυν ἀθάνατόν τις ἡμῶν ἀποδέδωκεν, οὔτε τὸν τούτου ἀδελφὸν Μίνωα, κριτὰς τῶν ἐν Ἅδῃ.

Ἡσίοδος: Αἰσίαν ὁδὸν πορευόμενος.

Ἠλιθα Πολλήν: Ἀπὸ τοῦ ἅλις, ὅ ἐστιν δαψιλῶς.

Ἠλίθιον δὲ τὸ ἀλιταίνοντα, ὅ ἐστιν ἁμαρτάνοντα· ἢ ἀπὸ τοῦ ἤλιθα τὸ πάνυ, ὁ παχύνους καὶ μὴ συνετός.

Ἠλίβατος: Ὑψηλὴ, ἀπὸ τοῦ ἐκεῖ πρῶτον ἐπιβαίνειν τὸν ἥλιον, ἢ ἠλίφατος, ἀπὸ τοῦ φωτίζειν τῆς ἀχλύος τὰ ὑψηλά[r]· ἢ ἀλίβατον ἀφ' οὗ ἐστιν ἀλιτεῖν βαίνοντας, ἢ διὰ τὸ ὕψος, ἢ διὰ τὴν τραχύτητα.

Ἠμαθίων: Ὁ υἱὸς Μέμνονος ἀδελφός· μήποτ' οὖν ὑποκοριστικῶς ἀπὸ τῆς ἡμέρας, Ἠμαθίων· οἷον, ἡμερίων, ἡματίων.

Ἡρακλῆς: Ἀέριον κλέος ἔσχεν· οἷον, μέγα καὶ περιβόητον.

Ἧπαρ: Ἦδωρ, ἧδαρ, ἧπαρ.

[r] Cod. ὑψιλά.

ʽΗϊΩΝ: ʽΟ *αἰγιαλὸς, ἤτοι ὅτι ἀκούομεν ἐκεῖ τῶν κυμάτων ἀπὸ τοῦ ἰέναι ἀρασσομένων· οἷον, αἰόνα, ἀντὶ τοῦ ἠϊόνα Δωρικῶς, παρὰ τὸ ἀπόρευτον τῆς θαλάσσης, μέχρι γὰρ αὐτοῦ ἴησιν ἡ θάλασσα· τάχα δὲ ἀπὸ τοῦ ἀονᾶν τοῦ καταντλεῖν αἰόνα εἰκότως.*

ʽΗμερίς: ʽΗ *ἀναδενδρὰς, ὅτι ἄγει τις αὐτὴν ὅπη ἑλκύσῃ ἥμερον οὖσαν καὶ οὐκ ἀντισπῶσιν· μηδέπω γὰρ τῆς τομῆς εὑρεθείσης αὐταῖς εἵρπυζον αἱ ἄμπελοι, ἀγρίους καρποὺς φέρουσαι· ὡς δὲ εὑρέθη καθήραντο ἡμέραν καὶ τὴν ὄψιν καὶ τὸν καρπὸν ἔσχον.*

ʼΗλασε: *Προέβη*[s].

ʼΗπείρου: *Χέρσου.*

ʽΗκιστα: *Οὐδαμῶς.*

ʼΗνία: ʼ*Ελύπει.*

ʼΗδρύσαντο: ʼ*Ηθρύσθησαν.*

ʼΗφίη: ʼ*Επεμπεν.*

ʼΗδρυσάμενος: *Καθοπλισθείς.*

ʼΗρώμην: ʼ*Ηρώτων.*

ʽΗρωΐνη[t]: ʼ*Ονομα πόλεως.*

ʼΗλέκτρα: ʼ*Ονομα κύριον.*

ʼΗμυνάμην[u]: ʼ*Ετιμώρησα.*

ʼΗχρειώθησαν: ʼ*Αχρεῖοι ἐγένοντο.*

ʼΗρετήσαντο: ʼ*Ηρέσθησαν, ἠθέλησαν.*

ʼΗξω: ʼ*Ελεύσομαι.*

ʽΗι Συντέθεικα: ʽ*Ηι συνεθέμην.*

ʼΗυλίσθην: ʼ*Εσκήνωσα, ᾤκησα.*

ʼΗδολέσχησα: ʼ*Εμερίμνησα.*

Θρωισμός: ʽ*Υψηλὸς τόπος ἀφ' οὗ ἐστὶν θορεῖν ἢ θεωρεῖν.*

Θεός: ʼ*Απὸ τοῦ θεῖν, τινὲς δὲ ἀπὸ τῆς θερμότητος· ὁ δὲ ʼΑπολλόδωρος ἀπὸ τοῦ αἴτιον εἶναι τοῦ θεᾶσθαι διὰ τὴν αὐτὴν τοῦ ἡλίου καὶ τῆς σελήνης· οἱ δὲ ἀπὸ τῆς θερμότητος*

s In marg. ΝΙΚΗΦ. t In marg. ΓΡΑΜΜΑ.

u In marg. ΨΑΛΤΗ.

λέγουσιν ἀπὸ τοῦ θεοῦ ἄρχοντα τὸν θάνατον ψυχρὸν ὄντα κατὰ ἀντίφρασιν· ὡς καὶ Θερμοῦθιν τὸν Αἰγύπτιον ψυχροποιὸν ὄντα.

Θρίνακες: Τὰ τριαινώδη ξύλα τῶν γεωργῶν οἷς λικμῶσι τὸν σίτον.

Θρίναξ: Ἀπὸ τοῦ θερίζεσθαι· οἱονεὶ θερίξ.

Θέναρ: Παρὰ τὸ θένειν ἐν τοῖς γυμνασίοις.

Θύρα καὶ Θυρίς: Δι' ὧν τὸ θεωρεῖν εἰσέρχεται· ἀπὸ γὰρ τοῦ φωτὸς τὸ θεωρῆσαι·

αἱ δὲ πετασθεῖσαι τεῦξαν φάος· (Il. Φ. 538.)

εἰσὶν δὲ καὶ σαλάμβαι ἀπὸ τοῦ σέλας βάλλειν· ἢ δι' ὧν σέλας βαίνει.

Θεωρεῖν: Ἄλλο δέ ἐστιν θεωρεῖν, καὶ ἄλλο βλέπειν· θεωρεῖν γάρ ἐστιν τὸ τὰς θυσίας φυλάττειν· ἀπὸ τοῦ θεωρεῖν αὐτάς· ὅθεν καὶ θεωροὶ οἱ διὰ τοῦτο ἀποστελλόμενοι· λέγεται δὲ καὶ ἡ τράπεζα ὑπό τινῶν ἀπὸ τοῦ τὰ ἱερὰ ἐν αὐτῇ τιθέναι· ἢ θεωρεῖν λέγεται παρὰ τὸ τὰ θεῖα ὁρᾶν.

Θυῖα: Ἐφ' ἧς τὰ θύα τὰ θυμιάματα, καταχρηστικῶς δὲ αἱ λοιπαὶ θυῖαι.

Θυμίαμα: Ἀπὸ τῆς τύφεως τοῦ καπνοῦ, ἀφ' οὗ καὶ θύμα· τὸ δὲ αὐτὸ καὶ σμύχειν ἐλέγετο, ὡς Ὅμηρος·

κατά τε σμύξαι πυρὶ νῆας· (Il. I. 649.)

θυμίαμα, θυμοῦ ἴαμα.

Θαυμάζειν: Ἀπὸ τοῦ κατὰ τὴν θέαν θάμβους.

Θυγάτηρ: Ἀπὸ τοῦ θεῖν· ἐκτρέχει γὰρ τὸ θῆλυ τὴν ἡλικίαν ῥαδίως· ὅθεν παρθένος ἀπὸ τοῦ παραθεῖν τὰς τῶν ἀῤῥένων ἡλικίας· γυνὴ δὲ γενομένη μαραίνεται πάλιν ταχύ· ὡς οὖν ταχέως αὔξει, πάλιν ταχέως ἀναλύει τὴν ὥραν.

Θρίδαξ: Τινὲς ἀπὸ τῶν τριῶν φύλλων· τρίφυλλος γὰρ κατ' ἀρχάς, ὅθεν καὶ θρίναξ, καὶ τὰ φύλλα τῆς συκῆς θρία λέγουσιν, τὰ εἰς τρία διῃρημένα· τινὲς δὲ ὅτι τρίζει δακνομένη· τινὲς δὲ ὅτι τῷ θέρει γεννᾶται, οἱονεὶ θεριδακίνες.

Θωή: Ὃ κατατίθεται ὁ ζημιούμενος.

Θέλγειν: Κυρίως μέν ἐστιν εἰς ὃ θέλει τις ἄγειν τινά·

ὅθεν καὶ θελκτήρια πολλαχῶς τὰ ᾄσματα, ἀπὸ τοῦ τῶν ᾠδῶν τοὺς ἀκούοντας θέλγειν καὶ ἄγειν εἰς τέρψιν τὸν ἀοιδόν· διὸ καὶ ἡ Πηνελόπη[x] τὰς ᾠδὰς θελκτήρια εἶπεν.

Φήμιε, πολλὰ γὰρ ἄλλα βροτῶν θελκτήρια οἶδας· (Od. A. 337.)

καὶ ἡ Κίρκη Ὀδυσσεῖ μὴ φαρμαχθέντι·

θαῦμά μ' ἔχει ὡς οὔ τι πιὼν τάδε φάρμακ' ἐθέλχθης· (Od. K. 326.)

καὶ Τελχῖνες, θελχῖνες ἦσαν· "τὰ γὰρ θέλγοντα," φησὶν, "βασκαίνοντες τοῖς ὕδασι τῆς φύσεως καὶ αὖα ἐποίουν ἕως "φυτῶν βασκαίνοντες[y]."

Θερμός: Τινὲς ὅτι θερμιλώτατον τῶν ἄλλων ὀσπρίων καὶ θρεπτικότερόν ἐστιν· τινὲς δὲ κατὰ ἀντίφρασιν· μόνος γὰρ οὐκ ἐσθίεται θερμὸς, ἀλλὰ ψυχριζόμενος· ἢ ὅτι θερμοῦται πρότερον.

Θούριος: Ἀπὸ τοῦ ἐνθουσιᾶν, ἢ ἐκ τοῦ ὀρῶ τὸ διεγείρω.

Θῶες: Ταχεῖς γάρ εἰσιν καίπερ βραχυσκελεῖς ὄντες, παρὰ τὸ θέω.

Θάλασσα: Ἀπὸ τοῦ σάλου, σαλάσσα· ἢ θανάτου ἆσσον οὖσα· ἢ ὡς ἁλασσομένη.

Θυηλαί: Φιλόχορος "γῆς παῖδας εἶναι θυηλὰς ἃς πρῶτον θύουσιν· θυοσκόοι δὲ, οἱ ἀπὸ τῶν θυομένων διὰ τοῦ πυρὸς μαντευόμενοι· ἱερεῖς δὲ τοὺς ἀπὸ τῶν ἱερῶν σπλάγχνων μαντευομένους·" κυρίως μέντοι θυηλὰς, τοὺς θυλάκους εἰς οὓς τὰ θυμιάματα ἐμβάλλεται.

Θίασσος: Ἀπὸ τοῦ θεῖν, ὅ ἐστιν θύειν· ὅ ἐστιν ἐνθουσιᾶν· ὅθεν θιασίτας τοὺς περὶ Διόνυσον, ἢ ὁ χορὸς ἀπὸ τῆς συνελεύσεως· θεέιν γὰρ τὸ τρέχειν.

Θειλόπεδον: Περισσὸν τὸ θ, εἰλόπεδον γὰρ παρὰ τὴν τοῦ ἡλίου αὐγήν· εἴωθεν δὲ καὶ ἕλην σὺν τῷ ι λέγειν εἵλην· τὴν μὲν τῶν σύκων ψύξιν πρασιὰν λέγουσιν·

πρασιῆς ψευδόμενον φύλακα.

Θυρεός: Ὁ θύρας τάξιν ἐπέχων.

Θῶραξ: Ὁ τὸ θεῖον ὁρῶν, ὅ ἐστιν φυλάσσων τὸ διανοητικὸν, ὅ ἐστιν ἐν ἡμῖν θεῖον.

x Cod. πηνελώπη. y Cf. Etym. M. p. 445, 1.

Θρίαμβος: Ἐν τισι πόλεσιν ὅταν ἤνθησαν αἱ συκαὶ, παῖδες περιαιροῦντες σὺν αὐτοῖς τοῖς θρίοις ἔπαιζον προφερόμενοι ἰάμβια τετράμετρα· καὶ ἔτι νῦν φασὶν ἐν δήμῳ τοῦτο γίνεσθαι· θρίαμβος παρὰ τὸ ἐνεθρία βάζεσθαι, ὅ ἐστιν λέγεσθαι· λέγεται δὲ καὶ Διόνυσος θρίαμβος, ὅτι ἐπὶ θηρῶν, τουτέστιν ἐπὶ λεόντων, βέβηκεν, οἷον θηρίαμβος· τῷ γὰρ ἅρματι αὐτοῦ λέοντας ὑποζευγνεύειν [z], ἢ ὅτι καὶ συκῆς ἐστιν εὑρέτης· ἢ ἀπὸ τοῦ θωρεῖν, πηδητικὸς γάρ· λέγεται δὲ καὶ θυστήριος, ἀπὸ τοῦ θύσσειν, ὅ ἐστιν ὁρμᾶν· ἀφ' οὗ καὶ ἐωρούμενον θύσανον λέγεται.

Θίν: Ὁ αἰγιαλὸς, παρὰ τὸ θένεσθαι, καὶ ἀκτὴ ἀπὸ τοῦ κατάσσεσθαι τὰ κύματα ἐν αὐτῇ.

Θηλή: Ἀπὸ τοῦ τίθεσθαι, διὸ καὶ τιτθὸς καὶ τιθηνὴ ἀπὸ τῶν τιτθίων· ἢ ἀπὸ τοῦ θῶ τὸ τρέφω.

Θάλαμος: Ἐν ᾧ τρεφόμεναι θάλλουσιν αἱ παρθένοι.

Θρινακία· Ἡ Σικελία· Θρινακία δὲ ὁμοίως ὅτι τρεῖς ἄκρας εἶχεν.

Θυμέλαι: Οἱ βωμοὶ ἀπὸ τοῦ θύεσθαι, ἢ τίθεσθαι.

Θρίαι: Αἱ μαντικαὶ ψηφοὶ [a], ὅτι εἰς τρία διαιροῦνται.

Θεσμός: Ὁ νόμος, ἀπὸ τῆς θέσεως· ἕκαστος νομοθέτης ὡς ἐβούλετο ἐτίθη τοὺς νόμους.

Θριγκοί: Τῶν οἰκιῶν τὰ ἀνώτατα· μεταφορικῶς ἀπὸ ἡμῶν, ὅτι τὰ ἀνώτατα τῶν σωμάτων ἡμῶν θριξὶ περιπέφρακται.

Θάμνος: Ἡ ῥίζα, ὅτι καὶ αὐτῇ ἔγκειται τῇ γῇ ἀπὸ τῆς θέσεως· ὁ δὲ Ὅμηρος τὴν πολυπλήθειαν τῶν φύλλων δυναμένην δέξασθαι, ἀπὸ τούτου ἔφη·

ἐκβὰς ἐν θάμνοις καταδραθέων· (Od. E. 470.)

Θηγγάνειν [b]· Ἐγγίζειν.

Θαρσαλεώτερον: Εὐθαρσέστερον, ἄφοβον.

Θῦνος [c]: Ἡ θῦνα.

Θάρσυνος: Θρασύς.

K

[z] Cod. ὑποζεύγνειν. [a] Cod. ψιφοί. [b] In marg. NI.

M

[c] In marg. ΓΡΑ.

Θυρεός[d]: Σκουτάριον.

Θρᾶσις: Ὀργὴ, πληγή.

Θελκτηρίῳ[e]: Ἀπατητικῷ ψεύδεται.

Ἰσχία: Ὅτι ἴσχει τοὺς καθημένους.

Ἰγνύη: Ἀπὸ τοῦ κατὰ τὴν καμπὴν ἱκνεῖσθαι τοῖς γονάτοις.

Ἱστός: Ἀπὸ τοῦ ἀεὶ ἑστάναι, καὶ στύλος ἀπὸ τοῦ στήσω.

Ἰσχυρός: Ὁ ἴσχειν καὶ ἀντέχειν δυνάμενος.

Ἴουλος: Ἀπὸ τοῦ ἰέναι καὶ τῆς λειότητος τῆς πορείας.

Ἰσχάς: Ἀπὸ τῆς ἰσχύος· ἐπειδὴ πρινὴ τὴν κρεοδοθῆναι τοῖς Ἀθηναίοις ἐχρῶντο τῇ ἰσχάδι· ἢ ἰσχνὰς, ἐπειδὴ τὸ κατισχναμμένον σύκον ἐστὶν βαρεῖα τροφή· ἢ ὅτι ἕως τούτου προβαίνει ὁ καρπὸς, πρῶτον γάρ ἐστιν ὄλυνθος, εἶτα φήληξ, εἶτα σύκον, καὶ λοιπὸν ὕστερον ἰσχὰς, ἡ ἴσχειν ποιοῦσα τὴν αὔξησιν.

Ἱδρώς: Οἷον ὑδρὼς, ὑγρὸς γάρ ἐστιν· ἢ παρὰ τὸ ἰδίω.

Ἰός: Ἀπὸ τοῦ ἰέναι, πορεύεται γὰρ ὡς ἀπολλύων.

Ἱερὸν Ὀστοῦν: Κυρίως τὰ κατ' ὀσφὺν τῶν ἱερείων ὀστέα· ταῦτα τέσσαρα ἐπετίθεσαν ταῖς θυσίαις· οἱ δὲ ὅτι φησὶν ἡ ὀσφὺς πρώτη φύεται καὶ τῶν ζώων, ὅθεν τὰ ἑκατέρωθεν τῆς τρόπιος ἀμφιμίτρια λέγουσιν ἀπὸ τῆς μήτρας· τινὲς δὲ τὸ μέγα ὀστοῦν.

Ἴδη: Ὑψηλὴ γάρ ἐστιν, ἀπὸ τοῦ ἰδεῖν οὖν τὰ πέριξ· ἢ ὅτι φαίνεται μάκροθεν.

Ἰσθμός: Ἡ λεπτὴ καὶ στενὴ ὁδὸς ᾗ χρώμεθα ἄλλης μὴ παρούσης.

Ἴονθος: Ἡ ἔκφυσις τῶν τριχῶν, ἀπὸ τοῦ εἰς τὰ ἄνω ἰέναι· ὡς ἄνθος βλαστάνουσαν ἰονθάδος οὖν.

Ἰφιγένεια:

οὕνεκα δ' ἡμῖν
Ἶφι βιησαμένῳ Ἑλένη ὑπεγείνατο Θησεῖ[f]·

ἢ ἐξ Ἑλένης καὶ Θήσεως.

T K

[d] In marg. ΨΑΛ. [e] In marg. ΝΙ. [f] Cod. θῆς. Hæc Euphorioni tribuit Etym. M. p. 418, 18.

Ἰχθὺς Ἱερός: Ὁ ἐν τῷ ὑγρῷ θυόμενος ἢ θέων· τὸ δὲ κῆτος ἰχθύς ἐστιν ἔχων κύτος.

Ἰατρική: Ἰατική τις οὖσα, ὡς ἐν τῷ κέντον, κέντρον, ἀπὸ τοῦ κεντᾶν.

Ἰτριόν: Ἀπὸ τοῦ ἰέναι ἐπιλεπτὸν γὰρ ἔρχεται.

Ἰκριόν: Παρὰ τὸ ἱκνεῖσθαι.

Ἴακχος: Ὁ Διόνυσος, ἀπὸ τῆς ἐν πότοις ἀχῆς.

Ἰθύ[g]: καὶ ἀδιάστροφον ἔχων τὸ γένος· Ὅμηρος·

ἀλλά με ἶσον ἰθαγενέεσσιν ἐτίμα· (Od. Ξ. 203.)

ἔστιν δὲ ὁ γνήσιος υἱός.

Ἰλλάδες: Σχοινία ἐξ ἱμάντων· ἀπὸ τοῦ εἰλεῖσθαι.

Ἰλεύς: Αἴαντος πατὴρ ἠτυμολόγειται ὑφ' Ἡσιόδου[h]·

Ἰδέα τὸν ῥ' ἐφίλησεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων,
καί τοι τοῦτ' ὀνόμην' ἔμμεναι, οὕνεκα νύμφην
εὑράμενος Ἰλέων ὄχθη ἐρατεινῇ φιλότητι·
ἤματι τῷ ὅτε τεῖχος ἐϋδμήτοιο πόληος
ὑψηλὸν ποίησε Ποσειδάων καὶ Ἀπόλλων.

Ἰάλεμος: Ὁ θρῆνος, ὁ ἐπὶ τοῖς ὀλωλόσιν ἴαν φέρων.

Ἴουλος: Ἀπὸ τοῦ ὅλον εἶναι πυκνὸν, καὶ συνεστράφθαι καὶ ἰέναι.

Ἰνίον: Ἀπὸ τοῦ διήκειν ἀπὸ τῆς τοῦ ἐγκεφάλου βάσεως τὰ πλατέα νεῦρα, ἃ δὴ τὴν ἰσχὺν ἡμῶν ἔχειν δοκεῖ.

Ἴφικλος: Ὁ ἥρως, ἰφίκωλός τις ὤν· ἱστορεῖται γὰρ ταχύτατος, καὶ οἱ παῖδες αὐτοῦ Προτεσίλαος καὶ Ποδάρκης.

Ἵστην[i]: Ὑπῆρχον.

Ἵεσαν: Ἐπορεύοντο.

Ἰοῦσαι: Ἐρχόμεναι.

Ἰδεχθέσιν: Ἀσχήμοις.

Ἴτυς[k]: Ἡ τοῦ τροχοῦ περιφέρεια.

Ἴτωνα: Ὄνομα τόπου.

Ἰτέα: Ὄνομα δένδρου.

g Excidit glossa ἰθαγενής. K

h Cod. ἰσιόδου. Fr. 3. M

i In marg. NI.

k In marg. ΓΡΑ.

Ἴτριον: Μέλος ἐντὸς τοῦ σώματος· ἔστιν δὲ περὶ τὸν κενεῶνα.

Ἱμάς: Ὁ χῶρος.

Ἱρεύς: Ὁ ἱερεύς.

Ἴρηξ: Ὁ ἵεραξ.

Ἱκέσθαι: Παραγενέσθαι.

Ἱλασμός[l]: Διαλλαγὴ, ἱλέωσις.

Ἰλύος: Τέλματος, πηλοῦ.

Κλαίω: Ἐκ τοῦ κλῶ τοῦ κλάνω, κλᾶται γὰρ ἡ φωνὴ τῶν θρηνούντων, ἢ ἐκ τοῦ κλῶ τοῦ καλῶ· εἰώθασιν γὰρ οἱ κλαίοντες ἀνακαλεῖσθαι τοὺς τεθνέοτας· καὶ ὁ ποιητής·

ὤμοξέ τ' ἄρ' ἔπειτα φιλόν τ' ὠνόμηνεν ἑταῖρον. (Il. K. 522.)

Κέρα Ἀγλαέ: Τῷ κέρατι, ἤγουν τῷ βοστρύχῳ ἀγλαὲ, ἀπὸ τοῦ κέρατος τοῦ τόξου ἐτυμολογεῖται.

Κέρχνη: Δοτικῇ· Ἀριστοφάνης Ὄρνισιν[m]·

κέρχνης, πυρίορχις, γὺψ, κύμινδις, ἀετὸς,
ὁ λῷστος οὗτος[n] καὶ φιλοξενέστατος.

Εὐριπίδης[o].

Κυνοροτρίδες[p]: Οἱ ἀπὸ ἀλωπέκων καὶ κυνῶν τικτόμενοι παῖδες.

Κορυφὴν Τριχός[q]: Τὴν κεφαλὴν συνθλᾷ τῶν διαπαντὸς ἁμαρτανόντων.

Καυχᾶται: Ἐπὶ Θεῷ· Ἐγκαυκᾷ δὲ ἐπὶ κακῷ.

Καρδία τῆς ἀρετῆς ἐστιν ἡ ἐλεημοσύνη.

Κερουλκά:

δὸς τόξα μοι κερουλκὰ δῶρα Λοξίου[r]·

κερουλκὰ, τὰ διὰ τῶν κεράτων ἕλκοντα τὴν νευρὰν ἢ τὸ βέλος· ὡς τὸ κεραελκὴς ταῦρος· ἢ παρὰ τὸ ἐκ κεράτων εἶναι.

Κλείς: Ἀπὸ τοῦ ἐγκεκλεῖσθαι μέχρις αὐτῆς τὰ ἐντός.

l In marg. ΨΑ$\overset{T}{\Lambda}$. m Cod. ὄρνησιν. v. 1181. n Cod. ὅλως τὸ σοῦτος.
o Cod. $\overset{\pi}{\text{Ευρι}}$. p In marg. scr. $\overset{\rho}{\chi}$. (i. e. χρῆσις) Ἀριστοφάνους.
Leg. Κυνοστουρίδες. q In marg. ΨΑ$\overset{T}{\Lambda}$. r Eurip. Or. v. 268.

Κόρη: Παρὰ τὸ κορεῖσθαι περισσότερον τῆς ἄλλης ἡλικίας, ὅπερ ἐστὶν ἐπιμελείας ἀξιοῦσθαι· ὅθεν καὶ νεοκόρος, καὶ κόρημα τὸ σάρωμα καὶ κοσμητήριον.

Κένταυρος: Σύνθετον ὄνομα, παρὰ τὸ κεντεῖν τὴν αὖραν, ἤγουν τὴν πνοήν· φασὶ γὰρ τὸν Ἰξίονα τῆς Ἥρας ὁμοιωθείσης νεφέλῃ ὅτε συνεγένετο αὐτῇ, ἐξ ἧς ἐτέχθησαν οἱ Κένταυροι.

Κεφαλή: Ἀπὸ τοῦ κελύφου τοῦ περιέσχοντος τὸν ἐγκέφαλον.

Κόμη: Ἀπὸ τοῦ κομεῖσθαι, ὅθεν καὶ ἱπποκόμος ὁ τῶν ἵππων ἐπιμελούμενος.

Κάνθος: Ἀπὸ τῆς κνησμονῆς τῆς περὶ αὐτὸν γινομένης, κνάθος τις ὤν.

Κύστης: Παρὰ τὸ κεύθειν καὶ διαφυλάττειν τὰ ὑγρὰ ἢ οὖρα.

Κέρκος: Κυρίως ἡ τὰ ἑρπετῶν οὐρά· παρὰ τὸ σκαίρειν καὶ ἕρπειν.

Κοτύλη: Ὁ γλοῦτος ἀπὸ τῆς κοιλότητος.

Κνήμη: Παρὰ τὸ ἐν κινήσει εἶναι.

Κοῖος: Ὁ πατὴρ Λητοῦς· παρὰ τὸ κοεῖν, ὅ ἐστιν νοεῖν καὶ συνιέναι, ἤγουν ὁ συνετός.

Κελύφη: Τὰ καλύμματα ἀπὸ τοῦ καλύπτειν· καὶ

Κάλυξ: Παρὰ τὸ καλύψαι τὰ ῥόδα.

Κυβήβη: Κυρίως τὸ ἐπὶ τὴν κεφαλὴν ῥίπτειν· Ὅμηρος·

κύμβαχος ἐν κονίησιν ἐπὶ βρεχμόν τε καὶ ὤμους· (Il. E. 586.)

ἐπεὶ οἱ μανιώδεις, περὶ τὴν κεφαλὴν πάθους γενομένου, τοιοῦτοι γίνονται, ὅθεν καὶ τὴν μητέρα τῶν θεῶν ἀπὸ τοῦ ἐνθουσιασμοῦ Κυβήβην λέγουσιν· αἰτία γὰρ ἐνθουσιασμοῦ τοῖς μυσταῖς γίνεται· ἔστιν δὲ καὶ ἐν Φρυγίᾳ ἱερὸν μητρὸς θεῶν.

Κύφελλα: Τὰ νέφη, οἷον κρύφελλα, ἀπὸ τοῦ κρύπτοντα τὴν σελήνην· Καλλίμαχος·

ἐτμήγη δὲ κύφελλα.

Κρήνη: Ἡ πηγὴ, παρὰ τὸ κάραν καὶ κορυφὴν τοῦ ῥεύματος εἶναι ἡ κρήνη, οἱονεὶ κόρη τοῦ νάματος· καὶ γὰρ θυγατέρες τῶν ποταμῶν εἰσίν.

Καλυψώ: Ἡ μὴ ἁπλῆ, καλύπτουσα δὲ τὸ διανοούμενον· διὸ καὶ,

> ἔνθα μὲν Ἄτλαντος θυγάτηρ δολόεσσα Καλυψώ, (Od. Η. 245.)

καὶ,

> αἰεὶ δ' ἐν μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισι
> θέλγει, ὅπως Ἰθάκης[s] ἐπιλήσηται. (Od. Α. 57.)

Κωφός: Ὁ ἐν αὑτῷ τὴν ὦπα ἔχων· κυρίως δὲ τὸν μὴ λαλοῦντα· λέγεται δὲ καὶ ἐπὶ μὴ ἀκούοντος· κωφὸς δὲ καὶ ὁ μὴ κοῶν, τουτέστιν ὁ ἀγνοῶν τὸ φῶ, ὅ ἐστιν τὴν φωνήν.

Κοροπλάστης: Ὁ τὰ ζῴδια πλάσσων· οὐ γὰρ μόνον κόρους ἢ ὁμοίως κόρας πλάσσει, ἀλλὰ πᾶν ζῷον.

Κέτις: Ἡ τοῦ ποδὸς, ἢ τῆς χειρὸς, ἃς φαμὲν κτένας.

Κρήγυον: Τὸ ἀληθές· τάχα γὰρ καλογήρυον, ἤγουν καλόφωνον, γῆρυς γὰρ ἡ φωνή.

Κλῆρος: Ἡ γῆ ὑπὲρ ἧς κλῆρος ἐγένετο· οἱ γὰρ πρῶτοι διαμετρισάμενοι τὴν γῆν εἰς διατροφὴν τὰς μερίδας ἔλαβον.

Κηλεύς: Παρὰ τὸ κήλειν καὶ τέρπειν.

> κηληθμῷ δ' ἔσχοντο κατὰ μέγαρα σκιόεντα. (Od. Λ. 333.)

Καῦμα: Οἷον τὸ κεκαυμένον ἄκμα[t] πνεῦμα.

Καπνός: Ἡ ἐκ τῆς καύσεως πνοή.

Κιγκλίς: Ἡ ἐν τοῖς δικαστηρίοις θύρα ἀπὸ τοῦ κίκλου· οὕτως δὲ λέγεται ἡ σεισοπυγίς[u]· καὶ Μένανδρος ἐν Ὑμνίδι κιγκλισμός φησιν, ἀντὶ τοῦ τάραχος.

Κριός: Ὁ τὸ κάρα ἱέμενος, ὡς ὁ κρύπτων ἤλαυνε ὀπίσσω· καὶ ἐν ταῖς οἰνικαῖς ἀποστάσεσιν κριὸς καλεῖται τὸ κεράμιον τὸ πρῶτον ᾧ τὰ λοιπὰ ἐπιτηρεῖται.

Κάραβος: Ὁ τὴν κεφαλὴν κινῶν· αἱ γὰρ χηλαὶ ἐν τῇ κεφαλῇ καὶ τὰ λοιπὰ ποδάρεια ἐνήρεισται.

Κερδώ: Ἡ ἀλώπηξ ὑποκοριστικῶς, ὡς Εἰδοθέα, Εἰδώ· Ὑψιπύλη, Ὑψώ.

Κόλλαβος: Δερμάτιον ὃ ἐκ τῶν αὐχενίων δερμάτων ἐστὶν, ἐξ ὧν αἱ τεκτονικαὶ κόλλαι γίνονται.

[s] Cod. ἠθάκης. [t] Leg. ἄημα. [u] Cod. ἰσοπηγὴς corr. Bekker. Anecd. 1459. not.

Κράμβη: Τινὲς κοράμβλη ἀμβλύνουσα τὸ ὁρατικόν· βέλτιον ἡ τῷ κάρῳ ἀντιβαίνουσα, ὅθεν καὶ πρώτη ἐν τοῖς συμποσίοις δίδοται, καὶ παρ' ἄμπελον οὐ φύεται.

Κάλλη: Τὰ πορφυρᾶ ἱμάτια· Εὔπολις·

βάπτειν τὰ κάλλη

καὶ κέραμος καλλάϊνος.

Καραδοκεῖν: Παρὰ τὸ τῇ καρᾳ δοκεύειν, ἤγουν ἐμβλέπειν καὶ ἐπιτηρεῖν καὶ ἐλπίζειν· τὸ τῇ κεφαλῇ προσβλέπειν ἐκδεχόμενον μήποτε τὸ κέαρ ἔγκειται· τὸ γὰρ καρηβαρεῖν[x], ἤτοι καταβαρεῖσθαι τὴν κεφαλὴν, ἢ παρὰ τὸ βάλλειν αὐτὴν κατὰ μέθης· τινὲς δὲ ὅτι σύνθετόν ἐστιν τὸ κάτω κάρα ἐπιφέρειν· τὸ καραδοκεῖν παρατίθεται[y] δ' ἐν ἄλλοις[z] Δίφιλον λέγοντα ἐν Ἐμπόρῳ·

τὴν νύκτα ἐκείνην ἐκαρανόμηνεν.

Κύρβεις: Αἱ τὰς τῶν θεῶν ἑορτὰς ἔχουσαι, ἤτοι ἀπὸ τῆς κατασκευῆς· εἰσὶν γὰρ κυρβασταὶ ἢ κρύβιες, ἐπεὶ τὰ τῶν θεῶν ἀποκρυπτόμενα δὴ εἶναι· Ἀσκληπιάδης δὲ ὅτι ἀπὸ Κύρβεως τοῦ τὰς οὐσίας ὁρίσαντος, ὥς φησιν Φανίας ὁ Ἐφέσιος, ἀπὸ τοῦ ταῦτα κυρωθῆναι τοῖς γράμμασιν· Ἐρατοσθένης δὲ τριγώνους[a] αὐτάς φησιν εἶναι, οὐ τετραγώνους· Ἀριστοφάνης δέ φησιν, ὁμοίας εἶναι τοῖς ἄξοσι[b], πλὴν ὅτι οἱ μὲν ἄξονες, νόμους, αἱ δὲ κύρβεις οὐσίας ἔχουσιν· ἀμφοτέρων δὲ τὸ κατασκεύασμα τοιοῦτον· πλίνθιόν τι μέγα ἀνδρόμηκες ἡρμοσμένα ἔχον τετράγωνα ξύλα τὰς πλευρὰς πλατείας ἔχοντα καὶ γραμμάτων πλήρης· ἑκατέρωθεν δὲ κνώδακας, ὥστε κινεῖσθαι καὶ μεταστρέφεσθαι ἀπὸ τῶν ἀναγινωσκόντων.

Κώπη: Ἡ λάβη τοῦ ξίφους ἢ κόπτειν δυναμένη.

Κάπηλος: Τινὲς οἴονται ἓν ἀνθ' ἑνὸς εἶναι· οἱονεὶ ἐκ τοῦ παρὰ Σοφοκλεῖ·

πολὺς δὲ πηλὸς ἐκ πίθων τυρβάζεται·

ὁ μὲν οὖν Σοφοκλῆς[c] εὐεπίφορος εἰς τὸν πηλόν· ὁ μέντοι οἶνος

[x] Cod. καριβαρεῖν. [y] Scil. Timachidas cit. ab Etym. M. in v. καραδοκῶ. [z] Cod. ἐνάλοις. [a] Cod. τριγόνους. [b] Cod. ἄξωσι. [c] Cod. σοφοκλεῖς.

οὐκ ἔστιν πηλός· πόθεν δὲ ἐν τῷ καπήλῳ ὁ οἶνος ἔγκειται· καὶ γὰρ ἕτερόν ἐστιν οἰνοπώλης καὶ ἕτερον κάπηλος· καθόλου γὰρ τοὺς πωλοῦντας τι καπήλους ἔλεγον· ἔστιν καὶ παρὰ Σώφρονι *ἐν ταῖς* Ἀκεστρίαις· *ὁ δὲ* Αἰσχύλος *τὰ δόλια πάντα καπήλια καλεῖ·*

κάπηλα προσφέρονται τεχνήματα.

Κοῖτις: *Ἀττικῶς ἡ μικρὰ κίστη· τὴν γὰρ κίστην, κοίτην λέγουσιν· ἔστιν δὲ ἐν ταῖς κοιταζόμεναι αἱ γυναῖκες ἀπετίθεντο τὰ χρύσια.*

Κάλαθος: Γάλαθος *εἰς ὃν τὸ γάλα ἀπετίθεντο τυρεύοντες.*

Κύλλαρος: Ἵππος Κάστορος, *παρὰ τὸ κέλλειν, ὁ ταχύς·* Στησίχορος *φησὶν τὸν* Ἑρμῆν *δεδωκέναι τοῖς* Διοσκούροις

Φλόγεον καὶ Ἅρπαγον *ὠκέα τέκνα* Ποδαργᾶς,
Ἥραν *δ'* Ἐξάλιθον *καὶ* Κύλλαρον.

Κήδη: Τὰ *πένθη, ὅτι ἀνιᾶσθαι καὶ οἱονεὶ καίεσθαι ποιοῦσιν.*

Κήρ: Ἡ *θανατηφόρος μοῖρα, ἤτοι ἡ καῆναι ἐπιφέρουσα· καὶ ἐν* Ἅιδου *ποταμοὶ* Πυριφλεγέθων *καὶ* Ἀχέρων *καὶ* Κωκυτός· *ὁ μὲν ἀπὸ τῆς ταφῆς, ὁ δὲ ἀπὸ τοῦ ἄχη εἰς αὐτὸν ῥεῖν· ὁ δὲ ἀπὸ τῶν θρήνων καὶ κωκυτῶν· ὁ δὲ κωκυτὸς φωνῆς ἐστιν μίμησις·* λέγουσιν *δὲ καὶ ἀλίβαντα εἶναι τινὰ ποταμὸν ἀπὸ τοῦ ἅπαντα καταξηραίνειν, καὶ μήδε λιβάδα ὑπάρχειν, ἤγουν ἰκμάδα· καὶ τὸ ὄξος δὲ ἀλίβαντα καλοῦσιν ὅτι νενεκρωμένος οἶνος ἐστίν.*

Κῆρ *δὲ ἡ ψυχὴ, ὅτι διάπυρός ἐστιν· τὸ γὰρ ἔμφυτον θερμὸν τοῦτο ψυχή.*

Κεφαλή: *Ἀπὸ τοῦ κεκυφῶσθαι, ἤγουν κεκάμφθαι· καὶ οἱ ἰατροὶ σκάφιον αὐτὴν καλοῦσιν· καὶ* Ἱπποκράτης *κύβητον·* Μακεδόνες *δὲ κεβλὴν, τὸ β ἀντὶ τοῦ φ λαμβάνοντες, ὡς ἐπὶ τῆς* Βερενίκης, Φερενίκη *γάρ ἐστιν.*

Κριτής: Ὁ *τοὺς ἐμπεπλεγμένους ἀλλήλοις διαχωρίζων· καὶ αἱ γυναῖκες κρῖναι τρίχας ἐπὶ τῶν ἐνπλοκῶν λέγουσιν τὸ διαχωρίσαι· καὶ τὸν κεχωρισμένον τοῦ πυρετοῦ κεκρίσθαι λέγομεν.*

Κύκλωπες: Οὐχ *ὡς* Ἡσίοδος,

Κύκλωπες δ' ὄνομ' ἦσαν ἐπώνυμοι οὕνεκ' ἄρ' αὐτοῖς
κυκλοτερὴς[d] *ὀφθαλμὸς ἔεις ἐνέκειτο μετώπῳ*[e]· (Theog. 144.)

οὔτε γὰρ τὸ ἔεις τὸ μέτοπον ἐν τῇ φωνῇ εἴρηται τῶν Κυκλώπων· Κύκλωπες οὖν κατὰ συγκοπὴν εἰσὶν κυκλώοπες οὗ χάριν αὐτοὺς ἔφυγον Φαίακες·

οἱ πρὶν μέν ποτ' ἔναιον ἐν εὐρυχόρῳ[f] *Ὑπερείῃ*
ἄγχου Κυκλώπων ἀνδρῶν ὑπερηνορεόντων
οἵ σφέας σινέσκοντο βίηφί τε φέρτεροι ὄντες· (Od. Z. 4.)

ἢ ἦσαν· ἀλλ' οὐδ' ἦσαν πάντες μονόφθαλμοι· οὐ γὰρ ἀνέστησεν Ὅμηρος τὸ τεράτευμα· ἀλλ' οὐδ' ὁ Πολύφημος μονόφθαλμος ὢν παρὰ τόπον ἔχει τὴν θέσιν τοῦ ὀφθαλμοῦ· εἰ κατεκλάσθησαν καὶ ἐθαμβήθησαν μέγεθος ἴδοντες ὀφθαλμοῦ, οὐκ ἐνεκρώθησαν ἐπὶ τῇ μορφῇ· ἔδει γὰρ ὁ Ὅμηρος εἰπόντα·

ἡμῖν δὲ κατεκλάσθη φίλον ἦτορ
δεισάντων φθόγγον τε βαρὺν αὐτόν τε πέλωρον· (Od. I. 257.)

προσεπιζεῦξαι τοιοῦτόν τι·

μοῦνον τ' ὀφθαλμὸν ἐνεόντα μετώπῳ.

Κολοσυρτός: *Νεοπτόλεμος, μεγάλως αἰρομένης τῆς κόνιος, καὶ ἐς ἱερὰ*[g] *ἱκνευμένης· τὸ γὰρ κοῖλον κυρτώσεως καὶ ὑπεροχῆς μετέχει· βέλτιον ὁ ὑπὸ τῶν κώλων συρώμενος κονιορτός.*

Κέρτομος: *Ὁ τὸ κέαρ τῶν ἀκουόντων τέμνων διὰ τῶν παραλογιστικῶν λόγων.*

Κράσπεδον: *Τὸ κρεμάμενον, ἤτοι κεχαλασμένον ἐν τῷ πέδῳ.*

Καθειργύναι[h]: *Κατακλεῖσαι.*

Κατακιλούμενος: *Κατατιτρωσκόμενος.*

Καταίροντα: *Καταπνέοντα.*

Κρύβδην[i]: *Κρυφίως.*

Κῆδος: *Φροντὶς, λύπη.*

Κείσεται: *Ἐν φροντίδι καὶ ἐπιμελείᾳ γενήσεται.*

[d] Cod. *κυκλωτερής.* [e] Cod. *μετόπω.* [f] Cod. *εὐρυχώρω.*
[g] Leg. *ἀέρα.* [h] In marg. NI. [i] Cod. *κρύδην.*

K

Κατεδήου[k]: *Κατέφθειρεν, ἐνεπύριζεν, κατέκοπτεν.*

Καθήρει: Κατέστρεφεν.

Κατασχεθείς: Κρατηθείς.

Καταπήμενον: Κατέβλαπτον.

Καθειρμένους: Πεφυλακισμένους.

Κυκλάδας: Κύκλῳ.

Καθοσιωμένοις: Νενομισμένοις.

Κυῖλος.

Κίς[l]: Ὁ ἐν τῷ σίτῳ σκώληξ.

Κιχράς: Διδούς.

Κάρ: Ὄνομα ἔθνους· ἐξ οὗ τὸ

Κάρες καὶ Παίονες ἀργυρότοξοι. (Il. K. 428.)

Κιχάνω: Καταλαμβάνω.

Κυλίω: Ταράσσω.

Κονίω: Παλαίω, ἀλείφω· οἱ γὰρ παλαίοντες τὰς χεῖρας ἀλείφουσιν.

Κρηνίς: Ἡ πηγὴ ὑποκοριστικῶς.

Καρίς: Ἡ καρίδα.

Κερδοσύνη: Κέρδος, φιλία.

Κορόνη: Περικεφαλαία.

Καλλύνω: Καλωπίζω.

Κέρκυρα: Ὄνομα πόλεως.

Κολύρα: Ὄνομα πόλεως.

Καλύπτρα: Σκέπασμα.

Κλάρος: Ὄνομα ποταμοῦ.

Κάρος: Ὄνομα νόσου.

Καθέδρα[m]: Ἡ τῶν κακῶν ἐργασία ἀποδιάδοσιν γινομένη.

Κατανύγητε: Ἡσυχάσατε, λυπήθητε.

Κενά: Μάταια.

Κατηρτήσω: Ἐτελείωσας.

Καθήλωσαν: Κατέβαλον.

Καταιγίς: Ὀρέων ἢ χιόνων κατάπτωσις μετὰ σφοδροῦ ἀνέμου γινομένη.

[k] Cod. κατεδίου. [l] In marg. ΓΡΑΜΜ[Α]. [m] In marg. ΨΑΛ[Τ].

Κιχρῶν: Χορηγῶν.

Κηδάρ: Σκοτασμός· κατὰ τὴν τῶν Ἑβραίων φωνήν.

Κρίματα: Ἀκροάματα, προστάγματα.

Καθελεῖς: Καταβαλεῖς.

Κατενεμήσατο: Κατέφαγεν, κατανάλωσεν.

Κημῷ: Χαλινῷ, φιμῷ.

Κασσία: Φλυός ἐστιν λεπτότατον καὶ εὐῶδες φυτόν.

Κάδης: Ἁγιασμός.

* * * Τῆς ἀβύσσου τὸ ἔσχατον.

Καινόν: Νέον, ξένον, θαυμάσιον.

Καταδιελέσθαι: Καταμερίζεσθαι.

Καιτός: Γωνία, μέρος.

Κοῖτος: Κύκλωμα, πλάτος, βάθος.

Κατέρραξας: Κατέῤῥηψας.

Καινήν: Νέαν.

Καλιάν: Φωλεὸν ὀρνέων.

Λόφος: Ὁ ὑψηλὸς τόπος τοῦ ὄρους· εἴρηται δὲ παρὰ τὸ λέπω· σημαίνει δὲ τὸ λεπτύνω· λέπω, λόφος, καὶ

Λόπος: Τὸ τοῦ κρομύου λεπτὸν, παρὰ τὸ λέπω, καὶ λεπὶς ἐξ αὐτοῦ, καὶ λόφος τὸ τῆς περικεφαλέας.

Λάταξ: Χαλκοῦν ἀγγεῖον κυκλοτερὲς, ἐν ᾧ ῥιπτοῦντες τὰ τῶν ποτηρίων λείψανα οἱ ἐρασταὶ, πρὸς τὸν κτύπον ἐστοχάζοντο τὰς τῶν ἐρωμένων γνώμας καὶ διαθέσεις περὶ αὐτούς· αὐτὸ δὲ τὸ ῥιπτούμενον κοτταβὸς ἐκαλεῖτο.

Λοχμῶδη[n]: Σύμφυτοι τόποι δασεῖαν ὕλην ἔχοντες.

Λοχῶντες: Ἐνεδρεύοντες.

Ληΐζοντες: Αἰχμαλωτίζοντες.

Λαφυραγωγήσαντες: Τὰ σκῦλα λαβόντες.

Λέμβος: Πλοιάριον.

Λίς[o]: Ὁ λέων.

Λάβδακος: Ὄνομα κύριον.

Λάας: Λίθος.

[n] In marg. NIK. [o] In marg. ΓΡΑ.

Λάρος: Ὁ γλάρος.

Λοιμῶν [p]: Τὸν φθορὰν ἀπὸ τῆς ἰδίας καρδίας μεταδιδόντων ἑτέροις.

Λαξευτηρίῳ: Λιθοτόμῳ ἐργαλίῳ.

Λοχευομένων: Τικτομένων, γεννομένων.

Λίβα: Ἄνεμον ζέφυρον τὸν δυτικόν.

Λάκκον: Βόθρον.

Μιαιφωνία: Ἀδικία.

Μάστιγας: Πληγάς.

Μολόχ: Εἴδωλον τῶν Μοαβιτῶν λίθον ἔχον διαφανῆ εἶδος ἑωσφόρου ἐπὶ μετώπου [q].

Μονονουχί: Κυρίως εἰπεῖν, ἢ παρ' ὀλίγον εἰπεῖν.

Μετοπωρινός [r]: Ὁ ἐπὶ χειμῶνα καιρός.

Μόσσυνας: Πύργους μακροὺς παρὰ τὸ μάσσω.

Μόνιον Δάκος: Μεμονομένον θηρίον.

Μαχημότατοι [s]: Πολεμικώτατοι.

Μύνη: Ὄνομα πόλεως.

Μουλβαίνη [t]: Ὄνομα πόλεως.

Μηνίω: Ὀργίζομαι.

Μνά: Ἀγορὰ ἀπὸ τοῦ μνῶ.

Μάκαρ: Μακάριε.

Μεγαλοπρέπεια [u]: Ὑψηλὴ δόξα καὶ μεγάλη.

Μὴ Ἀποσκορακίσης Με: Μὴ ἀποδιώξῃς με, μὴ ἀπορρίψῃς με.

Μύλας: Τοὺς ἐσωτέρους ὀδόντας.

Μώλωπες: Τὰ ἐξερχόμενα ὑδήματα, ἤγουν ποιᾶ ἐκ τῶν πληγῶν.

Μυκτηρισμός: Χλευασμὸς, ὀνειδισμός.

Μονιός: Σύαγρος ἤτοι ξηφίας, ὁ τοῖς ἄλλοις μὴ συναυλιζόμενος.

Μονοκέρως: Εἶδος θηρίου.

[p] In marg. $\overset{\text{Τ}}{\text{ΨΑΛ}}$. [q] Cod. μετόπου. [r] In marg. $\overset{\text{Μ.}}{\text{ΓΡΑΜ}}$.

[s] In marg. $\overset{\text{Κ}}{\text{ΝΙ}}$. [t] In marg. $\overset{\text{Μ.}}{\text{ΓΡΑ}}$. [u] In marg. $\overset{\text{Τ}}{\text{ΨΑΛ}}$.

Μεταναστεῦου: Μετοίκει, μετέρχου, φεῦγε.

Μὴ Παραζηλοῦ: Μὴ ὁμοιοῦ.

Μακάριος: Ὁ πάντοτε ἐν ἀγαθοῖς ὤν.

Μεμυαλωμένα: Εὐτραφῆ, πίονα, ὁ λόγος τοὺς μάρτυρας τῇ ἐκκλησίᾳ προσφέρει μεμυαλωμένους· ἰσχυροὺς καὶ εὐρώστους ὥστε τῶν βασάνων καταφρονεῖν· συστροφὴ, ὁμονοία, καὶ συμφωνία, οὕτως ἡ ἑτοιμασία ἀντὶ τοῦ προνοητικώτατα καὶ θεοπρεπῶς.

Νότος[x]: Ὁ ἄνεμος διὰ τοῦ ο μικροῦ.

Νῶτος δὲ ὁ μεταξὺ τῶν ὤμων τόπος διὰ τοῦ ω μεγάλου.

Νεοκράς: Ὁ νεωστὶ κεκραμένος.

Νότον: Καύσωνα.

Νῆσοι: Ὄρη μέσσον θαλάσσης.

Νεανίδων Τυμπανιστριῶν[y]: Κορῶν ψαλλουσῶν ἐν τυμπάνοις αἰνοῦσαι.

Οὐλὴ Δ' Ἐπενήνοθε Λάχνη: Νικίας ὀξύνει τῷ·

οὐλὴν μὲν πρῶτον τήν δ' ἐφράσατο ὀφθαλμοῖσιν· (Od. Ω. 330.)

οἱ δ' ἄλλοι βαρύνουσιν· τῷ κούρην ὡς οὕτως γὰρ καὶ τὸ ἀρσενικὸν αὐτῶν ἐβαρύνετο·

οὔλων τε ταπήτων· (Il. Π. 224.)

τοῦτο συγκατατίθεται καὶ ὁ Ἀσκαλωνίτης καὶ Ἀλεξίων καὶ Ἀρίσταρχος· καὶ μήποτε ἀναλόγως κατὰ τὴν κοινὴν συνήθειαν, εἴγε ὀξύνουσι τὸ ὄνομα, λέγοντες οὐλὸς ἄνθρωπος, καὶ οὐλὸν, καὶ οὐλὴ κόμη· οὐ δέον δὲ, τὰ γὰρ εἰς λος λήγοντα δισύλλαβα, μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλο σύμφωνον, παραληγόμενα δὲ τὸ ο, ἤτοι μόνω, ἢ μεθ' ἑτέρου φωνήεντος, βαρύνεται· πόλος· στόλος· θόλος· ὅλος· κοῖλος· δοῦλος· οὕτως δὲ καὶ οὖλος· προσέθηκα δὲ, μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλο σύμφωνον, διὰ τὸ μοχλός· πολλός· οὕτως ἀντιπίπτει τὸ θολὸς κατ' ὀξεῖαν τάσιν, ὁπότε σημαίνει τὸ μέλαν τῆς σηπίας· πρὸς γὰρ ἀντιδιαστολὴν, τοῦ

μεσσηγύτε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς· (Od. X. 442.)

οὕτως ἐτονώθη· οὐ δὲ τὸ Ἀλκμανικὸν[z] ἔχοι μάχης,

[x] In marg. ΓΡΑΜ. [y] Cod. ΤΥΜΒΑΝΙCΤΡΙΩΝ. [z] Cod. ἀλμανικόν.

ὦ λε δαῖμον·

τοῦ γὰρ ὄλωλε συγκοπή ἐστιν.

Ὄσσα: Παρὰ τὸ ἔπω, ὃ σημαίνει τὸ λέγω· ἢ παρὰ τὸ ὄπτω ὄσσω· ἡ θεῖα φήμη καὶ κληδών.

Ὀνειροπολεῖτο[a]: Ἐμαντεύετο διὰ τῶν ὀνείρων.

Ὀλοφύρετο: Ὀδύρετο, ἐθρήνη.

Ὀϊστόν: Βέλος.

Οἴχεσθαι: Πορευθῆναι.

Ὅγε: Οὗτος.

Ὁπλίτην: Ὁπλισάμενος.

Οἷα: Ὁποῖα.

Ὀχυρωθέντων: Ἀσφαλισθέντων.

Ὁμήρους: Ἀραβόνας.

Ὅρκιον: Μυστήριον.

Ὅμιλος[b]: Πληθύς.

Ὁμηχῶ: Οὐρῶ.

Ὀτρύνω: Διεγείρω.

Ὄλυρα: Εἶδος σίτου.

Οἱ νέκυς: Οἱ νεκροί.

Οἱ βότρυς: Οἱ βότρυες.

Ὁδῷ[c]: Βίῳ, ἔργῳ, πίστει.

Οὐκ ἔστη: Οὐκ ἐχρόνισεν, οὐκ ἐστάθη.

Οὐκ ἐκάθισεν: Οὐκ ἐνέμεινεν.

Οὐκ ἀπορρυήσεται: Οὐκ ἀποπεσεῖται.

Ὅσιος: Ἁγνός.

Ὁπλάς: Ὀνύχας ζώων.

Ὁλοκαύτωμα: Ὁλόκληρον καθαγιαζόμενον πυρί.

Οὗ: Οὕτινος.

Οὗ: Ὅπου.

Οὐ: Οὐδαμῶς.

Ὅς: Ὅστις.

Ὀπωροφυλάκιον: Λιθόλογιος τόπος ἐφ' ᾧ τὴν σκήνην ἔχει ὁ φυλάσσων ὀπώραν παντοίαν.

a In marg. ΝΙ^{Κ}. b In marg. ΓΡΑ^{Μ}. c In marg. ΨΑΛ^{Τ}.

Οὗ Ὑπέσχου Ἐν Τῷ Κόλπῳ Μου: Ὃν ἐβάστασας τὸν ἐκ Δαΐδ.

Οἶκον Θεοῦ: Τὴν τελειότητα.

Ὄρος Μέγα: Ἡ θεότης.

Παλλακίδος Περιχώσατο: Οἱ μὲν ἀνέστρεψαν, ἵνα γένηται περὶ πλακίδος, οἱ δὲ περιχώσατο ἀνέγνωσαν, ἵνα σημαίνει τὸ περισσῶς.

Πεζή: Ἡ πεζεύουσα.

Πέζη: Ἱμάτιον καὶ τὸ ποδάριον·

αὐτίκ' ἀνασχόμεναι λευκοῖς ἐπιγούνασι πέζας.

Παρηέρθη Δὲ Καρήνου: Ἀντὶ τοῦ ἐπήρθη· ἀπὸ τοῦ ἀείρω ἀερῶ, ἤερκα, ἤερμαι, ἠέρθην, ἠέρθης, ἠέρθη, καὶ παρηέρθη.

Πρῷ: Μονοσύλλαβον· καὶ σημαίνει τὸ πρὸ καιροῦ· καὶ τὸ ἕωθεν Ἀριστοφάνης[d]·

λουσάμενα πρῷ· μέλλω γὰρ ἑστιᾶν γάμους.

Περικαθάρματα: Τὰ ἀποψήγματα καὶ ἀποσαρώματα, καὶ κόπρος ἐξ οἴκου.

Περίψημα: Τὸ σάβανον ὃ τοὺς ἱδρῶτας τοῦ κάμνοντος ἀποψύχει.

Παραβολή: Τὸ διήγημα·

ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου·

ἀντὶ τοῦ ἐν τῇ διηγήσει τῶν ἀρχαίων λόγων.

Προπεπτωκώς: Παρὰ τὸ εἶναι ἔμπροσθεν ὠπῶν· καὶ Ὅμηρος προνώπια καλεῖ τοὺς τοίχους τοὺς καταντικρὺ τῶν οἰκειῶν·

σκιὰ γὰρ ἀντίστοιχον ὡς φωνὴν ἔχεις·

ὥσπερ ἡ φωνὴ οὐχ οἷα τέ ἐστιν καταπλῆξαι τινὰ ἢ ἀδικῆσαι. ἀντίστοιχος δὲ ἡ ὁμοία τινί.

Παρημένον[e]: Παραλελυμένον.

Πιεζομένης: Στενουμένης.

Πείσεται: Ὑπομείνει πάθος.

Προλοχήσαντες: Ἔνεδραν ποιήσαντες.

K

[d] Av. v. 132.

[e] In marg. NI.

Πόρθμος: Ἡ *μεταξὺ δύο γαιῶν θάλασσα.*

Πελάζουσιν: *Προσεγγίζουσιν.*

Περαιωθέντες: *Διαβάντες.*

Ποινάς: *Ἀπειλάς.*

Πιθοῦς: *Πίστεως.*

Πημαίνειν: *Βλάπτειν.*

Περιῆρχθαι: *Περικεκεῖσθαι.*

Πολιορκουμένους: *Καταστρεφομένους.*

Πιανάτω[f]: *Φαιδρυνάτω ἐν ἐλαίῳ.*

Πτερνισμόν: *Ἐπιβουλήν, δόλον.*

Πίονες: *Λαμπροί, πλούσιοι.*

Παρεμβολή: *Στρατοπαίδων, παράταξις.*

Παρεμβαλεῖ: *Παρατάξεται.*

Παράταξις: *Πόλεμος, παρασκευασμός.*

Παρεπίκραναν: *Προσήρισαν, ἐφιλονείκησαν.*

Παραβολή: *Πραγμάτων ὁμοίωσις.*

Πτερνισμοῦ: *Τῆς πορείας τοῦ βίου.*

Ποσαπλῶς: *Πολαχῶς, ἀναριθμήτως· ἔστη δὲ καὶ ἐπετάσθη σοι.*

Πύρωσον: *Δοκίμασον.*

Προσώχθισα: *Δυσηρετήθην, ἐβδελυξάμην, ὠργίσθην.*

Παρακεκλημένοι: *Παρακληθέντες.*

Πρέσβεις: *Παρακλήτορες.*

Περιοχῆς: *Περιεχομένης, περικυκλουμένης.*

Πέρατα: *Τέλη, πληρώματα.*

Παλαισταί: *Ἐν πάλῃ, ἐν μάχῃ· λέγονται δὲ καὶ σπιθαμαί.*

Πολυωρίσεις Με: *Αὐξήσεις, περισσεύσεις, φροντίσεις.*

Πελεκᾶνος: *Εἶδος ὀρνέου ὁ τρυπᾷ τὰ δένδρη.*

Πάζιον: *Λίθος πολύτιμος.*

Πνεῦμα Καταιγίδος: *Ἄνεμος σφοδρὸς μετὰ ὕδατος φερόμενος.*

f In marg. ΨΑΛ.

Πρᾶγος[g]: Ἡ εὐπραγία.

Πιμπράς: Ὁ ἐμπριστής.

Πλύνος: Ὄνομα ποταμοῦ.

Πίστυνος: Πεπιστευκώς.

Πάχυνος: Παχύς.

Πόλυννος: Ὄνομα ὄρους.

Πυρκαϊά: Λαμπρόν.

Πάρος: Πρότερον ἢ ἔμπροσθεν.

Ῥαΐζειν: Τὸ τρώγειν μιμητικὸν τῶν κυνῶν.

Ῥεφάν[h]: Εἶδος σκοτασμοῦ.

Ῥοθίῳ[i]: Ῥεύματι.

Ῥάρος[k]: Ὄνομα κύριον.

Ῥιπίς: Ῥιπίδιον.

Ῥόδιος: Ὁ ἀπὸ τῆς Ῥόδου.

Ῥάμνος[l]: Ἀκανθῶδες φυτόν.

Σταθῆναι: Ἔστιν ὑφ' ἑτέρου· Στῆναι δὲ κατ' ἰδίαν ὁρμὴν καὶ προαίρεσιν· οἷον, ἐστάθη ὁ ἀνδριάς· ἐστάθη ὁ νοσῶν· ἔστη δὲ ὁ ἄνθρωπος.

Σουδάρια: Τὰ τῶν κεφαλῶν.

Σιμικίνθια: Τὰ ἐγχείρια.

Σιπύη: Ἡ ἀρτοθήκη· οἷον, σιτοβύη, σιπύη.

Σάγμασιν: Ταῖς θηκαῖς τῶν ἀσπίδων.

κάλλιστα τεύχη δ' ἐνὶ καλλοῖσι σάγμασιν.

Σεμνεῖον[m]: Μοναστήριον.

Συμπάρεδρον: Συγκάθεδρον.

Σκεδαννύμενοι: Σκορπιζόμενοι.

Συναγείρας: Συναθρύσας.

Σχολαιότερον: Ἀργότερον.

Σκεδάννυνται: Σκορπίζονται.

Σεσαγμένους: Ἐστρωμένους.

[g] In marg. ΓΡΑ^{M}. [h] In marg. ΕΥΑΓΓΕ^{Λ}. [i] In marg. ΝΙ^{K}.

[k] In marg. ΓΡΑΜΜ^{A}. [l] In marg. ΨΑΛ^{T}. [m] In marg. ΝΙ^{K}.

Στύξ[n]: Ὁ μισητός.

Σαλαμήν: Ὄνομα ἔθνους.

Σαρπίς: Ὁ σαρπός.

Σάμιος: Ὁ ἀπὸ τῆς Σάμου.

Σκολόπενδρα: Εἶδος θηρίου.

Σύνετε[o]: Νοήσατε.

Συνεπιτιθεμένων: Συνεδρευόντων, συνεπερχομένων.

Συμβιβῶ: Ἐφιστῶ, νοῆσαι ποιῶ.

Σελμών: ἀνταπόδοσις.

Σκύλα: Πραῖδα, λάφυρα.

Σκαμβή: Διεστραμμένη.

Σκύμνοι: Σκύλακες.

Σάλον Μετακίνησιν, ταραχήν.

Στραγγαλιάς: Διαστροφάς.

Συντέθηκα: Συνεθέμην.

Σίκημα: Πόλις μικρὰ ἐν τοῖς τῆς Ἰουδαίας.

Σκηνὴν Θαυμαστήν: Τοῦ κατὰ Θεὸν προκόπτοντος.

Τρώων Ἀντ' Ἑκατόν Τε Διηκοσίων τε Ἕκαστος[p]: (Il. Θ. 233.) Ὁ Ἀσκαλωνίτης ἀντὶ ἑκατὸν ἐκδέχεται τὸ πλῆρες· λέγει οὖν τότε μὲν ἀνθ' ἑκατὸν, νῦν δὲ οὐδενὸς λόγου ἄξιοι εἰ μὲν Ἕκτορος· εἰσὶν δὲ οἳ ὀξύνουσιν τὴν αν συλλαβὴν ἵνα ᾖ τὸ πλῆρες ἄντα· οὕτως δὲ ἀξιοῖ Δημήτριος ὁ Γουνπεσσός· καὶ ἔμοιγε οὕτως ἀρέσκει τὸ τῆς διανοίας ἄντικρυς· ὡς Τρώων ἑκατὸν καὶ διηκοσίων εἷς ἕκαστος στήσεσθαι φησίν· οὐ γὰρ κωλύεται καὶ ἡ τοῦ ἄντα σύνταξιν, εἴγε ἐπὶ γενικὴν φέρεται·

ἄντα γὰρ Ἡφαίστοιο. (Il. Υ. 73.)
ἄντα δ' Ἐνυαλίοιο
αὐτὰρ Ἀχιλλεὺς
Ἕκτορος ἄντα. (Il. Υ. 76.)
τολμήσοις Διὸς ἄντα πελώριον. (Il. Θ. 424.)

Τί Κατηφᾶς Ὄμμα Καὶ Δακρυρροεῖς: Κατὰ κάρα ὃ φαμὲν κατὰ κέφαλα[q].

n In marg. ΓΡΑ[M]. o In marg. ΨΑΛ[T]. p Cf. Schol. Ven. A. quo plen. est noster. q In marg. Χ[ρ]. Εὐριπ. scil. Med. v. 1012.

Τηνικάδε [q] : Τότε.

Ταμίας : Φύλαξ.

Τηνικαῦτα [r] : Τότε.

Τοθάζει ; Χλευάζει.

Τμηθῆναι : Ἀποκεφαλισθῆναι.

Τὰ Ἐπιτηδεύματα [s] : Τὰ ἐπιχειρήματα· τὸ ἀντάλλαγμα τὰ ἴχνη.

Τροπώσομαι : Νικήσω, πλήξω.

Τηλαυγὴς : Πόῤῥωθεν τὴν αὐγὴν ἀποπέμπουσα.

Τὸν Πορνεύοντα : Τὸν μακύνοντα, τὸν ἀποστήκοντα.

Τηλαυγέσεως : Λαμπρότητος.

Τύμπανον : Σῶμα.

Τορύνη [t] : Ἡ καταπεπονημένη.

Ὕμνος εἰς Θεόν· Ἐγκώμιον εἰς ἄνθρωπον.

Ὑπηντίαζεν [u] : Ὑπήντα.

Ὕπερθεν : Ὑπέστρεφεν.

Ὑπόφορος : Ὑποτελής.

Ὑπασπιστάς : Ὑπηρέτας.

Ὑπαγωγήν : Κλοπήν.

Ὑπέσχετο : Ἐπηγγείλατο.

Ὑπονοστήσαντες : Ὑποστρέψαντες.

Ὑπερασπιστὴς [x] : Φύλαξ.

Ὑπερῷα : Ἀνώγαια.

Ὑῶν : Χοιρέων.

Ὕπερον : Τὸ τύπτον εἰς τὸν ὅλμον, ἤγουν τρίβον.

Ὑποθημοσύνη : Ὑποθήκη.

Φειδωλία : Σκνιφία παρὰ τὸ φεύγειν τὸ δοῦναι.

Φιλοίτιος : Ὁ Ὀδυσσέως φίλος.

Φρούριον [y] : Φυλακτήριον.

Φρουρεῖν : Φυλάττειν.

[q] Cod. TINIKAΔE. In marg. $\overset{K}{\text{NI}}$. [r] Cod. TINIKAṪTA.

[s] In marg. $\overset{T}{\text{ΨAΛ}}$. [t] In marg. $\overset{A}{\text{ΓPAM}}$. [u] In marg. $\overset{K}{\text{NI}}$.

[x] In marg. $\overset{T}{\text{ΨAΛ}}$. [y] In marg. $\overset{K}{\text{NI}}$.

Φάλαξ : Τάξις πολεμικὴ πεζῶν.

Φάρος [z] : Ἱμάτιον.

Φαρκίς : Τὸ φαλκίδιον.

Φρῦνος : Ὁ βάτραχος.

Φαρέτρα [a] : Βελοθήκη.

Φαῦσιν : Φῶς.

Φρύγιον : Ξύλον ξηρανθὲν, φρύγανον.

Φάος : Φέγγος.

Φαθί : Διατί ὀξύνει τὸ φαθὶ Ἀπολλώνιος; ἐπειδὴ πᾶν ῥῆμα τῶν εἰς μι τροπῇ τοῦ μ εἰς θ συστέλλων τὴν παραλήγουσαν εἰς τὴν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν μετὰ τοῦ αὐτοῦ τόνου προστακτικὸν ποιεῖ· τίθημι, τίθετι· ἵστημι, ἵσταθι· καὶ ἐπειδὴ ὀξύνεται τὸ φημὶ, ὀξύνεται καὶ τὸ φαθί· ὁ δὲ Ἡρωδιανὸς ἐβάρυνεν· οὐδὲν γὰρ προστακτικόν φησιν εἰς θι λῆγον ὀξύνεται.

Χαλεφῆς : Ἀπὸ τοῦ χαλέπτω·

σύγγνωθί μοι καὶ μὴ χαλεφῇς ὦ πάτερ.

Χρᾶ : Μαντεύεται, ἀπὸ τοῦ χρῶ, χρᾷς, χρᾷ· χρῶ συγγενεῖς· χρῷ ξυμπότα· χρῶ φυλέτα.

Χελύνη [b] : Χελόνη.

Χελύνιον δὲ τὸ χεῖλος.

Χόρος [c] : Κύκλος, στεφάνη.

Χνοῦς : Κονιορτός.

Χοῦς : Γῆ.

Χιονωθήσονται : Λαμπρωθήσονται.

Χείμαροι : Χειμέριοι ποταμοί.

Χίμαρροι : Τράγοι.

Χάρακα [d] : Σοῦδα.

Χειρίδας : Μανικέλλια.

Χρατῆσαι : Σημαίνει τὸ ξέσει, ἵνα μόνον ἐκδείρῃς τὸ ζῷον

[z] In marg. ΓΡΑΜ^{Α}. [a] In marg. ΨΑΛ^{Τ}. [b] In marg. ΓΡΑ$^{Μ.}$

[c] In marg. ΨΑΛ^{Τ}. [d] In marg. ΝΙ^{Κ}.

ἐν τῷ δέρματι μικρόν τι παρὰ χρῶς τὸ σῶμα· χῶ καὶ ἐξ αὐτοῦ χραύω, χραύσω, καὶ χραύσῃ.

Ψηφίς [e]: Τὸ μικρὸν ψιφίον.

Ψάρ: Ὄνομα ἔθνους· σημαίνει δὲ καὶ τὸν πρεκνόν.

Ψαλτήριον [f]: Ὄργανον ὃ καὶ ναῦλα καλεῖται.

Ὥσπερ γὰρ ἐν νυκτὶ τὰς ἀθρόας τοῦ ἀέρος ἐκλάμψεις, ἅστινας διάττοντας ἀστέρας καλοῦσιν, οὐδὲν ἄλλο φασὶν οἱ τὰ τοιαῦτα φιλοσοφήσαντες ἢ ἀέρα εἶναι, ὑπὸ βίας πνευμάτων τινῶν εἰς τὸν αἰθέριον τόπον ὑπερχεομένων· λέγουσι γὰρ τὸν πυροειδῆ τοῦτον ὄλκον, ἐκφλογωθέντος ἐν τῷ αἰθέρι τοῦ πνεύματος, τῷ οὐρανῷ ἐγχαράττεσθαι.

Ὤια: Τὸ κράσπεδον.

Ὠιμογμένον: Ἀντὶ τοῦ οἰμώζοντα.

Ὠιόν: Παρὰ τὸ ᾤζειν καὶ ἐπῴζειν, ἐπῳάζειν.

Ὧς [g]: Οὕτως.

Ὤχετο: Ἐπορεύετο.

Ὠλένῃ: Χειρί.

Ὠΐδίνησεν [h]: Ὠδυνήθη, πικρῶς ἐκύησεν.

Ὦγ: Διάφραξις.

Ὠσμένῳ: Ὠθισμένῳ, πεσόντι.

Ὠσθείς: Ὠθισμένος, ὠθιζόμενος.

Ὣς φάσαν ἡ πληθύς: (Il. B. 278.) Διατί τῷ πληθυντικῷ ἀριθμῷ ἑνικοῖς συνέταξεν ὁ ποιητής; ἑνικὰ γὰρ ὀνόματα ἑνικοῖς συντάσσονται ῥήμασιν· καὶ πληθυντικὰ ὀνόματα ὁμοίως πληθυντικοῖς· τὰ περιληπτικὰ ὀνόματα δύο συντάξεις ἀναδέχονται τῷ λόγῳ τῆς φωνῆς, καὶ τῷ λόγῳ τοῦ σημαινομένου· ἐνταῦθα δὲ ὁ ποιητὴς οὐ τῷ λόγῳ τῆς φωνῆς, ἀλλὰ τῷ λόγῳ τοῦ σημαινομένου πληθυντικῷ ἀριθμῷ συνέταξεν, εἰ καὶ τῇ φωνῇ ἑνικὸν τὸ πληθὺς κατὰ τὸν τοῦ σημαινομένου χαρακτῆρα.

[e] In marg. ΓΡΑ$^{\mathrm{M}}$. [f] In marg. ΨΑΛ$^{\mathrm{T}}$. [g] In marg. ΝΙ$^{\mathrm{K}}$.
[h] In marg. ΨΑΛ$^{\mathrm{T}}$.

ΛΕΞΕΙΣ ΚΑΤᾺ ΣΤΟΙΧΕΙ͂ΟΝ ΤΩ͂Ν ᾨΔΩ͂Ν.

Ἀναβάτας: Τοὺς ἐπικαθημένους τοῖς ἵπποις.
Ἄγρωστις: Εἶδος βοτάνης.
Ἀπέδοτο: Ἐπώλησεν.
Ἀνθέξεται: Ἀντιποιηθήσεται, ἀντιλήψεται.
Ἀπὸ Θαιμάν: Ἀπὸ πειρασμοῦ.
Ἀπὸ Κοπρίας: Ἀπὸ μεσημβρίας.
Ἀπῶσμαι: Ἐξεῤῥίφην.
Ἄνες: Ἄφες, συγχώρησον.
Βολίδες: Ἀκτῖνες.
Διείς: Διανοίξας, διαπετάσας.
Δίκην: Τιμορίαν.
Δύο Ζῶα: Ἢ ἀνθρώπων καὶ ἀγγέλων· ἢ τῶν Ἑβραίων καὶ τῶν ἐθνῶν· ἢ τῆς ἐνταῦθα ζωῆς καὶ τῆς μελλούσης· ἢ θεότητος καὶ ἀνθρωπότητος· ἢ μέσον δύο λῃστῶν.
Ἔθραυσεν: Συνέτριψεν.
Εἰς Καταλύμα: Εἰς ἀναπαυτήριον, εἰς οἴκημα.
Ἐλιπάνθη: Ἐλιπαρίασεν, ἐπιάνθη.
Ἐπεποίθησαν: Ἐθαῤῥοῦσαν.
Ἐν Ἀπειλῇ: Ἐν φοβερισμῷ.
Ἔδεται: Ἐσθίει.
Ἔδυ: Κατέδυσεν.
Εἵλατο: Ἀνέλαβεν.
Εὐθεῖαι: Ὀρθαί.
Εὖ Ἡμῖν: Καλῶς ἡμῖν.
Ἐχθίστων: Ἐχθροτάτων.
Ἐκτελέσαι: Λειτουργῆσαι.
Ἐπιείκειαν: Πραότητα.
Ἐχεῖτο: Ἐχύνετο.
Εἰς Ὁδὸν Εἰρήνης: Τὴν κατὰ Θεὸν πολιτείαν.
Ἥκασιν: Ἦλθεσαν.
Ἥξει: Ἐλεύσεται.
Ἵπποι: Τοὺς ἀποστόλους.
Κρίμα: Δικαίωμα ἠκριβασμένον.

Κέρας : Βασίλειον.
Καρπῶσαι : Θυσιάσαι.
Κατετοῦναι : Ὀρθῶσαι.
Καθεῖλεν : Κατέβαλεν.
Λατρεύειν : Δουλεύειν.
Μεγέθη : Μεγαλωσύνη, μεγαλειότητι.
Μωμητά : Μεμπτὰ, ψεκτά.
Μεταφρένοις : Μεταξὺ τῶν ὤμων.
Μὴ Δή : Μὴ οὖν.
Μὴ Διασκεδάσῃς : Μὴ διασκορπίσῃς.
Μηνίσας : Ὀργισθείς.
Νοσσιάν : Φωλεόν.
Νεοσσοῖς : Τοῖς τέκνοις, τοῖς πουλίοις.
Νάφθαν : Θιάφιν θεῖον.
Ὀπισθότονος : Εἶδος νόσου κυρτώματος.
Ὀμοῦμαι : Ὀμόσω.
Ὅς : Ὅς.
Ὀλίγον : Ὀλίγον.
Ὅσα Ἐτάξάμην : Ὅσα συνεταξάμην.
Ὁ πέδησας : Ὁ δήσας.
Οὐ παρηνόχλησεν : Οὐκ ετάραξεν.
Παρεκάλεσας : Παρεμυθήσω.
Πυροῦ : Σίτου.
Παρειμένους : Παραλελυμένους.
Παράτεινον : Μὴ ἐκκόψῃς, μὴ ἀποστήσῃς.
Παρῆκαν : Παρῆλθον ἀπολαύοντες.
Πορίας : Ἐμπορίας.
Πιόνων : Λιπαρῶν.
Ραγήσεται : Σχισθήσεται.
Σκῦλα : Πρεδα, λάφυρα.
Στέαρ : Στέας.
Συνεπίθωνται : Ἐνεδρεύωσιν, ἐπέλθωσιν.
Σπονδῶν : Θυσιῶν.
Σκῆπτρα : Βασιλείας.

Στυπεῖον: *Καλάμην.*

Σκήνην: *Παπυλεῶνα.*

Τριστάτας: *Μοίρας ἄρχοντας.*

Τῷ Κόσμῳ: *Τὴν εὐκοσμίαν.*

Τὸ Καθόλου: *Τὸ σύνολον οὐδ' ὅλως.*

Τὴν Ἁμαρτίαν: *Τὸν θάνατον τὸν αἰώνιον τοῦ κόσμου τοῦ Ἀδάμ.*

Τὰς Ἁμαρτίας: *Τῶν ἀνθρώπων τοῦ κόσμου.*

Ὕδατα Πολλά: *Τὰ ἔθνη.*

Ψάμμου: *Ἄμμου.*

Ὠδίνουσα: *Τίκτουσα.*

Ὦ Μέγ' Ἀναιδές: *Ἀντὶ τοῦ ὢ μεγάλως ἐπίῤῥημα ποιότητος.*

Ὡς: *Πότε ὀξύνεται, καὶ πότε βαρύνεται, καὶ πότε περισπᾶται; ἔστι δὲ εἰπεῖν· τὸ ὡς ὅτε ἐπὶ τέλους στίχου κεῖται ὀξύνεται, καὶ ὅτε προηγεῖται ἐγκλητικοῦ μορίου, ἐάν τε ἄρχοι φράσεως, εἴτε μέσον εἴη· οἷον·*

> *Τρῶες μὲν κλαγγῇ ἐνοπῇ τ' ἴσαν ὄρνιθες ὥς·* (Il. Γ. 2.)
> *ὥς μοι καλὰ τὸν οἶτον ἀπότμου παιδὸς ἔνισπες·* (Il. Ω. 388.)
> *ὥστε γὰρ ἢ παῖδες νεαροὶ χῆραί τε γυναῖκες·* (Il. Β. 289.)
> *ἀλλ' ὥς τις τούτων γε βέλος καὶ οἴκοθι πέσσει·* (Il. Θ. 513.)

βαρύνεται δὲ ἐν ἀρχῇ τασσόμενον, μὴ ἐπιφερομένου ἐγκλητικοῦ μορίου.

> *ὣς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ·* (Il. Η. 1.)
> *ὡς δὲ λέων μήλοισιν ἀσημάντοισιν ἐπελθών·* (Il. Κ. 485.)
> *ὣς ἐχάρη Μενέλαος Ἀλέξανδρον θεοειδέα*
> *ὀφθαλμοῖσιν ἰδών·* (Il. Γ. 27.)

καὶ ἐν μέσῃ φράσει, μὴ ἐπιφερομένου ἐγκλητικοῦ μορίου, εἰ μὴ σημαίνοι τὸ ὅμως, ἢ τὸ οὕτως, ὁπότε γε οὕτως ὑποτάσσεται συνδέσμῳ·

> *ὡς αἰεὶ τὸν*[f] *ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον·* (Od. Ρ. 218.)

[f] τῶν.

καὶ,

Ἕκτωρ ὡς εἶδεν Τεύκρου βλαφθέντα βέλεμνα· (Il. O. 484.)

καὶ,

Ἕκτωρ ὡς οὐκ ἔνδον ἀμύμονα τέτμεν[g] ἄκοιτιν· (Il. Z. 374.)

Ἀρίσταρχος δὲ παρήνει καὶ Τυραννίων τὸ ὡς ἐν μέσῃ φράσει περισπᾶται εἰ ὑποτάσσοιτο συνδέσμῳ· ὥσπερ ἐπὶ τῶν τοιούτων·

ἀλλὰ καὶ ὡς ἐθέλω καὶ ἔλδομαι ἤματα πάντα· (Od. E. 219.)

ἐπεὶ ὡς ἄγε νεῖκος Ἀθήνη· (Il. Λ. 720.)

ἀλλὰ καὶ ὡς ἱππεῦσι μετέπρεπον ἡμετέροισιν· (Il. Λ. 719.)

ἀλλὰ καὶ ὡς ἐθέλω δόμεναι πάλιν εἰ τόγ' ἄμεινον· (Il. A. 116.)

ἀλλ' οὐδ' ὧς σε ἔολπα ὀνόσσεσθαι κακότητος. (Od. E. 379.)

Χεῖλος: Παρὰ τὸ χέειν τὴν ἰλύν· ἢ παρὰ τὸ χέειν λόγους· τὸ χει δίφθογγον· τὰ διὰ τοῦ ειλος ἀρσενικὰ πρὸ μιᾶς τὸν τόνον ἔχοντα, μὴ ὄντα ἀπὸ ὀνόματος ἔχοντος τὴν ει δίφθογγον, ἀποστρέφονται τὴν διὰ τῆς ει διφθόγγου γραφήν· πλὴν τοῦ Νεῖλος· τοῦτο δὲ παρὰ τὸ νέαν ἔχειν ἰλύν· οἷον, Τρωΐλος· Ζωΐλος· Καδμῖλος· ναυτῖλος· προπῖλος· κτῖλος· σημαίνει δὲ τὸν προηγούμενον τῆς ποίμνης κριόν· πρόσκειται ἀρσενικὰ διὰ τὸ χεῖλος· πρόσκειται πρὸ μιᾶς τὸν τόνον ἔχοντα, διὰ τὸ δειλός· μὴ ὄντα ἀπὸ ὀνόματος ἔχοντος τὴν ει δίφθογγον εἴπομεν, διὰ τὸ χεῖλος, ἀγκυλόχειλος· καὶ δειλὸς, κροκόδειλος· ταῦτα γὰρ τοῦ χεῖλος καὶ τοῦ δειλὸς τὴν ει δίφθογγον ἐφύλαξαν.

ΛΕΞΕΙΣ ΤΩΝ ΚΑΝΟΝΩΝ[h].

Ἀφεγγεῖς: Μὴ ἔχοντας φέγγος ἢ φῶς.

Ἀπεγράφης: Ἠριθμήθης.

Ἀπαύγασμα: Ἀκτὶς ἡλίου.

Ἀπήματον: Ἀβλαβῆ, πῆμα γὰρ ἡ βλάβη.

Αὖθις: Πάλιν.

Αὐχένα: Τράχηλον[i].

Ἀρρήτως: Ἀλέκτως.

[g] Cod τέκεν. [h] Cod. ΚΑΝΩΝΩΝ. [i] Cod. τράχιλον.

Ἀμείνω: Καλλίων.
Ἀγραυλοῦντες: Ἐν ἀγρῷ οἰκοῦντες.
Ἀστροπολοῦντας: Ἀστέρας σκοπείστας.
Αὐδῶ: Προσφωνῶ.
Ἀγριωπόν: Ἀγριόφθαλμον.
Ἀπαρκέσαι: Καταπαῦσαι.
Ἄπλητα: Μέγα, πολὺ, ἐπιῤῥηματικῶς δέ.
Ἄσπετον: Πολὺ, ἄφθονον.
Ἀρηγέ: Βοηθὲ, λυτρωτᾶ.
Ἀνθοποιόν: Ἄνθη ἐκφέρουσαν.
Ἀμφώμοισι: Ἀμφοτέροις τοῖς ὤμοις.
Ἀθρῶν: Θεωρῶν.
Ἀνειμένων: Ἀνεωγμένων.
Αἴσχους: Ἁμαρτίας.
Ἀκηράτου: Ἀφθάρτου.
Ἁγιστία: Ἁγιωσύνη.
Αἰγλῆντα: Ἀστράπτοντα.
Ἀμείνονα: Βελτίονα.
Ἀπηνές: Σκληρόν.
Ἄντλημα: Ὕδωρ.
Ἀρκύων: Δεικτύων.
Ἀναρέτην: Λυτρωτήν.
Ἀνηλίων: Σκοτεινῶν, μὴ ἐχούσων ἥλιον.
Ἀντωθουμένη: Βαρουμένη.
Ἀπεχθής: Μισητής.
Ἁπλανῆ: Εὐθεῖαν.
Ἀφύκτοις: Ἃς οὐδεὶς δύναται φυγεῖν.
Ἄσεμνα: Ἀπρεπῆ.
Ἀτρεκέστατος: Ἀληθέστατος.
Ἄληπτος: Ἀκράτητος.
Ἄλις: Ἀρκοῦντα.
Ἄνασσα: Βασίλισσα.
Ἀλθαίνοντα: Ἰώμενον.
Ἀπατρακούστης: Ἃ παρὰ τοῦ πατρὸς μὴ ἐκστάς.

ἈΛΈΚΤΩΡ: Πολυόχευτον γὰρ τὸ ζῶον· τῆς α φωνῆς τὸ πολὺ δηλούσης· οἱ δὲ ὅτι ἐκ τῶν λέκτρων ἡμᾶς ἐγείρει.

ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠὼς
ὤρνυτ' ἄρ' ἐξ εὐνῆς ἱερὸν μένος Ἀλκινόοιο. (Od. Θ. 1.)

ΛΈΞΕΙΣ ἘΚ ΤΟΥ͂ ΘΕΟΛΌΓΟΥ.

ἈΝΘΟΣΜΊΑΝ: Ἡδύν.

ἉΒΡΟΥ͂Σ: Τρυφερούς.

ἈΚΡΑΙΦΝΕΣΤΆΤΩΙ: Καθαρωτάτῳ.

ἈΠΡΌΣΙΤΟΣ: Ἀθεώρητος.

ἈΝΕΚΤΌΝ: Ἀκατάσχετον· "ἡμῖν δὲ οὐ γὰρ ἀνεκτὸν καταλιποῦσι τὸν λόγον διακονεῖν τοῖς ἐλάττωσιν."

ΑὐΡΑΙ͂Σ: Πνοαῖς.

ὌΑΛΗΣ: Πλάνης.

ἈΓΧΙΣΤΡΌΦΟΙΣ: Εὐθέως στρεφομένοις.

ἈΝΗΚΈΣΤΩΝ: Ἀνιάτων.

ΑἸΣΧΊΣΤΟΙΣ: Αἰσχροτάτοις.

ἈΦΗΝΙΆΖΟΝΤΙ: Χωρίζοντι.

ἈΠΌΝΟΙΑ: Ἀνοίας καὶ νωθείας διαφέρει· ἡ ἀπόνοια μανία τις οὖσα καὶ ὑπερηφανία[k] μισεῖται· ἡ δὲ ἄνοια καὶ νωθεία στέρησις οὖσα φρονήσεως ἐλεεῖται μᾶλλον ἢ μισεῖται.

ἈΜΗ͂ΣΑΙ: Θερίσαι.

ἈΛΟΚΌΤΟΥ: Ἐναντίας, ξένης.

ἈΓΧΙΝΟΊΑΣ: Συνέσεως.

ἈΝΤΊΡΡΟΠΑ: Ἀντίσταθμα.

ἈΝΤΙΘΈΟΥ: Ἐχθροῦ, ἰσοθέου.

ἈΣΜΈΝΩΣ: Χαίρουσι.

ἈΘΡΌΩΣ: Ταχέως.

ἈΝΑΡΡΉΣΕΩΣ: Ἀνακηρύξεως.

ἈΛΙΤΉΡΙΟΝ: Ἁμαρτωλόν.

ἈΦΟΣΙΟΥ͂ΣΘΑΙ: Σπουδῇ ποιεῖν τὰ πρὸς τοὺς νόμους.

ἈΡΥΟΜΈΝΗ: Ἀντλοῦσα.

k Cod. ὑπεριφανία.

Ἀοιδίμων: Ἀεὶ ὑμνήτων.

Ἀγεννές: Ἀνελεύθερον.

Ἄγαλμα: Πᾶν ἐφ' ὅ τις ἀγάλλεται, καὶ εἰκών.

Ἀνάθημα: Οἰκεῖον κόσμημα.

Ἀρίστης: Μεγίστης.

Ἀπῆν: Οὐκ ἦν.

Αἰδέσιμον: Τιμιώτατον.

Ἁλῶναι: Συνδεθῆναι, ληφθῆναι, αἰχμαλωτισθῆναι, πληγῆναι.

Ἄπαγε: Παῦσε.

Ἄριστος: Μέγιστος, ἐξοχώτατος.

Ἀκαδημεία καὶ τὸ Λύκειον: Ἄμφω γυμνασία ἦν· καὶ Πλάτωνος μὲν ἡ Ἀκαδημεία· Ἀριστοτέλους δὲ τὸ Λύκειον ὑπῆρχε διατριβή· ἐν τούτοις οἱ περίπατοι τοῖς γυμνασίοις ὑπῆρχεν.

Ἀπέριττον: Τὴν ἀκτημοσύνην[l].

Ἀλιτήριον: Ἁμαρτωλὸν, ἄδικον θηρατὴν θανάτου ἔνοχον.

Ἄσχετον: Ἄμετρον, ἀφόρητον, ἀβάστακτον.

Ἀνατύπωσις: Διανόησις.

Ἄωρον: Ἄκαιρον.

Ἀμυήτοις: Ἀπείροις, ἀμετόχοις.

Ἄμμασιν: Ἐπὶ τοῦ γενναίου σχοινίου.

Αἴσχιον: Τὸ ἁπλοῦν αἰσχρόν· τὸ συγκριτικὸν αἴσχιον.

Αἰτναῖον Πῦρ: Σικελία νῆσος μεγίστη διακειμένη περὶ Ἰταλίαν· ἐν ταύτῃ ἐστὶ πόλις Κατάνη λεγομένη· ὑπεράνω δὲ ὄρος, ἐξ οὗ ἀναδίδοται[m] πῦρ πολύ τε καὶ διηνεκές· καλεῖται δὲ τὸ ὄρος Αἴτνη· καλοῦνται δὲ καὶ τοῦ Ἡφαίστου[n] κρατῆρες· τοῦτο δὲ τὸ πῦρ ἐστιν ὅτε τοσοῦτον ὑπερβλύζειν, ὥστε ποταμιδὸν φέρεσθαι, καὶ ῥεῖν ὡς ὕδωρ μετὰ τῆς ἀναδιδομένης πυρώδους ὕλης· ἔστι δὲ καὶ θεῖόν τι τὸ πῦρ τοῦτο· λέγεται γὰρ ὅτι ποτὲ πατήρ τις μεθ' υἱοῦ εὑρέθη ἐν τῷ ὄρει τούτῳ· καὶ ἄφνω ἔρευσεν ποταμιδὸν τὸ πῦρ· καὶ ἄπορον αὐτοῖς γέγονε τὸ

[l] Cod. ἀκτιμοσύνης. [m] Cod. ἀναδίδωται. [n] ἡφέστου.

παρελθεῖν· ὁ δὲ παῖς ἔλαβεν τὸν πατέρα, καὶ ἐβάσταζεν· καὶ ἐρυθριάσαν τὸ πῦρ τὴν πρᾶξιν τοῦ υἱοῦ ἀνεκόπη τῆς ἐπιῤῥοῆς, καὶ παρῆλθεν ὁ παῖς καὶ ὁ πατὴρ ἀβλαβής.

Ἄϊδος Κυνέην: Περικεφαλέαν ᾄδου, σκότος βαθύτατον.

Ἄγος: Ἐπὶ τοῦ κακοῦ.

Ἁγιστεία δὲ καὶ ἁγιστεύειν ἐπὶ τοῦ καθαροῦ.

Ἀφόρητον: Ἀβάστακτον.

Ἀμπώτιδες: Ἄμπωτις ἐναντία ἐστὶν τῇ ῥαχίᾳ· ταῦτα δέ ἐστι πάθη θαλάσσης στενῆς· ἄμπωτις μέν ἐστιν, οἱονεὶ ἀναῤῥόφησις καὶ ἀνάποσις ὑποστελλομένου τοῦ ὕδατος εἰς μυχούς[o] τινας τῆς ὑποκειμένης γῆς, καὶ μετ' ὀλίγον ἐκφυσῶντος πάλιν· τὸ μὲν οὖν ὑποσταλῆναι τὸ ὕδωρ ἔσω εἰς τὰ κυκλώματα τῆς γῆς λέγεται ἄμπωτις· τὸ δὲ ἐκρεῦσαι ῥαχία· τοῦτο δὲ πολλάκις γίνεται τῆς ἡμέρας· μάλιστα ἐὰν πνεῖ ἄνεμος· πάσχει δὲ τὸ πάθος τοῦτο ὁ Εὔριπος ὁ περὶ τὴν Ἑλλάδα.

Ἀσκοῦμαι: Τὸ πράγμα, τουτέστιν τὸ μελετῶ· καὶ ἐπὶ ἐνεργείας τοῦτο, καὶ πάλιν ἀσκῶ τὸν ἄνθρωπον.

Ἄττα: Εἰ μὲν δασύνεται ἅτινα, εἰ δὲ ψιλοῦται τινά.

Ἀμωσγέπως: Καὶ Μηγέπη· τρόπῳ τινὶ, καὶ ὅπως δήποτε δηλοῖ· τὸ Δαμόθεν γε, πόθεν σημαίνει ἀπό τινος μέρους· οἷον, ὅθεν δήποθεν.

Βαθεῖς: Ὑψηλός.

Βορβόρου Πρὸς Πόλιν Ἄγειν: Διὰ πετρῶν τῷ ῥοθίῳ κεκαλυμμένων[p] πρὸς ὁρμὸν, ἤγουν πρὸς λιμένα ἐπίγεσθαι.

Βωμολόχος: Ὁ εὐτελὴς καὶ ὁ πανοῦργος καὶ ὁ κακοῦργος, καὶ οἱ ἁρπάζοντες ὄρνιθές τι τῶν ἐντόμων, οἷον κόρακες, ἰκτῖνοι καὶ τὰ ὅμοια· εἴρηται δὲ παρὰ τὸ λοχᾶν καὶ ἐνεδρεύειν παρὰ τὸν βωμόν.

Γῆ Ἐπαγγελίας: Ἡ εἰς Χριστὸν πίστις.

Καλῷ τὸ κακὸν οὐκ ἰώμενοι, καλοῦ δὲ τὸ φαῦλον ἀντιλαμβάνοντες.

Γλωσσαλγίαν: Ἀργολογίαν.

Δράματα: Ποιήματα.

Δείσαντες: Φοβηθέντες.

[o] Cod. μοιχούς. [p] Cod. κεκαλλυμένων.

Δυσπρόσιτον: Δυσχαρές.

Διαρρήδην: Σαφῶς, φανερῶς.

Δειδίττη: Ἐκφοβεῖ.

Δεῖ: Πρέπει.

Δέδασται: Μεμέρισται.

Δέδοικα: Φοβοῦμαι.

Δορκαλίσι: Δορκαλὶς ὄργανόν ἐστι κολαστικόν τι· ἢ μάστιγες αἱ ἀπὸ ἱμάντων δορκάδος, ὡς ὑστριχίδες αἱ μάστιγες αἱ ἀπὸ τριχῶν ὑός· ἔστι δὲ καὶ ὕστριχις θηρίον τρίχας ἔχον ὑὸς, ἃς ἐν τῷ διώκεσθαι ἐξακοντίζει κατὰ τῶν διωκόντων.

Διωρύξ: Ἔστιν αὐτὸς ὁ πόρθμος· διορυχὴ δὲ αὐτὸ τὸ διορύσσειν, ἵνα διώρυξ, ἤτοι πόρθμος γένηται· καὶ ταύτην ἔχει τὴν διαφορὰν ἡ διορυχὴ πρὸς τὴν διώρυχα, ἣν ἔχει ἡ ἐλευθέρωσις πρὸς τὴν ἐλευθερίαν· κακεῖ γὰρ ἡ ἐλευθέρωσις ὁδός ἐστι πρὸς τὴν ἐλευθερίαν.

Τὰ Δηλούμενα Τῶν Δηλουμένων: Τὰ μὲν μίᾳ προσηγορίᾳ καὶ τῇ αὐτῇ λέξει· διαφορὰ ἐστι τῷ σημαινομένῳ· οἷον, τέλος φιλοτιμία· στοιχεῖον πῇ μὲν σημαίνει τὰ γράμματα, πῇ δὲ τὰς ποιότητας· ἐξ ὧν τὰ σώματα· καὶ οἷον ἡ κύων προσηγορία ὁμώνυμος οὖσα φωνὴ κατὰ διαφόρων σημαινομένων· τὰ δὲ διαφόροις ὀνόμασι καὶ κλίσεσι ταῦτα ἐστίν· οἷον, κρεῖττον· βέλτιον· ἄμεινον· καὶ πάλιν· ἑστίασις· εὐωχία· καὶ τὰ τοιαῦτα ταῦτα ἐστὶν ἐν διαφόροις ὀνόμασιν.

Ἐρανίζοντες: Συλλέγοντες.

Εἰδῶμεν: Γνῶμεν.

Ἐπαφιεμένην: Ἐπιπεμπομένην.

Εὐπρόσιτος: Εὐπρόσδεκτος.

Ἑῴας: Ἀνατολῆς.

Ἐκποδὼν: Ἀφανὴς, φυγὼν ἐκ μέσου.

Ἐξωνεῖται: Ἀγοράζει.

Εὕτῳ: Εὕτινι.

Εἴκων: Ὑποχωρῶν.

Εἶξαι: Κύψαι.

Ἔφθη: Προέλαβεν.

Ἑκοντῆ: Θελήσει, ἑκουσίως καὶ ἐθελοντί.

Ἐναργής: Φανερά· "ἐναργής τε καὶ γνώριμος."

Ἐρινῦος: Δαίμονος τιμωριστικοῦ.

Ἐφ ὅτωι: Ἐφ' ᾧτινι.

Ἐρεσχελεῖται: Διαπαίζεται.

Ἔφεπε κλονέων: Ἐδίωκε ταράσσων.

Ἔτνους: Ὀσπρέου.

Ἐκποδῶν: Ἀφανές.

Ἔμπαλιν: Ἐκ τοῦ ἐναντίου, ἢ εἰς τουπίσω.

Εἶμι: Πορεύομαι.

Ἑστιάσεις: Εὐφροσύνας.

Εἰκός: Ἀκόλουθον.

Εἴλετο: Ἠθέλησε.

Ἑστίασιν: Εὐωχίαν.

Ἐμπύρευμα: Λείψανον.

Εὐηθείας: Μωρίας, ἀνοίας.

Ἐρειδομένους: Ἐπιστηριζομένους.

Ἐπίδωσις: Σημαίνει τῷ ἁγίῳ αὔξησις· σημαίνει καὶ τὴν χάριν, ἤτοι φιλοτιμίαν καὶ δωρεάν.

Ἐν μεταιχμίῳ: Μεταξὺ πολεμούντων.

Εὐθύνοντας: Ὁρμῶντας.

Ἐρεσχελία: Φλυαρία.

Ἐφόδοις: Ὁρμαῖς.

Ἑσμός: Πλῆθος.

Ἐρίδοι: Στηρίζοι.

Ἐφίεται: Ἐπιθυμεῖ.

Εἰ δέ τωι: Εἰ δέ τινι.

Ἐνκισσᾶν: Συλλαμβάνειν.

Ἐμπύρευμα: Τὸ τοῦ πυρὸς ἐν τῇ σποδίᾳ λείψανον ὃ ζώπυρον σαφέστερον εἰπεῖν· ἐμπύρευμά ἐστιν οἱ κατὰ τὴν σποδίαν ἐναπομένοντες τῷ πυρὶ σπινθῆρες.

Ἑκατόγχειρες: Δύο γεγόνασί τινες ὁ Κότος καὶ ὁ Βριάρεως ἔχοντες ἑκατὸν χεῖρας, καὶ ἐπολέμησαν μετὰ τῶν θεῶν πρὸς τοὺς γίγαντας.

Ἐρυγάς: Τὸ μὲν ὄνομα ἡ ἐρυγή· τὸ δὲ ῥῆμα ἐρυγγάνω ἀντὶ τοῦ ἐρεύγομαι.

Ζῆλος: Ἀγαθοῦ τινὸς ἐπιθυμία φθόνου χωρὶς ἐγγινομένη τῇ ψυχῇ· ἡ ἐπιθυμία τινὸς καλοῦ ἐγγινομένη τῇ ψυχῇ ἄνευ τοῦ φθονῆσαι τῷ κεκτημένῳ.

Ζῷον Ἐν Πυρὶ Σκαῖρον: Σαλαμάνδρα.

Ἠγάσθη: Ἐθαύμασεν.

Ἧλω: Ἐθηράθη.

Ἠγάσθαι: Ἐθαύμασεν.

Ἠλίθιος: Παρὰ τοῖς πολιτικοῖς ὁ ἀνόητος· Ἠλεὸς δὲ παρὰ τοῖς ποιηταῖς ὁ μάταιος· ὅθεν ἠλίθιον ὄνομα.

Ἡ Ἐπὶ Ῥητοῖς Κρίσις: Ὡμολογημένοις.

Ἣν Νύκτες Χαρίζονται: Νυκτεριναὶ σωμάτων συνουσίαι.

Θέμις: Δίκαιον.

Θρασέως: Τολμηρῶς.

Θήγοντες: Ἀκονοῦντες.

Ἴσασι: Ἐπίστανται, γινώσκουσι.

Ἱστουργικῆς[q] Ψηφῖδος: Ἀντὶ ὑφαντικῆς ψηφῖδος οἶμαι λέγει τῆς λεγομένης μουσώσεως, ᾗ ἃς καὶ ἐν τοῖς ἐσθήμασι τέχνη ἐπεκαλώπισεν.

Ἱερομηνίας: Τὰς νουμηνίας καὶ τὰς ἑορτὰς οὕτως οἱ Ἕλληνες ἐκάλουν.

Κεντριζέτω: Κινείτω· "ἀλλάς γε κεντριζέτω·" καὶ τοῦτο πρὸς τὸ φιλάνθρωπον.

Κόθορνος: Ὑπόδημα ἀμφοτέροις ἁρμόζων τοῖς ποσίν.

Κολοφῶνα: Κολοφῶνα τὸ ἀκρότατον καὶ τὸ κεφάλαιον λέγειν, ἀπὸ τοιαύτης ἱστορίας· Κολοφώνιοι στασιάσαντες ἦλθον εἰς Σμύρναν, καὶ συνῴκησαν τοῖς Σμυρναίοις· εἶτα τῶν Σμυρναίων ἐξελθόντων εἰς πόλεμον, κλείσαντες οἱ Κολοφώνιοι τὰς πύλας τῆς Σμύρνης οὐ προσεδέξαντο αὐτούς· μετὰ ταῦτα ἔδοξε τοὺς Σμυρναίους λαβεῖν τὰ σκεύη αὐτῶν, καὶ ἀπαναχωρῆσαι τῆς πόλεως τῆς ἰδίας· ἔμειναν οὖν οἱ Κολοφώνιοι ἔχοντες τὴν

[q] Cod. ἹΣΤΟΥΡΓΙΚΗ.

Σμύρναν· ἐπειδὴ οὖν οἱ Κολοφώνιοι δύο πόλεις εἶχον, τήν τε Κολοφῶνα καὶ τὴν Σμύρναν, καὶ ἐν τῷ περί τινος βουλεύεσθαι, ὅπου ἂν προσέθεντο τοῦτο ἐκράτει, ὡς δύο ψήφους τιθέντων αὐτῶν· διὰ τοῦτο Κολοφῶνα λέγουσιν τὸ ἀκρότατον καὶ κεφάλαιον.

Κίδαρις: Ἡ ἐπωμὶς, τουτέστιν τὸ ῥάκκος τὸ ἐπὶ τῶν ὤμων· τὸ δὲ σφῦρον μέσον ἐστὶν τοῦ ἀστραγάλου ὀπίσω ὑπὸ τὴν σκηνήν· Ποδήρης τὸ μεχρὶ τῶν σφυρῶν καθείμενον ἱμάτιον.

Κήδεσθαι: Φροντίζειν.

Κόνις: Γῆ, σποδός.

Κρότους Πανδήμους: Κτύπους δημοσίους.

Κρηπῖδα: Ὑποβάθρα, θεμέλιος, καὶ εἶδος ὑποδήματος.

Κομιδή: Πάνυ, ἢ παντελῶς.

Κεφάλαιον: Ἀντὶ τὸ συνεκτικόν· ἢ νόμου καὶ προφητῶν ἐστι κεφάλαιον.

Κορωνίδα: Τέλος.

Κότινος: Ὄνομα βοτάνης ᾗ ἐστεφανοῦντο οἱ Ὀλυμπικοὶ, τὰ μῆλα δὲ οἱ Πύθιοι.

Κεκμήκασιν: Κεκοπιάκασιν.

Κατάσχωμεν: Φυλάξωμεν.

Κάμνει: Κοπιᾷ.

Κοσμιότητα: Εὐταξίαν.

Κόρρης: Κόῤῥην λέγει τὴν κεφαλὴν, ἣν εἰώθασιν πατάσσειν οἱ μίμοι παίζοντες.

Καλιέρημα: Τὸ τοὺς θύοντας, ἤτοι τοὺς θυομένους, αἰσίων καὶ δεξιῶν ἐπιτυχεῖν τῶν ἀπὸ τοῦ ἥπατος σημείων.

Κοναβίζειν: Τὸ ἦχον ἀποτελεῖν καὶ βοᾶν σὺν ταραχῇ καὶ θορύβῳ·

Κακία ἐστὶν ἄρχοντι τὸ μὴ ἀεὶ προβαίνειν ἐν τῷ καλῷ·
Ἕτοιμοι πρὸς τὴν τοῦ κακοῦ μετουσίαν οἱ πλεῖστοι καὶ ἐπιτήδιοι.

Ληΐζεται: Διαρπάζεται, αἰχμαλωτίζεται.

Λήμης: Τὸ συνιστάμενον ἐν τῷ ὀφθαλμῷ λευκὸν ὑγρόν.

Λόχμην: Ὕλην, σύνδενδρον τόπον.

Λυσιτελέστερον: Ὀφελιμώτερον, σύμφερον.

Μαγγανεύμασιν: Τέχναις.

Μιγάδες: Τὸ ἐκ πολλῶν καὶ ξένων ἄθροισμα.

Μάζης: Ἄρτου φυράματος.

Μωσῆς καὶ Ἀαρών: Ὅτι καὶ Μωσῆς ἱερεύς.

Μεγαλοπρεπές: Μεγαλοφανές.

Μῶν: Ἆρα.

Μαιμάσσει: Σφύζει, προθυμεῖται, κυματοῦται, πηδᾷ, καχλάζει.

Μάλα: Πάνυ, λίαν.

Μετάρσιος: Μετέωρος, ὑψηλός.

Νύσσα: Καμπτὴρ, παρὰ τὸ κάμπτω σκοπιᾶ.

Νεώκορος: Ὁ τὸν ναὸν κοσμόν.

Ὁμαλόν: Ὅμοιον.

Οἷ: Ἑαυτῷ.

Οἴχεται: Πορεύεται, ἢ πεπόρευται, ἀπεξένωται.

Ὄφις Δημοσία: Ἄρχοντες κοσμικοὶ κρίνοντες τὰ τῆς ἐκκλησίας μυστήρια.

Ὅμιλος: Ἄθροισμα, ὄχλος.

Ὁ Τυφών: Ὁ μέγας ἄνεμος· λέγει δὲ Γεώργιον.

Οἴχονται: Πορεύονται, ἀπέρχονται.

Ὀλυμπία: Χῶρα ἐστὶν τῆς Ἠλιακῆς μοίρας ἐν ᾧ ἡ Ὀλυμπιὰς ἐγίνετο.

Οὔκουν: Οὐδαμῶς.

Οἷόν τε: Δυνατόν.

Ὀνειρώξεως: Ἡ διὰ τῶν ὀνείρων φαντασία· ὀνειροπολεῖν δὲ ἐγρηγορότος ἐστὶν ἐνύπνιον ὡς κυρίως· καὶ τὸ φαντάζεσθαι τὸ φαίνεσθαι.

Ὀφλισκάνειν: Χρεωστεῖν.

Περιούσιος: Ἴδιος.

Προΐεμεν: Περιπατοῦμεν.

Πρόη: Προπέμψῃ· "κἂν πάντα πρόῃ τὰ ὄντα."

Παραιτουμένου: Φεύγοντος.

Πτόρθος: Κλάδος.

Προσιτά: Δυνατά· "ὅτι μὴ δὲ προσιτὰ ῥαδίως τοι πλείωσιν."

Πτῶκας: Λαγωούς.

Πωλοδαμνεῖν: Πώλους δαμάζειν.

Ποταμὸς Δί' Ἄλμης Ῥέων: Ἀλφειός.

Ζῶον Ἐν Πυρὶ Σκαῖρον: Σαλαμάνδρα.

Πίθον Ὤκει: Διογένης ὁ Κυνικός.

Προμηθούμενος: Προνοούμενος.

Πομπαῖον: Προπέμπων ἀπὸ τῶν γηΐνων ἐπὶ τὰ οὐράνια.

Πικρὸς Ἀγωνοθέτης: Ὁ διάβολος.

Πελαγίζων Ὥρια: Ἀντὶ τοῦ κατὰ καιρὸν καὶ καθ' ὥραν.

Προμηθείας: Προνοίας.

Πότερον: Ἆρα.

Πατρίδες Ἀνιστάμεναι: Αἰχμαλωτιζόμεναι.

Πεττεύειν: Τὸ κυβεύειν καὶ ταβλίζειν.

Πυρφόρους: Ἱερέας τοὺς τὸ ἐπιβώμιον πῦρ ἀνάπτοντας.

Ποτνιόμενος: Ἐλέους ἐπιδεόμενος.

Πότνια δὲ ἡ σεμνὴ τὸ ὄνομα.

Παρανάλωσας: Ἀντὶ ἀνάλωσας, εὐρυθμίας γὰρ ἕνεκα πρόσκειται· ἀλλαχοῦ δὲ παρανάλωμά ἐστιν τὸ ἐπισυμβαῖνον ἐκ τινὸς τύχης· οἷον, τι πάρεργον καὶ τὸ παρεμπόρευμα· παραδείγματος δὲ χάριν ὑποκείσθω τοιαῦτα τῇ θεωρίᾳ· στρατηγὸς ἐν τάχει τοὺς πολεμίους κόπτων καὶ κτείνων, συνανεῖλεν τῶν ὁμοφύλων καὶ συμπολεμούντων ἀγνοήσας· γέγονεν οὖν αὐτὸ ἀνάλωμα οἱ διὰ τὴν ἄγνοιαν ἀναλωθέντες τῶν ὁμοφύλων· προῆλθέν τις εἰς τὴν ἀγορὰν τόδε τι ποιήσων, ἔλεον τυχὼν ἢ ἱμάτιον ὠνησόμενος· μεταξὺ ἄλλο παρεμπεσὼν ὠνήσατο, καὶ γέγονεν αὐτῷ ἔργον μὲν τὸ πρῶτον, πάρεργον δὲ τὸ δεύτερον· πάλιν τὴν ἐμπορίαν· ἔμπορος οἶνον ἔχων ἢ ἔλεον μεταξὺ σίτον εὑρὼν μετ' εὐκαίριας εὔωνον, καὶ τοῦτον ὠνήσατο· καλοῦσι τοίνυν ἐμπορίαν μὲν τὴν συνήθη καὶ πρώτην· παρεμπόρευμα δὲ τὸ δεύτερον ἐξ εὐκαιρίας· καὶ ἐστὶ μὲν παρεμπόρευμα τοῦτο καὶ πάρεργον· οὐκέτι δὲ πάρεργον, τοῦτο ἤδη καὶ παρεμπόρευμα· ἀλλ' ἐκεῖνο τὸ πάρεργον καλεῖται παρεμπόρευμα, ὃ δευτέρῳ λόγῳ κατασυμβεβηκὼς ἐξ εὐκαιρίας εἰς ἐμπορίαν τις ἔλαβεν.

Περιωπή: Ἔστι τόπος ὑψηλός· εἴρηται δὲ ἀπὸ τοῦ περισσῶς ὁρᾷν ἐκεῖθεν· ὢψ γὰρ ποιητικῶς ὀφθαλμός· καλῶ γοῦν

ἅπαντας φησὶν ἐκ τινὸς ὑψηλοῦ καὶ μεσαιτάτου πολὺ τὸ ἀφορᾶν τοὺς καλουμένους ἐμοὶ παρέχοντα.

Ῥάψωμεν: *Σμίξωμεν.*

Ῥάβδος: Τί *διαφέρει ῥάβδου βακτηρία; διαφέρει ὅτι ἡ μὲν παιδεύει, ἡ δὲ ὑπερείδει.*

Ῥᾶον: Εὐ*χερές.*

Σφαλάζουσα: Π*ανουργεύσασα.*

Σητῶν: Σ*κολήκων.*

Στροβοῦντα: Τ*αρασσόμενα.*

Σκοτόμαινα: Β*αθεῖα νὺξ, ἡ σκοτῶσα σελήνη.*

Στωμύλος: Φ*λύαρος, ἀπαταιὼν, πιθανόλογος κόλαξ.*

Σχέδια: Τ*ὰ συντεθημένα καὶ συνδεδεμένα ξύλα, ἃ μὴ φέρεται κάλῶς οὕτω καὶ ταχέως, ἡνίκα ἂν τοῖς ὕδασιν ἐπιπλέῃ, ὡς τὰ πλοία.*

Σκῆψις: Π*ρόφασις.*

Σκίμποδος: Κ*ραββάτου.*

Σχέτλιον: Χ*αλεπόν.*

Σαίνειν: Κ*ολακεύειν.*

Στηλιτεύσαντες: Δ*ημοσιεύσαντες.*

Σκαιοτέρων: Χ*ειρόνων καὶ ἀριστερῶν.*

Σταθμὸν Ἔσχατον: Ἀ*ντὶ τοῦ τόπον ἔρημον.*

Σχέσις: Ἡ *πρὸς τόδε διάθεσις καὶ συνήθεια σχέσις· καὶ ἡ ἐκ τόπου εἰς τόπον, καὶ ἐν τόπῳ.*

Σύνθημά *ἐστι τὸ διδόμενον παρὰ τοῦ στρατηγοῦ τοῖς στρατιώταις παράγγελμα· σύνθημα τὸ σημεῖον καὶ σύμβολον τοῦ στρατοῦ, ὃ καλοῦσι βάνδον· τὰ καλούμενα παρὰ Ῥωμαίοις σίγνα καὶ βάντα. Σύνθημα κυρίως τὸ σημεῖον τὸ παρὰ τοῦ στρατηγοῦ τοῖς στρατιώταις διδόμενον, ὡς ἂν ἀλλήλους κατὰ τὴν μάχην μὴ ἀγνοῶσιν· λοιπὸν δὲ καὶ καταχρηστικῶς σύνθημά ἐστιν ὅ τις συνθέμενος καὶ ὑποσχόμενος ἢ λέγειν πράττει· παρὰ γὰρ τὸ συνθέσθαι σύνθημα εἴρηται.*

Σμερδαλέον: Σ*ημαίνει τὸ καταπληκτικόν.*

Κοναβίζειν: Τὸ *ἦχον ἀποτελεῖν καὶ βοᾶν σὺν ταραχῇ καὶ θορύβῳ.*

Ταλαντεύηται: Σταθμίζηται.

Τελετῆς: Ἑορτῆς.

Τέμενος: Τόπος ἀφιερωμένος ἢ ναός.

Τριχθά: Οὐρανίων, ἐπιγείων, καταχθονίων.

Ταλαντεύουσιν: Σταθμίζουσιν.

Τὴν Ἔναγχος: Τὴν τοῦ Ἀπολιναρίου.

Ταινία: Διάδημα κεφαλῆς ἐξ ὑφάσματος ἀντὶ στεφάνου τῷ μετώπῳ προστιθεμένη· ταύτῃ τῇ ταινίᾳ καὶ γυναῖκες στεφανοῦνται καὶ μάλιστα αἱ Ῥωμαῖαι· καὶ πολλοὶ πολλάκις παρὰ τοῖς γραφεῦσιν ποιηταί· ταινιῶ, ταινιοῖς.

Τέναγος: Φυσικὴ ἀσφάλια.

Τενάγεσιν: Τέναγός ἐστιν ἰλὺς ἐπιπολάζοντος ὕδατος οὐ πολλοῦ, ἐπιφυομένης βοτάνης τῷ ὕδατι. Ἕλος δὲ ἰλὺς ὕδατος ἐπικεχυμένου πολλοῦ καὶ βαθείας ὕλης, ἢ παπύρου ἢ καλάμου, ἐκφυομένης ἀεὶ τοῦ πηλοῦ, καὶ ὑπερανεστηκυίας τῷ ὕδατι.

Τέχνης: Ἐπιτήδευσις διαφέρει· τέχνη μέν ἐστιν σύστημα ἐγκαταλήψεων καθολικῶν ἐμπειρίαις γεγυμνασμένων πρός τι τέλος εὔχρηστον[r] τῶν ἐν τῷ βίῳ· ἡ δὲ ἐπιτήδευσις ἐπιπλεῖον ἐστὶν τῆς τέχνης· ἐπιτηδεύει γὰρ καὶ τὰ μετὰ τέχνην καὶ τὰ χωρὶς τέχνης γινόμενα· οἷον, τὸ εὔχεσθαι, τὸ νηστεύειν, τὸ σωφρονεῖν, τὸ ἁπλῶς καὶ ἀφελῶς ζεῖν· καθολικώτερα τοίνυν ἡ ἐπιτήδευσις τῆς τέχνης· καὶ εἴτι μὲν τέχνη καὶ ἐπιτήδευσις, οὐκ ἔτι δὲ ἐπιτήδευσις· τοῦτο ἤδη καὶ τέχνη· ἴδου γὰρ τὸ εὔχεσθαι ἐπιτήδευσις ὑπάρχον ἄτεχνόν ἐστιν.

Ὑποδοχέα: Μάγειρον ὀπτίων.

Ὑπόγυον: Ἐγγύς.

Ὑπερημερίας: Ἀντὶ μετὰ μίαν ἡμέραν τῆς μνείας.

Ὕεται: Βρέχεται.

Ὑπερόριον: Ὑπὲρ τοὺς ὅρους τῆς πατρίδος.

Ὑφέσεσιν: Ἐλλήψεσιν, ἐλαττώσεσιν.

Ὑπήνη: Γένηον, πώγων, ἡ τοῦ ἄνω χείλους τρίχωσις.

Ὑπερδεξίων: Ὑψηλοτέρων.

[r] Cod. εὐχριστον.

ἅπαντας φησὶν ἐκ τινὸς ὑψηλοῦ καὶ μεσ ρᾶν τοὺς καλουμένους ἐμοὶ παρέχοντ μετέρου φυράματος."

ῬΑΨΩΜΕΝ: Σμίξωμεν.

ῬΑΒΔΟΣ: Τί διαφέρε μὲν παιδεύει, ἡ δὲ ὑπερ ἡμμοι.

ῬΑΟΝ: Εὐχερές ἔστι δὲ τὸ δέρμα τοῦ ὄφεως,

ΣΦΑΔΑΖΟΥΣΑ:

ΣΗΤΩΝ: Σ Ἡ προκαταβαλλομένη πάντι πράγματι

ΣΤΡΟΒΟΥ χρυσέαι κίονες κατὰ Πίνδαρον λέγονται.

ΣΚΟΤ Ἐγγίζουσι, κολοῦνται.

ΣΤΓ Εἰσὶν οἱ ψηφοπαῖκται· ψηφολογικοὶ γοῦν

Σ καὶ ἀπατῶντες, ὥσπερ οἱ ψηφολόγοι τοὺς

ρε τάχει τῆς μεταθέσεως τῶν ψήφων ἀπατῶντες ψηφολόγοι οἱ λόγον καὶ φροντίδα ποιούμενοι ψήφων ἀπάτης.

ᾨΝΙΟΝ: Ἀγοραστὸν, χρημάτων πεπραμένον.

ᾨΙΟΝ: Ἐνομίζε.

ᾨΣ ἘΚ ΠΤΥΙΔΟΣ ΤΟΥ ΠΝΕΥΜΑΤΟΣ: Τῆς ἑαυτοῦ καρτυξίον οὔσης τοῦ πνεύματος δηλονότι.

Τοῦτο ἡ καινὴ μίξις Θεὸς καὶ ἄνθρωπος· ἓν ἐξ ἀμφοῖν, καὶ δι' ἑνὸς ἀμφότερα· ῥομφαῖα τοῦτο δίστομος κατὰ τῶν αἱρετικῶν· τὸ γὰρ ἓν ἐξ ἀμφοῖν πλήσσει καιρίως τοὺς ἀπὸ Νεστορίου τὰς ὑποστάσεις λέγοντας· τὸ δὲ δι' ἑνὸς ἀμφότερα ἀντιπλήσσει τοὺς ἀπὸ Σευήρου τὰς δύο φύσεις ἐν τῷ ἑνὶ Χριστῷ ἀρνουμένους.

Οὐδ' ἵνα συνησθῶσιν, ἀλλ' ἵνα ἐφησθῶσιν· τουτέστιν οὐχ ἵνα συγχαρῶσιν, ἀλλ' ἵνα ἐπιχαρῶσιν.

Τὰ μὲν γὰρ πάντες πόῤῥω, ἤγουν τὰ σώματα· τὰ δὲ ποσῶς πλησιάζοντα, ἤγουν τὰ ἀσώματα.

Ἀλλ' ὅπως μοι φιλοσόφως δέξῃ τὸν λόγον· τὸ σχῆμα ἐλλήψεως· ἵνα ᾖ οὕτως· ἀλλ' ὅπως καὶ ἵνα μοι φιλοσόφως καὶ πράως τὸν λόγον· τὸν λόγον ἀξίως καὶ αἰτῶ.

Ἡ βάθος ὑπήνης· ἡ κεφαλῆς ἐν χρῷ κόσμησις· τὴν βαθεῖαν κουράν.

εἴ καὶ αὐτὸς τὸ δίδραχμον· συντέλεσις, εἰσφορὰ, λει-
ἔχει δὲ τὸ δίδραχμον γράμματα ἕξ.
ͺθμέσι πηγάζειν τροφὴν ἀδάπανον· τοῦτο εἶπεν διὰ
ͺεῖαν τοῦ ἀλεύρου τὴν κατὰ τὴν Σαραφθίαν χῆρα.

Οτι ἀγχίθυροι τῶν ἀρετῶν αἱ κακιαί.

Ὁρᾷς ὡς οὐκ εἰς τέλος ἐμέλλομεν σιωπήσεσθαι, οὐδὲ ἀλογίαν κατακριθήσεσθαι τοῖς σοῖς δόγμασιν, ἀλλὰ ῥήξειν φωνὴν ἐλευθέριον, καὶ τῆς σῆς ἐλεγκτικὴν ἀλογίας.

Τοῦτο τοι ἀντιποδὸς ξεινήϊον εἴη· ὦ λῷστε καὶ συνετώτατε.

ἘΚ ΤΟΥ͂ ἉΓΙΟΥ ΘΑΛΛΕΛΑΙΟΥ.

Ἐγὼ ἔφη πολλαῖς ὑποκείμενος ἁμαρτίαις, καὶ ταῖς ἠπειλημέναις τιμωρίαις πιστεύων, τόδε τὸ εἶδος τοῦ βίου ἐπινενόηκα· κολάσεις μετρίας τῷ σώματι μηχανώμενος, ἵν᾽ ἐκείνων τῶν προσδοκομένων ὑποσυλήσω τὸν ὄγκον· χαλεπώτεραι γὰρ ἐκεῖναι οὐ τῇ ποσότητι μόνον, ἀλλὰ καὶ αὐτῇ τῇ ποιότητι, ἀκούσιοι γάρ· τὸ γὰρ παρὰ γνωμὴν γινόμενον λίαν ἀνιαρόν· τὸ δὲ ἐθελούσιον, κἂν ἐπίπονον ᾖ, ἧττον ἐστὶν ἀλγεινόν· αὐθαίρετος γὰρ, ἀλλ᾽ οὐ βιαῖος ὁ πόνος· ἐὰν τοίνυν ταῖς μικραῖς ταύταις ἀνίαις ἐλαττώσω τὰ προσδοκόμενα, μέγα ἐντεῦθεν ἀποίσω τὸ κέρδος.

Ὑφάλων: Ἀφανῆ βράχη.

Φυράματος: Πηλοῦ· "μέχρι τοῦ ἡμετέρου φυράματος."

Φιλοτίμοις: Δαψιλοῖς.

Φοινικοῖς: Πυροῖς.

Φεῦ: Ὀδυρμὸς φωνῆς, οἷον, οἴμμοι.

Φολίσιν: Ἀντὶ τοῦ ἡ λεβρίς· ἔστι δὲ τὸ δέρμα τοῦ ὄφεως, ἤτοι ἐλεπίδες τοῦ δέρματος.

Χρυσέας Κίονας: Ἡ προκαταβαλλομένη πάντι πράγματι λαμπρὰ ὑπόθεσις αἱ χρυσέαι κίονες κατὰ Πίνδαρον λέγονται.

Ψαύουσιν: Ἐγγίζουσι, κολοῦνται.

Ψηφολόγοι: Εἰσὶν οἱ ψηφοπαῖκται· ψηφολογικοὶ γοῦν λόγοι οἱ πλανῶντες καὶ ἀπατῶντες, ὥσπερ οἱ ψηφολόγοι τοὺς ὀφθαλμοὺς τῷ τάχει τῆς μεταθέσεως τῶν ψήφων ἀπατῶντες συναρπάζουσιν· ψηφολόγοι οἱ λόγον καὶ φροντίδα ποιουμένοι τῆς διὰ τῶν ψήφων ἀπάτης.

Ὤνιον: Ἀγοραστὸν, χρημάτων πεπραμένον.

Ὠήθη: Ἐνομίζε.

Ὡς Ἐκ Πυξίδος Τοῦ Πνεύματος: Τῆς ἑαυτοῦ καρδίας πυξίον οὔσης τοῦ πνεύματος δηλονότι.

Τοῦτο ἡ καινὴ μίξις Θεὸς καὶ ἄνθρωπος· ἓν ἐξ ἀμφοῖν, καὶ δι' ἑνὸς ἀμφότερα· ῥομφαῖα τοῦτο δίστομος κατὰ τῶν αἱρετικῶν· τὸ γὰρ ἓν ἐξ ἀμφοῖν πλήσσει καιρίως τοὺς ἀπὸ Νεστορίου τὰς ὑποστάσεις λέγοντας· τὸ δὲ δι' ἑνὸς ἀμφότερα ἀντιπλήσσει τοὺς ἀπὸ Σευήρου τὰς δύο φύσεις ἐν τῷ ἑνὶ Χριστῷ ἀρνουμένους.

Οὐδ' ἵνα συνησθῶσιν, ἀλλ' ἵνα ἐφησθῶσιν· τουτέστιν οὐχ ἵνα συγχαρῶσιν, ἀλλ' ἵνα ἐπιχαρῶσιν.

Τὰ μὲν γὰρ πάντες πόῤῥω, ἤγουν τὰ σώματα· τὰ δὲ ποσῶς πλησιάζοντα, ἤγουν τὰ ἀσώματα.

Ἀλλ' ὅπως μοι φιλοσόφως δέξῃ τὸν λόγον· τὸ σχῆμα ἐλλήψεως· ἵνα ᾖ οὕτως· ἀλλ' ὅπως καὶ ἵνα μοι φιλοσόφως καὶ πράως τὸν λόγον· τὸν λόγον ἀξίως καὶ αἰτῶ.

Ἡ βάθος ὑπήνης· ἡ κεφαλῆς ἐν χρῷ κόσμησις· τὴν βαθείαν κουράν.

Τελεῖ καὶ αὐτὸς τὸ δίδραχμον· συντέλεσις, εἰσφορὰ, λειτουργία· ἔχει δὲ τὸ δίδραχμον γράμματα ἕξ.

Οὐδὲ πυθμέσι πηγάζειν τροφὴν ἀδάπανον· τοῦτο εἶπεν διὰ τὴν ὑδρεῖαν τοῦ ἀλεύρου τὴν κατὰ τὴν Σαραφθίαν χῆρα.

Ὅτι ἀγχίθυροι τῶν ἀρετῶν αἱ κακιαί.

Ὁρᾷς ὡς οὐκ εἰς τέλος ἐμέλλομεν σιωπήσεσθαι, οὐδὲ ἀλογίαν κατακριθήσεσθαι τοῖς σοῖς δόγμασιν, ἀλλὰ ῥήξειν φωνὴν ἐλευθέριον, καὶ τῆς σῆς ἐλεγκτικὴν ἀλογίας.

Τοῦτο τοι ἀντιποδὸς ξεινήϊον εἴη· ὦ λῷστε καὶ συνετώτατε.

ΕΚ ΤΟΥ ΑΓΙΟΥ ΘΑΛΑΣΣΙΟΥ.

Ἐγὼ ἔφη πολλαῖς ὑποκείμενος ἁμαρτίαις, καὶ ταῖς ἠπειλημέναις τιμωρίαις πιστεύων, τόδε τὸ εἶδος τοῦ βίου ἐπινενόηκα· κολάσεις μετρίας τῷ σώματι μηχανώμενος, ἵν' ἐκείνων τῶν προσδοκομένων ὑποσυλήσω τὸν ὄγκον· χαλεπώτεραι γὰρ ἐκεῖναι οὐ τῇ ποσότητι μόνον, ἀλλὰ καὶ αὐτῇ τῇ ποιότητι, ἀκούσιοι γάρ· τὸ γὰρ παρὰ γνώμην γινόμενον λίαν ἀνιαρόν· τὸ δὲ ἐθελούσιον, κἂν ἐπίπονον ᾖ, ἧττον ἐστὶν ἀλγεινόν· αὐθαίρετος γὰρ, ἀλλ' οὐ βιαῖος ὁ πόνος· ἐὰν τοίνυν ταῖς μικραῖς ταύταις ἀνίαις ἐλαττώσω τὰ προσδοκόμενα, μέγα ἐντεῦθεν ἀποίσω τὸ κέρδος.

ἌΓΟΙ: Ἀντιφῶν ἀντὶ τοῦ ἡγοῖτο παρείληφεν· φησὶ γὰρ ἐν τῷ περὶ ἀληθείας· "τοὺς νόμους μεγάλους ἄγοι."

ἈΓΕΝΉΣ: Ἰσαῖος ἀντὶ τοῦ ἄπαις.

ἈΓΝΩΜΌΝΩΣ: Δημοσθένης ἀντὶ τοῦ ἀλογίστως καὶ ἀβούλως.

ἈΓΟΡΆΣ: Ὑπερίδης ἀντὶ τοῦ συνόδους.

ἈΓΡΑΦΊΟΥ: Εἶδος δίκης κατὰ τῶν ὀφειλόντων μὲν τῷ δημοσίῳ, καὶ διὰ τοῦτο ἐγγραφέντων· πρινὴ δὲ ἐκτίσαι ἐξαλειφθέντων· οὕτω Δημοσθένης.

ἈΔΈΗΤΟΣ: Ἀντιφῶν ἀντὶ τοῦ ἀνενδεής.

ἈΔΕΛΦΊΖΕΙΝ: Ἀδελφὸν καλεῖν, οὕτως Ἰσοκράτης.

ἈΔΗΦΆΓΟΥΣ ΤΡΙΉΡΕΙΣ: Αἳ πολλὰ ἀναλίσκουσαι· ἐκ μεταφορᾶς τῶν ἀγωνιστῶν ἵππων· καὶ Ἀλκαῖος τοὺς πότας ἀδηφάγους εἶπεν.

ἈΕΙΛΟΓΊΑ: Τὸ ἀεὶ λόγον καὶ εὐθύνας ὑπέχειν· οὕτω Δημοσθένης.

ἈΕΤΌΣ: Τῶν οἰκοδομημάτων τὸ κατὰ τὸν ὄροφον· ὅ τινες ἀέτωμα καλοῦσιν.

ἈΖΗΝΙΕΎΣ: Ὁ ἀπὸ Ἀζηνίας, ἥτις ἐστὶ δῆμος φυλῆς.

ἈΘΕΏΡΗΤΟΣ: Ἀθέατος.

ΑἸΓΕΪ́ΔΑΙ: Ἀπὸ Αἰγηΐδος φυλῆς· Δημοσθένης ἐν τῷ ἐπιταφίῳ.

ΑἸΔΈΣΑΣΘΑΙ: Ἀντὶ τοῦ μεταπεισθῆναι· οὕτω Λυσίας καὶ Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους, ἀντὶ τοῦ ἐξιλάσασθαι καὶ πεῖσαι.

ΑἸΚΊΑΣ: Εἶδος δίκης ἐστὶν ἰδιωτικῆς ἐπὶ πληγαῖς λαγχανομένης, ἧς τὸ τίμημα ἐν τοῖς νόμοις οὐκ ἔστιν ὡρισμένον.

ἈΚΜΆΖΕΙΣ: Τὰ τῶν νέων πράττεις· οὕτως Ὑπερίδης καὶ Λυσίας.

ἌΚΡΙΤΟΣ: Ἀντὶ τοῦ ἀδιάκριτος· οὕτω Δημοσθένης.

Ἀκροᾶσθαι: Ἀντὶ τοῦ ὑπακούειν· οὕτως Ἀντιφῶν.

Ἀλογίαν: Μηδένα λόγον ἔχειν· ἀλογιστὶ δὲ πράττειν· οὕτω Δημοσθένης καὶ Πλάτων.

Ἄμιπποι: Κατὰ μὲν Ἰσαῖον οἱ σὺν ἵπποις στρατευόμενοι· Θουκυδίδης δὲ καὶ Ξενοφῶν τοὺς πεζοὺς ὑποδηλοῦσι· καὶ μή ποτε πρόδρομαι τινές εἰσιν, οἱ ἅμα τοῖς ἱππεῦσι τεταγμένοι.

Ἀμφιδρόμια: Ἡμέρα τις ἤγετο ἐπὶ τοῖς νεογνοῖς παιδίοις, ἐν ᾗ τὸ βρέφος περὶ τὴν ἑστίαν ἔφερον τρέχοντες, καὶ ὑπὸ τῶν οἰκείων φίλων πολύποδας καὶ σηπίας ἐλάμβανον.

Ἀμφοτερόπλουν: Ὅταν τις ναυτικὸν δανείσῃ δάνειον ἐπὶ τῷ καὶ ἐνθένδε πλεῦσαι ποιῶν, κἀκεῖθεν ἐνθάδε, τοῦτο ἀμφοτερόπλουν καλεῖται· οὕτω Δημοσθένης.

Ἀναδικάσασθαι: Τὸ ἄνωθεν δικάσασθαι.

Ἀναιρεθείς: Ἀντὶ τοῦ ἀναληφθεὶς, τραφείς· οὕτως Ἰσοκράτης.

Ἀνακαλυπτήρια: Δῶρα διδόμενα ταῖς νύμφαις παρά τε τοῦ ἀνδρὸς καὶ τῶν οἰκείων φίλων ὅταν τὸ πρῶτον ἀνακαλύπτωνται ἀνδράσιν ὁρασθῆναι, ἔστι δὲ ταῦτα καὶ ἐπαύλαια.

Ἀναποδιζόμενα: Ἐξεταζόμενα· ἢ ἀντὶ τοῦ ἄνωθεν πολλάκις τὰ αὐτὰ λεγόμενα, ἢ πραττόμενα.

Ἀνασείσας: Ἀπειλησάμενος.

Ἄνετον: Ὑπερίδης, τὸ ἀνειμένον θεῷ ἱερόν.

Ἀνήκει: Ἀντιφῶν ἀντὶ τοῦ ἥκει· ἢ οἷον ἀνεβιβάσθη καὶ προελήλυθεν.

Ἀνθυπωμόσαι: Ἀντὶ τοῦ ὑπειπῇ τῇ ὑπομοσίᾳ· οὕτω Δημοσθένης κατὰ Ὀλυμπιοδώρου.

Ἀνίδρυτος: Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος ἀντὶ τοῦ ἀνεξίλαστος.

Ἀντεπιτίθησιν: Ἀντὶ τοῦ ἀντεπιστῄει· οὕτως Ἰσαῖος.

Ἀντιβληθέντας: Ἀντὶ τοῦ ὑπαγορευθέντας Δείναρχος λέγει.

Ἀξιοῖ: Ἀντιφῶν καὶ Λυσίας ἀντὶ τοῦ νομίζει.

Ἄπαγε: Ἀντὶ τοῦ χρῶ τῇ ἀπαγωγῇ· οὕτω Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος· ἔστι δὲ δίκης εἶδος ἡ ἀπαγωγή.

Ἀπαριθμῶν: Ἀντὶ τοῦ ἀποπληρῶν ἀριθμόν· οὕτως Ἰσοκράτης.

Ἀπαρτιλογία: Ἀντὶ τοῦ ἀπηρτισμένος καὶ πλήρης ἀριθμός· οὕτως Λυσίας καὶ Ἡρόδοτος.

Ἀπειπεῖν: Ἀντὶ τοῦ ἀποκαμεῖν· Λυσίας καὶ ἀντὶ τοῦ ἀπαρνήσασθαι.

Ἀπεργασάμενος: Ἀποδοὺς ἐξ ὧν εἰργάσατο· οὕτως Ἰσαῖος.

Ἀπιστεῖν: Ἀπειθεῖν.

Ἀποβάτης: Ἱππικόν τι ἀγώνισμα· καὶ ἀποβῆναι τὸ ἀγωνίσασθαι τὸν ἀποβάτην.

Ἀπογραφή: Εἶδος τινὸς δίκης· εἰ γὰρ ἀρνοῖτό τις μὴ ἔχειν, ἀπογραφῆς ἐκρίνετο, ὡς οὐκ ὀρθῶς γεγενημένης τῆς ἀπογραφῆς· οὕτω Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος.

Ἀποδιδόμενοι: Ἀντιφῶν ἀντὶ τοῦ ἀποδίδοντες, ἢ πιπράσκοντες.

Ἀποικοδομεῖς: Ἀποφράττεις· οὕτως Δημοσθένης.

Ἀπολελοιπότες: Ἀντὶ τοῦ νενικηκότες· ἀπὸ μεταφορᾶς τῶν δρομαίων· οἱ γὰρ νικῶντες ἀπολείπουσι τοὺς ἡττωμένους· οὕτως Ἰσοκράτης ἐν τῷ Παναθηναϊκῷ καὶ Πανηγυρικῷ.

Ἀπόμισθοι: Οἱ μισθὸν μὴ λαβόντες· οὕτω Δημοσθένης.

Ἀποῤῥέξαντες: Ἀπομερίσαντες, ἀπομοιρὰν δόντες.

Ἀποστροφή: Καταφυγή.

Ἀπόταφος: Ὁ ἀπεστερημένος τῶν προγονικῶν τάφων· οὕτω Δείναρχος.

Ἀποτειχίσαι: Ἀποκλεῖσαι· καὶ ἀποτετειχισμένος ὁ ἀποκεκλεισμένος τῷ τείχει· οὕτω Θουκυδίδης καὶ Ἀντιφῶν.

Ἀπροβούλευτον: Τὸ μὴ πρότερον εἰς τὴν βουλὴν, ἀλλ᾽ εὐθὺς εἰς τὸν δῆμον εἰσαχθὲν ψήφισμα· οὕτω Δημοσθένης.

Ἀρεταί: Θουκυδίδης καὶ Ἀνδοκίδης ἀντὶ τοῦ εὐδοξία.

Ἀρκτωρός: Ὁ τὰς ἄρκυς, τουτέστι τὰ λῖνα φυλάσσων.

Ἀρχαιρεσιάζειν: Δείναρχος, τὸ ἀξιοῦν ἑαυτὸν αἱρεθῆναι ἄρχοντα.

Ἀρχὴν ἰᾶσθαι πολὺ λῷον ἢ τελευτήν: Παροιμία· ἔστι δὲ δήλη.

Ἀσταθμητότατον: Περὶ οὗ οὐδεὶς δύναται τεκμήρασθαι οὐδὲ σταθμῆσαι τί διανοεῖται· ἢ τί πράξαι· οὕτω Δημοσθένης ἐν τῷ Παραπρεσβείας.

Ἀστράβη: Ἡ ἡμίονος, ὡς Δημοσθένης κατὰ Μειδίου.

Ἀσυνθετώτατον: Δημοσθένης ἐν τῷ Παραπρεσβείας ἐπὶ ὄχλου τάττει· οἷον, ἀβεβαιότατον καὶ ἀπιστότατον.

Ἄτιμος: Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς τὸν ἀτιμώρητον λέγει.

Ἀττικοῖς γράμμασι: Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας ἀντὶ τοῦ παλαιοῖς· τὴν γὰρ τῶν κδ στοιχείων γραμματικὴν ὀψέ ποτε παρὰ τοῖς Ἴωσιν εὑρεθῆναι.

Αὐαιζόμενοι: Ἀντιφῶν ἀντὶ τοῦ κοιμώμενοι.

Αὐτοδικεῖν: Δείναρχος ἀντὶ τοῦ ἑαυτοῖς τὰ δίκαια ὁρίζειν.

Αὐτολήκυθοι: Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος· ἀντὶ τοῦ εὐζώνως καὶ ἑτοίμως τινὰς πᾶν ὁτιοῦν ποιεῖν καὶ ὑπομένειν· ἢ ἀντὶ τοῦ πένητας, καὶ μηδὲν ἄλλο κεκτημένους ἢ ληκύθους· ἢ ἀντὶ τοῦ εἰς πληγὰς ἑτοίμους, ἢ τοὺς ἐκ προχείρου διδόντας ἀργύριον, καὶ ἑτοίμους πρὸς τὰς μίξεις· καὶ γὰρ εἶχον ἐν τοῖς ληκύθοις τὰ ἀργύρια.

Αὐτομαχεῖν: Τὸ δι᾽ ἑαυτοῦ δικάζεσθαι, ἀλλὰ μὴ δι᾽ ἑτέρου.

Ἀφεὶς τὴν ὑπέραν τὸν πόδα διώκει: Παροιμία· Ὑπερίδης ἐπὶ τῶν παρέντων μὲν τὰ σπουδαιότερα, περὶ δὲ τὰ φαῦλα διατριβόντων· ὑπέραι δέ εἰσι ναυτικαὶ σχοῖνοι αἷς μετάγεται τὸ κέρας.

Ἀφοσιῶ: Ἀντὶ τοῦ ἀποκαθαίρω· ἀφαγνίζω Αἰσχίνης· τὸ δὲ μὴ ἐντελῶς τι ποιῆσαι, ἀλλ᾽ οἷον ἀπάρξασθαι ἢ σχηματίσασθαι Ἰσαῖος λέγει.

Ἀχαριστεῖν: Ἀντὶ τοῦ μὴ χαρίζεσθαι· οὕτως Ἀντιφῶν.

Βαιμάζειν: Τὸ ταῖς χερσὶ διαθλίβειν, καὶ τὸ τὰ κήρια
ττειν
καὶ βλίσαι λέγεται.

Βοηδρομεῖν: Τὸ βοηθεῖν ὠνομάζετο, τουτέστιν ἐπὶ μάχην δραμεῖν.

Βολεῶνες: Οἱ δεχόμενοι τόποι τὴν κόπρον οὕτως καλοῦνται· οὕτω Δείναρχος, καὶ Φιλήμων, καὶ ἕτεροι.

Διαιτηταί: Οἱ μερισταί· τὸ δὲ εἰς διαιτητῶν αἵρεσιν εἶδος ἐστὶ δίκης· ὁπότε γὰρ κοινωνοῖεν τινὲς ἀλλήλους, καὶ οἱ μὲν βούλοιντο διανέμεσθαι τὰ κοινὰ, οἱ δὲ μὴ, ἐδικάζοντο οἱ βουλόμενοι τοῖς μὴ βουλομένοις εἰς διαιτητῶν αἵρεσιν· οὕτω Λυσίας καὶ Ἀριστοτέλης.

Δεήσεις: Ἀντὶ τοῦ ἐνδείας Ἀντιφῶν· οὕτως τὸ δεκάζειν οὕτως ἐποιήθη· Λύκος πρὸς τοῖς ἐν Ἀθήναις ἀνεστήλωται δικαστηρίοις· πρὸς ὃν οἱ δωροδοκοῦντες κατὰ δέκα γενόμενοι ἀνεστρέφοντο· ἔνθα καὶ ἡ παροιμία Λύκου δεκάς· ἐξ οὖν τῆς δεκάδος τὸ δεκάζειν.

Δευσοποιός: Κυρίως ἐπὶ τῆς πορφύρας λέγεται τὸ ὄνομα τῆς ἔμμονον καὶ ἀνέκπλητον ἐχούσης τὸ ἄνθος τῆς βαφῆς· ἐκ μεταφορᾶς δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν ἐχόντων τὸ χρῶμα ἔμμονον καὶ πολυχρόνιον.

Δημόκοινος: Ὁ δημόσιος βασανιστής.

Δημοποίητος: Ὁ ὑπὸ τοῦ δήμου πολίτης γεγονώς.

Διαγορεύων: Ἀντὶ τοῦ διάφορα καὶ οὐ τὰ αὐτὰ λέγων· οὕτως Ἰσαῖος· τὸ δὲ ἐναντίον συναγορεύειν.

Διακεχρημένον: Ἀντὶ τοῦ κατὰ μέρος δεδανεισμένον· οὕτω Δημοσθένης.

Διάθεσις: Ἰσοκράτης ἀντὶ τοῦ πρᾶσις· Ἀντιφῶν δὲ ἀντὶ τοῦ διοίκησις· καὶ διαθέσθαι ἀντὶ τοῦ διοικῆσαι· καὶ διαθέσθαι ἀντὶ τοῦ συνθέσθαι· οὕτως Δημοσθένης.

Δι' ἐνιαυτοῦ: Ἀντὶ τοῦ δι' ὅλου τοῦ ἐνιαυτοῦ· ὁμοίως καὶ τὸ δι' ἡμέρας.

Διεσκαριφισάμεθα: Σκαριφίσασθαι ἐστὶ τὸ ἐπισεσυρμένως τι ποιεῖν, καὶ μὴ κατὰ τὴν προσήκουσαν ἀκρίβειαν.

Διήλλαξεν: Ἀντὶ τοῦ μετήλλαξε καὶ ἐτελεύτησεν.

Διετείνοντο: Ἰδίως Ἀντιφῶν, ἀντὶ τοῦ μετὰ σπουδῆς καὶ συντόμως ἀπηρνήσαντο.

Διῆρξα: Ἀντὶ τοῦ διὰ τέλους ἦρξα· οὕτως Λυσίας.

Δικαίωσις: Λυσίας τὰς δικαιολογίας· Θουκυδίδης δὲ τὰς κολάσεις λέγει.

Διοικεῖν: Ἀντὶ τοῦ διαιρήσειν, ὥστε μὴ ἐν ταυτῷ πάντας οἰκεῖν ἀλλὰ κατὰ μέρος.

Διωλύγιον: Τὸ μέγα· Πλάτων.

Δωροξενία: Ὅταν εἰσγραφῇ ξενίας, καὶ δῶρα δοὺς ἐκφύγῃ τὴν συκοφαντίαν, δωροξενία λέγεται.

Εἰσαγγελία: Ὄνομα δίκης.

Εἰς ἐμφανῶν κατάστασιν: Δίκης ἐστὶν ὄνομα ὑπὸ τοῦ τὰ ἀμφισβητούμενα ἐν φανερῷ ποιῆσαι.

Εἰς ἓν ἦλθεν: Ἤγουν ὡμονόησεν.

Εἰσεπόδιζον: Ἀντὶ τοῦ εἰσέβαινον τοὺς πόδας τοῦ χωρίου.

Εἰς ἕω: Ἀντὶ τοῦ εἰς ἐρχομένην ἡμέραν.

Ἔκδεια: Ὑπερίδης ἀντὶ τοῦ ἐὰν δέ τις ἐνδεὴς ᾖ τοῦ προϋπάρχοντος ἀργυρίου.

Ἔκδοσις: Τὸ ναυτικὸν δάνεισμα, οἷον ἔξω δόσις· οὕτω Δημοσθένης κατὰ Ἀφόβου πρῶτος.

Ἐκλογεῖς: Οἱ ἐκλέγοντες καὶ εἰσπράττοντες τὰ ὀφειλόμενα τῷ δημοσίῳ.

Ἐκπλινθεύσας: Ἰσαῖος ἀντὶ τοῦ διαλύσας καὶ ἀφελὼν τὰς πλίνθους.

Ἐκφυλλοφορῆσαι: Εἰ ἐδόκει τις τῶν βουλευτῶν ἀδικεῖν διεψηφίζετο ἡ βουλὴ περὶ αὐτοῦ εἰ χρὴ αὐτὸν μὴ ἔτι βουλεύειν· ἀντὶ δὲ ψήφου φύλλοις ἐχρῶντο, ἐν οἷς ἕκαστος ἐπεσημαίνετο τὴν αὑτοῦ βουλήν.

Ἐλαφροτάτους: Ἐν ἐπαίνῳ γράφουσι τὸ ὄνομα οἱ παλαιοὶ ἀντὶ τοῦ πραοτάτους.

Ἔμβιον: Ἀντιφῶν τὸ ζῶν καὶ μὴ ξηρανθὲν, μὴ δὲ ἐναποθανόν.

Ἐνβραχεῖ: Ἀντιφῶν ἀντὶ τοῦ ἁπλῶς καὶ μὴ ἐν κεφαλαίῳ.

Ἕναι ἀρχαί: Αἱ παρῳχημέναι· Δημοσθένης κατ' Ἀριστογείτονος.

Ἔνδειξις: Εἶδος δίκης δημοσίας.

Ἐνσκευασμένην: Ἀντὶ τοῦ διασκευασμένην καὶ πεπλασμένην· οὕτω Δημοσθένης.

Ἐξάγιστος: Ἀντὶ τοῦ λίαν ἐναγής.

Ἐξαράσασθαι: Τὸ ἐκτελέσαι τὰς ἀρὰς καὶ τὰς εὐχάς.

Ἐξεγγύησις: Τὸ ἐκτελέσαι τινὰ διὰ τῆς τῶν ἐγγυητῶν καταστάσεως.

Ἐξένιζεν: Ἀντὶ τοῦ ξένος ἦν· Δίδυμος δέ φησιν, ἀντὶ τοῦ οὐκ Ἀττικοῖς ἀλλὰ ξένοις ῥήμασιν διελέγετο.

Ἐξεπρύμνιζον: Ἀντὶ τοῦ κατέβαλλον τὰ πρέμνα, τουτέστι μέχρι ῥιζῶν τὰ στελέχη· οὕτω Δημοσθένης.

Ἐξησάσθης: Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου καὶ κατ' Ἀνδροτίωνος ἀντὶ τοῦ ὤφθης, ὡράθης.

Ἐξούλης: Ὄνομα δίκης ἣν ἐπάγουσιν οἱ φάσκοντες ἐξείργεσθαι τῶν ἰδίων κατὰ τῶν ἐξειργόντων· εἴρηται μὲν οὖν τοὔνομα ἀπὸ τοῦ ἐξίλλειν, ὅπερ ἐστὶν ἐξείργειν καὶ ἐκβάλλειν· δικάζεται ἐξούλης καὶ ὁ χρήστης κατέχειν ἐπιχειρῶν κτῆμα τοῦ χρεωστοῦντος καὶ κωλυόμενος, καὶ περὶ ἀνδραπόδου καὶ παντὸς οὗ φησί τις αὐτῷ μετεῖναι.

Ἐπεδίκασε καὶ Ἐπεδικάσατο: Δημοσθένης ἐν τῷ κατὰ Ὀλυμπιοδώρου, τὸ μηδὲ ἐπεδίκασεν οἷον προσέκρινε· τὸ δὲ ἐπεδικάσατο, οἷον ἔπεισαν τοὺς δικαστὰς ἑαυτοῖς προσνεῖμαι τὸν κλῆρον.

Ἐπεσκήψατο: Ἀντὶ τοῦ ἐνεκάλεσε ψευδομαρτυριῶν· πολλάκις δὲ καὶ φόνου ὡς Ἀντιφῶν· τὸ δὲ ἐνεργητικὸν ἐπέσκηψεν ἀντὶ τοῦ ἐνετείλατο· τὸ δὲ ἐνσκήπτω ἀντὶ τοῦ μετά τινος ἐπιθειασμοῦ λέγω, καὶ οἷον ἐξορκίζω· οὕτω Λυσίας.

Ἐπιβολή: Παρὰ Ἀττικοῖς ῥήτορσιν ἡ ζημία.

Ἐπιγνώμονας: Ἀντὶ τοῦ ἐπισκόπους καὶ

Ἐπιγραφέας διατίθεσθαι: τὸ συνθήκας τινὰς ποιεῖσθαι κατατιθέμενον ῥητόν τι ἀργύριον παρά τινι τῶν μεταξὺ γιγνομένων.

Ἐπιδιετὲς ἡβῆσαι: Ἀντὶ τοῦ ἑκκαίδεκα ἐτῶν γεγονέναι· τὸ γὰρ ἡβῆσαι μέχρι ιδ' ἐστίν.

Ἐπικηρυκεία: Τὸ περὶ φιλίας καὶ διαλλαγῶν κήρυκας πέμπειν· οὕτω Δημοσθένης ε΄ Φιλιππικῶν.

Ἐπὶ Πρυτανείῳ: Φονικὸν δικαστήριον, ὅταν τὸ μὲν ἀποκτεῖναν βέλος ἢ λίθος φανερὸν ᾖ, ὁ δὲ δράσας ἀφανής.

Ἐπισημαίνεσθαι: Ἀντὶ τοῦ ἐπαινεῖν καὶ ἐπιφανεῖν Ἰσοκράτης· ἀντὶ δὲ τοῦ ἐπισφράγισαι Ἰσαῖος.

Ἐπισίτια: Τὰ εἰς τροφὴν διδόμενα.

Ἐπιτιμηταί: Οἱ χρόνῳ ὕστερον τὰ αὐτὰ τιμώμενοι ἀπερεὶ τιμηταὶ ἦσαν τιμώμενοι πρότερον.

Ἐπιτείχισμα: Τὸ τειχιζόμενον κατά τινων χωρίων· καὶ τὸ πρᾶγμα δὲ ἐπιτειχισμὸν Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

Ἐπωβελία: Τὸ ἕκτον τίμημα τῆς δίκης, ὃ ἐπράττοντο οἱ γραψάμενοί τινας, καὶ μὴ ἑλόντες αὐτοῖς τοῖς γραφεῦσι· ἐκαλεῖτο δὲ οὕτως ὅτι καθ' ἑκάστην δραχμὴν ὀβελὸς ἦν.

Ἐρανίσας: Δημοσθένης ἀντὶ τοῦ ἔρανον αἰτήσας.

Ἐρανιστὴς μέντοι κυρίως ἐστὶν ὁ τοῦ ἐράνου μετέχων, ὃν ἑκάστου μηνὸς ἔδει καταβάλλειν.

Εὐοῖ σαβοῖ: Ναυτικόν τι ἐπιφώνημά ἐστι· Δημοσθένης ὑπὲρ Κτησιφῶντος.

Ἐφέται: Οἱ δικάζοντες τὰς ἀφ' αἵματος κρίσεις.

Ἐφορία: Ἡ ἐπὶ τῶν ὅρων γινομένη προαγόρευσις· Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους.

Ἐχῖνος: ἄγγος τι ἐν ᾧ τὰ γράμματα τὰ πρὸς τὰς δίκας ἐτίθεντο, μνημονεύει τούτου Δημοσθένης καὶ Ἀριστοτέλης.

Ζηλοτυπεῖν: Αἰσχίνης ἀντὶ τοῦ μισεῖν· ζηλοῦν γὰρ τὸ μακαρίζειν· ζηλοτυποῦν δὲ τὸ εἰς ἀπέχθειαν ἐλθεῖν.

Ζητητής: Ἀρχή τις Ἀθήνησι κατὰ καιροὺς καθισταμένη εἴ ποτε τοὺς ἀδικοῦντάς τι δημοσίᾳ δέοι ζητεῖν· Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους.

Ἡλικία τῆς πόλεως: Ἀντὶ τοῦ ἐν ἡλικίᾳ οἱ νέοι· Δημοσθένης ἐν Φιλιππικοῖς.

Ἠιτημένην: Ἀντὶ τοῦ κεχρημένην· καὶ γὰρ αἰτεῖσθαι ἔλεγον τὸ κιχρᾶσθαι.

Θέμενος τὰ ὅπλα: ἀντὶ τοῦ περιθέμενος καὶ ὁπλισάμενος· Δημοσθένης καὶ Ὅμηρος, καὶ Αἰσχίνης.

Ἰδίαν: Ἀντὶ τοῦ ἰδιωτικήν· Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος· καὶ ἴδιον τὸ ἰδιωτικόν.

Ἴσα βαίνων Πυθοκλεῖ: Ἀντὶ τοῦ συνὼν ἀεὶ, καὶ μὴ βραχὺ ἀφιστάμενος· Δημοσθένης καὶ Μένανδρος·

παρ' αὐτὸν ἴσα βαίνουσα ἑταίρα πολυτέλης·

Καθήκοντα: Δημοσθένης ἐν ιά Φιλιππικῶν φησι, ὅτι οὐκ ἠξίου τὰ καθήκοντα ἐφ' ἑαυτὸν ποιεῖν· ἀντὶ τοῦ τὰ ἥκοντα.

Κακῶς εἰδότες: Ἀντὶ τοῦ ἀγνοοῦντες· Ἰσοκράτης ἐν τῷ περὶ Εἰρήνης.

Κακώσεως: Δίκης ὄνομά ἐστι ταῖς ἐπικλήροις κατὰ τῶν γεγαμηκότων, καὶ τῶν παίδων τοῖς γονεῦσι, καὶ κατὰ τῶν ἐπιτρόπων τοῖς ὑπὲρ τῶν ὀρφανῶν· οὕτω Δημοσθένης καὶ Λυσίας.

Καταδεδέσθαι: Ἀντὶ τοῦ πεφαρμακεῦσθαι.

Καταδικασάμενος: Ἀντὶ τοῦ νικήσας· καὶ καταδικασθῆναί τινα ποιήσας· Δημοσθένης ἐν ή Φιλιππικῶν ἀντὶ τοῦ ληΐζεσθαι καὶ κακοῦν, καὶ μὴ ἐᾶν τοὺς πλέοντας ὅπου βούλοιντο πλεῖν.

Καταπλήξ: Ὁ συνεχῶς πεπληγμένος.

Καταψευδομαρτυρησάμενος: Ἀντὶ τοῦ παρασχὼν τοὺς τὰ ψεύδη μαρτυρήσαντας· οὕτω Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου.

Κατῳκοδόμησεν: Ἰσαῖος ἀντὶ τοῦ ἀπέκλεισεν εἰς οἴκημα καὶ ἀπέκτεινε.

Κλιμάζει: Δείναρχος· "ὅταν κλιμάζῃ καὶ παράγει τοὺς "νόμους," ἀντὶ τοῦ παρακλίνει· μήποτε δὲ δεῖ γράφειν βλημάζει ἀντὶ τοῦ θλίβει καὶ βιάζεται.

Κολωνέτας ὠνομάζον τοὺς μισθωτὰς, ἐπειδὴ παρὰ τοὺς Κολωνοὺς εἱστήκεσαν.

Κυρηβιά ἐστι τὰ πίτυρα.

Κοροπλάθους: λέγουσι τοὺς ἐκ πηλοῦ τινὸς ἢ κηροῦ ἢ τοιαύτης ὕλης πλάττοντας κόρας ἢ κόρους.

Κόττυς: Οὗτος ἄρξας Θρᾴκης, τὰ μὲν πρῶτα ἐν τρυφαῖς καὶ ἡδυπαθείαις ἦν, ἔπειτα εἰς ὠμότητα καὶ ὀργὴν ἐξηνέχθη ὡς καὶ τὴν γυναῖκα διακόψαι μέσην.

Κρόβυλος: Κυρίως τι εἶδος ἐμπλοκῆς ἐστι κατὰ Θουκυδίδην.

Λέσχαι: Ἔλεγον δημοσίους τινὰς τόπους ἐν οἷς σχολὴν ἄγοντες ἐκαθίζοντο· καὶ Ὅμηρος

οὐ θέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθὼν
ἠέ που ἐς λέσχην.

Ξενιτευομένους: Ἀντὶ τοῦ μισθοφοροῦντας· καὶ Ἀντιφάνης·

ἐγὼ ξενιτευόμενος ἐστρατευόμην.

Ὀβολοστατοῦ: Ἀντὶ τοῦ δανείζει· καὶ ὀβολοστάται οἱ δανεισταί.

Ὁδός: Δημοσθένης· "ἐν ὁδῷ καθελὼν" ἀντὶ τοῦ ἐν λόχῳ καὶ ἐνέδρᾳ.

Οἷος εἶ: Σημαίνει τὸ βούλει καὶ προείρησαι· τὸ δὲ μετὰ τοῦ τε· οἷον, οἷός τε εἶ, τὸ δύνασαι· ἀμφοτέροις δὲ Λυσίας ἐχρήσατο.

Ὁμοῦ: Δημοσθένης "ὁμοῦ," φησι "δισμύριοι Ἀθηναῖοι" ἀντὶ τοῦ ἐγγύς· ἔστι δὲ πολὺ παρὰ τοῖς Ἀττικοῖς.

Ὀνομάζων ἀντὶ τοῦ φράζων· ἑρμηνείᾳ χρώμενος Δημοσθένης ἐν τῷ περὶ Κτησιφῶντος.

Ὀργάς: Τὰ λοχμώδη καὶ ὀρεινὰ χωρία καὶ οὐκ ἐπεργαζόμενα· ὅθεν καὶ ἡ Μεγαρικὴ ὀργὰς προσωνομάσθη τοιαύτη τις οὖσα.

Ὀρικὰ ζεύγη: Τὰ τῶν ὀρέων, ἤτοι τῶν ἡμιόνων.

Ὁρκάνη: Τὸ περίφραγμα, καὶ ἡ αἱμασιά.

Ὄσχη: Κλῆμά ἐστι βότρυς ἐξηρτημένους ἔχον· ταύτην δ' ἔνιοι ὀρεσχάδα καλοῦσιν.

Οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμῆ τοῖς πολλοῖς· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος· παροιμία ἐστὶν ἐλλειπῶς εἰρημένη· ὑπακουστέον δὲ ἔξωθεν τὸ ἀγκύρας.

Παράκλησις: Προτροπή· Λυκοῦργος δὲ ἐπὶ δεήσεως ἐχρήσατο.

[illegible]: Ἀντὶ τοῦ ὑποπεπτωκώς· οὕτω Δημοσ[illegible] κατὰ Στεφάνου.

[illegible]: Ἀντὶ τοῦ βλασφημίας καὶ λοιδορίας· Ἰσο[illegible] Βουσιρίδι.

[illegible]ΚΡΟΥΕΙ: Ἐξαπατᾶ.

[illegible]ΑΡΑΣΗΜΟΣ ῬΗΤΩΡ: Δημοσθένης φησὶν ἐκ μεταφορᾶς [illegible] νομισμάτων ἃ καλοῦσι παράσημα, ὅτι ὑποχαράττεται ὑπὸ [illegible] ἀργυραμοιβῶν σημείῳ τινὶ ὃ τὴν φαυλότητα δηλοῖ.

ΠΑΡΑΦΡΥΚΤΩΡΕΙ͂Ν: Τὸ τοῖς φρυκτοῖς παρὰ τὸ προσῆκον, ἤγουν ἐπὶ συμφέροντι μὲν τῶν πολεμίων, βλάβῃ δὲ τῶν φίλων· οὕτω Δείναρχος.

ΠΑΡΕΓΓΥΉΣΕ καὶ ΠΑΡΕΓΓΥΗΘΈΝΤΟΣ ἀντὶ τοῦ παρέδωκεν· Ἰσαῖος· καὶ παρεγγυηθέντος ἀντὶ τοῦ παραλαβόντος.

ΠΑΡΕΛΘΕΙ͂Ν: Ἀντὶ τοῦ νικῆσαι· οὕτω Δημοσθένης.

ΠΑΡΟΥΣΊΑ: Ἀντὶ τοῦ περιουσία· καὶ Κράτης·

ἔχοντες εὐπαθῆ βίον
παρουσίαν τε χρημάτων·

καὶ Δημοσθένης ἐν τῷ περὶ συντάξεως.

ΠΛΕΙΣΤΗΡΙΆΣΑΝΤΕΣ: Ἀντὶ τοῦ ὑπερβάλλοντες ἐν τῇ τιμῇ τῶν πιπρασκομένων· οὕτω Λυσίας καὶ Πλάτων ὁ κωμικός.

ΠΟΔΟΣΤΡΆΒΗ: Μηχανήματά τινα ὑπὸ τῶν κυνηγετῶν κατεσκευασμένα εἰς ἃ τὰ θηρία ἐμβαίνοντα ἡλίσκετο.

ΠΟΔΟΚΆΚΗ: Τὸ ἐν τῷ δεσμωτηρίῳ ξύλον.

ΠΟΜΠΕΊΑΣ: Ἀντὶ τοῦ λοιδορίας· καὶ Πομπεύειν ἀντὶ τοῦ λοιδορεῖν.

ΠΡΟΒΟΛΆΣ: Ἀντὶ τοῦ ἀσφαλείας ἐκ πόλεων ἢ τειχῶν ἢ τινων ἄλλων ὅπλων· οὕτω Δημοσθένης.

ΠΡΟΒΌΛΙΟΝ: Εἶδος δόρατος ᾧ χρῶνται οἱ κυνηγέται πρὸς τῇ τῶν συῶν θήρᾳ.

ΠΡΟΣΕΠΟΙΉΣΑΤΟ: Ἰσαῖος ἀντὶ τοῦ ἀντεποιήσατο.

ΠΡΌΣΚΛΗΣΙΣ: Ἡ εἰς δικαστήριον κλῆσις.

ΠΡΟΣΤΙΜΉΜΑΤΑ: Ἔστι μέν τινα ἐν τοῖς νόμοις ὡρισμένα κατὰ τῶν ἀδικούντων· ἡ ἐπωβελία· ἔστι δὲ καὶ ἄλλα ἃ

προστιμᾶται τὸ δικαστήριον, ὡς δείκνυσι Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους.

Προφερεῖς: Οἱ νέοι μὲν ὄντες, πρεσβύτεροι δὲ φαινόμενοι· Αἰσχίνης οὕτω.

Προσφορά: Ἀντὶ τοῦ πρόσοδος· οὕτως Ἀντιφῶν.

Πρυτανεῖα: Ἦν ἀργύριόν τι ὅπερ κατετίθεσαν οἱ δικαζόμενοι ἀμφότεροι, καὶ ὁ φεύγων καὶ ὁ διώκων.

Πρυτανεύοντα: Διοικοῦντα· οὕτω Δημοσθένης.

Ῥόπτρον: Ἐπὶ τῆς θύρας κρίκον λέγει Λυσίας "Ἔδησε τὸν ἵππον ἐκ τοῦ ῥόπτρου τοῦ ἱεροῦ."

Σεσημασμένῳ: Ἀντὶ τοῦ ἐσφραγισμένῳ· οὕτω Δημοσθένης.

Τετρυπημένη: Ψῆφοι εἰσὶ χαλκαῖ αὐλίσκον ἔχουσαι ἐν τῷ μέσῳ, αἱ μὲν ἡμίσειαι τετρυπημέναι· αἱ δὲ ἡμίσειαι πλήρεις· οἱ δὲ λαχόντες ἐπὶ τὰς ψήφους ἐπειδὰν εἰρημένοι ὦσιν ὀλίγοι παραδιδόασιν ἑκάστῳ τῶν δικαστῶν δύο ψήφους τετρυπημένην καὶ πλήρη, φανερὰς ὁρᾶν τοῖς ἀντιδίκοις, ἵνα μήτε πλήρεις μήτε τετρυπημένας λαμβάνωσιν.

Τετύφωμαι: Ἀντὶ τοῦ ἐμβεβρόντημαι, ἔξω τῶν φρενῶν γέγονα· ἤτοι ἀπὸ τῆς βροντῆς, ἢ ἀπὸ τῶν ἐπὶ τὸν Τυφῶνα καταφερομένων σκηπτῶν.

Τίμημα: Ἀντὶ τοῦ ἐνέχυρον, καὶ οἷον ἀποτίμημα ὡς Λυσίας φησί· τίθεται δὲ καὶ ἀντὶ τοῦ, οἷον κεφάλαιον· ὡς ἐν τῷ ὑπὲρ τῶν Συμμοριῶν Δημοσθένης· λέγεται δὲ καὶ τὸ ἐκ τῆς οὐσίας εἰσφερόμενα παρ' ἑκάστου τίμημα· ἐν δὲ τῷ κατὰ Μειδίου ἐπὶ τῆς τιμωρίας εἴρηται.

Τραγικὸς Πίθηκος: Ἔοικε τοῦτο λέγειν Δημοσθένης, ὡς καὶ περὶ τὴν ὑπόκρισιν ἀτυχοῦντος τοῦ Αἰσχίνου, μιμουμένου μᾶλλον τραγῳδοὺς ἢ τραγῳδεῖν δυναμένου.

Ὑπάγουσιν: Ἀντὶ τοῦ παράγουσιν· ουτω Δημοσθένης Φιλιππικοῖς.

Ὑπονομεύοντες: Ἀντὶ τοῦ ὑπονόμους ὀρύττοντες· οὕτω Δείναρχος.

Ὑποστήσας: Ἀντὶ τοῦ ὑποβαλλόμενος· Ὑπερίδης.

Ὑποφόνια: Τὰ ἐπὶ φόνῳ διδόμενα χρήματα.

Φελλέα: Τὰ πετρώδη καὶ ἀγίβωτα χωρία, ὡς Ἰσαῖος.

Φιλοσοφεῖν: Ἀντὶ τοῦ πονεῖσθαι·

> Φιλοσοφεῖ δὲ τοῦτο ὅπως καταπράξηται τὸν γάμον·

ἔφη Μένανδρος οὕτω καὶ Ἰσοκράτης.

Χιλιωθέντα: Ἀντὶ τοῦ χιλίας ὄφλοντα, ὡς Λυκοῦργος· ὁ δ' αὐτὸς καὶ κεχιλιῶσαι ἔφη.

Χλῆδος: Τὸ πλῆθος· καί ἐστιν οἷον σωρός τις· οὕτω Δημοσθένης πρὸς Περικλέα· ἔοικε δὲ ὁ ῥήτωρ λέγειν χοῦν τινὰ καὶ φρυγανώδη σωρόν.

Χρυσίς: Ἡ φιάλη, ὡς Δημοσθένης.

INDEX GLOSSARUM.

B.

Θέμενος τὰ ὅπλα: ἀντὶ τοῦ περιθέμενος καὶ ὁπλισάμενος· Δημοσθένης καὶ Ὅμηρος, καὶ Αἰσχίνης.

Ἰδίαν: Ἀντὶ τοῦ ἰδιωτικήν· Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος· καὶ ἴδιον τὸ ἰδιωτικόν.

Ἶσα βαίνων Πυθοκλεῖ: Ἀντὶ τοῦ συνὼν ἀεὶ, καὶ μὴ βραχὺ ἀφιστάμενος· Δημοσθένης καὶ Μένανδρος·

παρ' αὐτὸν ἴσα βαίνουσα ἑταίρα πολυτέλης·

Καθήκοντα: Δημοσθένης ἐν ιά Φιλιππικῶν φησι, ὅτι οὐκ ἠξίου τὰ καθήκοντα ἐφ' ἑαυτὸν ποιεῖν· ἀντὶ τοῦ τὰ ἥκοντα.

Κακῶς εἰδότες: Ἀντὶ τοῦ ἀγνοοῦντες· Ἰσοκράτης ἐν τῷ περὶ Εἰρήνης.

Κακώσεως: Δίκης ὄνομά ἐστι ταῖς ἐπικλήροις κατὰ τῶν γεγαμηκότων, καὶ τῶν παίδων τοῖς γονεῦσι, καὶ κατὰ τῶν ἐπιτρόπων τοῖς ὑπὲρ τῶν ὀρφανῶν· οὕτω Δημοσθένης καὶ Λυσίας.

Καταδεδέσθαι: Ἀντὶ τοῦ πεφαρμακεῦσθαι.

Καταδικασάμενος: Ἀντὶ τοῦ νικήσας· καὶ καταδικασθῆναί τινα ποιήσας· Δημοσθένης ἐν ή Φιλιππικῶν ἀντὶ τοῦ ληΐζεσθαι καὶ κακοῦν, καὶ μὴ ἐᾶν τοὺς πλέοντας ὅπου βούλοιντο πλεῖν.

Καταπλήξ: Ὁ συνεχῶς πεπληγμένος.

Καταψευδομαρτυρησάμενος: Ἀντὶ τοῦ παρασχὼν τοὺς τὰ ψευδῆ μαρτυρήσαντας· οὕτω Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου.

Κατῳκοδόμησεν: Ἰσαῖος ἀντὶ τοῦ ἀπέκλεισεν εἰς οἴκημα καὶ ἀπέκτεινε.

Κλιμάζει: Δείναρχος· "ὅταν κλιμάζῃ καὶ παράγει τοὺς "νόμους," ἀντὶ τοῦ παρακλίνει· μήποτε δὲ δεῖ γράφειν βλημάζει ἀντὶ τοῦ θλίβει καὶ βιάζεται.

Κολωνέτας ὠνομάζον τοὺς μισθωτὰς, ἐπειδὴ παρὰ τοὺς Κολωνοὺς εἱστήκεσαν.

Κύρηβιά ἐστι τὰ πίτυρα.

Κοροπλάθους: λέγουσι τοὺς ἐκ πηλοῦ τινὸς ἢ κηροῦ ἢ τοιαύτης ὕλης πλάττοντας κόρας ἢ κόρους.

Κόττυς: Οὗτος ἄρξας Θρᾴκης, τὰ μὲν πρῶτα ἐν τρυφαῖς καὶ ἡδυπαθείαις ἦν, ἔπειτα εἰς ὠμότητα καὶ ὀργὴν ἐξηνέχθη ὡς καὶ τὴν γυναῖκα διακόψαι μέσην.

Κρόβυλος: Κυρίως τι εἶδος ἐμπλοκῆς ἐστι κατὰ Θουκυδίδην.

Λέσχαι: Ἔλεγον δημοσίους τινὰς τόπους ἐν οἷς σχολὴν ἄγοντες ἐκαθίζοντο· καὶ Ὅμηρος

οὐ θέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθὼν
ἠέ που ἐς λέσχην.

Ξενιτευομένους: Ἀντὶ τοῦ μισθοφοροῦντας· καὶ Ἀντιφάνης·

ἐγὼ ξενιτευόμενος ἐστρατευόμην.

Ὀβολοστάται: Ἀντὶ τοῦ δανείζει· καὶ ὀβολοστάται οἱ δανεισταί.

Ὁδός: Δημοσθένης· "ἐν ὁδῷ καθελὼν" ἀντὶ τοῦ ἐν λόχῳ καὶ ἐνέδρᾳ.

Οἷος εἶ: Σημαίνει τὸ βούλει καὶ προείρησαι· τὸ δὲ μετὰ τοῦ τε· οἷον, οἷός τε εἶ, τὸ δύνασαι· ἀμφοτέροις δὲ Λυσίας ἐχρήσατο.

Ὁμοῦ: Δημοσθένης "ὁμοῦ," φησι "δισμύριοι Ἀθηναῖοι" ἀντὶ τοῦ ἐγγύς· ἔστι δὲ πολὺ παρὰ τοῖς Ἀττικοῖς.

Ὀνομάζων ἀντὶ τοῦ φράζων· ἑρμηνείᾳ χρώμενος Δημοσθένης ἐν τῷ περὶ Κτησιφῶντος.

Ὀργάς: Τὰ λοχμώδη καὶ ὀρεινὰ χωρία καὶ οὐκ ἐπεργαζόμενα· ὅθεν καὶ ἡ Μεγαρικὴ ὀργὰς προσωνομάσθη τοιαύτη τις οὖσα.

Ὀρικὰ ζεύγη: Τὰ τῶν ὀρέων, ἤτοι τῶν ἡμιόνων.

Ὀρκάνη: Τὸ περίφραγμα, καὶ ἡ αἱμασιά.

Ὄσχη: Κλῆμά ἐστι βότρυς ἐξηρτημένους ἔχον· ταύτην δ' ἔνιοι ὀρεσχάδα καλοῦσιν.

Οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμῆ τοῖς πολλοῖς· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος· παροιμία ἐστὶν ἐλλειπῶς εἰρημένη· ὑπακουστέον δὲ ἔξωθεν τὸ ἀγκύρας.

Παράκλησις: Προτροπή· Λυκοῦργος δὲ ἐπὶ δεήσεως ἐχρήσατο.

Παραπεπτωκώς: Ἀντὶ τοῦ ὑποπεπτωκώς· οὕτω Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου.

Παρρησίας: Ἀντὶ τοῦ βλασφημίας καὶ λοιδορίας· Ἰσοκράτης Βουσίριδι.

Παρακρούει: Ἐξαπατᾷ.

Παράσημος ῥήτωρ: Δημοσθένης φησὶν ἐκ μεταφορᾶς τῶν νομισμάτων ἃ καλοῦσι παράσημα, ὅτι ὑποχαράττεται ὑπὸ τῶν ἀργυραμοιβῶν σημείῳ τινὶ ὃ τὴν φαυλότητα δηλοῖ.

Παραφρυκτωρεῖν: Τὸ τοῖς φρυκτοῖς παρὰ τὸ προσῆκον, ἤγουν ἐπὶ συμφέροντι μὲν τῶν πολεμίων, βλάβῃ δὲ τῶν φίλων· οὕτω Δείναρχος.

Παρεγγύησε καὶ Παρεγγυηθέντος ἀντὶ τοῦ παρέδωκεν· Ἰσαῖος· καὶ παρεγγυηθέντος ἀντὶ τοῦ παραλαβόντος.

Παρελθεῖν: Ἀντὶ τοῦ νικῆσαι· οὕτω Δημοσθένης.

Παρουσία: Ἀντὶ τοῦ περιουσία· καὶ Κράτης·

ἔχοντες εὐπαθῆ βίον
παρουσίαν τε χρημάτων·

καὶ Δημοσθένης ἐν τῷ περὶ συντάξεως.

Πλειστηριάσαντες: Ἀντὶ τοῦ ὑπερβάλλοντες ἐν τῇ τιμῇ τῶν πιπρασκομένων· οὕτω Λυσίας καὶ Πλάτων ὁ κωμικός.

Ποδοστράβη: Μηχανήματά τινα ὑπὸ τῶν κυνηγετῶν κατεσκευασμένα εἰς ἃ τὰ θηρία ἐμβαίνοντα ἡλίσκετο.

Ποδοκάκη: Τὸ ἐν τῷ δεσμωτηρίῳ ξύλον.

Πομπείας: Ἀντὶ τοῦ λοιδορίας· καὶ Πομπεύειν ἀντὶ τοῦ λοιδορεῖν.

Προβολάς: Ἀντὶ τοῦ ἀσφαλείας ἐκ πόλεων ἢ τειχῶν ἤ τινων ἄλλων ὅπλων· οὕτω Δημοσθένης.

Προβόλιον: Εἶδος δόρατος ᾧ χρῶνται οἱ κυνηγέται πρὸς τῇ τῶν συῶν θήρᾳ.

Προσεποιήσατο: Ἰσαῖος ἀντὶ τοῦ ἀντεποιήσατο.

Πρόσκλησις: Ἡ εἰς δικαστήριον κλῆσις.

Προστιμήματα: Ἔστι μέν τινα ἐν τοῖς νόμοις ὡρισμένα κατὰ τῶν ἀδικούντων· ἡ ἐπωβελία· ἔστι δὲ καὶ ἄλλα ἃ

προστιμᾶται τὸ δικαστήριον, ὡς δείκνυσι Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους.

Προφερεῖς: Οἱ νέοι μὲν ὄντες, πρεσβύτεροι δὲ φαινόμενοι· Αἰσχίνης οὕτω.

Προσφορά: Ἀντὶ τοῦ πρόσοδος· οὕτως Ἀντιφῶν.

Πρυτανεῖα: Ἦν ἀργύριόν τι ὅπερ κατετίθεσαν οἱ δικαζόμενοι ἀμφότεροι, καὶ ὁ φεύγων καὶ ὁ διώκων.

Πρυτανεύοντα: Διοικοῦντα· οὕτω Δημοσθένης.

Ῥόπτρον: Ἐπὶ τῆς θύρας κρίκον λέγει Λυσίας "Ἔδησε τὸν ἵππον ἐκ τοῦ ῥόπτρου τοῦ ἱεροῦ."

Σεσημασμένοι: Ἀντὶ τοῦ ἐσφραγισμένῳ· οὕτω Δημοσθένης.

Τετρυπημένη: Ψῆφοι εἰσὶ χαλκαῖ αὐλίσκον ἔχουσαι ἐν τῷ μέσῳ, αἱ μὲν ἡμίσειαι τετρυπημέναι· αἱ δὲ ἡμίσειαι πλήρεις· οἱ δὲ λαχόντες ἐπὶ τὰς ψήφους ἐπειδὰν εἰρημένοι ὦσιν ὀλίγοι παραδιδόασιν ἑκάστῳ τῶν δικαστῶν δύο ψήφους τετρυπημένην καὶ πλήρη, φανερὰς ὁρᾶν τοῖς ἀντιδίκοις, ἵνα μήτε πλήρεις μήτε τετρυπημένας λαμβάνωσιν.

Τετύφωμαι: Ἀντὶ τοῦ ἐμβεβρόντημαι, ἔξω τῶν φρενῶν γέγονα· ἤτοι ἀπὸ τῆς βροντῆς, ἢ ἀπὸ τῶν ἐπὶ τὸν Τυφῶνα καταφερομένων σκηπτῶν.

Τίμημα: Ἀντὶ τοῦ ἐνέχυρον, καὶ οἷον ἀποτίμημα ὡς Λυσίας φησί· τίθεται δὲ καὶ ἀντὶ τοῦ, οἷον κεφάλαιον· ὡς ἐν τῷ ὑπὲρ τῶν Συμμοριῶν Δημοσθένης· λέγεται δὲ καὶ τὸ ἐκ τῆς οὐσίας εἰσφερόμενα παρ' ἑκάστου τίμημα· ἐν δὲ τῷ κατὰ Μειδίου ἐπὶ τῆς τιμωρίας εἴρηται.

Τραγικὸς Πίθηκος: Ἔοικε τοῦτο λέγειν Δημοσθένης, ὡς καὶ περὶ τὴν ὑπόκρισιν ἀτυχοῦντος τοῦ Αἰσχίνου, μιμουμένου μᾶλλον τραγῳδοὺς ἢ τραγῳδεῖν δυναμένου.

Ὑπάγουσιν: Ἀντὶ τοῦ παράγουσιν· ουτω Δημοσθένης Φιλιππικοῖς.

Ὑπονομεύοντες: Ἀντὶ τοῦ ὑπονόμους ὀρύττοντες· οὕτω Δείναρχος.

Ὑποστήσας: Ἀντὶ τοῦ ὑποβαλλόμενος· Ὑπερίδης.

Ὑποφόνια: Τὰ ἐπὶ φόνῳ διδόμενα χρήματα.

Φελλέα: Τὰ πετρώδη καὶ ἀγίβωτα χωρία, ὡς Ἰσαῖος.

Φιλοσοφεῖν: Ἀντὶ τοῦ πονεῖσθαι·

> Φιλοσοφεῖ δὲ τοῦτο ὅπως καταπράξηται τὸν γάμον·

ἔφη Μένανδρος οὕτω καὶ Ἰσοκράτης.

Χιλιωθέντα: Ἀντὶ τοῦ χιλίας ὄφλοντα, ὡς Λυκοῦργος· ὁ δ᾽ αὐτὸς καὶ κεχιλιῶσαι ἔφη.

Χλῆδος: Τὸ πλῆθος· καί ἐστιν οἷον σωρός τις· οὕτω Δημοσθένης πρὸς Περικλέα· ἔοικε δὲ ὁ ῥήτωρ λέγειν χοῦν τινὰ καὶ φρυγανώδη σωρόν.

Χρυσίς: Ἡ φιάλη, ὡς Δημοσθένης.

INDEX GLOSSARUM.

AUCTORUM NOMINA.

ADDENDA ET CORRIGENDA.

P. 13, 24. post *βότρυος ἔχον* supple *ὀφροκόρινθος ὄνομα τόπου· ὀφρυόεσσα, ὀρεινή, ἔνδοξος.*
P. 217, 20. pro ΗΠΙΣΣΕΙΑ leg. ΗΜΙΣΣΕΙΑ.
P. 238, 3. pro ΛΕΤΨΑΝΟΝ leg. ΛΕΙΨΑΝΟΝ.
P. 269, 18. pro ΥΠΟΔΑΞΙΑ leg. ΥΠΟΔΕΞΙΑ.
P. 317 in not. pro Cod. *γλαυκοχαίτης* leg. corr. *γλαυκοχ-*
P. 337, 9. pro *Αἰγίσχος* leg. *Αἰγίοχος.*
P. 341, 10. del. (Il. N. 458.)
P. 433, 27. pro *Νέτορος* leg. *Νέστορος.*